
3 1761 08824837 2

ΞΕΝΟΦΩΝΤΟΣ

ΤΑ ΣΩΖΟΜΕΝΑ.

XENOPHONTIS

QUÆ EXTANT.

EX LIBRORUM SCRIPTORUM FIDE ET VIRORUM DOCTORUM CONJECTURIS RECENSUIT

ET INTERPRETATUS EST

JO. GOTTLOB SCHNEIDER, SAXO.

TOMUS II.

CYRI DISCIPLINAM

CONTINENS.

OXONII,

E TYPOGRAPHEO CLARENDONIANO.

MDCCCXII.

EPISTOLA EDITORIS

AD

LUDOVICUM FRIDERICUM HEINDORF,

DOCTOREM PHILOSOPHIÆ

ET

A. A. L. L. MAGISTRUM,

GYMNASII BEROLINENSIS PROFESSOREM.

Accipe, Vir amicissime, hoc grati animi pignus et μνημόσυνον amici, qui laboribus fessus hospitii longioris et sane propter tam longam a laribus domesticis, conjugioque et liberis absentiam perquam ingrati tædium in sinu Tuo deponere, et in collocutione mutua de rebus ad humanitatis studia pertinentibus acquiescere consueverat. Utinam isti animi candori atque antiquitatis præcipue græcæ librorumque Platonicorum studio acerrimo valetudo commoda et fortuna prospera usquequaque obsecundet. Cetera enim in conjugio beatissimo Deus Tibi commoda largitus est, quibus ut diutissime perfrui possis ex animo opto, meque ut amare pergas, etiam atque etiam rogo.

AD LECTOREM.

Cum divenditis Zeunianae recensionis exemplaribus librarius me rogasset, ut novae vel Editionis vel recensionis curam susciperem, lubens libri eximii recensioni novae operam meam impendi, non plane imparatus a librorum scriptorum nondum ab aliis comparatorum vel obiter inspectorum subsidiis, quae breviter memoranda hic esse video.

Comparationem igitur Codicis Guelferbytani multo accuratiorem quam Zeune instituerat Jo. Fr. Heusingerus in usus viri docti, cujus post mortem illa pervenit in manus Jo. Fr. Fischeri, Professoris Lipsiensis et Scholae Thomanae Rectoris, ut ipse vir doctissimus narravit in annotatione ad Platonis Phaedonem p. 456. Hanc cum omni materia critica diligentissime undique collecta a se liberalissime mecum rogatus communicavit Fischerus; unde factum est, ut multo plures lectiones egregii Codicis vel laudarem vel adeo in ipsa Xenophontis oratione probatas ponerem, quam lectores a Zeunio commemoratas videbunt.

Copiis librorum scriptorum, quos inspexerat Zeune, accessit varia lectio ex libro Bremensi olim Goettingae apud Kulenkampium graecae linguae Professorem excerpta a me ipso et transmissa ad Jo. Fr. Fischerum, a quo eam communicatam habui cum varietate libri Altorfini a Professore Nagelio, olim excerpta, et Adversariis Xenophonteis, in quibus vir graece doctissimus non solum libri Guelferbytani lectionem diligentissime annotaverat, sed virorum etiam doctorum conjecturas et opiniones collectas, interposito nonnunquam judicio suo, posuerat. Libri vero Bremensis varietas ultra librum primum non per-

tinet, ceterum non contemnenda. Libri Altorfini ufus poft Guelferbytanum maximus, in libris duobus poftremis fæpe unicus et egregius fuit ad Xenophontem ingenio fuo reftituendum. Convenit in multis cum libro Budenfi Camerarii et Juntina Editione, fed fæpius diverfus a ceteris libris omnibus abit. Ejus fpecimen dederat doctiffimus de Murr in Memorabilibus Bibliothecæ publicæ Norimbergenfis Partis III. p. 46—48.

Adhibui etiam annotationes a Zeunio neglectas Galli Bejot Actorum Parifienfium Academiæ literarum elegantiorum Volumini XXXIV. infertas, qui ex libris fcriptis quinque Parifienfibus infpectis fructum ullum non magis percipere potuit, quam ipfe viri docti annotationes, præter unam, in ufum meum convertere potui. Quos ille enumeravit quinque Codices fcriptos Xenophontis, uno tamen minus, nominavit et infpexit nuperus Xenophonteorum opufculorum Editor Gallus Gail in Præfatione ad Verfionem gallicam p. x.

Camerarii verfionem et annotationes ipfe infpexi et comparavi, præcipue in locis iis, ubi Codicis Budenfis lectionem feparatim non commemoratam divinare vel arguere ex ea poffe mihi videbar.

Jo. Cafelii verfionem librorum aliquot hujus Xenophontei libri, annotationibus politicis, quas ipfe titulus profitetur, auctam obiter tantum Berolini in Bibliotheca regia repertam infpicere licuit, quanquam admiratio ingenii et doctrinæ Cafelianæ fpondere et promittere fructum aliquem ex comparanda ejus verfione capiendum mihi videbatur.

Ex Editione poftrema Weifkiana, quam ad annotationes meas modumque meum refictam correctamque operis exprimendam tradideram, affumfi, quicquid lectoribus Xenophontis mei utile fore autumabam, veluti capitum argumenta diligentius ab eo fcripta quam a Zeunio; quanquam nec hæc omnia retinere potui; veluti quod ftatim ab initio operis pofitum erat: *Oftendit auctor hoc operis procemio, non adeo difficile videri, hominibus imperare, modo quis imperio recte uti fciat.* Rectius quidem hæc,

quam quod eſt in Zeuniano titulo: *Procœmium oſtendit, cum hominibus omnino ſit difficillimum imperare, non ſine magna Cyri virtute factum videri, ut ei tot gentes et nationes facile parerent.* Verumtamen male vir doctus facit Xenophontem docentem quomodo quis hominibus poſſit imperare, dum quis imperio recte uti ſcit. Quin ipſe Xenophon Procœmii ſect. 3. ait: οὔτε τῶν ἀδυνάτων οὔτε τῶν χαλεπῶν ἔργων εἶναι τὸ ἀνθρώπων ἄρχειν, ἄν τις ἐπισταμένως τοῦτο πράττῃ. Saltim imperium non acquiritur ipſo imperii uſu vel bono vel malo, ſed potius bene imperando ſervatur. Ambigua igitur dictione reddendum erat membrum alterum orationis Xenophonteæ ἐπισταμένως τοῦτο πράττῃ, quod et imperii acquiſitionem uſumque pariter includit.

Deinde Sectiones operis cxxxvi. quas fecerat Weiſke, omiſi velut inutiles; in annotationibus tamen non attigi omnia, quæ in commentariis viri docti mihi diſplicuerant, ſed ſatis habui ea commemorare, et in annotationes meas referre, quæ laudare poſſem, aut quibus lectis adoleſcentes errores alienos ipſi emendare poſſent.

Supereſt, ut, qui in poſterum de Xenophonteo hoc opere bene mereri volent, de comparanda verſione latina Julii Gabrielii, Eugubini, ſerio cogitent, quam publicis precibus privatiſque conquirere et corrogare non potui. Eam non ſolum Camerarius mirifice commendat, ſero ad ſe perlatam, poſtquam ſuam ipſe abſolverat verſionem, ſed multi etiam recentiores viri docti laudant ob uſum criticum, quem præſtant lectiones non ſolum ab eo expreſſæ, ſed ſeorſim etiam excerptæ et verſioni ſubjectæ.

Subjeci annotationibus Diſſertationem doctiſſimi Galli, L. B. de St. Croix, varia geographiæ et hiſtoriæ Xenophonteæ capita illuſtrantem, quam in compendium redigere commode et ſine lectorum utilitatis detrimento poſſe mihi non videbar.

Indicem denique Græcitatis ex Zeuniano excerptum addidi, quo carere Xenophontei libri lectores juniores poſſe negabat librarius. Novum conficere inter occupationes multas et graviſſimas Berolini hoſpitanti non vaca-

bat: nec affirmare tamen auſim omnes inde errores a me tempore tam alieno meo ab his ſtudiis fuiſſe ſublatos.

Deſinam in annotatione de tempore in publicum editæ diſciplinæ Cyri, et rei publicæ Platonicæ cum libris de Legibus, ſubjungenda iis, quæ ad libri Xenophontei initium breviter diſputavi. Extat ſcilicet in Oratione Iſocratis ad Philippum ſcripta locus p. 202. edit. Battianæ, ubi libri Platonis de republica et de Legibus tanquam in publicum jam tum editi obiter carpuntur his verbis: *ὁμοίως οἱ τοιοῦτοι τῶν λόγων ἄκυροι τυγχάνουσιν ὄντες τοῖς νόμοις καὶ ταῖς πολιτείαις ταῖς ὑπὸ τῶν σοφιστῶν γεγραμμένοις.* Ob hunc ipſum locum totam orationem Iſocratis exagitandam ſibi ſumſiſſe Speuſippum in Epiſtola xxviii. inter Socraticas cenſebat Valckenair in Oratione de Philippi Macedonis indole p. 262. not. 52. Scripta autem fuit illa oratio paulo poſt bellum inter Philippum et Athenienſes de Amphipoli geſtum et pace compoſitum Olympiadis 108. anno altero, et paulo ante mortem Iſocratis, auctore Cicerone in Oratore c. 52. et Hermippo apud ſcriptorem argumenti græci, quæ accidiſſe dicitur Olympiadis 110. anno tertio. Videntur igitur libri Platonis de republica et de Legibus inter annum tertium Olympiadis 104. et ſecundum Olympiadis 108. omnes in publicum editi prodiiſſe. Ceterum ſi priorem Alcibiadem Platonis cum Epilogo Xenophontis comparaveris, inde etiam apparebit, quam diverſa Platonis opinio fuerit a Xenophontea de Perſarum regis educatione, inſtitutione et moribus: neque ulla in hiſtoria imperii Perſici temporibus duumvirorum egregiorum æqualis, qualem ſaltem ſcriptores græci et latini nobis prodiderunt, reperies argumenta, quibus Platonica ſententia poſſit confirmari.

Scribebam Berolini Calendis Martiis MDCCC. in Muſeo Blochiano.

ΞΕΝΟΦΩΝΤΟΣ

ΚΥΡΟΥ ΠΑΙΔΕΙΑΣ Α'.

CAP. I.

ΕΝΝΟΙΑ ποθ' ἡμῖν ἐγένετο, ὅσαι δημοκρατίαι κατελύθησαν ὑπὸ τῶν ἄλλως πως βουλομένων πολιτεύεσθαι

Ostendit auctor hoc operis procemio, non

Παιδεία] Quæ Ciceroni in Bruto c. 29. dicitur Cyri vita et disciplina. Quam quidem disciplinam deberi soli Xenophontis ingenio significavit jam olim Plato Legum tertio p. 142. ed. Bipont. ubi Cyrum regem ὀρθῆς παιδείας ἧφθαι negat. Eam quidem Platonis narrationem de Cyro Xenophontis Cyropædiæ fuisse oppositam censuit etiam Valckenair ad Herodotum p. 243, ut Xenophon Platonis Symposio suum opposuerit. Quæ quidem opinio tradita nobis ab Athenæo XI, c. 15. nescio an alio nitatur argumento, nisi quod præbet locus Auli Gellii Noctium Atticarum XIV, 3. ubi similiter vestigia simultatis, quæ inter Platonem et Xenophontem intercessisse dicitur, colliguntur: *Id etiam esse non sinceræ atque amicæ voluntatis indicium crediderunt, quod Xenophon inclyto illi operi Platonis, quod de optimo statu rei publicæ civitatisque administrandæ scriptum est, lectis ex eo duobus fere libris, qui primi in vulgus exierant, opposuit contra conscripsitque diversum regiæ administrationis genus, quod παιδεία Κύρου inscriptum est.*

Consilium Xenophontei operis recte declaratum esse a scriptore Gelliano bene admonuit Weiske, qui similiter statuit, Xenophontem docere voluisse quibus belli et pacis artibus imperium acquiri et servari possit. Recte etiam idem vir doctus judicasse mihi videtur, Xenophontem bene docuisse, quomodo bellis fortiter et prudenter gerendis magnum imperium acquiri possit: alterum minus fecisse planum, quomodo idem debeat conservari. Justo brevius de hoc altero rerum genere egisse; et ut bella gesturos multis et salutaribus instruxerit præceptis, ita minus diligenter providisse iis, qui rempublicam pacatam legibus temperare et omnibus opibus tutam præstare velint. Sane vel maximus libri modus vix cepisset rerum multitudinem, si omnia pueri, adolescentis, patris, amici, hostis, socii, victoris, regis, imperatoris officia justa et æqua narratione persequi et differere voluisset Xenophon, quod eum fecisse non ex vero affirmat vir doctus *Meiners*; in Historia literarum et artium græcarum T. II, p. 635. recte admonente Weiskio de Natura Disciplinæ Cyri p. CVIII.

Sed ad locum Gellianum redeundum est, in quo ponitur post libros duos priores Platonis de republica editos in publicum Xenophontem consilium administrationis regiæ sub Cyri persona exempli proponendi cepisse; idque exsecutum esse antea, quam Plato librum de Legibus ter-

B

adeo difficile videri, hominibus imperare, modo quis eorum naturam cognitam prudenter tractare ſciat. Quam in rem Cyri affert exemplum, atque ita commode ad narrationem inſtituendam tranſit.

μᾶλλον, ἢ ἐν δημοκρατίᾳ· ὅσαι τ' αὖ μοναρχίαι, ὅσαι τε ὀλιγαρχίαι ἀνῄρηνται ἤδη ὑπὸ δήμων· καὶ ὅσοι τυραννεῖν ἐπιχειρήσαντες, οἱ μὲν αὐτῶν καὶ ταχὺ πάμπαν κατελύθησαν, οἱ δὲ, κἂν ὁποσονοῦν χρόνον ἄρχοντες διαγένωνται, θαυμάζονται, ὡς σοφοί τε καὶ εὐτυχεῖς ἄνδρες γεγενημένοι. Πολλοὺς δ' ἐδοκοῦμεν καταμεμαθηκέναι καὶ ἐν ἰδίοις οἴκοις τοὺς μὲν ἔχοντας καὶ πλείονας οἰκέτας, τοὺς δὲ καὶ πάνυ ὀλίγους, καὶ ὅμως οὐδὲ τοῖς ὀλίγοις τούτοις πάνυ τι δυναμένους χρῆσθαι πειθομένοις
2 τοὺς δεσπότας. Ἔτι δὲ πρὸς τούτοις ἐνενοοῦμεν, ὅτι ἄρχοντες μέν εἰσι καὶ οἱ βουκόλοι τῶν βοῶν, καὶ οἱ ἱπποφορβοὶ τῶν ἵππων, καὶ πάντες δὲ οἱ καλούμενοι νομεῖς, ὧν ἂν ἐπιστατῶσι ζώων, εἰκότως ἂν ἄρχοντες τούτων νομίζοιντο· πάσας τοίνυν ταύτας τὰς ἀγέλας ἐδοκοῦμεν ὁρᾷν μᾶλλον ἐθελούσας πείθεσθαι τοῖς νομεῦσιν, ἢ τοὺς ἀνθρώπους τοῖς ἄρχουσι. Πορεύονταί τε γὰρ αἱ ἀγέλαι, οἷ ἂν αὐτὰς εὐθύνωσιν οἱ νομεῖς, νέμονταί τε χωρία, ἐφ' ὁποῖα ἂν αὐτὰς ἐφιῶσιν, ἀπέχονταί τε, ὧν ἂν αὐτὰς

tium ederet, volunt, qui Platonem libro Xenophontis oppoſuiſſe narrationem de Cyro ſtatuunt. Cogimur ita de tempore ſcriptæ reipublicæ Platonicæ et Xenophonteæ Cyri diſciplinæ quærere. De hac brevis eſt reſponſio ex Epilogi ſect. 4. unde colligitur rationibus chronologicis opus hoc a Xenophonte poſt Olympiadis 104. annum 3. ſcriptum et publicatum fuiſſe. Platonicæ reipublicæ tempus inter Olympiadem XCV. et XCVII. collocavit collectum ex noto ſed debili argumento juvenis non indoctus *Car. Morgenſtern* Commentat. de Platonis Republica, Epimetr. p. 81. qui Gellianæ narrationis ne meminit quidem.

Non majorem vim tribuo argumento alteri, ducto ex eo, quod Xenophontem libro VI. cap. 1. ſect. 41. Platonis opinionem de duabus animæ facultatibus in libro quarto reipublicæ propoſitam reſpexiſſe cenſebat Camerarius. Qua de re dixi in annotatione ad eum locum.

1. χρόνον] Omiſſum ab Ariſtide h. l. laudante ſecluſit Zeune. deinceps διεγένοντο Brodæus ex libris quibuſdam attulit.

πάνυ τι] Ita etiam Guelf. et Altorf. pro πάνυ τοι Junt. πάντι Aldinum Stephaniana 1. et 2. in πάντη mutavit. deinde χρήσασθαι Altorf.

πειθομένοις] Deeſt in Bodl. Brem. et verſione Philelphi.

2. ταύτας τὰς ἀγέλας] Guelf. τὰς ἀγέλας ταύτας, rotundius, ut mihi videtur.

οἷ ἂν] Guelf. οἷς αὐτάς. correctum οἷ. Altorf. ᾗ ἂν quod eſt etiam in margine Steph.

ἐφιῶσιν] Brodæus alicunde ἐπάγωσιν memorat. Copulam τε poſt νέμον-

ἀπείργωσι· καὶ τοῖς καρποῖς τοίνυν, τοῖς γιγνομένοις ἐξ αὐτῶν, ἐῶσι τοὺς νομέας χρῆσθαι οὕτως, ὅπως ἂν αὐτοὶ βούλωνται. Ἔτι τοίνυν οὐδεμίαν πώποτε ἀγέλην ᾐσθόμεθα συστᾶσαν ἐπὶ τὸν νομέα, οὔτε ὡς μὴ πείθεσθαι, οὔτε ὡς μὴ ἐπιτρέπειν τῷ καρπῷ χρῆσθαι· ἀλλὰ καὶ χαλεπώτεραί εἰσιν αἱ ἀγέλαι πᾶσι τοῖς ἄλλοις, ἢ τοῖς ἄρχουσί τε αὐτῶν, καὶ ὠφελουμένοις ὑπ' αὐτῶν· ἄνθρωποι δὲ ἐπ' οὐδένας μᾶλλον συνίστανται, ἢ ἐπὶ τούτους, οὓς ἂν αἴσθωνται ἄρχειν αὐτῶν ἐπιχειροῦντας. Ὅτε 3
μὲν δὴ ταῦτα ἐνεθυμούμεθα, οὕτως ἐγιγνώσκομεν περὶ αὐτῶν, ὡς ἀνθρώπῳ πεφυκότι πάντων τῶν ἄλλων ζώων εἴη ῥᾷον, ἢ ἀνθρώπων, ἄρχειν. Ἐπειδὴ δὲ ἐνενοήσαμεν, ὅτι Κῦρος ἐγένετο Πέρσης, ὃς παμπόλλους μὲν ἀνθρώπους ἐκτήσατο πειθομένους αὐτῷ, παμπόλλας δὲ πόλεις, πάμπολλα δὲ ἔθνη, ἐκ τούτου δὴ ἠναγκαζόμεθα μετανοεῖν, μὴ οὔτε τῶν ἀδυνάτων οὔτε τῶν χαλεπῶν ἔργων εἶναι τὸ ἀνθρώπων ἄρχειν, ἤν τις ἐπισταμένως τοῦτο πράττῃ. Κύρῳ γοῦν ἴσμεν ἐθελήσαντας πείθεσθαι, τοὺς μὲν ἀπέχοντας παμπόλλων ἡμερῶν ὁδὸν, τοὺς δὲ καὶ μηνῶν, τοὺς δὲ οὐδ' ἑωρακότας πώποτε αὐτὸν, τοὺς

ται Altorf. omisit; idem ἐφ' ὁποῖα δ' ἂν—ἐφίωσιν. Brem. omisso ἐφ' habet ὁποῖα ἂν αὐτὰς ἐπάγωσιν.

νομέας] Edd. veteres νομεῖς, Stephanus cum Guelf. et Brem. dedit nostram formam Atticis frequentiorem. Illam in quibusdam libris jam olim repertam a se Xenophonti exprobrat Helladius apud Photium. Librarii sibi in his formis multum licere putarunt, ex Xenophonti υἱεῖς, alibi ἱππεῖς imputari voluerunt.

ᾐσθόμεθα] Scripturam Guelf. Brem. Altorf. ᾐσθήμεθα prætulit Zeune.

τὸν νομέα] Ita Junt. Isingr. Guelf. Altorf. pro τοὺς νομέας, quam cum Stephano prætuli.

ἄλλοις] Brodæus affert ἀλλοφύλοις, quod Philelphus expressit; et est eadem lectio in Brem. τοῖς ἄλλοισι Altorf.

ὑπ' αὐτῶν] Brem. ἀπ' αὐτῶν· idem ὁπλίζονται pro συνίστανται.

ἄρχειν αὐτῶν] Pronomen Brem. omittit.

3. ἐνεθυμούμεθα] Altorf. ἐνενοούμεθα.

εἴη ῥᾷον] Brem. ῥᾷον εἴη ζώων.

Πέρσης] In Guelf. ἀνὴρ supra scriptum; ἀνὴρ ἐγένετο Πέρσης Altorf.

πάμπολλα] Brem. πολλά. paulo antea ἑαυτῷ Altorf. Editiones Leuncl. 1. 2. αὐτῷ.

οὔτε τῶν χαλεπῶν] Basil. Mel. μήτε.

ἔργων εἶναι] Vulgare ᾖ ita suadente etiam Zeunio correxi.

ἤν τις] Junt. Guelf. Altorf. ἄν τις.

δὲ καὶ εὖ εἰδότας, ὅτι οὐδ᾽ ἂν ἴδοιεν· καὶ ὅμως ἤθελον
4 αὐτῷ ὑπακούειν. Καὶ γάρ τοι τοσοῦτον διήνεγκε τῶν ἄλλων βασιλέων, καὶ τῶν πατρίους ἀρχὰς παρειληφότων, καὶ τῶν δι᾽ ἑαυτῶν κτησαμένων, ὥστε ὁ μὲν Σκύθης, καίπερ παμπόλλων ὄντων Σκυθῶν, ἄλλου μὲν οὐδενὸς δύναιτ᾽ ἂν ἔθνους ἐπάρξαι, ἀγαπῴη δ᾽ ἄν, εἰ τοῦ ἑαυτοῦ ἔθνους ἄρχων διαγένοιτο· καὶ ὁ Θρᾷξ Θρακῶν, καὶ ὁ Ἰλλυριὸς Ἰλλυριῶν· καὶ τἄλλα δὲ ὡσαύτως ἔθνη ἀκούομεν· τὰ γοῦν ἐν τῇ Εὐρώπῃ ἔτι καὶ νῦν αὐτόνομα εἶναι λέγεται, καὶ λελύσθαι ἀπ᾽ ἀλλήλων· Κῦρος δέ, παραλαβὼν ὡσαύτως οὕτω καὶ τὰ ἐν τῇ Ἀσίᾳ ἔθνη αὐτόνομα ὄντα, ὁρμηθεὶς σὺν ὀλίγῃ Περσῶν στρατιᾷ, ἑκόντων μὲν ἡγήσατο Μήδων, ἑκόντων δὲ Ὑρκανίων· κατεστρέψατο δὲ Σύρους, Ἀσσυρίους, Ἄραβας, Καππαδόκας, Φρύγας ἀμφοτέρους, Λυδούς, Κᾶρας, Φοίνικας, Βαβυλωνίους· ἦρξε δὲ καὶ Βακτρίων καὶ Ἰνδῶν, καὶ Κιλίκων· ὡσαύτως δὲ Σακῶν καὶ Παφλαγόνων, καὶ Μαριανδυνῶν, καὶ ἄλλων δὲ παμπόλλων ἐθνῶν, ὧν οὐδ᾽ ἂν τὰ ὀνόματα ἔχοι

4. πατρίους] Stephanus πατρῴας malebat.

ἄλλου ἔθνους ἐπάρξαι] gentem ſuo imperio adjectam regere, igitur provinciam, ſenſu romano. Ita ἔπαρχος et ἐπαρχία dicitur etiam, admonente Wyttenbachio in Eclogis hiſtor. p. 370.

τἄλλα δὲ ὡσαύτως] Guelf. et Altorf. τἄλλα δὲ ἔθνη ὡσαύτως ὅσα ἀκούομεν.

ἀπ᾽ ἀλλήλων] Guelf. ὑπ᾽. ceterum hæc verba Steph. parentheſi incluſit, interpretatus cum Brodæo *nullo ſocietatis vinculo inter ſe juncta eſſe.* In Brem. καὶ κεχωρίσθαι ſupra ſcriptum eſt. Pro τὰ γοῦν Philelphus τινὰ γοῦν legiſſe videtur.

ὡσαύτως οὕτω] Ita præter Edd. vett. Guelf. Brem. Altorf. Bodl. Alii libri οὕτω omittunt, narrante Brodæo, et excluſit Stephanus. In margine Iſingr. exſtat conjectura Caſtalionis τοὺς ἑαυτοῦ καί.

Μαριανδυνῶν] Brodæus e libris aliis μαρτιανῶν, Stephanus βουδυνῶν aut βουδονίων, Juntina et Iſingr. cum Guelf. Lugdunenſi ap. Wyttenbachium Eclog. p. 370. et Altorf. μαγαδιδῶν, Aldina, Steph. 1. 2. cum Brem. μεγαδινῶν. Mariandinos nominat Philelphus, et Μαριανδυνῶν correxit Muretus, item Voſſius ad Scylacis Periplum p. 82. cujus emendationem primus Hutchinſon recepit. In βουδύνων latere nomen Βιθυνῶν ſuſpicabatur Fiſcherus, qui eos juxta Mariandynos a Xenophonte nominatos fuiſſe cenſebat, ut erant Mariandyni inter Paphlagonas ut Bithynos medii; Bithyni autem Crœſo parebant, auctore Herodoto I, 28.

ἔχοι τις] Altorf. ἴσχοι τις dat.

τις εἰπεῖν. Ἐπῆρξε δὲ καὶ Ἑλλήνων τῶν ἐν τῇ Ἀσίᾳ,
καταβὰς δὲ ἐπὶ θάλατταν, καὶ Κυπρίων καὶ Αἰγυπτίων.
Καὶ τοίνυν τούτων τῶν ἐθνῶν ἦρξεν, οὐδ᾽ ἑαυτῷ ὁμογλώτ- 5
των ὄντων, οὔτε ἀλλήλοις· καὶ ὅμως ἠδυνήθη ἐφικέσθαι
μὲν ἐπὶ τοσαύτην γῆν τῷ ἀφ᾽ ἑαυτοῦ φόβῳ, ὥστε κατα-
πλῆξαι πάντας, καὶ μηδένα ἐπιχειρεῖν αὐτῷ· ἐδυνήθη δὲ
ἐπιθυμίαν ἐμβαλεῖν τοσαύτην τοῦ πάντας αὐτῷ χαρί-
ζεσθαι, ὥστε ἀεὶ τῇ αὐτοῦ γνώμῃ ἀξιοῦν κυβερνᾶσθαι.
Ἀνηρτήσατο δὲ τοσαῦτα φῦλα, ὅσα καὶ διελθεῖν ἔργον
ἐστὶν, ὅποι ἂν ἄρξηται τις πορεύεσθαι ἀπὸ τῶν βασι-
λείων, ἐάν τε πρὸς ἕω, ἐάν τε πρὸς ἑσπέραν, ἤν τε πρὸς
ἄρκτον, ἤν τε πρὸς μεσημβρίαν. Ἡμεῖς μὲν δὴ, ὡς 6
ἄξιον ὄντα θαυμάζεσθαι τοῦτον τὸν ἄνδρα, ἐσκεψά-
μεθα, τίς ποτε ὢν γενεὰν, καὶ ποίαν τινὰ φύσιν ἔχων,
καὶ ποίᾳ τινὶ παιδείᾳ παιδευθεὶς, τοσοῦτο διήνεγκεν εἰς
τὸ ἄρχειν ἀνθρώπων. Ὅσα οὖν καὶ ἐπυθόμεθα, καὶ
ᾐσθῆσθαι δοκοῦμεν περὶ αὐτοῦ, ταῦτα πειρασόμεθα διη-
γήσασθαι.

5. τούτων τῶν] Ex Edd. vett. Guelf. Altorf. τῶν ἐθνῶν τούτων Zeune restituit.

ἠδυνήθη] Stephanus ex aliis libris ἐδυνάσθη et ἠδυνάσθη affert; ἐδυνήθη Brem.

τῷ ἀφ᾽ ἑαυτοῦ] Aldina, Brem. ἀφ᾽ ἑαυτοῦ. præpositionem omittunt Junt. Guelf. Altorf. Libro 3. 3. 53. similiter est τῷ ἀπὸ τῶν πολεμίων φόβῳ. Cf. Hipparch. 8, 14. Anab. I, 2, 18. deinde ἐπιχειρεῖν ἑαυτῷ Altorf.

ἐπιθυμίαν] Guelf. memorat lectionem ἔρωτα, quæ est in Altorf.: qui deinde ἐμβαλεῖν εἰς τοσαύτην γέννων τοῦ ἑαυτοῦ χαρίζεσθαι ὥστε ἀεὶ τῇ ἑαυτοῦ γνώμῃ dat. deinceps ἀεὶ omittit Brem.

ὅσα καὶ] Brodæus aliunde ὥστε καὶ memorat, quod est in Brem.

ὅποι ἂν] Ita Edd. vett. aliæ cum Altorf. ὅποι ἄν τις ἄρξηται. deinceps πορεύεσθαι Aldina omisit.

ἐάν τε—ἐάν τε] Stephanus primus invitis libris ἤν τε—ἤν τε propter tertium ἤν τε induxit; at Altorf. ter ἐάν τε repetit quem sequi præstiterit.

6. μὲν δὴ] Brem. μὲν δέ. Altorf. μὲν οὖν δή.

γενεὰν] Junt. cum Guelf. et Altorf. γένναν. Deinceps ποίαν ποτὲ φύσιν Altorf.

ποίᾳ τινὶ] Altorf. ποίᾳ ποτέ. deinceps τοσοῦτο ex Edd. vett. pro τοσοῦτον cum Zeunio et Fischero restitui. denique διηγεῖσθαι Altorf. Ceterum Plato tertio Legum negat Cyrum παιδείας ὀρθῆς ἧφθαι. de quo loco ad initium; dictum est.

CAP. II.

Cyri genus et corporis animique dotes, ejuſdemque educatio puerilis ad leges Perſicas inſtituta, quarum ratio et præſtantia explanatur.

ΠΑΤΡΟΣ μὲν δὴ λέγεται ὁ Κῦρος γενέσθαι Καμβύσου, Περσῶν βασιλέως· ὁ δὲ Καμβύσης οὗτος τοῦ Περσειδῶν γένους ἦν· οἱ δὲ Περσεῖδαι ἀπὸ Περσέως κλήζονται· μητρὸς δὲ ὁμολογεῖται Μανδάνης γενέσθαι· ἡ δὲ Μανδάνη αὕτη Ἀστυάγους ἦν θυγάτηρ, τοῦ Μήδων γενομένου βασιλέως. Φῦναι δὲ ὁ Κῦρος λέγεται, καὶ ᾄδεται ἔτι καὶ νῦν ὑπὸ τῶν βαρβάρων, εἶδος μὲν κάλλιστος, ψυχὴν δὲ φιλανθρωπότατος, καὶ φιλομαθέστατος, καὶ φιλοτιμότατος, ὥστε πάντα μὲν πόνον ἀνατλῆναι, πάντα δὲ κίνδυνον ὑπομεῖναι τοῦ ἐπαινεῖσθαι ἕνεκα.
2 Φύσιν μὲν δὴ τῆς ψυχῆς καὶ τῆς μορφῆς τοιαύτην ἔχων διαμνημονεύεται· ἐπαιδεύθη γε μὴν ἐν Περσῶν νόμοις. Οὗτοι δὲ δοκοῦσιν οἱ νόμοι ἄρχεσθαι τοῦ κοινοῦ ἀγαθοῦ ἐπιμελούμενοι οὐκ ἔνθεν, ὅθενπερ ταῖς πλείσταις πόλεσιν ἄρχονται. Αἱ μὲν γὰρ πλεῖσται πόλεις, ἀφεῖσαι παιδεύειν, ὅπως τις ἐθέλει, τοὺς ἑαυτοῦ παῖδας, καὶ αὐτοὺς τοὺς πρεσβυτέρους, ὅπως ἐθέλουσι, διάγειν, ἔπειτα προσ-

1. ὁ Κῦρος] Articulum omittunt Junt. 1. 2. Ald. Iſ. Baſ. Mel. Cod. Altorf. γενέσθαι ὁ Κῦρος Καμβύσεω Suidas in Κῦρος, etiam Codex Bremenſis Καμβύσεω. Deinde iterum Altorf. Φῦναι δὲ Κῦρος λέγεται dat.

Περσεῖδαι] Herodotus I, 125. ex φρήτρῃ Achæmenidarum deducit. De Cambyſe narrationem ejuſdem habes I, 107.

γενομένου] Ex Suida aſſumſit Stephanus.

ἕνεκα] Guelf. εἵνεκα. Ceterum ὑποδῦναι ſuſcipere periculum, quam ὑπομεῖναι, tolerare, ad hujus loci ſententiam aptius fore credo affirmanti Wyttenbachio.

2. τοιαύτην] Baſil. Iſ. τοσαύτην. Deinceps μνημονεύεται Stobæus.

δοκοῦσιν] Libri Brodæi διδάσκουσιν. Pro ἄρχεσθαι e libro vetere annotatum reperiſſe teſtatur Stephanus ἄρχειν: ipſe ſuſpicatur addi debere verbo ἄρχεσθαι aut ὅθεν δεῖ, aut καλῶς aut φρονίμως, aut denique ſcribendum οὗτοι—ἐπιμελούμενοι οὐκ ἔνθεν, ὅθεν ἐν ταῖς πλήσταις. Poſtremam equidem rationem præfero; cum altera convenit Kœppen, qui ὀρθῶς ἄρχεσθαι malebat.

οὐκ ἔνθεν] Ita Brodæi libri, Guelf. Stob. quam ſcripturam etiam in Lugdunenſi exſtantem approbavit Wyttenbach. pag. 371. Budenſis οὐκ ἔνθεν ὅθεν. Gabriel. οὐκ ἔνθεν αἱ πλεῖσται πόλεις ἄρχονται. Altorf. οὔτι ἔνθεν ὅθεν ἐν. Vulgo eſt οὐχ ὁμοίως γὰρ ταῖς; et punctum ante οὐχ.

ἀφεῖσαι] Altorf. addit τὸ ante παιδεύειν, recte, puto.

ἐθέλει] Junt. Baſil. Mel. Stob. Guelf. ἐθέλοι. Deinceps τοὺς ἑαυτῶν Bremenſis.

ἔπειτα προστάττουσιν] Ita Junt. Iſ.

τάττουσιν αὐτοῖς μὴ κλέπτειν, μὴ ἁρπάζειν, μὴ βίᾳ εἰς
οἰκίαν παριέναι, μὴ παίειν ὃν μὴ δίκαιον, μὴ μοιχεύειν,
μὴ ἀπειθεῖν ἄρχοντι, καὶ τἄλλα τὰ τοιαῦτα ὡσαύτως·
ἢν δέ τις τούτων τι παραβαίνῃ, ζημίας αὐτοῖς ἐπέθεσαν.
Οἱ δὲ Περσικοὶ νόμοι προλαβόντες ἐπιμέλονται, ὅπως τὴν 3
ἀρχὴν μὴ τοιοῦτοι ἔσονται οἱ πολῖται, οἷοι πονηροῦ τινος
ἔργου ἢ αἰσχροῦ ἐφίεσθαι. Ἐπιμέλονται δὲ ὧδε· Ἔστιν
αὐτοῖς ἐλευθέρα ἀγορὰ καλουμένη, ἔνθα τά τε βασίλεια
καὶ τὰ ἄλλα ἀρχεῖα πεποίηται. Ἐντεῦθεν τὰ μὲν
ὤνια καὶ οἱ ἀγοραῖοι καὶ αἱ τούτων φωναὶ καὶ ἀπειρο-
καλίαι ἀπελήλανται εἰς ἄλλον τόπον, ὡς μὴ μιγνύηται
ἡ τούτων τύρβη τῇ τῶν πεπαιδευμένων εὐκοσμίᾳ. Διή- 4
ρηται δὲ αὕτη ἡ ἀγορὰ ἡ περὶ τὰ ἀρχεῖα εἰς τέτταρα
μέρη· τούτων δ᾽ ἔστιν ἓν μὲν παισὶν, ἓν δὲ ἐφήβοις,
ἄλλο τελείοις ἀνδράσιν, ἄλλο τοῖς ὑπὲρ τὰ στρατεύσιμα
ἔτη γεγονόσι. Νόμῳ δὲ εἰς τὰς ἑαυτῶν χώρας ἕκαστοι
[τούτων] πάρεισιν, οἱ μὲν παῖδες, ἅμα τῇ ἡμέρᾳ καὶ οἱ

Basil. Mel. Stob. liber Guelf. Brem. Gabr. Altorf. ἐπιτάττουσιν Aldina.

μὴ ἁρπ.] μηδ᾽ ἁρ. Stob. Bodl. Brem.

μὴ μοιχεύειν] Altorf. μηδὲ μ. μηδὲ ἀπειθεῖν.

ἢν δέ] Stob. ἐὰν δέ τις τούτων παρ. τι.

ζημίαν] Ita Junt. Ald. Guelf. Altorf. reliqui libri ζημίας; deinceps ἐπανέθεσαν Is. Stob. Bodl. Brodæi libri et Brem.

3. οἷοι] Ita Junt. Stob. Guelf. Altorf. ὥστε Ald. Philelphus, Brodæi libri, Bodl. Brem.

ἔργου ἢ αἰσχροῦ] Guelf. Brem. Stob. ἢ αἰσχροῦ ἔργου. Altorf. καὶ αἰσχροῦ ἔργου.

δὲ ὧδε] Junt. Guelf. δὴ ὧδε. Stob. et Altorf. δὲ δὴ ὧδε.

ἐλευθέρα ἀγορὰ] Aristoteles Polit. 7, 12. in Thessalia talem esse tradit; sed eum sua ex h. l. duxisse censuit Muretus. Rerum venalium forum apud Persas fuisse negant Herodotus I, 153. et Strabo 15. p. 734. Ceterum narrationem Xenophonteam non ad universam Persarum nationem pertinere, sed ad ὁμοτίμων seu Pasargadarum gentem, quæ sola ad munera publica et officia palatina admitteretur, censet *Heeren, Ideen über die Politik, den Verkehr und den Handel der vornehmsten Völker der alten Welt*, T. II, pag. 437. Poterat opinionem vir doctus confirmare testimonio Xenophontis 7, 5, 85. ὥσπερ ἐν Πέρσαις ἐπὶ τοῖς ἀρχείοις οἱ ὁμότιμοι διάγουσι etc.

πεπαιδευμένων] Leuncl. malebat παιδευομένων.

4. ἄλλο τελείοις] ἄλλο δὲ τελ.—ἄλλο δὲ τοῖς ὑπὲρ Stob. et Altorf.

ἕκαστοι τούτων] Altorf. τούτων omittit; hinc seclusi.

πάρεισιν] Stob. παριᾶσιν. Isingr. Mel. Basil. παρίεισιν.

τέλειοι ἄνδρες· οἱ δὲ γεραίτεροι, ἡνίκ' ἂν ἑκάστῳ προχωρῇ,
πλὴν ἐν ταῖς τεταγμέναις ἡμέραις, ἐν αἷς δεῖ αὐτοὺς
παρεῖναι. Οἱ δὲ ἔφηβοι καὶ κοιμῶνται περὶ τὰ ἀρχεῖα
σὺν τοῖς γυμνητικοῖς ὅπλοις, πλὴν τῶν γεγαμηκότων·
οὗτοι δὲ οὔτε ἐπιζητοῦνται, ἢν μὴ προῤῥηθῇ παρεῖναι· οὔτε
5 πολλάκις ἀπεῖναι καλόν. Ἄρχοντες δ' ἐφ' ἑκάστῳ
τούτων τῶν μερῶν εἰσι δώδεκα· (δώδεκα γὰρ καὶ Περ-
σῶν φυλαὶ διῄρηνται) καὶ ἐπὶ μὲν τοῖς παισὶν ἐκ τῶν
γεραιτέρων ᾑρημένοι εἰσὶν, οἳ ἂν δοκῶσι τοὺς παῖδας βελ-
τίστους ἀποδεικνῦναι· ἐπὶ δὲ τοῖς ἐφήβοις, ἐκ τῶν τελείων
ἀνδρῶν, οἳ ἂν αὖ τοὺς ἐφήβους βελτίστους δοκῶσι παρέ-
χειν· ἐπὶ δὲ τοῖς τελείοις ἀνδράσιν, οἳ ἂν δοκῶσι παρέ-
χειν αὐτοὺς μάλιστα τὰ τεταγμένα ποιοῦντας, καὶ τὰ
παραγγελλόμενα ὑπὸ τῆς μεγίστης ἀρχῆς· εἰσὶ δὲ καὶ
τῶν γεραιτέρων προστάται ᾑρημένοι, οἳ προστατεύουσιν,
ὅπως καὶ αὐτοὶ τὰ καθήκοντα ἀποτελῶσιν. Ἃ δὲ ἑκά-
στῃ τῇ ἡλικίᾳ προστέτακται ποιεῖν, διηγησόμεθα, ὡς
μᾶλλον δῆλον γένηται, ᾗ ἐπιμέλονται, ὡς ἂν βέλτιστοι
6 εἶεν οἱ πολῖται. Οἱ μὲν δὴ παῖδες, εἰς τὰ διδασκα-
λεῖα φοιτῶντες, διάγουσι μανθάνοντες δικαιοσύνην· καὶ
λέγουσιν, ὅτι ἐπὶ τοῦτο ἔρχονται, ὥσπερ παρ' ἡμῖν οἱ

ἐν αἷς δεῖ αὐτοὺς] αἷς αὐτοὺς δεῖ Stob.

γυμνητικοῖς] Ita margo Steph. Leoncl. et liber Brem. pro γυμνικοῖς. Sunt ἀγῶνες γυμνικοὶ, inde dicti, quod ibi nudi decertabant: igitur ὅπλα γυμνικὰ inepte dicuntur: at γυμνητικὰ ſunt τῶν γυμνήτων.

ἢν μὴ] Iſingr. Guelf. Altorf. ἐὰν μὴ, Stob. ἂν μή.

5. ἑκάστῳ] Stob. ἑκάστοις cum Altorf. et Zonara.

δώδεκα] Herodotus I, 125. qui ſimiliter δύο μοίρας Λυδῶν πάντων διελόντα dixit I, 94. et noſter Laced. reſpubl. XI, 4.

ᾑρημένοι εἰσὶν] Junt. Iſ. Baſil. prius, Ald. poſterius verbum omittit.

βελτίστους] ἂν addit Hutchinſ. omittit Junt. Ald. Iſ. Baſil. Mel. Leuncl. Steph. 1. 2. Stob. Guelf. Altorf.

βελτίστους δοκῶσι παρέχειν] Stobæus cum Bodl. παρέξειν; ſed deinceps cum Bodl. et Brem. retinet præſens, ubi in Ald. eſt futurum. Philelphus futurum ter expreſſit; idem tempus Fiſcherus præferebat.

οἳ ἂν δοκῶσι] Brem. οἵ τ' ἂν δοκ.

ἑκάστῃ τῇ] articulum ex Stobæo addidit Zeune.

ᾗ ἐπιμέλονται] Margo Stobæi et verſio Philelphi εἰ ἐπιμ.

6. παῖδες, εἰς] Stob. παῖδες οἱ εἰς, omiſſo δή. Etiam Altorf. οἱ εἰς.

διάγουσι] Stob. μανθάνουσι διάγειν.

ἐπὶ τοῦτο] Stob. ἐπὶ τούτῳ.

τὰ γράμματα μαθησόμενοι. Οἱ δὲ ἄρχοντες αὐτῶν
διατελοῦσι τὸ πλεῖστον τῆς ἡμέρας δικάζοντες αὐτοῖς.
Γίγνεται γὰρ δὴ καὶ παισὶ πρὸς ἀλλήλους, ὥσπερ ἀν-
δράσιν, ἐγκλήματα καὶ κλοπῆς καὶ ἁρπαγῆς καὶ βίας
καὶ ἀπάτης καὶ κακολογίας καὶ ἄλλων, οἵων δὴ εἰκός.
Οὓς δ᾽ ἂν γνῶσι τούτων τι ἀδικοῦντας, τιμωροῦνται.
Κολάζουσι δὲ καὶ, οὓς ἂν ἀδίκως ἐγκαλοῦντας εὑρίσ- 7
κωσι. Δικάζουσι δὲ καὶ ἐγκλήματος, οὗ ἕνεκα ἄν-
θρωποι μισοῦσι μὲν ἀλλήλους μάλιστα, δικάζονται δὲ
ἥκιστα, ἀχαριστίας· καὶ ὃν ἂν γνῶσι δυνάμενον μὲν
χάριν ἀποδιδόναι, μὴ ἀποδιδόντα δὲ, κολάζουσι καὶ τοῦ-
τον ἰσχυρῶς. Οἴονται γὰρ, τοὺς ἀχαρίστους καὶ περὶ
θεοὺς ἂν μάλιστα ἀμελῶς ἔχειν, καὶ περὶ γονέας, καὶ
πατρίδα, καὶ φίλους. Ἕπεσθαι δὲ δοκεῖ μάλιστα τῇ
ἀχαριστίᾳ ἡ ἀναισχυντία· καὶ γὰρ αὕτη μεγίστη δοκεῖ
εἶναι ἐπὶ πάντα τὰ αἰσχρὰ ἡγεμών. Διδάσκουσι δὲ 8
τοὺς παῖδας καὶ σωφροσύνην· μέγα δὲ συμβάλλεται
εἰς τὸ μανθάνειν σωφρονεῖν αὐτοὺς, ὅτι καὶ τοὺς πρεσβυ-

ἡμέρας] Stephanus μέρος addidit, et habet Bremenſis; in Altorf. aliena manus in margine addidit.

οἵων δὴ] Stephanus ὧν malebat; δὴ ex Junt. Iſ. Guelf. Altorf. cum Zeunio revocavimus.

τιμωροῦνται] Differentiam hujus et ſequentis verbi κολάζειν docet ad h. l. Wyttenbach laudato etiam Gellio Noct. Attic. 6, 14. Sed hoc quidem in loco nulla eſt in utroque notionis diverſitas.

7. κολάζουσι] Brem. κολάζονται.

μισοῦσι μὲν] Ita Stob. Gabriel. Philelph. Guelf. pro μισοῦμεν. Brem. μισοῦσιν ἀλλήλοις.

ἀχαριστίας] Eandem legem memorat Ammianus 23. libro extremo et Seneca Benef. 3, 6. cf. Hindenburg ad Memorab. 2, 2, 13.

ἥκιστα] In Budenſi et Altorf. οὐκ ab aliena manu additum eſt. οὐχ ἥκιστα Junt. Ald. Iſ. Baſil. Mel. Torn. Leuncl. Steph. Stob. Guelf. cum Philelpho, unde οὐδ᾽ ἥκιστα efficiebat Stephanus. οὐχ etiam Muretus V. L. 12, 3. deleri voluit et δικάζουσι ſcribi, quem refellit Rualdus ad Plutarchi Niciam p. 883. ed Reiſke, qui monet Tzetzen Chiliad. 3, 98. ſua ex Xenophonte duxiſſe. ὅτι ἥκιστα, conjiciebat Gallus *Bejot* in Annot. ad Cyropæd. inſertis Vol. 34. Actorum Academ. Litter. eleg. p. 12.

ἀποδιδόναι] Stob. et Altorf. ἀποδοῦναι.

καὶ τοῦτον] Ex Ald. et Altorf. copulam Leuncl. et Steph. addiderunt.

πατρίδα] περὶ πατρίδα καὶ περὶ φίλους Stob. ἔχειν ἀμελῶς—καὶ περὶ πατρίδα καὶ περὶ φίλους Altorf.

ἡ ἀναισχυντία] Brem. καὶ ἡ ἀναισχ. probante Fiſchero.

μεγίστη] αὕτη δοκεῖ εἶναι μεγίστη ἐπὶ Stob. mihi placet emendatio Wyttenbachii: ἕπεσθαι γὰρ δοκεῖ— καὶ αὕτη δὲ μεγίστη δοκεῖ etc.

8. εἰς τὸ] Stob. καὶ εἰς τό.

τέρους ὁρῶσιν ἀνὰ πᾶσαν ἡμέραν σωφρόνως διάγοντας. Διδάσκουσι δὲ αὐτοὺς καὶ πείθεσθαι τοῖς ἄρχουσι· μέγα δὲ καὶ εἰς τοῦτο συμβάλλεται, ὅτι καὶ ὁρῶσι τοὺς πρεσβυτέρους πειθομένους τοῖς ἄρχουσιν ἰσχυρῶς. Διδάσκουσι δὲ καὶ ἐγκρατεῖς εἶναι γαστρὸς καὶ ποτοῦ· μέγα δὲ καὶ εἰς τοῦτο συμβάλλεται, ὅτι ὁρῶσι καὶ τοὺς πρεσβυτέρους οὐ πρόσθεν ἀπιόντας γαστρὸς ἕνεκα, πρὶν ἂν ἀφῶσιν οἱ ἄρχοντες· καὶ ὅτι οὐ παρὰ μητρὶ σιτοῦνται οἱ παῖδες, ἀλλὰ παρὰ τῷ διδασκάλῳ, ὅταν οἱ ἄρχοντες σημήνωσι. Φέρονται δὲ οἴκοθεν σῖτον μὲν, ἄρτον, ὄψον δὲ, κάρδαμον· πιεῖν δὲ, ἤν τις διψῇ, κώθωνα, ὡς ἀπὸ τοῦ ποταμοῦ ἀρύσασθαι. Πρὸς δὲ τούτοις μανθάνουσι τοξεύειν καὶ ἀκοντίζειν. Μέχρι μὲν δὴ ἓξ ἢ ἑπτακαίδεκα ἐτῶν ἀπὸ γενεᾶς οἱ παῖδες ταῦτα πράττουσιν· ἐκ τούτου
9 δὲ εἰς τοὺς ἐφήβους ἐξέρχονται. Οὗτοι δ᾽ αὖ οἱ ἔφηβοι διάγουσιν ὧδε· Δέκα ἔτη, ἀφ᾽ οὗ ἂν ἐκ παίδων ἐξέλθωσι, κοιμῶνται μὲν περὶ τὰ ἀρχεῖα, ὥσπερ προείρηται, καὶ φυλακῆς ἕνεκα τῆς πόλεως καὶ σωφροσύνης· (δοκεῖ γὰρ αὕτη ἡ ἡλικία ἐπιμελείας μάλιστα δεῖσθαι) παρ-

καὶ πείθεσθαι] Stob. καὶ πείθεσθαι αὐτούς.

εἰς τοῦτο] Guelf. ἐν τούτῳ fed correctum.

ὁρῶσι καὶ τοὺς πρ.] Ita Stob. fed καὶ ante πειθομένους ponunt Edd. vett. Guelf. καὶ εἰς τοῦτο συλλαμβάνεται· ὅτι ὁρῶσι τοὺς πρ. πειθομένους Altorf.

ἄρχουσιν ἰσχυρῶς] ordinem invertit Stob.

γαστρὸς] καὶ γ. Stobæus.

καὶ τοὺς πρεσβ.] Copulam hic Edd. vett. Stob. Philel. Guelf. Alt. omittunt.

ἄρτον] Ita Philel. et Stob. hic tamen cum Altorf. ἄρτους habet; Junt. Ald. Is. Bafil. Mel. Guelf. σῖτα—ἄρτους. De καρδάμου natura et ufu Suidas in h. v. cf. Cicero Fin. 2, 28. Tufc. 5, 34.

ἤν τις] Stob. ἐάν τις, Altorf. ἄν τις.

κώθωνα] Guelf. κώθωνας. Perfas ὑδροποτέοντας memorat Herodot. I, 71.

τοξεύειν] καὶ τ. Stobæus.

ἑπτακαίδεκα] Herodotus I, 136. annum vicefimum, Strabo lib. 15. vicefimum et quartum præfinit. Ceterum ἑπτὰ καὶ δέκα propter antecedens ἓξ fcribi volebat Steph. cui locum cap. 4, 16. πέντε ἢ ἑκκαίδεκα oppofuit Hutchinfon.

ταῦτα] Ita ex Ald. et Stob. Stephanus pro αὐτά.

9. κοιμῶνται μὲν] Ex Stob. et Guelf. μὲν additum.

ἐπιμελείας μάλιστα] Hunc ordinem cum Stobæo fequimur.

ἔχουσι δὲ καὶ τὴν ἡμέραν ἑαυτοὺς μάλιστα τοῖς ἄρχουσι χρῆσθαι, ἤν τι δέωνται ὑπὲρ τοῦ κοινοῦ· καὶ ὅταν μὲν δέῃ, πάντες μένουσι περὶ τὰ ἀρχεῖα· ὅταν δὲ ἐξίῃ βασιλεὺς ἐπὶ θήραν, ἐξάγει τὴν ἡμίσειαν τῆς φυλακῆς· ποιεῖ δὲ τοῦτο πολλάκις τοῦ μηνός· Ἔχειν δὲ δεῖ τοὺς ἐξιόντας τόξα, καὶ παρὰ τὴν φαρέτραν ἐν κολεῷ κοπίδα ἢ σάγαριν· ἔτι δὲ γέῤῥον, καὶ παλτὰ δύο, ὥστε τὸ μὲν ἀφιέναι, τῷ δ', ἂν δέῃ, ἐκ χειρὸς χρῆσθαι. Διὰ τοῦτο δὲ δημοσίᾳ τοῦ θηρᾶν ἐπιμέλονται, καὶ βασιλεὺς, ὥσπερ καὶ ἐν πολέμῳ, ἡγεμὼν αὐτοῖς ἐστι, καὶ αὐτός τε θηρᾷ, καὶ τῶν ἄλλων ἐπιμελεῖται, ὅπως ἂν θηρῷεν, ὅτι ἀληθεστάτη αὐτοῖς δοκεῖ αὕτη ἡ μελέτη τῶν πρὸς τὸν πόλεμον εἶναι. Καὶ γὰρ πρῳὶ ἀνίστασθαι ἐθίζει, καὶ ψύχη καὶ θάλπη ἀνέχεσθαι· γυμνάζει δὲ καὶ ὁδοιπορίαις καὶ δρόμοις· ἀνάγκη δὲ καὶ τοξεῦσαι θηρίον, καὶ ἀκοντίσαι, ὅπου ἂν παραπίπτῃ. Καὶ τὴν ψυχὴν δὲ πολλάκις ἀνάγκη θήγεσθαι ἐν τῇ θήρᾳ, ὅταν τι τῶν ἀλκίμων θηρίων ἀνθιστῆται· παίειν μὲν γὰρ δήπου δεῖ τὸ ὁμόσε γιγνόμενον, φυλάξασθαι δὲ τὸ ἐπιφερόμενον· ὥστε οὐ ῥᾴδιον εὑρεῖν ἐν τῇ θήρᾳ τί ἄπεστι τῶν ἐν τῷ πολέμῳ

ἑαυτοὺς μάλιστα] posterius vocabulum omittit Ald. Philel. Brem.

ἤν τι] Stob. ἄν τι; deinceps δέῃ τι idem Stob. cum Altorf.

ἐξίῃ] Stob. ἐξάρῃ, Altorf. ἐξαγάγῃ.

ἐξάγει—φυλακῆς] Junt. Is. Guelf. Alt. Stob. τὰς ἡμισείας φυλακὰς καταλείπει; sed Edd. vett. τὰς δὲ, Stobæus τάς τε habent; Stobæus etiam φυλάς. Equidem cum Mureto sentio legendum ὅταν—βασιλεὺς ἐπὶ θήραν, (ποιεῖ—τοῦ μηνὸς) τὴν μὲν ἡμίσειαν ἐξάγει τῆς φυλακῆς, τὴν δὲ ἡμίσειαν καταλείπει.

καὶ παρὰ] Ita Stob. Philel. Guelf. Brem. Copulam omittunt Junt. Ald. Is. In Guelf. corrector καὶ post φαρέτραν inseruit; utroque loco omittit Altorf.

δὲ γέῤῥον] Stephanus καὶ interseruit.

ἀφιέναι] Junt. Guelf. Stob. ἀφεῖναι. Altorf. τὸ μὲν ἓν ἀφιέναι.

10. αὐτοῖς δοκεῖ] Pronomen ex libris Brodæi, Philel. Stobæi addidit Z. sed Stobæus αὐτοῖς δοκεῖ αὕτη ἡ μελέτη cum Altorf. Zonara et Philel. αὐτοῖς δοκεῖ εἶναι libri Brodæi. δοκεῖ εἶναι αὕτη Brem.

θήγεσθαι] Philel. θάλπεσθαι expressisse videtur verbo concalescere, quod est in Bodl. et Brem. margo Leuncl. et Steph. etiam γήθεσθαι annotant. ἐν τῇ θήρᾳ omittit Brem.

ἀνθιστῆται] Altorf. ἀνθίσταται. Deinceps γὰρ δήπου δεῖ Stobæus, ut Brem. γὰρ δεῖ που Altorf. unde δήπου addidi.

τί ἄπεστι] Ita Junt. Is. Basil. Mel.

11 παρόντων. Ἐξέρχονται δὲ ἐπὶ τὴν θήραν, ἄριστον ἔχον-
τες πλεῖον μὲν, ὡς εἰκὸς, τῶν παίδων, τἆλλα δὲ ὅμοιον.
Καὶ θηρῶντες μὲν οὐκ ἂν ἀριστήσαιεν· ἢν δέ τι δέῃ θη-
ρίου ἕνεκα ἐπικαταμεῖναι, ἢ ἄλλως βουληθῶσι διατρί-
ψαι περὶ τὴν θήραν, τὸ ἄριστον τοῦτο δειπνήσαντες, τὴν
ὑστεραίαν αὖ θηρῶσι μέχρι δείπνου· καὶ μίαν ἄμφω
τούτω τὼ ἡμέρα λογίζονται, ὅτι μιᾶς ἡμέρας σῖτον δα-
πανῶσι. Τοῦτο δὲ ποιοῦσι τοῦ ἐθίζεσθαι ἕνεκα, ἵνα
καὶ, ἐάν τι ἐν πολέμῳ δεήσῃ, δύνωνται τοῦτο ποιεῖν.
Καὶ ὄψον δὲ τοῦτο ἔχουσιν οἱ τηλικοῦτοι, ὅ τι ἂν θηράσω-
σιν· εἰ δὲ μὴ, τὸ κάρδαμον. Εἰ δέ τις αὐτοὺς οἴεται ἢ
ἐσθίειν ἀηδῶς, ὅταν κάρδαμον μόνον ἔχωσιν ἐπὶ τῷ σίτῳ,
ἢ πίνειν ἀηδῶς, ὅταν ὕδωρ πίνωσιν, ἀναμνησθήτω, πῶς
μὲν ἡδὺ μᾶζα καὶ ἄρτος πεινῶντι φαγεῖν, πῶς δὲ ἡδὺ
12 ὕδωρ διψῶντι πιεῖν. Αἱ δ' αὖ μένουσαι φυλαὶ διατρί-
βουσι μελετῶσαι τά τε ἄλλα, ἃ παῖδες ὄντες ἔμαθον,
καὶ τοξεύειν καὶ ἀκοντίζειν· καὶ διαγωνιζόμενοι ταῦτα
πρὸς ἀλλήλους διατελοῦσιν. Εἰσὶ δὲ καὶ δημόσιοι τού-
των ἀγῶνες, καὶ ἆθλα προτίθεται· ἐν ᾗ δ' ἂν τῶν
φυλῶν πλεῖστοι ὦσι δαημονέστατοι καὶ ἀνδρικώτατοι

Guelf. Altorf. εὑρεῖν τι ἐν τῇ θήρᾳ ὃ ἄπιστι Stobæus. παρόντων in libro quodam abesse et τί ante ἄπιστι esse ait Steph. Vulgo est εὑρεῖν, τί ἐν τῇ θήρᾳ ἄπιστι. Articulum ante πολέμῳ Stobæus addit.

11. ὡς εἰκὸς] Ald. ὡς τὸ εἰκός. Stob. ὡς καὶ εἰκότως παίδων.

θηρῶντες μὲν] Stephanus ait in libro quodam esse θηρῶντες οὐκ ἂν ἀριστήσαιεν, ἢν μή τι δεήσῃ ἢ θηρίου—ἐθελήσωσι—θήραν· τὸ αὖ ἄριστον. Cum hoc libro fere consentire ait Hutchinson Bodl. θηρῶντες οὐκ ἂν ἀριστήσαιεν ἢν μήτι δεήσῃ ἢ θηρίου etc. Stobæus δεήσῃ etiam habet.

βουληθῶσι] Etiam Bodl. ἐθελήσωσι habet.

τούτω τὼ ἡμέρα] Ita Stob. Guelf. τούτῳ τῷ ἡμέραι, Ald. τὰς ἡμέρας. In Guelf. τούτω corrector addiderat et in margine τὼ ἡμέρα. Etiam Altorf. ἄμφω τούτω τὼ ἡμέρα. Cf. Fischer ad Platonis Phædonem p. 300.

ἕνεκα, ἵνα] Brem. ἕνεκεν, ἵν' ἐάν τι καί.

οἴεται] Stob. οἴηται—ἐσθίωσιν ἐπί.

πῶς μὲν ἡδὺ] Junt. Is. Mel. Guelf. Altorf. πῶς ἡδὺ μέν. Loci sententiam expressit Athenæus 4. p. 157.

διψῶντι πιεῖν] Ordinem invertit Stob. et Brem.

12. ἔμαθον] Stob. ἐμάνθανον—τούτοις ἀγῶνες. Altorf. καὶ ante διαγων. omittit.

τῶν φυλῶν] Junt. Is. Basil. Philel. Stob. Guelf. φυλῇ. Altorf. ἐν ᾗ δ' ἂν φυλῶν.

καὶ εὐπιστότατοι, ἐπαινοῦσιν οἱ πολῖται, καὶ τιμῶσιν οὐ
μόνον τὸν νῦν ἄρχοντα αὐτῶν, ἀλλὰ καὶ ὅστις αὐτοὺς
παῖδας ὄντας ἐπαίδευσε. Χρῶνται δὲ τοῖς μένουσι τῶν
ἐφήβων αἱ ἀρχαὶ, ἤν τι ἢ φρουρῆσαι δεήσῃ, ἢ κακούρ-
γους ἐρευνῆσαι, ἢ λῃστὰς ὑποδραμεῖν, ἢ καὶ ἄλλο τι, ὅσα
ἰσχύος τε καὶ τάχους ἔργα ἐστί. Ταῦτα μὲν δὴ οἱ
ἔφηβοι πράττουσιν. Ἐπειδὰν δὲ τὰ δέκα ἔτη διατελέ-
σωσιν, ἐξέρχονται εἰς τοὺς τελείους ἄνδρας. Ἀφ' οὗ δ' 13
ἂν ἐξέλθωσι χρόνου ἐκ τῶν ἐφήβων, οὗτοι αὖ πέντε καὶ
εἴκοσιν ἔτη διάγουσιν ὧδε· Πρῶτον μὲν, ὥσπερ οἱ ἔφηβοι,
παρέχουσιν ἑαυτοὺς ταῖς ἀρχαῖς χρῆσθαι, ἤν τι δέῃ περὶ
τοῦ κοινοῦ, ὅσα φρονούντων τε ἤδη ἔργα ἐστὶ καὶ ἔτι δυ-
ναμένων. Ἢν δέ που δεήσῃ στρατεύεσθαι, τόξα μὲν οἱ
οὕτω πεπαιδευμένοι οὐκέτι ἔχοντες οὐδὲ παλτὰ στρατεύ-
ονται, τὰ δ' ἀγχέμαχα ὅπλα καλούμενα, θώρακά τε
περὶ τοῖς στέρνοις καὶ γέῤῥον ἐν τῇ ἀριστερᾷ, (οἷόν περ
γράφονται οἱ Πέρσαι ἔχοντες,) ἐν δὲ τῇ δεξιᾷ μάχαιραν

καὶ εὐπιστότατοι] Hæc verba ex Ald. et Stobæo addidit Stephanus; habet etiam Guelf. Brem. Altorf. et Lugd. tefte Wyttenbachio. πιστότατοι expreffit Philelphus. εὐπιστ. Zonaræ lexicon εὐπειθεστάτους ἢ μάλιστα πειθομένους interpretatur. Leunclavii εὐπειστοτάτους rejecit etiam Valckenair ad Herodoti 6, 108.

τὸν νῦν] Junt. νῦν omifit.

ὅστις αὐτοὺς] Junt. καὶ αὐτοὺς, οἱ παῖδας. Stob. ὅστις παῖδας ὄντας αὐτούς.

ἀρχαὶ] Stob. πᾶσαι addit, idem δέῃ habet. Brem. ἤν τι φρουρῆσαι δέῃ— τάχους ἄλλα ἔργα, Altorf. μένουσιν ἐφήβων.

ἄλλο τι] Stob. ἄλλα ὅσα τάχους καὶ ἰσχύος. deinceps ἰσχύος ἢ τάχους Aldina, quod Steph. recepit; noftrum eft in Junt. If. Mel. Guelf. Altorf.

διατελέσωσιν] Ita Stob. Editiones τελέσωσιν. Ceterum ad τὰ δέκα intellige τὰ ἐν τοῖς ἐφήβοις, quod recte monuit Stephanus.

13. ἐκ τῶν ἐφήβων] Hæc omifit Philel. et Brem. deinceps ὧδε διάγουσιν Altorf. cum Guelf. et Stobæo.

ἤν τι] Stob. ἐάν τι. deinceps margo Steph. et Leuncl. ὑπὲρ τοῦ κοινοῦ ut fupra §. 9.

φρονούντων] Margo Steph. et Leuncl. σωφρονούντων; verfio Philelphi *prudentiam* habet.

δεήσῃ στρατεύεσθαι] Stobæus ἐὰν δέ που δέῃ στ. et margo συστρατεύεσθαι. deinceps idem παιδευόμενοι habet. Bremenfis δέῃ habet.

ἀγχέμαχα] In Stobæi ἄγχιμα forte fcriptura ἀγχίμαχα latet verior hic et vii. 4, 15. ut ἀγχίνους, et fimilia, dicitur.

θώρακά τε] Brem. τε omittit.

οἷόν περ γράφονται] Male Leuncl. 2. Tornæf. Welf. οἷον παραγράφονται.

μάχαιραν] Supra fect. 9. σάγαριν vocavit, quod vocabulum etiam h. l. reftitui vult Wyttenbach. Sic iterum nofter ii. 1, 9. et iv. 2, 22. fed

ἢ κοπίδα. Καὶ αἱ ἀρχαὶ δὲ πᾶσαι ἐκ τούτων καθίστανται, πλὴν οἱ τῶν παίδων διδάσκαλοι. Ἐπειδὰν δὲ τὰ πέντε καὶ εἴκοσιν ἔτη διατελέσωσιν, εἴησαν μὲν ἂν οὗτοι πλεῖόν τι ἢ πεντήκοντα ἔτη γεγονότες ἀπὸ γενεᾶς· ἐξέρχονται δὲ τηνικαῦτα εἰς τοὺς γεραιτέρους ὄντας τε
14 καὶ καλουμένους. Οἱ δ' αὖ γεραίτεροι οὗτοι στρατεύονται μὲν οὐκέτι ἔξω τῆς ἑαυτῶν, οἴκοι δὲ μένοντες δικάζουσι τά τε κοινὰ πάντα καὶ τὰ ἴδια. Καὶ θανάτου δὲ οὗτοι κρίνουσι, καὶ τὰς ἀρχὰς οὗτοι πάσας αἱροῦνται· καὶ ἤν τις ἢ ἐν ἐφήβοις ἢ ἐν τελείοις ἀνδράσιν ἐλλίπῃ τὶ τῶν νομίμων, φαίνουσι μὲν οἱ φύλαρχοι ἕκαστον, καὶ τῶν ἄλλων ὁ βουλόμενος· οἱ δὲ γεραίτεροι ἀκούσαντες, ἐκκρίνουσιν· ὁ δὲ ἐκκριθεὶς ἄτιμος τὸν λοιπὸν βίον διατελεῖ.

15 Ἵνα δὲ σαφέστερον δηλωθῇ πᾶσα ἡ Περσῶν πολιτεία, μικρὸν ἐπάνειμι. νῦν γὰρ ἐν βραχυτάτῳ ἂν δηλωθείη, διὰ τὰ προειρημένα. Λέγονται μὲν γὰρ Πέρσαι ἀμφὶ τὰς δώδεκα μυριάδας εἶναι· τούτων δ' οὐδεὶς ἀπελήλαται νόμῳ τιμῶν καὶ ἀρχῶν, ἀλλ' ἔξεστι πᾶσι Πέρσαις πέμπειν τοὺς ἑαυτῶν παῖδας εἰς τὰ κοινὰ τῆς δικαιοσύνης διδασκαλεῖα. Ἀλλ' οἱ μὲν δυνάμενοι τρέφειν τοὺς

ii. 1, 19. eſt μάχαιρα δὲ ἢ σάγαρις ἐν τῇ δεξιᾷ. Nihil igitur novandum cenſeo.

καὶ αἱ ἀρχαὶ δὲ πᾶσαι] Altorf. κοπίδα. ἀρχαὶ δὲ πᾶσαι. Strabo libro 15. στρατεύουσι δὲ, inquit, καὶ ἄρχουσιν ἀπὸ εἴκοσιν ἐτῶν ἕως πεντήκοντα πεζοί τε καὶ ἱππεῖς.

πλεῖόν τι] Junt. Iſ. Guelf. Altorf. τι omittunt; πλέον Stobæus habet; πλεῖόν τι γεγειονότες ἢ τὰ π. ἔτη.

14. ἴδια] πάντα addit Brem. et Zonaras; deinceps αἱροῦνται πάσας καὶ ἐάν τις Stob.

ἢ ἐν ἐφ.] Junt. Iſ. Baſil. Mel. Guelf. Altorf. omittunt ἤ.

ἐλλίπῃ] Stob. et Guelf. Altorf. ἐκλίπῃ, ſed in Guelf. correctum. ἐπιλίπῃ Altorf.

φαίνουσιν] Altorf. ἐκφαίνουσι.

ἕκαστον] Philelphus ἕκαστοι vertit; ἑκάστοιν Brem.

ἄτιμος] Stobæus ἄτιμον τὸν βίον. Brem. διατελεῖ τὸν λ. β.

15. ἐπάνειμι] Stephanus malebat ἐπάνιμεν, et Philelphus *repetemus* habet. deinceps νῦν γὰρ ἂν ἐν Altorf.

δώδεκα] Hunc eſſe numerum gentis Paſargadarum ſeu ὁμοτίμων inter Perſas, non univerſæ nationis cenſet *Heeren Ideen* etc. T. ii. p. 438.

δικαιοσύνης διδασκαλεῖα] Altorf. διδασκαλίας δίκαια.

τρέφειν τοὺς παῖδας] Stob. τοὺς ἑαυτῶν παῖδας. Verba οἱ δὲ μὴ—οὐ πέμπουσιν omittit Altorf.

παῖδας ἀργοῦντας, πέμπουσιν· οἱ δὲ μὴ δυνάμενοι, οὐ
πέμπουσιν. Οἳ δ᾽ ἂν παιδευθῶσι παρὰ τοῖς δημοσίοις
διδασκάλοις, ἔξεστιν αὐτοῖς ἐν τοῖς ἐφήβοις νεανισκεύ-
εσθαι· τοῖς δὲ μὴ διαπαιδευθεῖσιν οὕτως οὐκ ἔξεστιν.
Οἳ δ᾽ ἂν αὖ ἐν τοῖς ἐφήβοις διατελέσωσι τὰ νόμιμα
ποιοῦντες, ἔξεστι τούτοις εἰς τοὺς τελείους ἄνδρας συναλί-
ζεσθαι, καὶ ἀρχῶν καὶ τιμῶν μετέχειν· οἳ δ᾽ ἂν μὴ
διαγένωνται ἐν τοῖς ἐφήβοις, οὐκ εἰσέρχονται εἰς τοὺς τε-
λείους· οἳ δ᾽ ἂν αὖ ἐν τοῖς τελείοις διαγένωνται ἀνεπί-
ληπτοι, οὗτοι τῶν γεραιτέρων γίνονται. Οὕτω μὲν δὴ οἱ
γεραίτεροι διὰ πάντων τῶν καλῶν ἐληλυθότες καθίσταν-
ται· καὶ ἡ πολιτεία ἐστὶν ἡ Περσῶν, καὶ ἡ ἐπιμέλεια
αὕτη, ᾗ οἴονται χρώμενοι βέλτιστοι ἂν εἶναι. Καὶ νῦν δὲ 16
ἔτι ἐμμένει μαρτυρία καὶ τῆς μετρίας διαίτης αὐτῶν, καὶ
τοῦ ἐκπονεῖσθαι τὴν δίαιταν. Αἰσχρὸν μὲν γὰρ ἔτι καὶ
νῦν ἐστι Πέρσαις καὶ τὸ ἀποπτύειν, καὶ τὸ ἀπομύττε-
σθαι, καὶ τὸ φύσης μεστοὺς φαίνεσθαι· αἰσχρὸν δὲ ἔτι

Οἳ δ᾽ ἂν—ἔξεστιν αὐτοῖς] Stobæus ἵνα παιδ.—ἔξεστι δ᾽ αὐτοῖς, quam lectionem etiam Brodæus aliud exemplar ait habere.

νεανισκεύεσθαι] Ita Stob. etiam et Guelf. margo, cujus in textu νεανιεύεσθαι eſt; illam formam Pollux 2, 20. ex h. l. laudavit.

ἂν αὖ] Ex Stobæo Bodl. Guelf. Altorf. αὖ addidit Zeune; eadem varietas eſt in libris paulo poſt. οἳ δ᾽ ἂν οὖν παιδ.—οἳ δ᾽ ἂν αὖ ἐν τοῖς Brem.

συναλίζεσθαι] Hoc cum Stephano Zeune dedit pro συναυλίζεσθαι ex libro Budenſi et Altorf. Hoc enim ubique moram et quietem in loco aliquo ſignificat; illud vero ſocietatem et congregationem, alibi etiam a Xenophonte uſurpatum Cyrop. i. 4, 14. Anab. ii. 4, 2. vi. 3, 1. Hiſt. gr. i. 1, 21. recte monente Zeunio. Alteram tamen lectionem cum Wyttenbachio probavit Weiſke.

μὴ διαγένωνται] Stob. οἳ δ᾽ ἂν αὖ ἐν τοῖς παισὶ μὴ διαγένωνται ἢ ἐν τοῖς ἐφήβοις, οὐκ ἔρχονται εἰς; quam lectionem ex alio exemplari poſuit Brodæus. Eandem habet Aldina, niſi quod διατελέσωσι ibi eſt pro διαγένωνται, Philelphi verſio et Stephanianæ. οἳ δ᾽ ἂν μὴ διαγένωνται ἐν τοῖς ἐφήβοις οὐκ ἔρχονται Junt. Iſ. Baſil. Mel. Guelf. Altorf. unde dedi, quod cum Zeunio ex Lugdunenſi etiam libro allatum probavit Wyttenbach

οὕτω μὲν δὴ] Brem. δὴ omittit.

ἐληλυθότες] Stobæus διεληλ.

πολιτεία αὕτη] Sequentia ἐστὶν ἡ Περσῶν καὶ ἡ ἐπιμέλεια ex margine Guelf. addidit Zeune; eadem ſunt in contextu Altorfini libri. Weiſke πολιτεία ἐστιν ἡ Περσῶν, καὶ ἡ ἐπ. αὕτη dedit.

16. μαρτυρία] Stephanus et Camerarius μαρτύρια recte mihi prætuliſſe videntur.

μὲν γὰρ] Brem. γὰρ omittit.

ἀποπτύειν—ἀπομύττεσθαι] Coram aliis videlicet ἀντίον ἄλλου, ut ait Herodotus i. 133.

φύσης—φαίνεσθαι] i. e. ἀποψοφεῖν, ſeu turpiore verbo πέρδεσθαι.

καὶ τὸ ἰόντα που φανερὸν γενέσθαι, ἢ τοῦ οὐρῆσαι ἕνεκα, ἢ καὶ ἄλλου τινὸς τοιούτου. Ταῦτα δὲ οὐκ ἂν ἐδύναντο ποιεῖν, εἰ μὴ καὶ διαίτῃ μετρίᾳ ἐχρῶντο, καὶ τὸ ὑγρὸν ἐκπονοῦντες ἀνήλισκον, ὥστε ἄλλῃ ποι ἀποχωρεῖν. Ταῦτα μὲν δὴ κατὰ πάντων Περσῶν ἔχομεν λέγειν· οὗ δὲ ἕνεκα ὅδε ὁ λόγος ὡρμήθη, νῦν λέξομεν τὰς Κύρου πράξεις, ἀρξάμενοι ἀπὸ παιδός.

CAP. III.

Duodecim annos natus Cyrus ad avum profectus est, apud quem multa pueriliter quidem, sed ingenue atque ita dixit et fecit, ut egregiam mentis et animi indolem ostenderet, omniumque amorem sibi conciliaret.

ΚΥΡΟΣ μὲν γὰρ μέχρι δώδεκα ἐτῶν ἢ ὀλίγῳ πλεῖον ταύτῃ τῇ παιδείᾳ ἐπαιδεύθη, καὶ πάντων τῶν ἡλίκων διαφέρων ἐφαίνετο, καὶ εἰς τὸ ταχὺ μανθάνειν, ἃ δέοι, καὶ εἰς τὸ καλῶς καὶ ἀνδρείως ἕκαστα ποιεῖν· Ἐκ δὲ τούτου τοῦ χρόνου μετεπέμψατο Ἀστυάγης τὴν ἑαυτοῦ θυγατέρα, καὶ τὸν παῖδα αὐτῆς· ἰδεῖν γὰρ ἐπεθύμει, ὅτι ἤκουε καλὸν κἀγαθὸν αὐτὸν εἶναι. Ἔρχεται δ᾽ αὐτή τε ἡ Μανδάνη πρὸς τὸν πατέρα καὶ τὸν Κῦρον τὸν
2 υἱὸν ἔχουσα. Ὡς δὲ ἀφίκετο τάχιστα, καὶ ἔγνω ὁ Κῦρος τὸν Ἀστυάγην τῆς μητρὸς πατέρα ὄντα, εὐθὺς, οἷα δὴ παῖς φιλόστοργος ὢν φύσει, ἠσπάζετό τε αὐτὸν,

οὐρῆσαι ἕνεκα] Brem. δὲ interferit.

ἐδύναντο] Stephaniana 2. ἠδύναντο, magis attice.

ἄλλῃ ποι] Per ſudores exhalatur. Ammianus extremo libro 23. *Super his nec ſtando mingens nec ad requiſita naturæ ſecedens facile viſitur Perſa: ita obſervantius hæc aliaque pudenda declinant.* Varronis locum apud Nonium: *Perſæ propter exercitationes pueriles modicas eam ſunt conſecuti corporis ſiccitatem, ut neque ſpuerent neque emungerentur, ſufflatoque corpore eſſent:* comparavit jam olim Victorius V. L. 10, 15. et Muretus V. L. 4, 14.

ὅδε ὁ] Ex Altorf. ὅδε adſcivi, ubi etiam λέγειν omiſſum et in margine adſcriptum eſt.

πράξεις] Brodæus in aliis Codd. παιδείας eſſe ait; verum id vocabulum non erat huc referendum, ſed ad ſequens παιδὸς, ubi alii libri τῆς παιδείαις ſcriptum habuiſſe videntur.

1. Κῦρος μὲν γὰρ] Guelf. Alt. Κῦρος γάρ. Brem. K. μὲν γὰρ μέχρι μέν.

πλεῖον] Junt. Iſ. Baſil. Mel. Guelf. Altorf. πλειόνων. cf. ii. 1, 5. et 6.

ἃ δέοι] Altorf. ἃ δεῖ.

ἰδεῖν γὰρ] αὐτὸν deinceps addit Altorf. αὐτὴν corrector Guelf. inſeruit. ἤκουεν αὐτὸν καλὸν etc. Brem.

2. ὢν φύσει] Junt. Iſ. Baſil. Mel. Guelf. Altorf. ὢν omittunt; φύσει φ. ὢν Brem.

ὥσπερ ἂν εἴ τις πάλαι συντεθραμμένος καὶ πάλαι φι-
λῶν ἀσπάζοιτο, καὶ ὁρῶν δὴ αὐτὸν κεκοσμημένον καὶ
ὀφθαλμῶν ὑπογραφῇ καὶ χρώματος ἐντρίψει καὶ κό-
μαις προσθέτοις, ἃ δὴ νόμιμα ἦν ἐν Μήδοις· ταῦτα γὰρ
πάντα Μηδικά ἐστι, καὶ οἱ πορφυροῖ χιτῶνες, καὶ οἱ
κάνδυες, καὶ οἱ στρεπτοὶ περὶ τῇ δέρῃ, καὶ τὰ ψέλια
περὶ ταῖν χεροῖν· ἐν Πέρσαις δὲ τοῖς οἴκοι καὶ νῦν ἔτι
πολὺ καὶ ἐσθῆτες φαυλότεραι, καὶ δίαιται εὐτελέστε-
ραι· ὁρῶν δὴ τὸν κόσμον τοῦ πάππου, ἐμβλέπων αὐτῷ,
ἔλεγεν, Ὦ μῆτερ, ὡς καλός μοι ὁ πάππος. Ἐρωτώσης
δὲ τῆς μητρὸς αὐτὸν, πότερος δοκεῖ καλλίων αὐτῷ εἶναι,
ὁ πατὴρ, ἢ οὗτος· ἀπεκρίνατο ἄρα ὁ Κῦρος, Ὦ μῆτερ,
Περσῶν μὲν πολὺ κάλλιστος ὁ ἐμὸς πατὴρ, Μήδων μέν-
τοι, ὅσων ἑώρακα ἐγὼ καὶ ἐν ταῖς ὁδοῖς καὶ ἐπὶ θύραις,
πολὺ οὗτος ὁ ἐμὸς πάππος κάλλιστος. Ἀντασπαζόμε- 3
νος δὲ αὐτὸν ὁ Ἀστυάγης καὶ στολὴν καλὴν ἐνέδυσε, καὶ
στρεπτοῖς καὶ ψελίοις ἐτίμα καὶ ἐκόσμει· καὶ εἴ που
ἐξελαύνοι, ἐφ' ἵππου χρυσοχαλίνου περιῆγεν, ὥσπερ καὶ
αὐτὸς εἰώθει πορεύεσθαι. Ὁ δὲ Κῦρος, ἅτε παῖς ὢν
καὶ φιλόκαλος καὶ φιλότιμος, ἥδετο τῇ στολῇ· καὶ ἱπ-
πεύειν μανθάνων ὑπερέχαιρεν· ἐν Πέρσαις γὰρ, διὰ τὸ
χαλεπὸν εἶναι καὶ τρέφειν ἵππους καὶ ἱππεύειν, ἐν ὀρεινῇ
οὔσῃ τῇ χώρᾳ, καὶ ἰδεῖν ἵππον πάνυ σπάνιον ἦν. Δει- 4

προσθέτοις] Altorf. προσθέταις. sunt προσθεταὶ apud Palæphatum 13, 1.

στρεπτοὶ] Brem. στρ. οἱ περὶ τῇ δέρῥῃ.

ψέλια] Ita Altorf. ubique pro ψέλλια; deinceps idem ταῖς χέρσι. quod habet etiam margo Steph. et Leuncl.

ἐμβλέπων] Altorf. καὶ ἐμβ.

δοκεῖ καλλίων] Ordinem invertit Altorf. κ. αὐτῷ δοκεῖ Brem.

ἐπὶ θύραις] Ita etiam Brem. Altorf. ἐν ταῖς θύραις Guelf. θήραις habent Is. Basil. versio Philelphi, Stephaniana, sed Basil. anni 1534. habet *in januis*.

3. ἀντασπ.] Brem. ἀντ. δὲ ὁ πάππος αὐτὸν, καὶ, quod est etiam in margine Steph. et Leuncl.

ψελίοις] Ita pro ψελλίοις Alt.

πάνυ σπάνιον ἦν] Ita Aldina. Contra Junt. Is. Bryl. Mel. Guelf. omittunt πάνυ et ἦν, Brem. πάνυ Altorf. ἦν omittit.

πνῶν δὲ ὁ Ἀστυάγης σὺν τῇ θυγατρὶ καὶ τῷ Κύρῳ, βου-
λόμενος τὸν παῖδα ὡς ἥδιστα δειπνεῖν, ἵνα ἧσσον τὰ
οἴκαδε ποθοίη, προσήγαγεν αὐτῷ καὶ παροψίδας, καὶ
παντοδαπὰ ἐμβάμματα καὶ βρώματα. Τὸν δὲ Κῦρον
ἔφασαν λέγειν, Ὦ πάππε, ὅσα πράγματα ἔχεις ἐν τῷ
δείπνῳ, εἰ ἀνάγκη σοι ἐπὶ πάντα τὰ λεκάνια ταῦτα
διατείνειν τὰς χεῖρας, καὶ ἀπογεύεσθαι τούτων τῶν παν-
τοδαπῶν βρωμάτων. Τί δέ; φάναι τὸν Ἀστυάγην,
Οὐ γὰρ πολύ σοι δοκεῖ κάλλιον τόδε τὸ δεῖπνον εἶναι τοῦ
ἐν Πέρσαις; Τὸν δὲ Κῦρον πρὸς ταῦτα ἀποκρίνασθαι
λέγεται, Οὐχὶ, ὦ πάππε· ἀλλὰ πολὺ ἁπλουστέρα καὶ
εὐθυτέρα παρ' ἡμῖν ἡ ὁδός ἐστιν ἐπὶ τὸ ἐμπλησθῆναι, ἢ
παρ' ὑμῖν. Ἡμᾶς μὲν γὰρ ἄρτος καὶ κρέας εἰς τοῦτο
ἄγει· ὑμεῖς δὲ εἰς μὲν τὸ αὐτὸ ἡμῖν σπεύδετε, πολλοὺς
δέ τινας ἑλιγμοὺς ἄνω καὶ κάτω πλανώμενοι μόλις
5 ἀφικνεῖσθε, ὅποι ἡμεῖς πάλαι ἥκομεν. Ἀλλ' ὦ παῖ,
φάναι τὸν Ἀστυάγην, οὐκ ἀχθόμενοι ταῦτα περιπλανώ-
μεθα· γευόμενος δὲ, ἔφη, καὶ σὺ γνώσῃ, ὅτι ἡδέα ταῦτά
ἐστιν. Ἀλλὰ καί σε, φάναι τὸν Κῦρον, ὦ πάππε,
μυσαττόμενον ταῦτα τὰ βρώματα ὁρῶ. Καὶ τὸν Ἀστυά-
γην ἐπερέσθαι· Καὶ τίνι δὴ σὺ τεκμαιρόμενος, ὦ παῖ,

4. Καὶ τῷ Κύρῳ] Altorf. καὶ σὺν τ. Κ.

ἵνα ἧσσον] Junt. If. Bryl. Mel. ἵνα ὡς ἧσσον, unde apparet in aliis libris fuiſſe ὡς ἧσσον. Brem. ἧττον. Zeune ὡς cum ἧττον copulans comparavit ὡς μᾶλλον ex Anabaſi iv. 6, 9. ὡς ἀληθιστέρως ex Platone, ὡς θᾶττον ex Polybio. Ceterum admonet Wyttenbach analogiam poſtulare τὰ οἴκοι aut οἴκαδε vel τὰ οἴκοθεν: uſum tamen loquendi forte contra analogiam invaluiſſe.

παροψίδας] Ambigue poſitas eſſe monuit Athenæus ii. p. 368.

λεκάνια] Margo Steph. et Leuncl. λεκανίδια. Altorf. ἀγγεῖα habet.

Ἀστυάγην] Junt. Ald. Mel. Ἀστυάγη. deinceps δοκεῖ εἶναι κάλλιον τόδε τὸ δ.

Οὐχὶ] Brem. Οὐκ. deinde ἡ ὁδὸς παρ' ἡμῖν Altorf.

Ἡμᾶς] Brem. παρ' ἡμῖν μὲν γὰρ, ut Altorf. et Philelphi verſio.

ὅποι] Guelf. ὅπῃ.

5. Ἀστυάγην] Iſingr. et Baſil. Ἀστυάγη.

γευόμενος] Brem. γ. δὲ καὶ σὺ, ἔφη, γν. ὅτι ἡδέα ἐστιν. In Guelf. corrector ταῦτα addidit.

Ἀλλὰ] Guelf. omiſſo ἀλλὰ—ὁρῶ, ὦ πάππε. deinde ἐπέρεσθαι Altorf.

ταῦτα λέγεις; Ὅτι σὲ, φάναι, ὁρῶ, ὅταν μὲν τοῦ ἄρτου
ἅψῃ, εἰς οὐδὲν τὴν χεῖρα ἀποψώμενον· ὅταν δὲ τούτων
τινὸς θίγῃς, εὐθὺς ἀποκαθαίρῃ τὴν χεῖρα εἰς τὰ χειρό-
μακτρα, ὡς πάνυ ἀχθόμενος, ὅτι καταπλέα σοι ἀπ'
αὐτῶν ἐγένετο. Πρὸς ταῦτα δὴ τὸν Ἀστυάγην εἰπεῖν· εἰ 6
τοίνυν οὕτω γιγνώσκεις, ὦ παῖ, ἀλλὰ κρέα γε εὐωχοῦ,
ἵνα νεανίας οἴκαδε ἀπέλθῃς. Ἅμα δὲ ταῦτα λέγοντα
πολλὰ αὐτῷ παραφέρειν καὶ θήρεια καὶ τῶν ἡμέρων.
Καὶ τὸν Κῦρον, ἐπεὶ ἑώρα πολλὰ τὰ κρέα, εἰπεῖν· Ἦ
καὶ δίδως, φάναι, μοι, ὦ πάππε, ταῦτα πάντα τὰ
κρέα, ὅ τι ἂν βούλωμαι, αὐτοῖς χρῆσθαι; Νὴ Δία,
φάναι, ἐγώ γε σοι, ὦ παῖ. Ἐνταῦθα δὴ τὸν Κῦρον 7
λαβόντα τῶν κρεῶν διαδιδόναι τοῖς ἀμφὶ τὸν πάππον
θεραπευταῖς, ἐπιλέγοντα ἑκάστῳ· Σοὶ μὲν τοῦτο, ὅτι προ-
θύμως με ἱππεύειν διδάσκεις· Σοὶ δὲ, ὅτι μοι παλτὸν
ἔδωκας· (τοῦτο γὰρ νῦν ἔχω) Σοὶ δὲ, ὅτι τὸν πάππον
καλῶς θεραπεύεις· Σοὶ δὲ, ὅτι μου τὴν μητέρα τιμᾷς·
τοιαῦτα ἐπειπεῖν, ἕως διέδω πάντα, ἃ ἔλαβε, κρέα.

ταῦτα λέγεις] Omittunt ταῦτα Junt. Ald. Iſ. Baſil. Mel. Guelf. Brem. et Zeune. ταῦτα λέγεις οὕτως Altorf. unde conjicio alios ταῦτα partem οὕτω ſcriptum habuiſſe.

ἀποκαθαίρῃ] Ita Guelf. vulgatam vero—θαίρεις ex correctione habet. ἀποκαθαίρει inde efficiebat Fiſcher ad Platonis Eutyphr. p. 53. Sequens καταπλέα pro vulgato ante Zeunium κατάπλεα plane ita ſcriptum in Lugd. libro teſtatur Wyttenbach; πλέα eſt in Guelferbytano.

6. ταῦτα δὴ] Ita Guelf. ex correctione; nam fuit antea δὲ, ut in Brem. deinceps γινώσκεις Guelf.

φάναι, μοι] Guelf. φάναι, ὦ πάππε, πάντα ταῦτα μοι τὰ κρέα. Brem. φάναι ὦ π. ταῦτα μοι πάντα—ὅ τι βούλωμαι. Etiam Altorf. φάναι omittit.

ἔγωγε σοὶ] Ita ex Guelf. Zeune. Vulgo γε abeſt. Sed idem Guelf. cum Brem. ὦ παῖ, ἔγωγε σοι habet.

7. σοὶ μὲν τοῦτο] Altorf. δίδωμι addit.

τοῦτο γὰρ νῦν] Guelf. νῦν γὰρ τοῦτο. Altorf. τοῦτο γὰρ νῦν τοῦτ' ἔχω. De fruſtulo carnis aut munuſculo, quod manu tenens Cyrus porrigebat, intelligit Weiſke. Eſt ſane incommoda parentheſis, quocunque interpreteris modo.

τοιαῦτα ἐπειπεῖν] Guelf. Brem. ἐποίει, quod ex aliis libris poſuit etiam Brodæus, expreſſit Philelphus, annotavit margo Steph. et Leuncl. Mureti conjecturam vulgatæ ποιεῖν—διεδίδου ſubſtitui; nam ποιεῖν eſt diverſum a λέγειν; Cyrus dum diſtribuit ποιεῖ, dum rationem munuſculi addit ἐπιλέγει; deinde τοιαῦτα ποιεῖν varietatem agendi ſignificat, quæ hic abeſt; at rationes diverſæ eduntur et variæ. Ineptum eſt, quod Zeune ait ποιεῖν præferendum eſſe, quod τὸ εἰπεῖν et τὸ διαδιδόναι ſimul comprehendat.

8 Σάκᾳ δὲ, φάναι τὸν Ἀστυάγην, τῷ οἰνοχόῳ, ὃν ἐγὼ μά-
λιστα τιμῶ, οὐδὲν δίδως; Ὁ δὲ Σάκας ἄρα καλός τε
ὢν ἐτύγχανε, καὶ τιμὴν ἔχων προσάγειν τοὺς δεομένους
Ἀστυάγους, καὶ ἀποκωλύειν, οὓς μὴ καιρὸς αὐτῷ δοκοίη
εἶναι προσάγειν. Καὶ τὸν Κῦρον ἐπερέσθαι προπετῶς,
ὡς ἂν παῖς, μηδέπω ὑποπτήσσων, Διὰ τί δὴ, ὦ πάππε,
τοῦτον οὕτω τιμᾷς; Καὶ τὸν Ἀστυάγην σκώψαντα εἰ-
πεῖν, Οὐχ ὁρᾷς, φάναι, ὡς καλῶς οἰνοχοεῖ καὶ εὐσχη-
μόνως; Οἱ δὲ τῶν βασιλέων τούτων οἰνοχόοι κομψῶς τε
οἰνοχοοῦσι, καὶ καθαρίως ἐγχέουσι, καὶ διδόασι, τοῖς
τρισὶ δακτύλοις ὀχοῦντες τὴν φιάλην, καὶ προσφέρουσιν,
ὡς ἂν ἐνδοῖεν τὸ ἔκπωμα εὐληπτότατα τῷ μέλλοντι πί-
9 νειν. Κέλευσον δὴ, φάναι, ὦ πάππε, τῷ Σάκᾳ καὶ
ἐμοὶ δοῦναι τὸ ἔκπωμα, ἵνα κἀγὼ καλῶς σοι πιεῖν ἐγ-
χέας ἀνακτήσωμαί σε, ἢν δύνωμαι. Καὶ τὸν κελεῦσαι
δοῦναι. Λαβόντα δὲ τὸν Κῦρον, οὕτω μὲν εὖ κλύσαι τὸ
ἔκπωμα, ὥσπερ τὸν Σάκαν ἑώρα, οὕτω δὲ στήσαντα τὸ
πρόσωπον, σπουδαίως καὶ εὐσχημόνως πως προσενεγκεῖν
καὶ ἐνδοῦναι τὴν φιάλην τῷ πάππῳ, ὥστε τῇ μητρὶ καὶ
τῷ Ἀστυάγει πολὺν γέλωτα παρασχεῖν. Καὶ αὐτὸν δὲ
τὸν Κῦρον ἐκγελάσαντα ἀναπηδῆσαι πρὸς τὸν πάππον,

8. ὡς ἂν παῖς—ὑποπτήσσων] Si locus eſt ſanus, dicitur pro παῖδα—σσοντα, aut cum Camerario intelligendum eſt παῖς ἔροιτο.

μηδέπω] Muretus μηδέν πω malebat; recte, puto. paulo antea ἐπέρεσθαι Altorf.

Διὰ τί δὴ] Ita Guelf. et Brem. διὰ τί δὲ Altorf.

τὴν φιάλην] Altorf. τὰς φιάλας. Eſt autem φιάλη orbis genus cavi, patera, cui poculum inſiſtit. Vide Wyttenbachii Eclogas hiſtor.

εὐληπτότατα] Leunclavii tertia—τότατον dedit. ſequens φάναι omittit Altorf.

9. τῷ Σάκᾳ] Guelf. et Brem. τὸν Σάκαν, ſed in utroque altera lectio correctoris manu addita eſt. τὸν Σακᾶν Altorf. accuſativum propter ſequens μοι probabat etiam Fiſcherus.

μὲν εὖ] Guelf. et Brem μὲν δὴ εὖ, vere, ut puto. antea λαβόντα δὴ Guelf.

εὐσχημόνως πως] Omiſſum in Edd. vett. ex verſione Philel. reſtituit Steph.

Ἀστυάγει] Ita ex Guelf. pro Ἀστυάγῃ Zeune; ita enim ſex aliis in locis eſt.

αὐτὸν δὲ] Guelf. αὐτὸν δή.

καὶ φιλοῦντα ἅμα εἰπεῖν, Ὦ Σάκα, ἀπόλωλας· ἐκβαλῶ σε τῆς τιμῆς· τά τε γὰρ ἄλλα, φάναι, σοῦ κάλλιον οἰνοχοήσω, καὶ οὐκ ἐκπίομαι αὐτὸς τὸν οἶνον. (Οἱ γὰρ τῶν βασιλέων οἰνοχόοι, ἐπειδὰν ἐνδιδῶσι τὴν φιάλην, ἀρύσαντες ἀπ᾽ αὐτῆς τῷ κυάθῳ, εἰς τὴν ἀριστερὰν χεῖρα ἐγχεάμενοι καταῤῥοφοῦσι· τοῦ δή, εἰ φάρμακα ἐγχέοιεν, μὴ λυσιτελεῖν αὐτοῖς.) Ἐκ τούτου δὴ ὁ Ἀστυάγης ἐπισκώπτων ἔφη, Καὶ τί δή, ὦ Κῦρε, τὰ ἄλλα μιμούμενος τὸν Σάκαν, οὐκ ἀπεῤῥόφησας τοῦ οἴνου; Ὅτι, νὴ Δί᾽, ἔφη, ἐδεδοίκειν, μὴ ἐν τῷ κρατῆρι φάρμακα μεμιγμένα εἴη. Καὶ γάρ, ὅτε εἱστίας σὺ τοὺς φίλους ἐν τοῖς γενεθλίοις, σαφῶς κατέμαθον φάρμακα αὐτὸν ὑμῖν ἐγχέαντα. Καὶ πῶς δή, ἔφη, σύ, ὦ παῖ, τοῦτο κατέγνως; Ὅτι, νὴ Δί᾽, ἔφη, ὑμᾶς ἑώρων καὶ ταῖς γνώμαις καὶ τοῖς σώμασι σφαλλομένους. Πρῶτον μὲν γάρ, ἃ οὐκ ἐᾶτε ἡμᾶς τοὺς παῖδας ποιεῖν, ταῦτα αὐτοὶ ἐποιεῖτε. Πάντες μὲν γὰρ ἅμα ἐκεκράγειτε, ἐμανθάνετε δὲ οὐδὲ ἓν ἀλλήλων· ᾔδετε δὲ καὶ μάλα γελοίως· οὐκ ἀκροώμενοι δὲ τοῦ ᾄδοντος, ὠμνύετε ᾄδειν ἄριστα. Λέγων δὲ ἕκαστος ὑμῶν τὴν ἑαυτοῦ ῥώμην, ἐπεὶ ἀνα-

τῆς τιμῆς] Guelf. et Altorf. ἐκ τῆς τιμῆς, deinceps ἐκπίωμαι Altorf.

Οἱ γὰρ] Guelf. οἱ δ᾽ ἄρα, deinceps δίδωσι. Bremenſis διδῶσι. recte; nam φιάλην dant ſive afferunt, προσφέρουσι, convivis, poculum ipſum in patera ſtans ἐνδιδόασιν, ut eſt etiam §. 8.

ἀπ᾽ αὐτῆς] Aldina, Steph. 1. Leuncl. 1, 2. ἐπ᾽ αὐτῆς: quam lectionem equidem vel ideo probaverim, quod de patera non hauritur vinum, ſed de poculo pateræ inſiſtente: niſi φιάλη h. l. eſt eadem res cum ἔκπωμα.

ἐγχεάμενοι] Ita Guelf. ex correctione; nam fuit antea ἐκχεάμενοι. deinde καταροφοῦσι Altorf.

10. Ἐκ τούτου] Altorf. ἐκ τούτων.

ἔφη, Καὶ τί] Altorf. Καὶ τί δή, ἔφη ut Guelf. καὶ δὴ τί Brem.

τὰ ἄλλα] τἄλλα Guelf. Brem.

ὅτι, νὴ Δία] Guelf. ὅτι, ἔφη, νὴ δία.

εἱστίας] Guelf. εἱστίασας—ὑμῖν αὐτόν. Brem. εἱστίασας—ἡμῖν αὐτόν. Altorf. καὶ ὅτε εἱστίας—ὑμῖν αὐτὸν ἐγχέοντα. De γενεθλίων feſtivitate apud Perſas Herodotus i, 133.

Καὶ πῶς δὴ] Guelf. et Brem. καὶ πῶς Δὴ σὺ τοῦτο ἔφη, ὦ παῖ. Altorf. σὺ τοῦτο, ὦ παῖ.

ὅτι, νὴ Δί᾽, ἔφη, ὑμᾶς] Guelf. ἔφη omittit. Altorf. ὅτ᾽ ἂν νὴ Δί᾽, ἔφη.

Πρῶτον μὲν γὰρ] Altorf. μὲν omittit. deinde οὐδὲν ἓν dat.

ἀκροώμενοι δὲ] Brem. μὲν pro δὲ habet.

ᾄδειν] Brem. δὲ ᾄδειν. Guelf. ἄριστα ᾄδειν; deinceps λέγων δὴ Brem.

ἐπεὶ] Margo Steph. Leuncl. ἔπειτ εἰ, quod eſt in Brem. ἐπεί τε Guelf.

σταίητε ὀρχησόμενοι, μὴ ὅπως ὀρχεῖσθαι ἐν ῥυθμῷ, ἀλλ' οὐδ' ὀρθοῦσθαι, ἐδύνασθε. Ἐπελέλησθε δὲ παντάπασι, σύ τε, ὅτι βασιλεὺς ἦσθα, οἵ τε ἄλλοι, ὅτι σὺ ἄρχων. Τότε γὰρ δὴ ἔγωγε καὶ πρῶτον κατέμαθον, ὅτι τοῦτ' ἄρα ἦν ἡ ἰσηγορία, ὃ ὑμεῖς τότε ἐποιεῖτε· οὐδέποτε
11 γοῦν ἐσιωπᾶτε. Καὶ ὁ Ἀστυάγης εἶπεν, Ὁ δὲ σὸς πατήρ, ὦ παῖ, πίνων οὐ μεθύσκεται; Οὐ μὰ Δί', ἔφη. Ἀλλὰ πῶς ποιεῖ; Διψῶν παύεται· ἄλλο δὲ κακὸν οὐδὲν πάσχει· οὐ γάρ, οἶμαι, ὦ πάππε, Σάκας αὐτῷ οἰνοχοεῖ. Καὶ ἡ μήτηρ εἶπεν, Ἀλλὰ τί ποτε σύ, ὦ παῖ, οὕτω τῷ Σάκᾳ πολεμεῖς; Τὸν δὲ Κῦρον εἰπεῖν, Ὅτι, νὴ Δία, φάναι, μισῶ αὐτόν· πολλάκις γάρ με, πρὸς τὸν πάππον ἐπιθυμοῦντα προσδραμεῖν, οὗτος ὁ μιαρώτατος ἀποκωλύει. Ἀλλὰ ἱκετεύω, φάναι, ὦ πάππε, δός μοι τρεῖς ἡμέρας ἄρξαι αὐτοῦ. Καὶ τὸν Ἀστυάγην εἰπεῖν, Καὶ πῶς δὴ ἂν ἄρξαις αὐτοῦ; Καὶ τὸν Κῦρον φάναι, Στὰς ἄν, ὥσπερ οὗτος, ἐπὶ τῇ εἰσόδῳ, ἔπειτα, ὁπότε βούλοιτο εἰσιέναι ἐπ' ἄριστον, λέγοιμ' ἄν, ὅτι οὔπω δυνατὸν τῷ ἀρίστῳ ἐντυχεῖν· σπουδάζει γὰρ πρός τινας. Εἶθ' ὁπόταν ἥκῃ ἐπὶ τὸ δεῖπνον, λέγοιμ' ἄν, ὅτι λοῦται. Εἰ δὲ πάνυ σπουδάζοι φαγεῖν, εἴποιμ' ἄν,

at ἐπεί τε pro ἐπειδὴ est Herodoteum, non Atticum.

Ἐπελέλησθε] Guelf. ἐπιλέληθας, sed correctum legitur ut in Brem. et Edd. ἐπιλέλησθε, quod corrigi jussit Fischer ad Weller. 2. p. 317.

ἔγωγε καὶ πρῶτον] Suspectam καὶ copulam notarunt Steph. et Leuncl.

11. εἶπεν] Guelf. Brem. λέγει—ἔφη, ὦ παῖ. unde ἔφη addidit Zeune.

οὕτω τῷ Σάκᾳ] Guelf. τῷ Σάκᾳ οὕτω. Altorf. Σακᾶς—Σακᾷ.

φάναι] Omittit Junt. Ald. If. Mel. Basil. Altorf.

προσδραμεῖν] Hoc manus correctoris in Guelf. lectioni προδρ. substituit.

δὴ ἂν] Guelf. Brem. omittunt δή.

εἰσιέναι] Guelf. Brem. παριέναι, quod annotavit etiam margo Leuncl. et Steph.

οὔπω δυνατὸν] Altorf. οὐ δυνατόν. Ceterum cum Gesnero putat Zeune Cyrum ita voluisse significare astutum Sacæ consilium. Obtentu regis videndi cœnam petentis. At ita necesse est, ut putemus Sacam non solum pocillatoris officio sed etiam προτένθου functum esse. Mihi vel sic tamen τῷ ἀρίστῳ suspecta sunt verba.

ἥκῃ] Guelf. ἥκοι—λούεται· ἐπειδὰν δὲ πάνυ. Altorf. εἰ δὲ πάλιν ἥκοι. Brem. ἐπειδὰν δὲ πάνυ σπουδάζῃ; quam quidem lectionem equidem prætulerim.

ὅτι παρὰ ταῖς γυναιξίν ἐστιν· ἕως παρατείναιμι τοῦτον,
ὥσπερ οὗτος ἐμὲ παρατείνει, ἀπὸ σοῦ κωλύων. Τοιαύ- 12
τας μὲν αὐτοῖς εὐθυμίας παρεῖχεν ἐπὶ τῷ δείπνῳ· τὰς
δὲ ἡμέρας, εἴ τινος αἴσθοιτο δεόμενον ἢ τὸν πάππον ἢ τὸν
τῆς μητρὸς ἀδελφὸν, χαλεπὸν ἦν ἄλλον φθάσαι τοῦτο
ποιήσαντα· ὅ τι γὰρ δύναιτο ὁ Κῦρος, ὑπερέχαιρεν αὐτοῖς
χαριζόμενος.

Ἐπεὶ δὲ ἡ Μανδάνη παρεσκευάζετο ὡς ἀπιοῦσα πά- 13
λιν πρὸς τὸν ἄνδρα, ἐδεῖτο αὐτῆς ὁ Ἀστυάγης, καταλι-
πεῖν τὸν Κῦρον. Ἡ δὲ ἀπεκρίνατο, ὅτι βούλοιτο μὲν ἂν
ἅπαντα τῷ πατρὶ χαρίζεσθαι, ἄκοντα μέντοι τὸν παῖδα
χαλεπὸν νομίζοι εἶναι καταλιπεῖν. Ἔνθα δὴ ὁ Ἀστυά- 14
γης λέγει πρὸς τὸν Κῦρον, Ὦ παῖ, ἢν μένῃς παρ᾽ ἐμοὶ,
πρῶτον μὲν τῆς παρ᾽ ἐμὲ εἰσόδου σοὶ οὐ Σάκας ἄρξει,
ἀλλ᾽, ὁπόταν βούλῃ εἰσιέναι ὡς ἐμὲ, ἐπί σοι ἔσται· καὶ
χάριν σοὶ, ἔφη, μᾶλλον εἴσομαι, ὅσῳ ἂν πλεονάκις εἰσίῃς
ὡς ἐμέ. Ἔπειτα δὲ, ἵπποις τοῖς ἐμοῖς χρήσῃ, καὶ ἄλ-
λοις, ὁπόσοις ἂν βούλῃ· καὶ ὅταν ἀπίῃς, ἔχων ἄπει, οὓς
ἂν αὐτὸς ἐθέλῃς. Ἔπειτα δὲ ἐν τῷ δείπνῳ ἐπὶ τὸ με-
τρίως σοὶ δοκοῦν ἔχειν, ὁποίαν ἂν βούλῃ ὁδὸν πορεύσῃ.

παρατείναιμι] Recte cum Casaubono ad Athenæum p. 285. mora excruciare interpretatur Zeune. Cf. Memorab. iii. 13, 6.

12. Τοιαύτας] Guelf. τοσαύτας, quam lectionem e Philelphi versione margo Steph. annotavit.

εἴ τινος] Philelphus lectionem Brem. εἴ τινα—τοῦ πάππου—τοῦ—ἀδελφοῦ expressit. Altorf. deinceps ποιήσαντα τοῦτο.

13. Ἐπεὶ] Ita Guelf. Brem. pro Ἐπειδή. deinde ἡ Μανδάνη αὕτη ἤδη παρ. Altorf.

νομίζοι] Vulgarem lectionem νομίζειν propter sequentes duos infinitivos durissimam cum Zeunio ex Castellionis conjectura mutavi. In Mel. et Bryl. est νομίζων. Guelf. et Altorf. εἶναι νομίζειν.

14. ἢν μένῃς] Altorf. ἐὰν μένῃς—Σακᾶς. deinceps εἴρξει corrigebat Larcher ad Herodoti I. c. 160. p. 435. verum ita etiam σοὶ in σὲ mutandum erat.

βούλῃ] Guelf. hic et paulo post βούλει, ut Brem. sed in hoc supra scr. βούλῃ.

ἐπί σοι] Junt. Ald. ἐπὶ σοί.

ἔφη, μᾶλλον] Omittit hæc verba cum Guelf. et Brem. Philelphus.

ὅταν ἀπίῃς] Guelf. Brem. ὁπόταν ἀπίῃς. Pro ἄπει Guelf. ἀπίης, margo ἄπει habet. Brodæus etiam ἀπίοις scribi posse censebat.

ὁποίαν ἂν βούλῃ] Hanc Stephani correctionem lectioni ὁποίαν βούλει cum Zeunio propter similitudinem

Ἔπειτα τά τε νῦν ὄντα ἐν τῷ παραδείσῳ θηρία δίδωμί σοι, καὶ ἄλλα παντοδαπὰ συλλέξω, ἃ σὺ, ἐπειδὰν τάχιστα ἱππεύειν μάθῃς, διώξῃ, καὶ τοξεύων καὶ ἀκοντίζων καταβαλεῖς, ὥσπερ οἱ μεγάλοι ἄνδρες. Καὶ παῖδας δέ σοι ἐγὼ συμπαίστορας παρέξω· καὶ ἄλλα, ὅσα
15 ἂν βούλῃ, λέγων πρὸς ἐμὲ οὐκ ἀτυχήσεις. Ἐπεὶ δὲ ταῦτα εἶπεν ὁ Ἀστυάγης, ἡ μήτηρ διηρώτα τὸν Κῦρον, πότερα βούλοιτο μένειν, ἢ ἀπιέναι. Ὁ δὲ οὐκ ἐμέλλησεν, ἀλλὰ ταχὺ εἶπεν, ὅτι μένειν βούλοιτο. Ἐπερωτηθεὶς δὲ πάλιν ὑπὸ τῆς μητρὸς, διὰ τί, εἰπεῖν λέγεται· Ὅτι οἴκοι μὲν τῶν ἡλίκων καὶ εἰμὶ καὶ δοκῶ κράτιστος εἶναι, ὦ μῆτερ, καὶ τοξεύων καὶ ἀκοντίζων· ἐνταῦθα δὲ εὖ οἶδα, ὅτι ἱππεύων ἥττων εἰμὶ τῶν ἡλίκων· καὶ τοῦτο, εὖ ἴσθι, ἔφη, ὦ μῆτερ, ὅτι ἐμὲ πάνυ ἀνιᾷ. Ἢν δέ με καταλίπῃς ἐνθάδε, καὶ μάθω ἱππεύειν, ὅταν μὲν ἐν Πέρσαις ὦ, οἶμαί σοι ἐκείνους τοὺς ἀγαθοὺς τὰ πεζικὰ ῥᾳδίως νικήσειν· ὅταν δὲ εἰς Μήδους ἔλθω ἐνθάδε, πειράσομαι τῷ πάππῳ, ἀγαθῶν ἱππέων κράτιστος ὢν ἱππεὺς, συμμα-
16 χεῖν αὐτῷ. Τὴν δὲ μητέρα εἰπεῖν, Τὴν δὲ δικαιοσύνην, ὦ παῖ, πῶς μαθήσῃ ἐνθάδε, ἐκεῖ ὄντων σοὶ τῶν διδασκάλων; Καὶ τὸν Κῦρον φάναι, Ἀλλ', ὦ μῆτερ, ἀκριβῶς

totius reliqui loci ſubſtitui, et confirmare videtur Altorf. ubi eſt ὅπου ἂν βούλει.

Ἔπειτα] Sic pro ἐπεὶ primus Stephanus ſcripſit ex libris Gabrielii: et ſic cum Guelf. habet Altorf. ex quo ὄντα addidi.

συμπαίστορας] Ita Junt. Iſ. Mel. Baſil. et Guelf. ex correctione pro συμπαίκτορας, quæ forma magis eſt dorica.

ὅσα ἂν] Brem. ὁπόσα ἄν. Guelf. βούλει.

15. δὲ ταῦτα] Guelf. Brem. δὲ omittit.

διηρώτα] Altorf. ἠρώτα, deinceps πότερόν ποτε βούλοιτο. Etiam Guelf. πότερον.

ἐμέλλησεν] Guelf. ἠμέλλησεν.

καὶ εἰμὶ] Guelf. καὶ omittit, deinceps cum Brem. καὶ ἀκοντίζων καὶ τοξεύων.

ἐνταῦθα] Junt. Iſing. Baſil. Mel. ἐνθάδε. deinceps εὖ cum Philelpho omittit Brem. ἧσσων Guelf.

εὖ ἴσθι] Brem. τοῦτο, ἴσθ' ὦ μῆτερ, ἔφη. Guelf. etiam ὦ μ. ἔφη.

οἶμαί σοι] Altorf. οἴομαι ἐκείνους.

ἀγαθῶν] Hanc lectionem priori ἀγαθὸς ἱππεύων in Guelf. ſubſtituit corrector.

16. Τὴν δὲ μητέρα] Ordo poſtulabat ἡ δὲ μήτηρ εἶπεν.

ταύτην γε οἶδα. Πῶς σὺ οἶσθα, εἰπεῖν τὴν Μανδάνην;
Ὅτι, φάναι, ὁ διδάσκαλός με, ὡς ἤδη ἀκριβοῦντα τὴν
δικαιοσύνην, καὶ ἄλλοις καθίστη δικάζειν. Καί τοι,
φάναι, ἐπὶ μιᾷ δή ποτε δίκῃ πληγὰς ἔλαβον, ὡς οὐκ
ὀρθῶς δικάσας. Ἦν δὲ ἡ δίκη τοιάδε· Παῖς μέγας, 17
μικρὸν ἔχων χιτῶνα, ἕτερον παῖδα μικρὸν, μέγαν ἔχοντα
χιτῶνα, ἐκδύσας αὐτὸν, τὸν μὲν ἑαυτοῦ ἐκεῖνον ἠμφίεσε,
τὸν δὲ ἐκείνου αὐτὸς ἐνέδυ. Ἔγωγ᾽ οὖν τούτοις δικάζων,
ἔγνων, βέλτιον εἶναι ἀμφοτέροις τὸν ἁρμόζοντα ἑκάτερον
χιτῶνα ἔχειν. Ἐν δὲ τούτῳ με ἔπαισεν ὁ διδάσκαλος,
λέγων, ὅτι, ὁπότε μὲν κατασταθείην τοῦ ἁρμόττοντος
κριτὴς, οὕτω δέοι ποιεῖν· ὁπότε δὲ κρῖναι δέοι, ὁποτέρου ὁ
χιτὼν εἴη, τοῦτ᾽ ἔφη σκεπτέον εἶναι, τίς κτῆσις δικαία
ἐστί· πότερα τὸν βίᾳ ἀφελόμενον ἔχειν, ἢ τὸν ποιησάμε-
νον ἢ πριάμενον κεκτῆσθαι. Ἔπειτα δὲ ἔφη, τὸ μὲν
νόμιμον δίκαιον εἶναι· τὸ δὲ ἄνομον, βίαιον. Σὺν τῷ
νόμῳ οὖν ἐκέλευεν ἀεὶ τὸν δικαστὴν τὴν ψῆφον τίθεσθαι.
Οὕτως ἐγώ σοι, ἔφη, ὦ μῆτερ, τάγε δίκαια παντάπασιν

ταύτην γε] Guelf. *ταῦτά γε*, quam ipſam lectionem Philelphus expreſſit, corrector in Guelf. mutavit. *ταῦτά γε ἤδη* Brem.

Καί τοι] Ita pro *Καὶ τοίνυν* Muretus ſcribi juſſit; ita etiam ſcriptum legit et interpretatus eſt Philelphus: *Atqui olim in quadam lite.*

μιᾷ δή ποτε] Ex Altorf. *δὴ* addidi.

17. *τοιάδε*] Guelf. *τοιαύτη*. Pro *μικρὸν* Brem. *ὀλίγον*.

ἕτερον] Omittit Guelf.

ἠμφίεσε] Guelf. *ἀμφίασε*, correctum *ἠμφίεσε*. Welſius ex Leunclaviana ſecunda retinuit *ἠμφίετο*.

Ἔγωγ᾽ οὖν] Guelf. et Altorf. *ἐγὼ οὖν*. Vulgatum *Ἐγὼ γοῦν* cum Fiſchero mutavi.

χιτῶνα ἔχειν] Hunc ordinem vulgari *ἔχειν χ.* ex Bremenſi Guelf. et Altorf. ſubſtitui aurium judicium legendo expertus et ſecutus.

Ἐν δὲ τούτῳ] Guelf. *ἐν τούτῳ αὖ* Brem. *ἐν τούτῳ δ᾽ ἄν με.*

λέγων] Guelf. *λέξας ὁπότε μὲν τοῦ ἁρμόζοντος εἴη* (corrigitur *εἴην*) *κριτής*. Brem. *λέξας ὁπότε τοῦ ἁρ. εἴη κριτής*. Altorf. *λέγων ὁπότε*.

πότερα] Altorf. *πότερον—ἢ τὸν πριάμενον* probante Fiſchero. In margine Guelf. eſt lectio *πονησάμενον*.

Ἔπειτα δὲ ἔφη] Guelf. *ἐπειδὰν δ᾽ ἔγνω*, ſed correctum poſtea. *quoniam id eſt, ait*, verſio Philelphi Altorf. *ἔπειτα δ᾽ ἔφη—ἐκέλευεν*. Brem. *ἐπεὶ δ᾽ ἔφη*. Ex lectione Guelf. hanc ſeriem verborum efficiebat Zeune *ἐπειδὰν δὲ γνῷ—βίαιον, σὺν τῷ νόμῳ ἐκέλευεν ἀεὶ* etc.

ἐκέλευεν ἀεὶ] Ita pro *ἐκέλευε δεῖν* cum Zeunio ſcripſi auctoritate confiſus Philelphi, Brodæi librorum, Guelf. Brem. *τὴν* ante *ψῆφον* omittunt Guelf. et Brem.

ἔφη, ὦ μῆτερ] Guelf. et Philelphus *ἔφη, ὦ* omittunt.

ἤδη ἀκριβῶ· ἢν δέ τι ἄρα προσδέωμαι, ὁ πάππος με,
18 ἔφη, οὗτος ἐπιδιδάξει. Ἀλλ' οὐ ταὐτὰ, ἔφη, ὦ παῖ,
παρά τε τῷ πάππῳ δίκαια καὶ ἐν Πέρσαις ὁμολογεῖται.
Οὗτος μὲν γὰρ τῶν ἐν Μήδοις πάντων δεσπότην ἑαυτὸν
πεποίηκεν· ἐν Πέρσαις δὲ τὸ ἴσον ἔχειν δίκαιον νομίζεται.
Καὶ ὁ σὸς πρῶτος πατὴρ τεταγμένα μὲν ποιεῖ, ἃ ποιεῖ τῇ
πόλει· τεταγμένα δὲ λαμβάνει· μέτρον δὲ αὐτῷ οὐχ ἡ
ψυχὴ, ἀλλ' ὁ νόμος ἐστίν. Ὅπως οὖν μὴ ἀπολῇ μασ-
τιγούμενος, ἐπειδὰν οἴκοι εἴης, ἂν, παρὰ τούτου μαθὼν,
ἥκῃς ἀντὶ τοῦ βασιλικοῦ τὸ τυραννικὸν, ἐν ᾧ ἔστι τὸ
πλέον οἴεσθαι χρῆναι ἁπάντων ἔχειν. Ἀλλ' ὅγε σὸς
πατὴρ, εἶπεν ὁ Κῦρος, δεινότερός ἐστιν, ὦ μῆτερ, διδάσ-
κειν, μεῖον ἢ πλεῖον ἔχειν. Ἦ οὐχ ὁρᾷς, ἔφη, ὅτι καὶ
Μήδους ἅπαντας δεδίδαχεν ἑαυτοῦ μεῖον ἔχειν; Ὥστε
θάρσει, ὡς ὁ σός γε πατὴρ οὔτε ἄλλον οὐδένα οὔτ' ἐμὲ
διδάξας πλεονεκτεῖν ἀποπέμψεται.

CAP. IV.

TOIAYTA μὲν δὴ πολλὰ ἐλάλει ὁ Κῦρος· τέλος δὲ,

ἤδη ἀκριβῶ] Ita Guelf. in margine vulgaris οἶδα ἀκριβῶς. Mecum Brem. et Altorf.

ἔφη, οὗτος] Altorf. οὗτος, ἔφη, ἐπιδιδάξει dat.

18. παρά τε] Guelf. et Brem. παρὰ τῷ πάππῳ καὶ ἐν Πέρσαις δίκαια.

δεσπότην ἑαυτὸν] Ordinem invertit Guelf. et Brem.

ἐν Πέρσαις] Altorf. καὶ ἐν Π. male.

ὁ σὸς πρῶτος] Ordo naturalis poftulabat καὶ πρῶτος ὁ σὸς πατήρ.

τεταγμένα—πόλει] Guelf. τὰ τεταγμένα μὲν ποιεῖ τῇ πόλει. τὰ τεταγμ. etc.

ψυχὴ] Aldinum τύχη habet cum Brem. Guelf. fed correctum. ψυχὴ etiam Bodl. i. e. lubido, animi appetentia. Lugdunenfis in margine τύχη habet, tefte Wyttenbachio. deinde ἀπολεῖ Atticum magis mihi placeret.

πλέον—ἁπάντων] Guelf. πλεῖον—πάντων. Etiam Brem. πάντων.

μεῖον ἢ πλεῖον] Altorf. πλεῖον ἢ μεῖον dat.

ὡς ὁ σός γε] Guelf. et Brem. ὡς ὅγε σὸς πατὴρ οὔτ' ἄλλον—οὔτε—ἀποπέμψει, quod etiam Stephanus ait legi pro ἀποπέμψεται. Junt. Ald. Mel. Altorf. ἐμὲ μὴ διδάξας πλεονεκτεῖν ἀπ. quam fcripturam equidem præfero. Bafil. Ifingr. ἐμὲ διδάξας πλέον. Quidam e MSS. Stephani μὴ habebant pofitum ante μαθόντα. Activum ἀποπέμψει, quod eft etiam in Bodl. damnat fententia loci. Ambigi poteft de forma ὁ σός γε, cui Codices duo ὅ γε σὸς fubftituunt, quæ forma præceffit fine ulla variatione Codicum.

ἡ μὲν μήτηρ ἀπῆλθε, Κῦρος δὲ κατέμενε, καὶ αὐτοῦ
ἐτρέφετο. Καὶ ταχὺ μὲν τοῖς ἡλικιώταις συνεκέκρατο,
ὥστε οἰκείως διακεῖσθαι· ταχὺ δὲ τοὺς πατέρας αὐτῶν
ἀνήρτητο, προσιὼν, καὶ ἔνδηλος ὢν, ὅτι ἠσπάζετο αὐτῶν
τοὺς υἱεῖς· ὥστε καὶ, εἴ τι τοῦ βασιλέως δέοιντο, τοὺς
παῖδας ἐκέλευον Κύρου δεῖσθαι, διαπράξασθαι σφίσιν.
Ὁ δὲ Κῦρος, ὅ τι δέοιντο αὐτοῦ οἱ παῖδες, διὰ τὴν φιλαν-
θρωπίαν καὶ φιλοτιμίαν, περὶ παντὸς ἐποιεῖτο διαπράτ-
τεσθαι. Καὶ ὁ Ἀστυάγης δὲ, ὅ τι δέοιτο αὐτοῦ ὁ Κῦ- 2
ρος, οὐδὲν ἐδύνατο ἀντιλέγειν, μὴ οὐ χαρίζεσθαι. Καὶ
γὰρ, ἀσθενήσαντος αὐτοῦ, οὐδέποτε ἀπέλειπε τὸν πάπ-
πον, οὐδὲ κλαίων ποτὲ ἐπαύετο· δῆλός τε ἦν πᾶσιν, ὅτι
ὑπερεφοβεῖτο, μή οἱ ὁ πάππος ἀποθάνοι. Καὶ γὰρ ἐκ
νυκτὸς εἴ τινος δέοιτο Ἀστυάγης, πρῶτος ᾐσθάνετο Κῦρος,
καὶ πάντων ἀοκνότατα ἀνεπήδα ὑπηρετήσων, ὅ τι οἴοιτο
χαριεῖσθαι· ὥστε παντάπασιν ἀνεκτήσατο τὸν Ἀστυά-
γην.

Καὶ ἦν μὲν ἴσως ὁ Κῦρος πολυλογώτερος, ἅμα μὲν 3
διὰ τὴν παιδείαν, ὅτι ἠναγκάζετο ὑπὸ τοῦ διδασκάλου
καὶ διδόναι λόγον, ὧν ἐποίει, καὶ λαμβάνειν παρ' ἄλ-
λων, ὁπότε δικάζοι· ἔτι δὲ καὶ διὰ τὸ φιλομαθὴς εἶναι,

1. ἀνήρτητο] Gabrielii liber ut Guelf. ἀνεκτήσατο, ſed corrigitur ἀνηρτήσατο; Bodl. ἀνεκτήσατο in margine ἀνήρτητο habet; poſtremum eſt in Brem.

ὥστε καὶ, εἴ τι] Guelf. ὥστε ἐπεὶ, ſed margo εἴ τι habet. ὥστε εἴ τι Brem.

Κύρου δεῖσθαι] Articulum τοῦ Guelf. addit probante Fiſchero, propter numeros orationis.

ὅ τι δέοιντο] Guelf. Brem. εἰ δέοιντο.

2. δὲ, ὅ τι] Guelf. Brem. δὲ omittunt.

ἀντιλέγειν] Guelf. ἀντέχειν, margo vulgatam habet. ἀντέχειν ita uſurpavit Hiſtoriæ græcæ ii. 10. ſequens γὰρ in Altorf. margine eſt ab alio ſcriptum.

ἀπέλειπε] Junt. Ald. Iſingr. Baſil. Mel. Guelf. Brem. ἀπέλιπε.

δῆλος τε] Guelf. ἀλλὰ δῆλός τε. Brem. ἀλλὰ δῆλος ἦν. Philelphus etiam ἀλλὰ expreſſit.

μή οἱ] Guelf. ὅτι μή οἱ—ἀποθάνῃ. Etiam Brem. conjunctivum habet.

ἐκ νυκτὸς] Margo Steph. ἐν νυκτὶ, ut eſt in Brem.

Κῦρος, καὶ] Altorf. ὁ Κῦρος—ἀοκνώτατα.

3. πολυλογώτερος] Margo Guelf. addit: καὶ ὥσπερ παιδίσκος ἔτι ἄνηβος ὤν. Altorf. in ſerie habet: ὡς παιδίσκος ἔτι ἄνηβος ὤν.

ὁπότε δικάζοι] Ita ex Guelf. Bodl. Brem. Altorf. cum Zeunio pro ἃ δικ. dedi. Margo Leuncl. ἐπεί τε δικ.

πολλὰ μὲν αὐτὸς ἀεὶ τοὺς παρόντας ἀνηρώτα, πῶς ἔχοντα τυγχάνοι· καὶ ὅσα αὐτὸς ὑπ᾽ ἄλλων ἐρωτῷτο, διὰ τὸ ἀγχίνους εἶναι, ταχὺ ἀπεκρίνετο· ὥστε ἐκ πάντων τούτων ἡ πολυλογία συνελέγετο αὐτῷ. Ἀλλ᾽ ὥσπερ γὰρ ἐν σώμασιν, ὅσοι νέοι ὄντες μέγεθος ἔλαβον, ὅμως ἐμφαίνεταί τι νεαρὸν αὐτοῖς, ὃ κατηγορεῖ τὴν ὀλιγοετίαν· οὕτω καὶ Κύρου ἐκ τῆς πολυλογίας οὐ θράσος διεφαίνετο, ἀλλ᾽ ἁπλότης τις καὶ φιλοστοργία· ὥστ᾽ ἐπεθύμει ἄν τις ἔτι πλείω ἀκούειν αὐτοῦ, ἢ σιωπῶντι παρεῖναι.

Cyrus, exactis pueritiæ annis, gravitatem et verecundiam induit: æquales obfequio et comitate fibi devincit, inter quos unice

4 Ὡς δὲ προῆγεν ὁ χρόνος αὐτὸν σὺν τῷ μεγέθει εἰς ὥραν τοῦ πρόσηβον γενέσθαι, ἐν τούτῳ δὴ τοῖς μὲν λόγοις βραχυτέροις ἐχρῆτο, καὶ τῇ φωνῇ ἡσυχαιτέρᾳ· αἰδοῦς δὲ ἐνεπίμπλατο, ὥστε καὶ ἐρυθραίνεσθαι, ὁπότε συντυγχάνοι τοῖς πρεσβυτέροις· καὶ τὸ σκυλακῶδες, τὸ πᾶσιν [ὁμοίως] προσπίπτειν, οὐκέθ᾽ ὁμοίως προπετῶς εἶχεν. Οὕτω δὴ ἡσυχαίτερος μὲν ἦν, ἐν δὲ ταῖς συνουσίαις

τυγχάνοι] Brem. τυγχάνει.

ἀπεκρίνετο] Guelf. et Stobæus ἀπεκρίνατο.

ὥσπερ γὰρ] in Bryling. ὥσπερ καί.

σώμασιν] Ita Guelf. ex correctione; idem liber ἐμφαίνεται τὸ νεαρὸν αὐτοῖς, fed corrector mutavit τὸ in τί. Brem. σώματι—τὸ νεαρὸν αὐτοῖς. Ante Zeunium erat αὐτοῖς νεαρόν.

Κύρου ἐκ] Altorf. ὁ Κῦρος—οὐ θρασὺς διεφαίνετο. Ceterum ἁπλότης τις plane in Altorf. fcriptum eft, quod habuit Philelphus. πρᾳότης τις Stobæus.

ὥστ᾽ ἐπεθύμει ἄν τις] Altorf. ὥστε καὶ ἐπεθύμει τις ἔτι etc. Stobæus ὥστ᾽ ἐπεθύμει ἄν τις ἐπιπλείω. Margo Guelf. ἐπεθύμει ἄν τις ἔτι. Equidem vulgatam ὥστε ἐπιθυμίαν τις εἶχεν cum Zeunio et Fifchero pofthabui alteri, quam fententiæ aptiorem et elegantiorem puto.

ἀκούειν αὐτοῦ] Ordinem invertit Brem. ἀκοῦσαι Stobæus. Deinceps μᾶλλον fubauditur.

4. προῆγεν] Guelf. προσῆγεν αὐτὸν ὁ χρ. Brem. προῆγεν αὐτὸν ὁ χρ.

γενέσθαι] Altorf. γίγνεσθαι.

βραχυτέροις] Altorf. μανοτέροις. deinceps ἐνεπίπλατο Brem.

συντυγχάνοι] Guelf. καὶ συντ.

τὸ πᾶσιν ὁμοίως] Junt. Ald. Ifingr. τῷ πᾶσι προσπ. Brem. τῷ πᾶσιν ὁμ. πρ. Altorf. τὸ πᾶσιν προσπ. Guelf. τὸ πᾶσιν ὁμ. πρ. quod probavit Zeune; mihi ὁμοίως h. l. fuperfluum et ineptum videtur; igitur feclufi.

οὐκέθ᾽] Ita Guelf Brem. pro οὐκέτι.

προπετῶς] Guelf. προπετὲς, fed correctum. Leunclavius vocabulum ftatim poft προσπίπτειν inferebat. Ceterum totum hunc locum imitatus eft Synefius de Providentia p. 90. A. ubi de Ofiride eft: περὶ ἅπαντα ἐλιχνεύετο τὰ μὲν πρῶτα σκυλακηδὸν ἀθρόα πάντα ἀξιῶν εἰδέναι, ὥσπερ ἀμέλει ποιοῦσιν αἱ φύσεις αἱ τὰ μεγάλα ὑπισχνούμεναι etc. Alia ratione ufus eft comparatione catulorum Plato Reipubl. vii. p. 177. οἱ μειρακίσκοι ὅταν τὸ πρῶτον λόγων γεύωνται, ὡς παιδιᾷ αὐτοῖς καταχρῶνται—ὥσπερ σκυλάκια τῷ ἕλκειν τε καὶ σπαράττειν τῷ λόγῳ τοὺς πλησίον ἀεί.

οὕτω δὴ] Ita pro δὲ Guelf. Brem.

ἡσυχαίτερος μὲν ἦν] quædam dein-

πάμπαν ἐπίχαρις. Καὶ γὰρ ὅσα διαγωνίζονται πολλάκις ἥλικες πρὸς ἀλλήλους, οὐχ, ἃ κρείττων ᾔδει ὤν, ταῦτα προὐκαλεῖτο τοὺς συνόντας, ἀλλ, ἅπερ εὖ ᾔδει ἑαυτὸν ἥττονα ὄντα, ταῦτα ἐξῆρχε, φάσκων κάλλιον αὐτῶν ποιήσειν· καὶ κατῆρχεν ἤδη ἀναπηδῶν ἐπὶ τοὺς ἵππους ἢ διακοντιούμενος ἢ διατοξευσόμενος ἀπὸ τῶν ἵππων, οὔπω πάνυ ἔποχος ὤν· ἡττώμενος δὲ, αὐτὸς ἐφ᾽ ἑαυτῷ μάλιστα ἐγέλα. Ὡς δ᾽ οὐκ ἀπεδίδρασκεν, ἐκ τοῦ ἡττᾶσθαι, εἰς τὸ μὴ ποιεῖν, ἃ ἡττῷτο, ἀλλ᾽ ἐκαλινδεῖτο ἐν τῷ πειρᾶσθαι αὖθις βέλτιον ποιεῖν, ταχὺ μὲν εἰς τὸ ἴσον ἀφίκετο τῇ ἱππικῇ τοῖς ἡλικιώταις· ταχὺ δὲ παρῄει, διὰ τὸ ἐρᾶν τοῦ ἔργου· ταχὺ δὲ καὶ τὰ ἐν τῷ παραδείσῳ θηρία ἀνηλώκει, διώκων καὶ βάλλων καὶ κατακαίνων· ὥστε ὁ Ἀστυάγης οὐκέτ᾽ εἶχεν αὐτῷ συλλέγειν θηρία. Καὶ ὁ Κῦρος, αἰσθόμενος, ὅτι βουλόμενος οὐ δύναιτο οἱ ζῶντα παρέχειν, πολλάκις ἔλεγε πρὸς αὐτὸν, Ὦ πάππε, τί σε δεῖ θηρία ζητοῦντα πράγματα ἔχειν; Ἀλλ᾽ ἢν ἐμὲ ἐκπέμπῃς ἐπὶ θήραν σὺν τῷ θείῳ, νομιῶ, ὅσα ἂν ἴδω θη-

tenetur equitandi et venandi studio.

ceps excidisse, quibus oppositio verborum sequentium continebatur, non inepte suspicatur Weiske.

πάμπαν] Omittit Altorf.

ᾔδει ὤν] Edd. vett. κρείσσω ἤδη ὤν, Brodæus alicunde ᾔδει ὄντα laudat; Guelf. ἤδη ἦν prætulit Zeune. Ceterum κρείττων postulabat dialecti ratio pro κρείσσων.

ἥττονα] Guelf. ἥσσονα.

ταῦτα] Stephanus εἰς ταῦτα malebat ex Plutarcho de Garrulit. p. 43. Reiske, ubi h. l. laudatur.

ἤδη ἀναπηδῶν] Ex Guelf. et Leid. cum Wyttenbachio in Eclogis histor. p. 378. scripsit Weiske ἢ διαναπηδῶν. Sed certamen æqualium non in eo erat, quis melius et celerius equum ascenderet; hic enim primus equitationis artis gradus non poterat Cyrum diu morari, qui jam ἔποχος erat, et se firmiter in equo tenere poterat. Igitur arte jaculandi ex equis invicem æmulabantur. deinde ἐν τοῖς ἵπποις (superscripto ἐπὶ) ἢ διακοντιζόμενος ἢ διατοξευόμενος Altorf.

ἡττώμενος] Guelf. ἡσσώμενος.

ἐφ᾽ ἑαυτῷ] Ita cum Guelf. et Brem. pro ἑαυτοῦ scripsi cum Weiskio; ex Lugdunensi prætulit idem Wyttenbach.

5. ἃ ἡττῷτο] Guelf. ὃ ἡσσῷτο. Etiam Brodæus ὃ alicunde laudat.

ἐκαλινδεῖτο] Stobæus et Brem. ἐκυλινδεῖτο.

βέλτιον] Stob. ἄμεινον.

ἡλικιώταις] Guelf. Brem. Altorf. ἥλιξιν.

ταχὺ δὲ καὶ τὰ] Ex Altorf. et Philelpho καὶ addidi.

οὐκέτ᾽ εἶχεν] Guelf. οὐκ ἐπεῖγεν, sed correctum.

οὐ δύναιτο] Guelf. et Altorf. οὐ δύναται. deinceps πολλὰ παρέχειν, ἔλεγε ex eodem, Altorf. Brem. libris Brodæi et Philelphi Zeune scripsit pro παρέχειν, πολλάκις ἔλεγε.

ἂν ἐμὲ] Guelf. ἐὰν ἐμὲ cum Brem.

6 ρία, ἐμοὶ ταῦτα τρέφεσθαι. Ἐπιθυμῶν δὲ σφόδρα ἐξιέναι ἐπὶ τὴν θήραν, οὐκέθ᾽ ὁμοίως λιπαρεῖν ἐδύνατο, ὥσπερ παῖς ὤν, ἀλλ᾽ ὀκνηρότερον προσῄει. Καὶ ἃ πρόσθεν τῷ Σάκᾳ ἐμέμφετο, ὅτι οὐ παρίει αὐτὸν πρὸς τὸν πάππον, αὐτὸς ἤδη Σάκας ἑαυτῷ ἐγίγνετο· οὐ γὰρ προσῄει, εἰ μὴ προΐδοι, εἰ καιρὸς εἴη· καὶ τοῦ Σάκα ἐδεῖτο πάντως σημαίνειν αὐτῷ, ὁπότε ἐν καιρῷ εἴη εἰσιέναι, καὶ ὁπότε οὐκ ἐν καιρῷ· ὥστε ὁ Σάκας ἤδη ὑπερεφίλει αὐτὸν, ὥσπερ καὶ οἱ ἄλλοι πάντες.

7 Ἐπεὶ δ᾽ οὖν ἔγνω ὁ Ἀστυάγης σφόδρα αὐτὸν ἐπιθυμοῦντα τῆς ἔξω θήρας, ἐκπέμπει αὐτὸν σὺν τῷ θείῳ, καὶ φύλακας συμπέμπει ἐφ᾽ ἵππων πρεσβυτέρους, ὅπως ἀπὸ τῶν δυσχωριῶν φυλάττοιεν αὐτὸν, καὶ εἰ τῶν ἀγρίων τὶ φανείη θηρίων. Ὁ οὖν Κῦρος τῶν ἑπομένων προθύμως ἐπυνθάνετο, ὁποίοις οὐ χρὴ θηρίοις πελάζειν, καὶ ὁποῖα χρὴ θαῤῥοῦντα διώκειν. Οἱ δ᾽ ἔλεγον, ὅτι ἄρκτοι τε πολλοὺς ἤδη πλησιάσαντας διέφθειραν καὶ λέοντες καὶ κάπροι καὶ παρδάλεις· αἱ δὲ ἔλαφοι, καὶ δορκάδες, καὶ οἱ ἄγριοι ὄϊες καὶ οἱ ὄνοι οἱ ἄγριοι ἀσινεῖς εἰσιν. Ἔλεγον δὲ καὶ τοῦτο, τὰς δυσχωρίας ὅτι δέοι φυλάττεσθαι οὐδὲν ἧττον, ἢ τὰ θηρία· πολλοὺς γὰρ ἤδη

ἐμοὶ ταῦτα τρέφεσθαι] Hanc Guelf. Brem. et Philelphi lectionem cum Fischero prætuli vulgatæ σέ μοι— τρέφειν.

6. ἑαυτῷ ἐγίγνετο] Guelf. ἐγένετο.

προΐδοι] Guelf. Brem. cum Philelpho ἴδοι.

ἐν καιρῷ εἴη] Guelf. ἐγχωροίη καὶ ὁπότε καιρὸς εἴη. quam eandem lectionem margo Steph. addita tamen ante καιρὸς negatione commemorat.

Σάκας ἤδη] Altorf. Σακᾶς ὑπερεφίλει ἤδη dat. ὑπερεφίλει ἤδη καὶ ἄλλοι Guelf. in margine αὐτὸν ὥσπερ additum.

7. τῆς ἔξω θήρας] Guelf. Brem. et margo Steph. ἔξω θηρῶν.

δυσχωριῶν] Ald. Junt. Isingr. Basil. Mel. δυσχερῶν, Guelf. Brem. δυσχερειῶν. Stephanus primus δυσχωριῶν dedit, quod est in Altorf. deinde θηρῶν in textu habet Altorf. θηρίων in margine.

ὁποίοις—ὁποῖα] Guelf. et Brem. ποίοις—ποῖα.

ὅτι ἄρκτοι τε] Primus Stephanus ὅτι addidit ex libris Brodæi, qui in aliis libris ait esse ὅτι καὶ ἄρκτοι, quod habent Guelf. Brem.

καὶ λέοντες] Guelf. et Brem. transſlocant recte, puto, post κάπροι cum Philelpho.

καὶ οἱ ἄγριοι] Articulum ex Guelf. Brem. Altorf. addidi. deinde καὶ οἱ ἄγριοι ὄνοι Guelf. Brem.

αὐτοῖς τοῖς ἵπποις κατακρημνισθῆναι. Καὶ ὁ Κῦρος 8
ταῦτα πάντα ἐμάνθανε προθύμως· ὡς δὲ εἶδεν ἔλαφον
ἐκπηδήσασαν, πάντων ἐπιλαθόμενος, ὧν ἤκουσεν, ἐδίω-
κεν, οὐδὲν ἄλλο ὁρῶν, ἢ ὅποι ἔφευγε. Καί πως διαπη-
δῶν αὐτῷ ὁ ἵππος πίπτει εἰς γόνατα, καὶ μικροῦ κἀκεῖ-
νον ἐξετραχήλισεν· οὐ μὴν ἀλλ' ἐπέμεινεν ὁ Κῦρος μόλις
πως, καὶ ὁ ἵππος ἐξανέστη. Ὡς δὲ εἰς τὸ πεδίον ἦλ-
θεν, ἀκοντίσας καταβάλλει τὴν ἔλαφον, καλόν τι χρῆ-
μα καὶ μέγα. Καὶ ὁ μὲν δὴ ὑπερέχαιρεν· οἱ δὲ φύλα-
κες προσελάσαντες, ἐλοιδόρουν αὐτὸν, καὶ ἔλεγον, εἰς οἷον
κίνδυνον ἔλθοι, καὶ ἔφασαν, κατερεῖν αὐτοῦ τῷ πάππῳ.
Ὁ οὖν Κῦρος εἱστήκει καταβεβηκὼς, καὶ ἀκούων ταῦτα
ἠνιᾶτο. Ὡς δ' ᾔσθετο κραυγῆς, ἀνεπήδησεν ἐπὶ τὸν
ἵππον, ὥσπερ ἐνθουσιῶν· καὶ ὡς εἶδεν ἐκ τοῦ ἐναντίου
κάπρον προσφερόμενον, ἀντίος ἐλαύνει· καὶ διατεινάμενος
εὐστόχως βάλλει εἰς τὸ μέτωπον, καὶ κατέσχε τὸν κά-
προν. Ἐνταῦθα μέντοι ἤδη καὶ ὁ θεῖος αὐτῷ ἐλοιδο-
ρεῖτο, τὴν θρασύτητα ὁρῶν. Ὁ δ' αὐτοῦ λοιδορουμένου 9
ὅμως ἐδεῖτο, ὅσα αὐτὸς ἔλαβε, ταῦτα ἐᾶσαι αὐτὸν δοῦναι
εἰσκομίσαντα τῷ πάππῳ. Τὸν δὲ θεῖον εἰπεῖν φασὶν,
Ἀλλ' ἢν αἴσθηται, ὅτι ἐδίωκες, οὐ σοὶ μόνον λοιδορήσεται
ἀλλὰ καὶ ἐμοὶ, ὅτι σε εἴων. Κἂν βούληται, φάναι αὐ-
τὸν, μαστιγωσάτω, ἐπειδάν γε ἐγὼ δῶ αὐτῷ. Καὶ σύ

8. ταῦτα πάντα] Guelf. πάντα ταῦτα.

ἐκπηδήσασαν] Guelf. ἐκπηδήσαντα, quod Caftalio dedit.

ἤκουσεν] Ex Guelf. pro ἤκουε dedit Zeune.

ἐπέμεινεν] Ita pro ἐπέμενεν Guelf.

Καὶ ὁ μὲν δὴ] Ex Guelf. Brem. cum Zeunio καὶ addidi.

τῷ πάππῳ] Hæc omittunt Guelf. Brem. Altorf. et recte quidem, ut puto.

ἐναντίου] Guelf. ἀντίου.

εὐστόχως] Hoc in margine Guelf. pro εὐτυχῶς.

9. ἐᾶσαι] Guelf. Brem. ἐᾶσαι εἰσκομίσαντα δοῦναι. Altorf. αὐτὸν εἰσκ. δοῦναι.

μόνον λοιδορήσεται] Ita Guelf. Brem. Altorf. Philelphus pro μόνον ἀλλὰ καὶ ἐμοὶ λοιδ.

Κἂν] Guelf. Brem. καὶ ἤν, deinceps αὐτὸν φάναι Altorf.

γε, εἰ βούλει, ἔφη, ὦ θεῖε, τιμωρησάμενος, ὅ τι βούλει, τοῦτο ὅμως χάρισαί μοι. Καὶ ὁ Κυαξάρης μέντοι τελευτῶν εἶπε, Ποίει ὅπως βούλει· σὺ γὰρ νῦν γε ἡμῶν
10 ἔοικας βασιλεὺς εἶναι. Οὕτω δὴ ὁ Κῦρος εἰσκομίσας τὰ θηρία, ἐδίδου τε τῷ πάππῳ, καὶ ἔλεγεν, ὅτι αὐτὸς ταῦτα θηράσειεν ἐκείνῳ. Καὶ τὰ ἀκόντια ἐδείκνυε μὲν οὔ, κατέθηκε δὲ ᾑματωμένα, ὅπου ᾤετο τὸν πάππον ὄψεσθαι. Ὁ δὲ Ἀστυάγης ἄρα εἶπεν, Ἀλλ', ὦ παῖ, δέχομαι μὲν ἔγωγε ἡδέως, ὅσα σὺ δίδως· οὐ μέντοι δέομαί γε τούτων οὐδενὸς, ὥστε σὲ κινδυνεύειν. Καὶ ὁ Κῦρος ἔφη· Εἰ τοίνυν μὴ σὺ δέῃ, ἱκετεύω, ὦ πάππε, ἐμοὶ δὸς αὐτὰ, ὅπως ἐγὼ διαδῶ τοῖς ἡλικιώταις. Ἀλλ', ὦ παῖ, ἔφη ὁ Ἀστυάγης, καὶ ταῦτα λαβὼν διαδίδου, ὅτῳ
11 σὺ βούλει, καὶ τῶν ἄλλων ὁπόσα ἐθέλεις. Καὶ ὁ Κῦρος λαβὼν, ἐδίδου τε ἄρα τοῖς παισὶ, καὶ ἅμα ἔλεγεν·

Ὦ παῖδες, ὡς ἄρα ἐφλυαροῦμεν, ὅτε τὰ ἐν τῷ παραδείσῳ θηρία ἐθηρῶμεν· ὅμοιον γὰρ ἔμοιγε δοκεῖ εἶναι, οἷόνπερ εἴ τις δεδεμένα ζῶα θηρῴη. Πρῶτον μὲν γὰρ ἐν μικρῷ χωρίῳ ἦν· ἔπειτα καὶ μικρὰ καὶ λεπτὰ καὶ ψωραλέα· καὶ τὸ μὲν αὐτῶν, χωλὸν ἦν, τὸ δὲ, κολοβόν· τὰ δ' ἐν τοῖς ὄρεσι καὶ λειμῶσι θηρία ὡς μὲν καλὰ, ὡς δὲ μεγάλα, ὡς δὲ λιπαρὰ ἐφαίνετο. Καὶ αἱ μὲν ἔλαφοι,

βούλει, ἔφη] Altorf. ἔφη omittit.
τιμωρησάμενος] Guelf. τιμωρ. ταῦτα ὅπως χαρίσαιμι.
ἡμῶν ἔοικας] Altorf. ἡμῶν post βασιλεὺς collocat.
10. ἐδείκνυε] Guelf. ἐπεδείκνυε—τέθεικε.
ὅσα σὺ] Ita ex Guelf. Brem. Zeune scripsit pro ὅσα μοι.
γε τούτων] Altorf. γε omittit.
μὴ σὺ δέῃ] Brem. σὺ μὴ δ. sequens ὦ omittit Altorf.
διαδῶ τοῖς] Guelf. ὅπως τοῖς ἡλ. ἐγὼ διαδῶ. ita etiam Brem. nisi quod διαδιδῶ.
ὅτῳ σὺ] Altorf. σὺ omittit. deinceps θέλεις Guelf.
11. τε ἄρα] Guelf. ἄρας.
ὅμοιον γὰρ] Guelf. γὰρ omittit. ἐδόκει ex eodem, Brem. et Philelpho recepit cum Zeunio Weiske. δοκεῖ ἐκεῖνα θηρᾶν οἷόνπερ—θηρεύοι Altorf.
λεπτὰ] Hanc Guelf. et Brem. lectionem pro μικρὰ a Stephano etiam memoratam et in Leuncláviana secunda receptam cum vulgari ita jungendam putavi, ut μικρὰ καὶ λεπτὰ respondeant verbis καλὰ—μεγάλα—λιπαρά. Altorf. ἔπειτα μικρὰ καὶ ψωραλέα.

ὥσπερ πτηναὶ, ἥλλοντο πρὸς τὸν οὐρανόν· οἱ δὲ κάπροι,
ὥσπερ τοὺς ἄνδρας φασὶ τοὺς ἀνδρείους, ὁμόσε ἐφέροντο·
ὑπὸ δὲ τῆς πλατύτητος οὐδὲ ἁμαρτεῖν οἷόν τε ἦν αὐτῶν·
καλλίω δὴ, ἔφη, ἔμοιγε δοκεῖ καὶ τεθνηκότα ταῦτα
εἶναι, ἢ ζῶντα ἐκεῖνα τὰ περιῳκοδομημένα. Ἀλλὰ ἄρα
ἂν, ἔφη, ἀφεῖεν καὶ ὑμᾶς οἱ πατέρες ἐπὶ τὴν θήραν;
Καὶ ῥαδίως γ' ἂν, ἔφασαν, εἰ Ἀστυάγης κελεύοι. Καὶ 12
ὁ Κῦρος εἶπε· Τίς ἂν οὖν ὑμῶν πρὸς Ἀστυάγην μνησθείη;
Τίς γὰρ ἂν, ἔφασαν, σοῦ γε ἱκανώτερος πεῖσαι; Ἀλλὰ
μὰ τὴν Ἥραν, ἔφη, ἐγὼ μὲν οὐκ οἶδ', ὅστις ἄνθρωπος
γεγένημαι· οὐδὲ γὰρ οἷός τ' εἰμὶ λέγειν ἔγωγε, οὐδ'
ἀναβλέπειν πρὸς τὸν πάππον ἐκ τοῦ ἴσου ἔτι δύναμαι.
Ἢν δὲ τοσοῦτον ἐπιδιδῶ, δέδοικα, ἔφη, μὴ παντάπασι
βλάξ τις καὶ ἠλίθιος γένωμαι. Παιδάριον δὲ ὢν, δει-
νότατος λαλεῖν ἐδόκουν εἶναι. Καὶ οἱ παῖδες εἶπον, Πο-
νηρὸν λέγεις τὸ πρᾶγμα, εἰ μηδὲ ὑπὲρ ἡμῶν, ἄν τι δέῃ,
δυνήσει πράττειν, ἀλλ' ἄλλου τινὸς ἡμᾶς τὸ ἐπὶ σοὶ ἀνάγ-
κη ἔσται δεῖσθαι. Ἀκούσας δὲ ταῦτα ὁ Κῦρος, ἐδήχθη. 13
καὶ σιγῇ ἀπελθὼν, διακελευσάμενος ἑαυτῷ τολμᾶν,

ἥλλοντο] Guelf. ἥλλαντο εἰς. corrigitur ἥλλοντο. Altorf. ἥλοντο. Mihi εἰς placeret, ut puerilis hyperbole.

καλλίω δὴ] Ita pro δὲ Guelf. et Philelphus. deinceps εἶναι ταῦτα Guelf. Altorf. Brem.

τὴν θήραν] Guelf. τὴν omiſit. Articulus abeſt etiam ſect. 13 et 14 idem ῥᾳδίως τ' ἄν.

12. τίς ἂν οὖν] Guelf. τίς οὖν ἂν ἡμῖν Ἀστυάγει. Brem. etiam τίς οὖν ἄν. Altorf. τίς ἂν οὖν ὑμῖν.

μὰ τὴν Ἥραν] τὸν Δία Bodl. Guelf. Brem. vulgarem Budenſis et Altorf. habent; quod etiam hoc quidem in loco præferrem, quamvis a viris doctis annotatum fuerit Socratem adeoque Calliam, Athenienſes, Xenophontis per deam Ἥραν jurare. De Cyro Perſa alia eſt res.

εἰμὶ λέγειν ἔγωγε] Ita pro λέγειν οἷός τ' εἰμὶ ex Guelf. Zeune; conſentit Brem. At contra λέγειν ἐγώγε οἷός τ' Altorf.

ἔτι δύναμαι] Omittunt ἔτι Junt. Ald. Iſingr. Baſil. Mel.

δεινότατος] Ita cum Leunclavio Weiſke etiam pro δεινότατον ſcripſit.

πρᾶγμα] Vett. Edd. εἶναι addunt cum Philelpho. deinceps πράσσειν Guelf.

δυνήσει] Altorf hoc pro δυνήσῃ ſcriptum dedit.

ἡμᾶς τὸ ἐπὶ σοὶ] Guelf. ἡμᾶς ad finem rejicit cum Brem. ἐπί σε male Lugdun. teſte Wyttenbachio.

ἀνάγκη] Guelf. Brem. ἔσται δεῖσθαι ἡμᾶς. unde ἔσται cum Zeunio adjecimus.

εἰσῆλθεν, ἐπιβουλεύσας, ὅπως ἂν ἀλυπότατα εἴποι πρὸς τὸν πάππον, καὶ διαπράξειεν αὐτῷ τε καὶ τοῖς παισὶν, ὧν ἐδέοντο. Ἤρξατο οὖν ὧδε·

Εἰπέ μοι, ἔφη, ὦ πάππε, ἤν τις ἀποδράσῃ τῶν οἰκετῶν σε, καὶ λάβῃς αὐτὸν, τί αὐτῷ χρῇ; Τί δὴ ἄλλο, ἔφη, ἢ δήσας αὐτὸν ἐργάζεσθαι ἀναγκάζω; Ἢν δὲ αὐτόματός σοι πάλιν ἐπέλθῃ, πῶς ποιεῖς; Τί δὲ, ἔφη, ἢ μαστιγώσας αὐτόν γε, ἵνα μὴ αὖθις τοῦτο ποιῇ, ἔπειτα ἐξ ἀρχῆς πάλιν αὐτῷ χρῶμαι; Ὥρα ἂν, ἔφη ὁ Κῦρος, παρασκευάζεσθαί σοι εἴη, ὅτῳ μαστιγώσεις με, ὡς βουλεύομαι γε ὅπως σὲ ἀποδρῶ, λαβὼν τοὺς ἐμοὺς ἡλικιώτας ἐπὶ θήραν. Καὶ ὁ Ἀστυάγης, Καλῶς, ἔφη, ἐποίησας προειπών· ἔνδοθεν γὰρ ἀπαγορεύω σοι μὴ κινεῖσθαι. Χαρίεν γὰρ, ἔφη, εἰ ἕνεκα κρεαδίων τῇ θυ-
14 γατρὶ τὸν παῖδα ἀποβουκολήσαιμι. Ἀκούσας ταῦτα ὁ

13. εἰσῆλθεν] Juntina cum Alt. εἰσῆλθε καὶ—πῶς—ἤρξατο ὧδε.

ἀποδράσῃ] Guelf. ἀποδρᾷ—οἰκετῶν σε. malim ἀποδρᾷ σοι ut Memorab. ii. 10, 1. ἄν τίς σοι τῶν οἰκετῶν ἀποδρᾷ. Idem video eſſe judicium Wyttenbachii.

χρᾷ] Ita pro χρήσῃ Junt. If. Baſil. Mel. Alt. et Lugdun. χρῇ, approbante Wyttenbachio; cui reſpondet χρῶμαι pro χρήσομαι vulgari in iiſdem libris poſitum.

τί δὴ] Guelf. δὴ omittit; non male. deinceps ἀναγκάζω pro vulgato ἀναγκάσω. Junt. Ald. Iſingr. Baſil. Altorf. dedit. Ex Altorfino αὐτὸν inferui propter ſequens αὐτόν γε.

σοι—ἐπέλθῃ] Guelf. omiſſo σοι habet ἔλθῃ; hoc etiam eſt in Brem.

ποιεῖς] Ita pro ποιήσεις Ald. Junt. Iſingr. Baſil. Mel. Altorf. Guelf. ποιήσῃς.

ἢ μαστιγώσας] Juntina εἰ μὴ μαστ. Guelf. εἰ μὴ—ποιοῖ, omiſſo αὐτὸν, ut Brem. et Altorf. τί δέ ἄλλο ἢ Philelphus legiſſe videtur, interpretatur enim: *quid* aliud.

ἔπειτα] Guelf. omittit, ſupraſcriptum poſtea. Idem cum Altorf. et Philelpho πάλιν αὐτῷ omittit. τὸ aut τὰ ἐξ ἀρχῆς malebat Weiſke.

χρῶμαι] Ita pro χρήσομαι Ald. Junt. Baſil. Mel. Altorf.

Ὥρα ἂν] Edd. vett. cum Guelf. Brem. Altorf. Philelpho ὥρα ἄν. Stephanus et Weiſke Aldinum οὖν revocarunt. At compara ſect. 28. et infra iii. 1, 43. libri iv. 4, 5. deinceps σοι παρασκ. Guelf. Brem. Philelphus. εἴη ὅπῃ με μαστιγώσῃς Altorf.

βουλεύομαι] Aldina βουλεύομαί σε. Altorf. βούλομαί γε πῶς. Etiam Junt. Ald. Guelf. πῶς σε. Stephanus dedit: βουλευόμενόν γε ὅπως ἀποδρῶ.

τοὺς ἐμοὺς] Guelf. ἐμοὺς omittit cum Brem. et Philelpho.

ἔνδοθεν γὰρ] Guelf. et Brem. ἔφη addunt. Wyttenbachio vocabulum ἔνδοθεν ad finem orationis transferendum aut in αὐτόθεν mutandum videtur.

ἔφη, εἰ] Ald. Junt. Iſingr. Baſil. Mel. χάριεν ἔφη εἵνεκα. Brodæi libri χάριεν γὰρ ἔφη εἶναι εἵνεκα. Guelf. χάριεν γὰρ ἔφη εἶναι εἰ εἵνεκα. Etiam Brem. ἔφη εἶναι.

ἀποβουκολήσαιμι] Junt. Mel. Baſil. ἀποβουκολήσαι μοι. Verbum egregie

Κῦρος, ἐπείϑετο μὲν καὶ ἔμενεν· ἀνιαρὸς δὲ καὶ σκυϑρωπὸς ὢν, σιωπῇ διῆγεν. Ὁ μέντοι Ἀστυάγης, ἐπεὶ ἔγνω αὐτὸν λυπούμενον ἰσχυρῶς, βουλόμενος αὐτῷ χαρίσασϑαι, ἐξάγει ἐπὶ ϑήραν· καὶ πεζοὺς πολλοὺς καὶ ἱππέας συναλίσας, καὶ τοὺς παῖδας, καὶ συνελάσας εἰς τὰ ἱππάσιμα χωρία τὰ ϑηρία, ἐποίησε μεγάλην ϑήραν. Καὶ βασιλικῶς δὲ αὐτὸς παρὼν, ἀπηγόρευε μηδένα βάλλειν, πρὶν Κῦρος ἐμπλησϑείη βάλλων. Ὁ δὲ Κῦρος οὐκ εἴα κωλύειν. Ἀλλ', εἰ βούλει, ἔφη, ὦ πάππε, ἡδέως με ϑηρᾶν, ἄφες πάντας τοὺς κατ' ἐμὲ διώκειν καὶ διαγωνίζεσϑαι, ὅπως ἕκαστος τὰ κράτιστα δύναιτο. Ἐνταῦϑα δὴ ὁ Ἀστυάγης ἀφίησι· καὶ στὰς ἐϑεᾶτο τοὺς ἁμιλλωμένους ἐπὶ τὰ ϑηρία, καὶ φιλονεικοῦντας, καὶ διώκοντας, καὶ ἀκοντίζοντας. Καὶ τῷ Κύρῳ ἥδετο, οὐ δυναμένῳ σιγᾶν ὑπὸ τῆς ἡδονῆς, ἀλλ' ὥσπερ σκύλακι γενναίῳ ἀνακλάζοντι, ὁπότε πλησιάζοι ϑηρίῳ, καὶ παρακαλοῦντι ὀνομαστὶ ἕκαστον. Καὶ τοῦ μὲν καταγελῶντα αὐτὸν ὁρῶν εὐφραίνετο, τὸν δέ τινα καὶ ἐπαινοῦντα αὐτὸν ᾐσϑάνετο οὐδ' ὁπωστιοῦν φϑονερῶς. Τέλος δ' οὖν, πολλὰ ϑηρία ἔχων ὁ Ἀστυάγης, ἀπῄει. Καὶ τολοιπὸν οὕτως ἥσϑη τῇ τότε ϑήρᾳ, ὥστε ἀεὶ, ὁπότε οἷόν τε εἴη,

ad h. l. illustravit Wyttenbach in Eclogis p. 380.

14. ἔμενεν] Guelf. ἔμεινεν.

ὢν σιωπῇ] Altorf. ὢν καὶ σιωπῇ.

χαρίσασϑαι] Guelf. χαρίζεσϑαι cum Brem.

τὰ ϑηρία] Omisit Altorf.

βασιλικῶς δὲ] Ita pro δὴ Altorf. παρὼν αὐτὸς Guelf. Brem.

βάλλων] Lectionem ϑηρῶν Brodæi libri, Guelf. Brem. et Philel. habent: ἐμπλησϑῇ Brem.

βούλει, ἔφη] Alt. ἔφη omittit.

πάντας τοὺς] Guelf. τοὺς κατ' ἐμὲ πάντας——ἀγωνίζεσϑαι——κράτιστος. Brem. τοὺς κατ' ἐμὲ π.—ἕκαστος κράτιστα. Ordinem Codicis scripti τοὺς κατ' ἐμὲ πάντας probo. Sed exemplum desidero neutrius casus pluralis, κράτιστα, cum articulo non simpliciter positi pro κρατίστως, sed cum ὅπως copulati, ut in latino, quam quisque potuerit optime.

15. τοὺς ἁμιλλωμένους] Guelf. Brem. Altorf. τοὺς omittunt, ut deinceps τῷ ante Κύρῳ.

ἀνακλάζοντι] Guelf. ἀναγκάζοντι: deinceps πλησιάσει Brem. Postea καὶ τὸν μὲν καταγελῶντα Altorf.

ὁπωστιοῦν] Brem. ὁπωσοῦν. Guelf. ὅπως γοῦν.

ἥσϑη τῇ τότε ϑήρᾳ] Altorf. ἥδετο τῇ ϑήρᾳ, quæ mihi quidem unice vera videtur esse lectio.

συνεξήει τῷ Κύρῳ, καὶ ἄλλους τε πολλοὺς παρελάμβανε, καὶ τοὺς παῖδας, Κύρου ἕνεκα. Τὸν μὲν δὴ πλεῖστον χρόνον οὕτω διῆγεν ὁ Κῦρος, πᾶσιν ἡδονῆς μὲν καὶ ἀγαθοῦ τινος συναίτιος ὤν, κακοῦ δὲ οὐδενί.

Cyrus sedecim annos natus tirocinium ponit, et documentum artis imperatoriæ edit adversus Assyrios.

16 Ἀμφὶ δὲ τὰ πέντε ἢ ἑκκαίδεκα ἔτη αὐτοῦ γενομένου, ὁ υἱὸς τοῦ τῶν Ἀσσυρίων βασιλέως, γαμεῖν μέλλων, ἐπεθύμησε καὶ αὐτὸς θηρᾶσαι εἰς τοῦτον τὸν χρόνον. Ἀκούων οὖν, ἐν τοῖς μεθορίοις τοῖς τε αὐτῶν καὶ τοῖς Μήδων πολλὰ θηρία εἶναι, ἅτε ἀθήρευτα ὄντα διὰ τὸν πόλεμον, ἐνταῦθα ἐπεθύμησεν ἐξελθεῖν. Ὅπως οὖν ἀσφαλῶς θηρῴη, ἱππέας τε προσέλαβε πολλοὺς καὶ πελταστὰς, οἵτινες ἔμελλον αὐτῷ ἐκ τῶν λασίων τὰ θηρία ἐξελᾶν εἰς τὰ ἐργάσιμά τε καὶ εὔηλατα. Ἀφικόμενος δὲ, ὅπου ἦν αὐτῷ τὰ φρούρια καὶ ἡ φυλακὴ, ἐνταῦθα ἐδειπνοποιεῖτο, ὡς πρωῒ τῇ ὑστεραίᾳ θηράσων.

17 Ἤδη δὲ ἑσπέρας γενομένης, ἡ διαδοχὴ τῇ πρόσθεν φυλακῇ ἔρχεται ἐκ πόλεως, καὶ πεζοὶ καὶ ἱππεῖς. Ἔδοξεν οὖν αὐτῷ πολλὴ στρατιὰ παρεῖναι, δύο γὰρ ὁμοῦ ἦσαν φυλακαὶ καὶ πολλοὺς αὐτὸς ἔχων ἧκεν ἱππέας καὶ πεζούς. Ἐβουλεύσατο οὖν κράτιστον εἶναι λεηλατῆσαι ἐκ τῆς Μηδικῆς· καὶ λαμπρότερόν τε ἂν φανῆναι

τὸν μὲν δὴ] Guelf. τὸν μὲν οὖν.

οὐδενὶ] Guelf. Brem. οὐδενὸς cum Philelpho, οὐδενὸς οὐδενὶ malebat Weiske.

16. ἑκκαίδεκα] Stephanus ἓξ καὶ δέκα malebat; vere, puto. Altorf. ἕνδεκα—γιγνομένου.

γενομένου] Guelf. Brem. γινομένου αὐτοῦ.

ὁ υἱὸς τοῦ] Altorf. ὁ υἱὸς ὁ τοῦ.

καὶ αὐτὸς] Ita ex Philelphi versione scribi volebat etiam Weiske.

ἅτε—ὄντα] Hæc Guelf. omittit; ἅτε etiam Brem.

ἐκ τῶν λασίων] Hæc ex libris Brodæi, Philelphi, Guelf. Brem. Altorf. Bodl. recte adjecit cum Hutchinsono Zeune. ἐξελᾶν est futurum atticum pro ἐξελάσειν.

αὐτῷ] Philel. Guelf. Brem. Altorf. αὐτοῖς. deinceps πρωῒ non expressit Philel. πρὸς est in Brem.

17. γενομένης] Junt. γινομένης. Altorf. γιγνομένης.

πεζοὶ καὶ ἱππεῖς] Ordinem invertunt Philel. Guelf. Brem. Altorf.

δύο γὰρ] Ita libri Brodæi et Philelphi pro vulgatis δύο μὲν φ. ὁμοῦ οὖσαι πολλοὶ δὲ, οὓς αὐτὸς ἔχων ἧκε. Guelf. mecum facit, nisi quod πολλούς τε αὐτὸς ἔχων ἧκεν. Brem. δύο μὲν φ. ὁ οὖσαι, καὶ πολλούς τε αὐτὸς ἧκεν ἱππέας. Altorf. ἧκεν ἔχων.

τὸ ἔργον τῆς θήρας, καὶ ἱερείων πολλὴν ἀφθονίαν ἐνόμιζε γενήσεσθαι. Οὕτω δὴ πρωῒ ἀναστὰς, ἦγε τὸν στρατόν· καὶ τοὺς μὲν πεζοὺς καταλείπει ἀθρόους ἐν τοῖς μεθορίοις, αὐτὸς δὲ τοῖς ἵπποις προσελάσας πρὸς τὰ τῶν Μήδων φρούρια, τοὺς μὲν βελτίστους καὶ πλείστους ἔχων μεθ' ἑαυτοῦ, ἐνταῦθα κατέμεινεν, ὡς μὴ βοηθοῖεν οἱ φρουροὶ τῶν Μήδων ἐπὶ τοὺς καταθέοντας· τοὺς δ' ἐπιτηδείους ἀφῆκε κατὰ φυλὰς ἄλλους ἄλλοσε καταθεῖν· καὶ ἐκέλευε, περιβαλλομένους ὅτῳ τις ἐντυγχάνοι, ἐλαύνειν πρὸς ἑαυτόν. Οἱ μὲν δὴ ταῦτα ἔπραττον.

Σημανθέντων δὲ τῷ Ἀστυάγει, ὅτι πολέμιοί εἰσιν ἐν 18
τῇ χώρᾳ, ἐξεβοήθει καὶ αὐτὸς πρὸς τὰ ὅρια σὺν τοῖς περὶ αὐτὸν, καὶ ὁ υἱὸς αὐτοῦ ὡσαύτως σὺν τοῖς παρατυχοῦσιν ἱππόταις, καὶ τοῖς ἄλλοις δὲ ἐσήμαινε πᾶσιν ἐκβοηθεῖν. Ὡς δὲ εἶδον πολλοὺς ἀνθρώπους τῶν Ἀσσυρίων συντεταγμένους, καὶ τοὺς ἱππέας ἡσυχίαν ἄγοντας, ἔστησαν καὶ οἱ Μῆδοι. Ὁ δὲ Κῦρος, ὁρῶν ἐκβοηθοῦντας καὶ τοὺς ἄλλους πασσυδὶ, ἐκβοηθεῖ καὶ αὐτὸς, πρῶτον τότε ὅπλα ἐνδὺς, οὔποτε οἰόμενος· οὕτως ἐπεθύμει αὐτοῖς

πολλὴν] Guelf. Brem. παμπόλλην.

γενήσεσθαι] Guelf. et Brem. γενέσθαι. At ita ἱερείων ἂν πολλὴν legendum esse recte monuit Fischerus. ἱερίων ἂν πολλὴν γενήσεσθαι est in Altorf.

τὸν στρατὸν] Guelf. στράτευμα, Brem. τὸ στράτευμα, quod etiam margo Steph. annotavit.

καταλείπει] Guelf. Brem. κατέλιπεν, Brodæi liber κατέλειπεν, priorem formam recepit Zeune.

ἐκέλευε] Stephanus ἐκέλευσε malebat propter ἀφῆκε.

ὅτῳ τις] Suidas in περιβαλλομένους et Guelf. ὅπως τις ἐπιτυγχάνει. Brem. ὅπως τις ἐπιτυγχάνοι. *prout quis incideret* Philelphus.

πρὸς ἑαυτὸν] Guelf. Brem. πρὸς τοῦτον, Suidas πρὸς αὐτόν.

18. ἐξεβοήθει] Ita Guelf. et Brem. pro ἐκβοηθεῖ. deinceps πρὸς τὰ ὄρεια Altorf.

ἀνθρώπους] Ita cum Isingr. pro ἀνθρώπων Stephanus aliique; ἄνθρωποι, equitibus oppositi h. l. sunt pedites.

ἄγοντας] Guelf. Altorf. ἔχοντας.

πασσυδὶ] Altorf. πανσυδί. sed litera abrasa est.

οὔποτε οἰόμενος] Canterus Nov. Lect. 7, 19. conjiciebat ἑώμενος vel εἰάμενος; Stephanus ὡς vel ὅσαν οὔποτε ἡδόμενος; Leunclavius distinguebat οὔποτε οἰόμενος οὕτως ὡς ἐπεθύμει, αὐτοῖς ἐξ. Verum ipse Stephanus in secunda, uti Camerarius et Muretus in Var. Lect. vulgatam lectionem defenderunt et de summa Cyri cupiditate explicarunt, qua occasionem

ἐξοπλίσασθαι. Καὶ γὰρ μάλα καλὰ ἦν, καὶ εὖ ἁρμόττοντα αὐτῷ, ἃ ὁ πάππος περὶ τὸ σῶμα ἐπεποίητο. Οὕτω δὴ ἐξοπλισάμενος, προσήλασε τῷ ἵππῳ. Καὶ ὁ Ἀστυάγης ἰδὼν, ἐθαύμασε μὲν, τίνος κελεύσαντος ἥκοι·
19 ὅμως δ' εἶπεν αὐτῷ μένειν παρ' ἑαυτῷ. Ὁ δὲ Κῦρος, ὡς εἶδε πολλοὺς ἱππέας ἀντίους, ἤρετο, Ἦ οὗτοι, ἔφη, ὦ πάππε, πολέμιοί εἰσιν, οἳ ἐφεστήκασι τοῖς ἵπποις ἠρέμα; Πολέμιοι μέντοι, ἔφη. Ἦ καὶ ἐκεῖνοι, ἔφη, οἱ ἐλαύνοντες; Καὶ ἐκεῖνοι μέντοι. Νὴ τὸν Δί', ἔφη, ὦ πάππε, ἀλλ' οὖν πονηροί γε φαινόμενοι καὶ ἐπὶ πονηρῶν ἱππαρίων, ἄγουσιν ἡμῶν τὰ χρήματα· οὐκοῦν χρὴ ἐλαύνειν τινὰς ἡμῶν ἐπ' αὐτούς. Ἀλλ' οὐχ ὁρᾷς, ἔφη, ὦ παῖ, ὅσον τὸ στῖφος τῶν ἱππέων ἕστηκε συντεταγμένον; οἳ, ἢν ἐπ' ἐκείνους ἡμεῖς ἐλαύνωμεν, ὑποτεμοῦνται πάλιν ἡμᾶς ἐκεῖνοι· ἡμῖν δὲ οὔπω ἡ ἰσχὺς πάρεστιν. Ἀλλ' ἢν σὺ μένῃς, ἔφη ὁ Κῦρος, καὶ ἀναλαμβάνῃς τοὺς προσβοηθοῦντας, φοβήσονται οὗτοι, καὶ οὐ κινήσονται· οἱ δ' ἄγοντες ἀφήσουσιν εὐθὺς τὴν λείαν, ἐπειδὰν ἴδωσί τινας ἐπ' αὐτοὺς ἐλαύνοντας.

ſumendi arma arripuerit inexſpectatam et oblatam ante ſperatum tempus.

ἐξοπλίσασθαι] Guelf. ὁπλίσασθαι, μάλα δὲ καλὰ ἦν καὶ ἁρμόζοντα. Brem. ἐξ. μάλα δὲ καλὰ ἦν καὶ ἁρμόττοντα.

ἃ ὁ πάππος] Recte ἃ οἱ ὁ πάππος corrigebat Weiſke.

ἰδὼν] Omittit Guelf. deinceps παρ' ἑαυτῷ cum Brodæo Stephanus dedit pro ἑαυτὸν, quæ eſt Edd. vett. et librorum ſcriptorum omnium lectio.

19. ἠρέμα] Altorf. ἠρεμῶντες.

οἱ ἐλαύνοντες] Muretus in libris quibuſdam veteribus ait eſſe οἱ πλανῶντες.

ἱππαρίων] Ex Hermogene περὶ ἰδεῶν 2. c. 3. ubi eſt ὀχοῦνται additum, Leunclavius ὀχούμενοι additum orationi inſeruit Xenophonteæ. Locus eſt Hermogenis hic: αὐτοί τε πονηροὶ εἰσὶ, λέγων τοὺς Ἀσσυρίους ὁ Κῦρος, καὶ ἐπὶ πονηρῶν ἱππαρίων ὀχοῦνται. Unde malim h. l. legere πονηροί τε αὐτοὶ καὶ ἐπὶ πονηρῶν ἱππαρίων φαινόμενοι.

οὐκοῦν χρὴ] Altorf. ἔφη addit deinceps.

συντεταγμένον] Guelf. σὺν τοῖς ἵπποις. Brem. συντεταγμένον σὺν τοῖς ἵπποις, οἳ ἦν. quam lectionem ſequitur Philelphus. οἳ ἂν Altorf.

πάλιν ἡμᾶς] Guelf. Altorf. et Suidas ἡμᾶς πάλιν, minus εὐφώνως. Brem. ἡμᾶς ἐκεῖνοι πάλιν.

ἡ ἰσχὺς] Articulum ex Guelf. Brem. et Suida in ὑποτεμέσθαι reſtituit Zeune.

Ἀλλ' ἢν] Altorf. ἀλλ' ἂν.

ἐπ' αὐτοὺς] Muretus ἐφ' αὐτοὺς malebat.

Ταῦτ᾽ εἰπὼν, ἔδοξέ τι λέγειν τῷ Ἀστυάγει. Καὶ ἅμα 20
θαυμάζων, ὡς καὶ ἐφρόνει καὶ ἐγρηγόρει, κελεύει τὸν
υἱὸν, λαβόντα τάξιν ἱππέων ἐλάσαι ἐπὶ τοὺς ἄγοντας τὴν
λείαν. Ἐγὼ δὲ, ἔφη, ἐπὶ τούσδε, ἢν ἐπὶ σὲ κινῶνται,
ἐλῶ· ὥστε ἀναγκασθήσονται ἡμῖν προσέχειν τὸν νοῦν.
Οὕτω δὴ ὁ Κυαξάρης, λαβὼν τῶν ἐῤῥωμένων ἵππων τε
καὶ ἀνδρῶν, προσελαύνει. Καὶ ὁ Κῦρος, ὡς εἶδεν ὁρμω-
μένους, συνεξορμᾷ εὐθὺς, καὶ αὐτὸς πρῶτος ἡγεῖτο τα-
χέως, καὶ ὁ Κυαξάρης μέντοι ἐφείπετο, καὶ οἱ ἄλλοι δὲ
οὐκ ἀπελείποντο. Ὡς δὲ εἶδον αὐτοὺς πελάζοντας οἱ
λεηλατοῦντες, εὐθὺς ἀφέντες τὰ χρήματα ἔφυγον. Οἱ 21
δ᾽ ἀμφὶ τὸν Κῦρον ὑπετέμνοντο, καὶ οὓς μὲν κατελάμ-
βανον, εὐθὺς ἔπαιον, πρῶτος δὲ ὁ Κῦρος· ὅσοι δὲ παραλ-
λάξαντες αὐτῶν ἔφθασαν, κατόπιν τούτους ἐδίωκον, καὶ
οὐκ ἀνίεσαν, ἀλλ᾽ ᾕρουν τινὰς αὐτῶν. Ὥσπερ δὲ κύων
γενναῖος, ἄπειρος, ἀπρονοήτως φέρεται πρὸς κάπρον,
οὕτω καὶ ὁ Κῦρος ἐφέρετο, μόνον ὁρῶν τὸ παίειν τὸν ἁλισ-
κόμενον, ἄλλο δ᾽ οὐδὲν προνοῶν. Οἱ δὲ πολέμιοι, ὡς
ἑώρων πονοῦντας τοὺς σφετέρους, προὐκίνησαν τὸ στῖφος,
ὡς παυσομένους τοῦ διωγμοῦ, ἐπεὶ σφᾶς ἴδοιεν προσορμή-
σαντας. Ὁ δὲ Κῦρος οὐδὲν μᾶλλον ἀνίει, ἀλλ᾽ ὑπὸ 22
τῆς χαρμονῆς ἀνακαλῶν τὸν θεῖον, ἐδίωκε· καὶ ἰσχυρὰν

20. Ταῦτα εἰπὼν] Ex Guelf. εἰπόντος αὐτοῦ difficiliorem multo lectionem recepit cum Zeunio Weiſke.

ἐλάσαι] Guelf. ἐλαύνειν. deinceps ἐλάσω Guelf. Brem. Bodl.

ἀναγκασθήσονται] Guelf. ἂν ἀναγκασθῆναι. Ita etiam Brem. ſed abſque ἄν.

ἵππων τε] Ita pro ἱππέων Philelphus, Guelf. Brem. Budenſis, Altorf.

συνεξορμᾷ] Guelf. ἐξορμᾷ, ſed correctum. Brem. ἐξορμᾷ omiſſo uterque εὐθὺς, ut Philelphus. Præterea ὁρμώμενος Guelf.

ταχέως] Muretus τάξεως malebat; ſaltem adeſſet articulus τῆς.

ἔφυγον] Guelf. ἔφευγον.

21. ὑπετέμνοντο] Brem. ἀνεχαιτίζοντο.

ἀλλ᾽ ᾕρουν] Altorf. καὶ ᾕρουν. quod probo.

πρὸς κάπρον] Demetrius ſect. 90. ἐπὶ κάπρον hinc laudat.

παυσομένους] Ita cum Guelf. Bodl. Altorf. pro παυσομένου auctore Fiſchero dedi. Ita ſect. 23. ὡς ἂν στησομένους.

προσορμήσαντας] Guelf. Brem. Bodl. προσορμ.

22. ἀνίει] Guelf. Brem. Bodl. ἀνιείς.

τὴν φυγὴν τοῖς πολεμίοις κατέχων ἐποίει. Καὶ ὁ Κυαξά-
ρης μέντοι ἐφείπετο, ἴσως μὲν καὶ αἰσχυνόμενος τὸν πα-
τέρα· καὶ οἱ ἄλλοι δὲ εἵποντο, προθυμότεροι ὄντες ἐν τῷ
τοιούτῳ εἰς τὸ διώκειν καὶ οἱ μὴ πάνυ πρὸς τοὺς ἐναντίους
ἄλκιμοι ὄντες. Ὁ δὲ Ἀστυάγης, ὡς ἑώρα τοὺς μὲν
ἀπρονοήτως διώκοντας, τοὺς δὲ πολεμίους ἀθρόους τε καὶ
τεταγμένους ἀπαντῶντας, δείσας περί τε τοῦ υἱοῦ καὶ
τοῦ Κύρου, μὴ εἰς παρεσκευασμένους ἀτάκτως ἐμπεσόν-
23 τες πάθοιέν τι, ἡγεῖτο εὐθὺς πρὸς τοὺς πολεμίους. Οἱ
δ' αὖ πολέμιοι, ὡς εἶδον τοὺς Μήδους προκινηθέντας,
διατεινάμενοι οἱ μὲν τὰ παλτὰ οἱ δὲ τὰ τόξα ἔστησαν,
ὡς ἄν, ἐπειδὴ εἰς τόξευμά γε ἀφίκοιντο, στησομένους,
ὥσπερ τὰ πλεῖστα εἰώθεσαν ποιεῖν. Μέχρι γὰρ τοσού-
του, ὁπότε ἐγγύτατα γίγνοιντο, προσήλαυνον ἀλλήλοις,
καὶ ἠκροβολίζοντο πολλάκις μέχρις ἑσπέρας. Ἐπεὶ δὲ
ἑώρων τοὺς μὲν σφετέρους φυγῇ εἰς αὐτοὺς φερομένους,
τοὺς δ' ἀμφὶ Κῦρον ὁμοῦ ἐπ' αὐτοὺς ἑπομένους, τὸν δὲ
Ἀστυάγην σὺν τοῖς ἵπποις ἐντὸς γιγνόμενον ἤδη τοξεύμα-
τος, ἐκκλίνουσι καὶ φεύγουσιν. Οἱ δέ, ἅτε ὁμόθεν διώ-

τὴν φυγὴν] Ita cum Philelpho Brodæus, cum vulgo effet φωνήν. Articulum omittit Guelf. reliqua fic exhibens : τοῖς πολεμίοις ἰσχυρῶς, καθὼς εἶχεν, ἐποίει. Budenfis καὶ ἰσχυρὰν τὴν φυγὴν τοῖς πολεμίοις ἰσχυρῶς καθ' ὡς εἶχεν, ἐποίει. Brem. ἰσχυρὰν φυγὴν—ἐποίει. omiffo κατέχεν. Bodl. καὶ ἰσχυρὰν φυγὴν—ἰσχυρῶς κατείχειν ἐποίει. Altorf. vulgatam habet, nifi quod ibi κατίσχων exftat. Zeune ἰσχυρῶς primus addidit et κατέχων ex antiqua fede poft ἐποίει retraxit, ἰσχυρῶς κατέχων fcribens.

ἐφείπετο] Guelf. ἀφείπετο, ἴσως καὶ αἰσχυνόμενος.

ἀπαντῶντας] Guelf. Brem. Altorf. ὑπαντῶντας.

23. ἔστησαν] Brodæus ἑστήκεσαν malebat ; Guelf. εἱστήκεισαν. ἀλλ' εἰς τόξευμα ἀφίκοντο στησόμενοι, correctum ἀλλ' ὡς εἰς. Brem. τόξευμα ἀφ. στησόμενοι. Altorf. ἡγεῖτο αὐτοῖς πρὸς—στησόμενοι fed per rafuram fcriptum habet. Etiam Philelphus στησόμενοι interpretatus eft.

εἰώθεσαν] Ita pro εἰώθασι ex Guelf. et Brem. fcripfi.

γίγνοιντο] Bodl. γίνοιντο, Guelf. γένοιντο.

εἰς αὐτοὺς] Guelf. εἰς ἑαυτοὺς ut Brem.

ὁμοῦ ἐπ' αὐτοὺς ἑπομένους] Guelf. ἐπ' αὐτοὺς ὁμοῦ φερομένους. Etiam Brem. et Philel. φερομένους habent. Articulum ante Κῦρον Guelf. et Brem. addunt.

φεύγουσιν] Pergit Guelf. ὁμόθεν διώκοντας ἀνὰ κράτος. ἤρουν δὲ πολλούς. quæ varietas eft etiam in margine Steph. et Leuncl. nifi quod διώκοντες ibi eft : eandem lectionem expreffit

κοντες, ᾕρουν πολλοὺς ἀνὰ κράτος· καὶ τοὺς μὲν ἁλισκο-
μένους ἔπαιον, καὶ ἵππους καὶ ἄνδρας, τοὺς δὲ πίπτον-
τας κατέκαινον· καὶ οὐ πρόσθεν ἔστησαν, πρὶν ἢ πρὸς
τοῖς πεζοῖς τῶν Ἀσσυρίων ἐγένοντο. Ἐνταῦθα μέντοι
δείσαντες, μὴ καὶ ἐνέδρα τις μείζων ὑπείη, ἐπέσχον.
Ἐκ τούτου δὴ ἀνήγαγεν ὁ Ἀστυάγης, μάλα χαίρων τῇ 24
ἱπποκρατίᾳ· καὶ τὸν Κῦρον οὐκ ἔχων ὅ τι χρὴ λέγειν·
αἴτιον μὲν εἰδὼς ὄντα τοῦ ἔργου, μαινόμενον δὲ γιγνώσκων
τῇ τόλμῃ. Καὶ γὰρ τότε ἀπιόντων οἴκαδε τῶν ἄλλων,
μόνος ἐκεῖνος οὐδὲν ἄλλο ἢ τοὺς πεπτωκότας περιελαύνων
ἐθεᾶτο· καὶ μόλις αὐτὸν ἀφελκύσαντες οἱ ἐπὶ τοῦτο
ταχθέντες, προσήγαγον τῷ Ἀστυάγει, μάλα ἐπίπροσ-
θεν ποιούμενον τοὺς προσάγοντας, ὅτι ἑώρα τὸ πρόσωπον
τοῦ πάππου ἠγριωμένον ἐπὶ τῇ θέᾳ τῇ αὐτοῦ.

Ἐν μὲν δὴ Μήδοις ταῦτα ἐγεγένητο· καὶ οἵ τε ἄλλοι 25
πάντες τὸν Κῦρον διὰ στόματος εἶχον καὶ ἐν λόγῳ καὶ ἐν
ᾠδαῖς· ὅ τε Ἀστυάγης, καὶ πρόσθεν τιμῶν αὐτὸν, τότε
ὑπερεξεπέπληκτο ἐπ᾽ αὐτῷ. Καμβύσης δὲ, ὁ τοῦ Κύ-
ρου πατὴρ, ἥδετο μὲν πυνθανόμενος ταῦτα· ἐπεὶ δ᾽ ἤκου-
σεν ἀνδρὸς ἤδη ἔργα διαχειριζόμενον τὸν Κῦρον, ἀπεκάλει
δὴ, ὅπως τὰ ἐν Πέρσαις ἐπιχώρια ἀποτελοίη. Καὶ τὸν

Cyrum in Perſas redeuntem deducunt Medi magno comitatu, quorum unus ejus pulchritudine captus ægre ab eo diſcedit.

Philelphus: *ἀνὰ κράτος ἥρουν πολλοὺς* Brem. *κατὰ κράτος* Altorf.

ἀνὰ κράτος· καὶ] *κατὰ κράτος* habet Altorf. liber. Copulam Caſtalio primus inſeruit.

κατέκαινον] Junt. Iſingr. Baſil. Mel. *ἔκαινον*. Altorf. *ἐκᾶιον* ſic.

μείζων] Omiſit Philelphus; recte; puto: nam de inſidiis nihil præceſſit.

24. *ἀνήγαγεν*] Guelf. Brem. *ἀνῆγεν*. deinceps *μᾶλλον χαίρων καὶ* Guelf. *καὶ ἱπποκρατίᾳ* interpretatur etiam Philelphus.

ἔχων ὅ τι] Junt. cum Altorf. *ἔχων λέγειν ὅ τι*: deinceps *ὄντα εἰδὼς* Guelf.

μόνος] Guelf. Brem. *μόνος τῶν ἄλλων*.

αὐτοῦ] Ald. Guelf. *αὐτοῦ*, Junt. Altorf. *ἑαυτοῦ*. Ceterum locum hunc laudat Suidas in *ἐπίπροσθεν*.

25. *ἐγεγένητο*] Ita Edd. vett. Guelf. Bodl. Brem. *ἐγένητο* Altorf. *ἐγίνετο* malebat Stephanus, qui *ἐγένετο* edidit. deinceps *ἐπὶ στόματος* Altorf.

ἔχειν] Guelf. ἕξειν μετ᾽ ἐμαυτοῦ ἄνδρας, eundem verborum ordinem ſervat Brem. ἄνδρας ἔχειν Altorf. ἕξειν vertit etiam Philelphus.

16. Πρὸς τοῦτο—εἶπεν] Guelf. et Brem. πρὸς ταῦτα—ἔφη.

οὗτοι μὲν] Guelf. οὗτοι οὓς μέν.

ἠπηταὶ] Ita Guelf. Brem. Lugd. Batav. margo Guelf. vulgatum ἀκεσταὶ, præfert etiam Hemſterh. ad Thomam M. p. 26.

οἱ ἰατροὶ] Articulum ex Guelf. Altorf. addidi cum Zeunio: οὕτως οἱ ἰατροὶ Brem. deinceps νοσῶσιν Brem. et margo Steph. probante Fiſchero ad Weller. ii. p. 359.

τούτους· σοὶ δὲ τούτου μεγαλοπρεπεστέρα ἔσται ἡ τῆς
ὑγιείας ἐπιμέλεια· τοῦ γὰρ [τὴν] ἀρχὴν μὴ κάμνειν τὸ
στράτευμα, τούτου σοὶ δεῖ μέλειν. Καὶ τίνα δὴ, ἔφη, ὦ
πάτερ, ὁδὸν ἰὼν, τοῦτο πράττειν ἱκανὸς ἔσομαι; Ἂν μὲν
δήπου χρόνον τινὰ μέλλῃς ἐν τῷ αὐτῷ μένειν, ὑγιεινοῦ δεῖ
πρῶτον στρατοπέδου μὴ ἀμελῆσαι· τούτου δὲ οὐκ ἂν
ἁμάρτοις, ἐάν περ μέλῃ σοι. Καὶ γὰρ λέγοντες οὐδὲν
παύονται οἱ ἄνθρωποι περί τε τῶν νοσηρῶν χωρίων καὶ
τῶν ὑγιεινῶν· μάρτυρες δὲ σαφεῖς ἑκατέροις αὐτῶν πα-
ρίστανται τά τε σώματα καὶ τὰ χρώματα. Ἔπειτα
δὲ, οὐ τὰ χωρία μόνον ἀρκέσει σκέψασθαι, ἀλλὰ μνή-
σθητι, πῶς πειρᾷ σὺ ἐπιμελεῖσθαι σεαυτοῦ, ὅπως
ὑγιαίνῃς. Καὶ Κῦρος εἶπε, Πρῶτον μὲν πειρῶμαι, νὴ 17
Δία, μηδέποτε ὑπερεμπίπλασθαι· δύσφορον γάρ· ἔπειτα
δὲ ἐκπονῶ τὰ εἰσιόντα· οὕτω γάρ μοι δοκεῖ ἥ τε ὑγίεια
μᾶλλον παραμένειν, καὶ ἰσχὺς προσγίνεσθαι. Οὕτω
τοίνυν δεῖ, ἔφη, ὦ παῖ, καὶ τῶν ἄλλων ἐπιμελεῖσθαι.
Ἦ καὶ σχολὴ, ἔφη, ἔσται, ὦ πάτερ, σωμασκεῖν τοῖς
στρατιώταις; Οὐ μὰ Δί', ἔφη ὁ πατὴρ, οὐ μόνον γε,

σοὶ δὲ τούτου] τούτων vertit Philelphus.

τοῦ γὰρ τὴν ἀρχὴν] Junt. Basil. Mel. Castalio cum Altorf. ὥστε γὰρ ἀρχήν. Guelf. τὸ γὰρ ἀρχήν. Igitur τὴν cum Zeunio seclusi.

τίνα δὴ] Guelf. et Brem. τίνα δ' ἐγὼ—πράσσειν. deinceps ἢν pro ἂν Guelf. postea πρῶτον δεῖ cum Brem.

ἐάν περ μέλῃ] Brem. ἄν περ μελήσῃ σοι Altorf. etiam ἄν περ.

νοσηρῶν] Brem. νοσωδῶν deinceps περὶ τῶν ὑγιεινῶν Guelf. Altorf.

μάρτυρες δὲ] Altorf. καὶ μά. δέ.

ἀρκέσει] Guelf. Brem. et Philelphus ἀρκεῖ.

μνήσθητι] Guelf. μνησθῆναι τό σοι —πειρᾷ σαυτοῦ ἐπιμ. margo μνήσθητι σύ. Brem. μνησθῆναι—πειρᾷ σαυτοῦ ἐπιμ. Altorf. πειρᾷ ἐπιμ.—ὑγιαίνεις. Brodæus ex aliis libris πειράσῃ affert. Fischerus μνησθῆναι δεήσει aut δεῖ, σὺ πῶς πειρᾷ σαυτοῦ ἐπιμ. in libris olim scriptum fuisse suspicabatur, unde Philelphus dedit: *sed meminisse etiam debes, quid ipse observes, ut bene valeas.* Equidem ὅπως ὑγιανεῖς malim scriptum ex vestigiis Altorf. qui deinde καὶ ὁ Κῦρος εἶπεν dat.

17. πειρῶμαι, νὴ δία] Guelf. Brem. νὴ δία, πειρ. deinceps ὑπερεμπίμπλ. Guelf.

προσγίνεσθαι] Guelf. προσγενέσθαι.

τοίνυν δεῖ, ἔφη] Brem. τοίνυν, ἔφη, ἄλλων δεῖ ἐπιμ. quem ordinem restituit Zeune. In Altorf. τοίνυν δὴ—ἄλλων δεῖ, sed δεῖ ab aliena manu scriptum erat.

ἔφη, ἔσται, ὦ πάτερ] Brem. σχολὴ ἔσται, ὦ πάτερ, ἔφη. Altorf. ὦ πάτερ, ἔσται.

ἀλλὰ καὶ ἀνάγκη. Δεῖ γὰρ δήπου στρατιὰν, εἰ μέλ-
λει πράξειν τὰ δέοντα, μηδέποτε παύεσθαι ἢ τοῖς πολε-
μίοις κακὰ πορσύνουσαν, ἢ ἑαυτῇ ἀγαθά. Ὡς χαλε-
πὸν μὲν καὶ ἕνα ἄνθρωπον ἀργὸν τρέφεσθαι, πολὺ δ᾽
ἔτι, ὦ παῖ, χαλεπώτερον οἶκον ὅλον· πάντων δὲ χαλε-
πώτατον στρατιὰν ἀργὸν τρέφειν. Πλεῖστά τε γὰρ τὰ
ἐσθίοντα ἐν στρατιᾷ, καὶ ἀπ᾽ ἐλαχίστων ὁρμώμενα, καὶ
οἷς ἂν λάβῃ δαψιλέστατα χρώμενα· ὥστε οὐδέποτε
18 προσήκει στρατιὰν ἀργεῖν. Λέγεις σὺ, ἔφη, ὦ πάτερ,
ὡς ἐμοὶ δοκεῖ, ὅτι, ὥσπερ οὐδὲ γεωργοῦ ἀργοῦ οὐδὲν ὄφε-
λος, οὕτως οὐδὲ στρατηγοῦ ἀργοῦ οὐδὲν ὄφελος εἶναι.
Τὸν δέ γε ἐργάτην στρατηγὸν ἐγὼ, ἔφη, ἀναδέχομαι (ἢν
μή τις θεὸς βλάπτῃ) ἅμα καὶ τὰ ἐπιτήδεια μάλιστα
ἔχοντας τοὺς στρατιώτας ἀποδείξειν, καὶ τὰ σώματα
ἄριστα ἔχοντας παρασκευάσειν. Ἀλλὰ μέντοι τό γε
μελετᾶσθαι, ἔφη, ἕκαστα τῶν πολεμικῶν ἔργων, ἀγῶνας

κακὰ πορσύνουσαν] Ita Stobæus Bodl. Guelf. Brem. alii libri, καταπορσύνουσαν κακά. Altorf. μήποτε—κακὰ καταπορσύνουσαν ἢ ἑαυτοῖς ἀγαθά: quam lectionem equidem probaverim, quoniam eſt elegantior et a Stobæo etiam ſervata.

πολὺ δ᾽ ἔτι] Guelf. πολὺ δέ τι. Brem. πολὺ δέ τοι. Altorf. χαλεπώτερον, ὦ παῖ.

ἀργὸν] Stobæus, Guelf. a manu correctoris ἀργήν. In Altorf. ἀργὴν eſt, ſed fuerat antea ἀρχήν.

Πλεῖστά τε γὰρ] Ita Guelf. Brem. πλεῖστα γὰρ ἐσθίει στρατιὰ Stobæus; Brodæus ex libris affert πλεῖστα γὰρ ἔθνη στρατιὰ καὶ ἀπ᾽ ἐλαχίστων ὁρμώμενα, καὶ οἷς ἂν λάβῃ δαψιλέστατα χρωμένη. Stephanus corrigebat ὁρμωμένη—χρωμένη. Muretus affert ὀρκώμενα, unde efficit ἀρκούμενα. Zeunius vertit: *et rerum quibus inſtructi domo ad bellum proficiſcuntur, eſt copia admodum pauca.* Camerarius *et copiæ ad parandum exiguæ.* Mihi quæ placeat lectio, nulla in libris adeſt.

προσήκει] Guelf. οὔποτε δεήσει, ſed margo προσήκει. Brem. οὔποτε ἀργεῖν πρ. στρατιάν. Stephanus poſuit lectionem οὐδέποτε ἀργεῖν δεήσει στρατιάν. Bodl. οὔποτε ἀργεῖν δεήσῃ στρατιὰν, margo προσήκει, quod Philelphus expreſſit.

18. ὡς ἐμοὶ δοκεῖ] Guelf. ἐμοὶ ὡς δ. ὅτι περ ὡς οὐδὲ, quam lectionem recepit Zeune: Brodæi libri ὅτι ὡς οὐδέ. Etiam Brem. ὅτι περ ὡς οὐδέ. unde Fiſcherus effecit, quod dedi. Vulgo ὅτι omiſſo erat ὥσπερ. Deinceps priore ἀργοῦ omiſſo Brem. ἀργοῦντος poſt στρατηγοῦ habet.

τὸν δέ γε] Altorf. τὸν δὲ στρατηγὸν ἐργάτην ἔγωγε ἔφη, deinceps ἔχοντας μάλιστα Stobæus.

τό γε μελετᾶσθαι] Guelf. Brem. μέντοι, ἔφη, τό γε μελ. quod recepit Zeune. poſtea πολεμίων ἔργων Stobæus. Ceterum ad ſententiam intellige ab initio εἰς τό γε μελετᾶσθαι, ut ſectione ſequenti.

ἀγῶνας ἄν τινάς] Stobæus et Bodl. ἀγῶνας ἄν τις. Stephanus annotavit alicunde ἀγῶνα ἄν τινα, quæ eſt lectio Brem. Ex antecedentibus niſi

ἄν τινάς μοι δοκεῖ, ὦ πάτερ, προειπὼν ἑκάστοις, καὶ ἆθλα προτιθεὶς, μάλιστ᾽ ἂν ποιεῖν εὖ ἀσκεῖσθαι ἕκαστα, ὥστε, ὁπότε δέοιτο, ἔχειν ἂν παρεσκευασμένοις χρῆσθαι. Κάλλιστα λέγεις, ἔφη, ὦ παῖ· τοῦτο γὰρ ποιήσας, σάφ᾽ ἴσθι, ὥσπερ χοροὺς, τὰς τάξεις ἀεὶ τὰ προσήκοντα μελετώσας θεάσῃ.

19 Ἀλλὰ μὴν, ἔφη ὁ Κῦρος, εἴς γε τὸ προθυμίαν ἐμβαλεῖν στρατιώταις οὐδέν μοι δοκεῖ ἱκανώτερον εἶναι, ἢ τὸ δύνασθαι ἐλπίδας ἀγαθὰς ἐμποιεῖν ἀνθρώποις. Ἀλλ᾽, ἔφη, ὦ παῖ, τοῦτό γε τοιοῦτόν ἐστιν, οἷόνπερ εἴ τις κύνας ἐν θήρᾳ ἀνακαλοῖτο ἀεὶ τῇ κλήσει, οἵαπερ, ὅταν τὸ θηρίον ὁρᾷ. Τὸ μὲν γὰρ πρῶτον προθύμως, εὖ οἶδ᾽, ὅτι ἔχει ὑπακουούσας· ἢν δὲ πολλάκις ψεύδηται αὐτὰς, τελευτῶσαι, οὐδ᾽ ὁπόταν ἀληθῶς ὁρῶν καλῇ, πείθονται αὐτῷ. Οὕτω καὶ τὸ περὶ τῶν ἐλπίδων ἔχει· ἢν πολλάκις προσδοκίας ἀγαθῶν ἐμβαλὼν ψεύδηταί τις, τελευτῶν, οὐδ᾽ ὁπόταν ἀληθεῖς ἐλπίδας λέγῃ ὁ τοιοῦτος, πείθειν δύναται. Ἀλλὰ τοῦ μὲν αὐτὸν λέγειν, ἃ μὴ σαφῶς εἰδείη, φείδεσθαι δεῖ, ὦ παῖ· ἄλλοι δ᾽ ἐνίοτε λέ-

5) de artibus, quibus effici poſſit, ut milites non modo coacti et inviti, ſed volentes ac lubentes imperatori pareant.

στρατηγοὺς repetere malis, equidem ἄν τις præferam.

δοκεῖ] Guelf. δοκῇ, ἔφη. unde Zeune peſſime δοκῇ recepit. deinde προστιθεὶς Altorf.

μάλιστ᾽ ἂν] Stobæus ἂν omittit Altorf. εὖ ante ἀσκεῖσθαι omittit.

ἕκαστα, ὥστε] Guelf. Brem. Bodl. ὥστε ἕκαστα.

Κάλλιστα λέγεις] In margine Altorf. λέγειν ſcriptum eſt.

θεάσῃ] Altorf. θεάσει Attice.

19. εἴς γε] Vulgatum εἴς τε ita ex lectione Stobæi τόγε εὐθυμίαν correxit Stephanus. ἐμβάλλειν Altorf. τοῖς ante στρατιώταις ex Stobæo reſtituit Zeune.

ἀγαθὰς] Brem. omittit.

ἀλλ᾽, ἔφη] Stobæus ἀλλὰ μὴν, ἔφη. Altorf. ἐν θήραις.

οἵαπερ] Guelf. et Bodl. ἧπερ. Brem. Altorf. ἧπερ. Stephanus non ſolum ἧπερ ſed etiam οἵαπερ commemorat.

ὁρᾷ] Edd. primæ ὁρῶσι cum Altorf. correxit Brodæus.

εὖ οἶδ᾽] In Edd. primis omiſſum εὖ addidit Brodæus, deinceps ὑπακοῦσαι Guelf. ὑπακούσας Brem.

τελευτῶσαι] Edd. primæ cum Guelf. αὐτὰς τελευτώσας, οὐδ᾽. correxit Brodæus.

τὸ περὶ τῶν] Ita libri Brodæi, Stobæi, Brem. Altorf. Ab Editis τὸ abeſt. deinceps ἢν γὰρ malebat Zeune.

ἐμβαλὼν] Stobæus ἐμβάλλων. ſequens τελευτῶν omittit Brem. et deinceps οὐδ᾽ ὁπότε habet.

ἃ μὴ] Stobæus ἐὰν μή.

φείδεσθαι] Guelf. Bodl. εἴργεσθαι, vulgata in margine annotata.

ἄλλοι δ᾽ ἐνίοτε] Brem. ἄλλοι δὲ λέ-

γοντες ταυτὸ διαπράττοιεν ἄν· τὴν δὲ αὐτοῦ παρόρμησιν
εἰς τοὺς μεγίστους κινδύνους δεῖ ὡς μάλιστα ἐν πίστει
διασώζειν. Ἀλλά, ναὶ μὰ τὸν Δία, ἔφη ὁ Κῦρος, ὦ
πάτερ, καὶ καλῶς μοι δοκεῖς λέγειν, καὶ ἐμοὶ οὕτως
20 ἥδιον. Τοῦ γε μὴν πειθομένους παρέχεσθαι τοὺς στρα-
τιώτας οὐκ ἀπείρως μοι δοκῶ ἔχειν, ὦ πάτερ. Σύ τε
γάρ με εὐθὺς τοῦτο ἐκ παιδίου ἐπαίδευες, σαυτῷ πεί-
θεσθαι ἀναγκάζων· ἔπειτα τοῖς διδασκάλοις παρέδω-
κας, καὶ ἐκεῖνοι αὖ ταυτὸ τοῦτο ἔπραττον. Ἐπεὶ δ᾽ ἐν
τοῖς ἐφήβοις ἦμεν, ὁ ἄρχων ἡμῶν αὐτοῦ τούτου ἰσχυρῶς
ἐπεμελεῖτο· καὶ οἱ νόμοι δὲ οἱ πολλοὶ δοκοῦσί μοι δύο
ταῦτα μάλιστα διδάσκειν, ἄρχειν τε καὶ ἄρχεσθαι.
Καὶ τοίνυν κατανοῶν περὶ τούτων, ἐν ἅπασιν ὁρᾶν μοι
δοκῶ τὸ προτρέπον πείθεσθαι μάλιστα ὄν, τὸ τὸν μὲν
πειθόμενον ἐπαινεῖν τε καὶ τιμᾶν, τὸν δὲ ἀπειθοῦντα
21 ἀτιμάζειν τε καὶ κολάζειν. Καὶ ἐπὶ μέν γε τὸ ἀνάγκῃ
πείθεσθαι, ἔφη, αὕτη, ὦ παῖ, ἡ ὁδός ἐστιν· ἐπὶ δὲ τὸ
πολὺ κρεῖττον τούτου, τὸ ἑκόντας πείθεσθαι, ἄλλη συν-

γοντες ταῦτ᾽ ἂν διαπράττοιεν—παρακέλευσιν. Altorf. *τοῦτο διαπράττοιεν.* Guelf. *ταῦτ᾽ ἂν διαπράσσοιεν,—παρακέλευσιν*, vulgata in margine annotata : alteram lectionem ex libris ſuis poſuit etiam Brodæus.

κινδύνους δεῖ] Altorf. *κινδύνους ἀεὶ ὡς μάλιστα.*

ὦ πάτερ] Guelf. *ὁ Κῦρος, καλῶς μοι ὦ πάτερ.* Brodæi liber : *ὦ πάτερ, καὶ καλῶς μοι δοκεῖς ταῦτα λέγειν.* Edd. primæ verba *ὦ πάτερ* omnino omittunt.

20. *Τοῦ γε*] Junt. Guelf. *τό γε*, deinceps Guelf. cum Brem. *δοκῶ αὐτοῦ ἔχειν, ὦ πάτερ· σὺ γάρ.* quam lectionem commemorat etiam Brodæus.

σαυτῷ] Altorf. *αὐτόν.* deinceps *τὸ αὐτὸ τοῦτο* Brem. *ἔπρασσον* Guelf.

Ἐπεὶ δ᾽ ἐν] Ita Brem. Bodl. Gabrielis et Philelphi libri pro *ἐπεὶ δὲ, ὡς ἐν* Altorf. *ἔπειτα ὡς ἐν.* Guelf. *ἐπεὶ δ᾽ ἐν* omiſſo deinceps *ἦμεν.* Lamb. Bos Obſerv. Miſcell. p. 15. pro *ἐπεὶ δὲ* malebat *ἐπὶ δὲ*, *deinde, præterea.*

ἄρχων ἡμῶν] Vulgatam ex Guelf. mutavit Zeune in *ἄρχων τοῦ αὐτοῦ*, quam ſcripturam expreſſit Philelphus et Camerarius. Bremenſis *ἄρχων αὐτοῦ τοῦ τούτου* habet.

δύο ταῦτα] Guelf. *δοκοῦσιν οἱ πολλοὶ ταῦτα δύο.* Etiam Altorf. *ταῦτα δύο.*

τὸν μὲν] Guelf. et Brem. *μὲν* omittit, deinde *τε* ante *καί.*

21. *ἀνάγκῃ πείθεσθαι*] Codex Brodæi, Guelf. Brem. *ἕπεσθαι.*

ἔφη, αὕτη] Guelf. et Philel. omittunt *ἔφη.* Stobæus *ἡ ὁδὸς, ὦ παῖ.*

ἑκόντας] Stobæus *ἑκόντα.*

ἄλλη συντ.] *κρεῖσσον τούτου πολὺ—ἄλλη ἐστὶ συντομωτέρα*, omiſſo *ὁδὸς* Guelf. et Brem. *ἄλλη ἐστὶ συντομ. ὁδὸς* Stob. et Altorf. *ἄλλη ἔτι σ. ὁδός ἐστιν* cum Zeunio Weiſke, quaſi *ἔτι* ex Guelf. eſſet : iidem verba *ὁδός ἐστιν* ſecluſerunt. Vulgo erat *ἄλλη συν. ὁδ. ἐστι.*

τομωτέρα ὁδός. Ὃν γὰρ ἂν ἡγήσωνται περὶ τοῦ συμφέ-
ροντος ἑαυτοῖς φρονιμώτερον ἑαυτῶν εἶναι, τούτῳ οἱ ἄν-
θρωποι ὑπερηδέως πείθονται. Γνοίης δ' ἂν, ὅτι τοῦθ'
οὕτως ἔχει, ἐν ἄλλοις τε πολλοῖς, καὶ δὴ καὶ ἐν τοῖς
κάμνουσιν, ὡς προθύμως τοὺς ἐπιτάζοντας ὅ τι χρὴ
ποιεῖν καλοῦσι· καὶ ἐν θαλάττῃ δὲ, ὡς προθύμως
τοῖς κυβερνήταις οἱ συμπλέοντες πείθονται· καὶ οὕς γ'
ἂν νομίζωσί τινες βέλτιον ἑαυτῶν ὁδοὺς εἰδέναι, ὡς ἰσχυ-
ρῶς τούτων οὐδ' ἀπολείπεσθαι ἐθέλουσιν· ὁπότε δὲ οἴον-
ται πειθόμενοι κακόν τι λήψεσθαι, οὔτε ζημίαις πάνυ
τι θέλουσιν εἴκειν, οὔτε δώροις ἐπαίρεσθαι. Οὐδὲ γὰρ
τὰ δῶρα ἐπὶ τῷ ἑαυτοῦ κακῷ ἑκὼν οὐδεὶς λαμβάνει.
Λέγεις σὺ, ἔφη, ὦ πάτερ, εἰς τὸ πειθομένους ἔχειν οὐδὲν 22
εἶναι ἀνυσιμώτερον τοῦ φρονιμώτερον δοκεῖν εἶναι τῶν ἀρ-
χομένων. Λέγω γὰρ οὖν, ἔφη. Καὶ πῶς δή τις, ὦ
πάτερ, τοιαύτην δόξαν περὶ αὑτοῦ τάχιστα παρασχέ-
σθαι ἂν δύναιτο; Οὐκ ἔστιν, ἔφη, ὦ παῖ, συντομωτέρα
ὁδὸς, περὶ ὧν ἂν βούλῃ δοκεῖν φρόνιμος εἶναι, ἢ τὸ
γενέσθαι περὶ τούτων φρόνιμον. Καθ' ἓν δὲ ἕκαστον
περὶ τούτων σκοπῶν, γνώσῃ, ὅτι ἐγὼ ἀληθῆ λέγω.

τοῦ συμφέροντος] Edd. vett. Stob. Altorf. *τὰ συμφέροντα.* deinceps *φρον. εἶναι ἑαυτῶν* Stobæus.

νομίζωσιν—ἑαυτῶν] Guelf. *νομίσωσι—αὐτῶν.*

ἰσχυρῶς τούτων] Guelf. cum Edd. primis *τούτου*, quod Brodæus correxit. Poſt *τούτων* Stephanus *ἔχονται* vel ſimile verbum addi volebat: Zeunius ex Philelphi verſione: *tanquam ab harum peritiſſimis ducibus abeſſe nunquam volunt* ſuſpicabatur eum ſcriptum legiſſe *ἰσχυρῶς τούτου εἰδότων ἡγεμόνων οὐδέποτε ἀπ. θέλ.* Mihi Stephani ratio præplacet. Guelf. et Altorf. *ἐθέλουσιν* pro vulgato *θέλουσι* dederunt.

ὁπότε δὲ] Altorf. *ὁπότ' ἄν.* Guelf. *ὅταν δὲ οἴωνται.* Brem. etiam *ὅταν.*

πάνυ τι] Ita ex Guelf. et Leuncl. margine vulgatum *πάνυ τοι* correxit Zeune.

τὰ δῶρα] Guelf. Brem. *τὰ* omittunt; recte, puto, *αὑτοῦ* etiam Brem. deinceps *ὦ πάτερ, ἔφη.*

22. *ἀνυσιμώτερον*] *ἀνυτικώτερον* Budenſis, Altorf. *ἀνυστικώτ.* malebat Leunclavius.

δοκεῖν] Altorf. omittit.

δή τις] Guelf. Altorf. *δή τις ἂν—τάχιστα περὶ αὐτοῦ παρ. δύναιτο.*

ἂν βούλῃ] Guelf. Brem. *βούλει.* Brodæus *μέλλει* ex aliis Codd. memorat, unde margo Leunclavianæ *μέλλεις* effecit. Compara Memorabil. ii. 6, 39.

περὶ τούτων] Guelf. hæc omittit: *σκοπῶν περὶ τ.* Brem. deinceps *ἐγὼ*

Ἢν γὰρ βούλῃ, μὴ ὢν ἀγαθὸς γεωργὸς, δοκεῖν εἶναι ἀγαθὸς, ἢ ἱππεὺς, ἢ ἰατρὸς, ἢ αὐλητὴς, ἢ ἄλλ᾽ ὁτιοῦν, ἐννόει, πόσα γε ἂν δέοι σε μηχανᾶσθαι, τοῦ δοκεῖν ἕνεκα. Καὶ εἰ δὴ πείσαις ἐπαινεῖν τέ σε πολλοὺς, ὅπως δόξαν λάβῃς, καὶ κατασκευὰς καλὰς ἐφ᾽ ἑκάστῳ αὐτῶν κτήσαιο, ἄρτι τε ἐξηπατηκὼς εἴης ἂν, καὶ ὀλίγῳ ὕστερον, ὅπου ἂν πεῖραν δοίης, ἐξεληλεγμένος τ᾽ ἂν εἴης, καὶ προσέτι
23 ἀλαζὼν φαίνοιο. Φρόνιμος δὲ περὶ τοῦ συνοίσειν μέλλοντος πῶς ἄν τις τῷ ὄντι γένοιτο; Δηλονότι, ἔφη, ὦ παῖ, ὅσα μέν ἐστι μαθόντα εἰδέναι, μαθὼν ἂν, ὥσπερ τὰ τακτικὰ ἔμαθες· ὅσα δὲ ἀνθρώποις οὔτε μαθητὰ, οὔτε προορατὰ ἀνθρωπίνῃ προνοίᾳ, διὰ μαντικῆς ἂν παρὰ θεῶν πυνθανόμενος, φρονιμώτερος ἄλλων ἂν εἴης· ὅ τι δὲ γνοίης βέλτιον ὂν πραχθῆναι, ἐπιμελόμενος ἂν τούτου, ὡς ἂν πραχθείη. Καὶ γὰρ τὸ ἐπιμελεῖσθαι τούτου, οὗ
24 ἂν δέῃ, φρονιμωτέρου ἀνδρὸς, ἢ τὸ ἀμελεῖν. Ἀλλὰ μέντοι ἐπὶ τὸ φιλεῖσθαι ὑπὸ τῶν ἀρχομένων (ὅπερ ἔμοιγε ἐν τοῖς μεγίστοις δοκεῖ εἶναι) δηλονότι ἡ αὐτὴ ὁδὸς, ἥπερ, εἴ τις ὑπὸ τῶν φίλων στέργεσθαι ἐπιθυμοίη. Εὖ γὰρ,

omittit Guelf. γνώσει Altorf. quod præferebat Fifcher, qui etiam τἀληθῆ malebat legi ad Platonis Apologiam 10. p. 95.

Ἢν γὰρ βούλῃ] Guelf. βούλει. Altorf. κἂν γὰρ β.

πόσα γε] Guelf. Brem. πόσα σὲ δέοι ἄν. Steph. et Leuncl. margo πόσα σοὶ δέοι ἂν habent. Mihi prior lectio præplacet.

ἄρτι τε] i. e. ad breve tempus jam deceperis fpectatores. Igitur inepta eft Weifkii conjectura ἄρτι γε. Vidit tamen aliquid, cum malebat ἐξηπατηκὼς ὀλίγῳ ὕστερον aut ἄρτι γε—ὀλίγῳ μέντοι vel ὀλίγῳ δὲ legi. Scilicet καὶ ante ὀλίγῳ apodofin exordiri recte non poffe, fed aptioris vocabuli locum occupaffe videtur. Sed in fimili Memorab. i 1, 5. καὶ οὐ apodofin orditur, ubi Erneftius locum non fimilem i. 2, 32. comparabat. Altorf. ὀλίγον—ὅπου πεῖραν habet.

τ᾽ ἂν εἴης] Guelf. εἴης ἂν omiffa copula: Brem. ἂν προσέτι καὶ ἀλαζών.

23. Δηλονότι] Guelf. Brem. Δῆλον, ἔφη, ὦ παῖ, ὅτι; quod recepit Zeune.

ἄλλων ἂν εἴης] Brem. ἂν omittit.

βέλτιον ὂν] Guelf. Brem. Bodl. ὂν omittunt: ἂν pro eo Stobæus habet, quod cum verbo πραχθῆναι copulabat Stephanus. Mihi γνοίης ἂν βέλτιον ἂν placeret fcriptum. deinceps Guelf. cum Caftal. ἐπιμελούμενος; quam formam dedit Zeune.

ὡς ἂν] Stobæus cum Juntina, Ifingr. Bafil. Mel. ἂν omittit.

τούτου] Guelf. et Brem. omittunt: τοῦ ἐπιμελεῖσθαι Brem.

24. ἐπὶ τὸ] Stobæus cum Altorf. ἐπί γε τὸ, quam fcripturam laudat etiam Brodæus. poft ἐμοὶ idem Stobæus γε omifit.

οἶμαι, δεῖν ποιοῦντα φανερὸν εἶναι. Ἀλλὰ τοῦτο μὲν, ἔφη, ὦ παῖ, χαλεπὸν, τὸ ἀεὶ δύνασθαι εὖ ποιεῖν, οὓς ἂν τις ἐθέλῃ· τὸ δὲ συνηδόμενόν τε φαίνεσθαι, ἤν τι ἀγαθὸν αὐτοῖς συμβαίνῃ, καὶ συναχθόμενον, ἤν τι κακὸν, καὶ συνεπικουρεῖν προθυμούμενον ταῖς ἀπορίαις αὐτῶν, καὶ προφοβούμενον, μή τι σφαλῶσι, καὶ προνοεῖν πειρώμενον, ὡς μὴ σφάλλωνται, ἐπὶ ταῦτά πως δεῖ μᾶλλον συμπαρομαρτεῖν. Καὶ ἐπὶ τῶν πράξεων δὲ, ἢν μὲν ἐν θέρει ὦσι, τὸν ἄρχοντα δεῖ τοῦ ἡλίου πλεονεκτοῦντα φανερὸν εἶναι. ἢν δὲ ἐν χειμῶνι, τοῦ ψύχους· ἢν δὲ δέῃ μοχθεῖν, τῶν πόνων· πάντα γὰρ ταῦτα εἰς τὸ φιλεῖσθαι ὑπὸ τῶν ἀρχομένων συλλαμβάνει. Λέγεις σὺ, ἔφη, ὦ πάτερ, ὡς καὶ καρτερώτερον δεῖν πρὸς πάντα τὸν ἄρχοντα τῶν ἀρχομένων μᾶλλον εἶναι. Λέγω γὰρ οὖν, ἔφη. Θάῤῥει μέντοι, ἔφη, ὦ παῖ· εὖ γὰρ ἴσθι τοῦτο, ὅτι τῶν ὁμοίων σωμάτων οἱ αὐτοὶ πόνοι οὐχ ὁμοίως ἅπτονται, ἄρχοντός τε ἀνδρὸς καὶ ἰδιώτου. ἀλλ' ἐπικουφί-

ἐθέλῃ] Guelf. Stob. θέλῃ.

συμβαίνῃ] Ita Castal. Stob. Guelf. Brem. Altorf. pro συμβαίη.

προθυμούμενον] Stobæus πρόθυμον· deinceps φοβούμενον Bodl. Brem.

δεῖ μᾶλλον] Ita Stobæo est δεῖ παρομαρτεῖν, quam lectionem memorat etiam Brodæus.

25. πράξεων δὲ] Stobæus καὶ τὸ τῶν πράξεων γε.

ἢν δὲ ἐν] Stob. ἢν δὲ χειμών. Guelf. εἰ δέ. Altorf. ἢν δ' ἐν.

δέῃ μοχθεῖν] Stob. δεῖ. Guelf. et margo Steph. διὰ μόχθων, in margine Guelf. vulgata est annotata. In διὰ μόχθων latet lectio δέῃ μόχθων.

Λέγεις σὺ] Stobæus λέγεις εὖ.

καρτερώτερον] Camerarius καρτερικώτερον conjecerat. καρτερὸν est in Stobæo et Altorf. καρτερώτερον—μᾶλλον erat in Budensi: ubi μᾶλλον Stephanus putabat adscitum ex lectione καρτερὸν, quæ est in Stobæo et Altorf. In Altorf. καρτερότερον supra scriptum, deinceps in eo est μᾶλλον εἶναι. Interim receperunt μᾶλλον etiam Zeune et Weiske.

δεῖν] Ita pro δεῖ ex libro Camerarii suadente Fischero ad Platonis Phædonem sect. 58. scripsit Zeune.

μᾶλλον εἶναι] Verbum utrumque in Edd. primis abest: primus addidit εἶναι Brodæus, post καρτερώτερον Castalio inseruit. Sed locum v. 5, 4. male comparatum esse a Zeunio, recte monuit Fischer Animad. ad Well. ii. p. 138. cf. ad ii. 4, 10. et v. 5, 4.

ἔφη, ὦ παῖ] Brem. ἔφη τοῦτο, ὦ παῖ—ἴσθι, ὅτι. Guelf. eandem lectionem habet omisso tamen ἔφη. Mihi etiam τοῦτο translocatum magis placet.

οὐχ ὁμοίως] Sententiam expressit ex h. l. Cic. Tuscul. 2, 26.

ζει τι ἡ τιμὴ τοὺς πόνους τῷ ἄρχοντι, καὶ αὐτὸ τὸ εἰδέναι, ὅτι οὐ λανθάνει, ὅ τι ἂν ποιῇ.

26 Ὁπότε δὲ, ὦ πάτερ, ἤδη ἔχοιεν μὲν τὰ ἐπιτήδεια οἱ στρατιῶται, ὑγιαίνοιεν δὲ, πονεῖν δὲ δύναιντο, τὰς δὲ πολεμικὰς τέχνας ἠσκηκότες εἶεν, φιλοτίμως δ᾽ ἔχοιεν πρὸς τὸ ἀγαθοὶ φαίνεσθαι, τὸ δὲ πείθεσθαι αὐτοῖς ἥδιον εἴη τοῦ ἀπειθεῖν, οὐκ ἂν ἤδη τηνικαῦτα σωφρονεῖν ἄν τις σοι δοκοίη, διαγωνίζεσθαι βουλόμενος πρὸς τοὺς πολεμίους ὡς τάχιστα; Ναὶ μὰ Δί᾽, ἔφη, εἰ μέλλοι γε πλεῖον ἕξειν· εἰ δὲ μὴ, ἔγωγε, ὅσῳ ἂν οἰοίμην καὶ αὐτὸς βελτίων εἶναι, καὶ τοὺς ἑπομένους βελτίους ἔχειν, τόσῳ ἂν μᾶλλον φυλαττοίμην. ὥσπερ καὶ τὰ ἄλλα, ἃ ἂν οἰώμεθα πλείστου ἡμῖν ἄξια εἶναι, ταῦτα πειρώμεθα

6) de variis artibus superandi hostes.

27 ὡς ἐν ἐχυρωτάτῳ ποιεῖσθαι. Πλέον δ᾽ ἔχειν, ὦ πάτερ, πολεμίων πῶς ἄν τις δύναιτο μάλιστα; Οὐ μὰ Δί᾽, ἔφη, οὐκέτι τοῦτο φαῦλον, ὦ παῖ, οὐδ᾽ ἁπλοῦν ἔργον ἐρωτᾷς· ἀλλ᾽ εὖ ἴσθι, ὅτι δεῖ τὸν μέλλοντα τοῦτο ποιήσειν, καὶ ἐπίβουλον εἶναι, καὶ κρυψίνουν, καὶ δολερὸν, καὶ ἀπατεῶνα, καὶ κλέπτην, καὶ ἅρπαγα, καὶ ἐν παντὶ πλεονέκτην τῶν πολεμίων. Καὶ ὁ Κῦρος ἐπιγελάσας

αὐτὸ τὸ] Ita pro τὸ αὐτὸν Guelf. Brem. et margo Steph.

ποιῇ] Bodl. Guelf. Brem. ita pro ποιοίη. Stephanus eandem lectionem annotavit. ποτε ex Stobæo et Brodæi libro assumsit Zeune et ante ποιῇ collocavit.

26. πάτερ, ἤδη] Brem. πάτερ, σοὶ ἤδη ἔχοιεν τὰ ἐπιτήδεια.

ὑγιαίνοιεν δὲ] Ita pro τε Stobæus et Altorf. tamen statim Stobæus τό τε πείθεσθαι habet: Guelf. deinde πονεῖν τε.

ἥδιον εἴη] Guelf. ἥδιον ᾗ Brem. ἥδιον ᾗ τὸ ἀπιθεῖν. Etiam Guelf. ἀπιθεῖν habet.

ἂν ἤδη] Guelf. Brem. ἤδη omittit.

μέλλοι] Stobæus μέλλει—πλέον. Verba εἰ δὲ μὴ in margine Altorf. ab alio sunt addita.

ἔγωγε, ὅσῳ] Ita ex Guelf. dedit Zeune pro ἔγωγ᾽ ἂν, ὅσῳ Brem. ἔγωγε, ὅσῳ ἄν. unde ἂν post ὅσῳ collocavi.

βελτίους] Stob. Guelf. Brem. Altorf. βελτίονας.

τόσῳ ἂν] Ita Guelf. et Brem. pro τόσῳ δ᾽ ἂν, quod revocavit Weiske. deinceps ἄξια ἡμῖν Stob. ἄλλα ἂν οἰώμεθα πλείστου ἄξια ἡμῖν εἶναι Altorf.

27. Πλέον] Guelf. πλεῖον.

πλεονέκτην] Ita pro πλεονεκτεῖν cum Mureto ex Stobæo, Budensi, Bodl. Guelf. Brem. Altorf. Philelpho Hutchinson et Zeune.

εἶπεν, Ὦ Ἡράκλεις, οἷον σὺ λέγεις, ὦ πάτερ, δεῖν ἄνδρα
με γενέσθαι. Οἷος ἄν, ἔφη, ὦ παῖ, δικαιότατός τε
καὶ νομιμώτατος ἀνὴρ εἴης. Πῶς μὴν, ἔφη, παῖδας ὄν- 28
τας ἡμᾶς καὶ ἐφήβους τἀναντία τούτων ἐδιδάσκετε;
Ναὶ μὰ Δί', ἔφη, καὶ νῦν γε, πρὸς τοὺς φίλους τε καὶ
πρὸς τοὺς πολίτας· ὅπως δέ γε τοὺς πολεμίους δύναισθε
κακῶς ποιεῖν, οὐκ οἶσθα μανθάνοντας ὑμᾶς πολλὰς
κακουργίας; Οὐ δῆτ' ἔγωγ', ἔφη, ὦ πάτερ. Τίνος μὴν,
ἔφη, ἕνεκα ἐμανθάνετε τοξεύειν; Τίνος δ' ἕνεκα, ἀκον-
τίζειν; Τίνος δ' ἕνεκα, δολοῦν ὗς ἀγρίους πλέγμασι καὶ
ὀρύγμασι; Τί δὲ, ἐλάφους ποδάγραις καὶ ἁρπεδόναις;
Τί δὲ, λέουσι καὶ ἄρκτοις καὶ παρδάλεσιν οὐκ εἰς τὸ ἴσον
καθιστάμενοι ἐμάχεσθε, ἀλλὰ μετὰ πλεονεξίας τινὸς
ἀεὶ ἐπειρᾶσθε ἀγωνίζεσθαι πρὸς αὐτά; Ἦ οὐ γιγνώ-
σκεις, ὅτι ταῦτα πάντα κακουργίαι τινὲς καὶ ἀπάται
καὶ δολώσεις καὶ πλεονεξίαι; Ναὶ μὰ Δί', ἔφη ὁ Κῦ- 29
ρος, θηρίων γε· ἀνθρώπων δὲ εἰ καὶ δόξαιμι βούλεσθαι
ἐξαπατῆσαι τινὰ, πολλὰς πληγὰς οἶδα λαμβάνων.
Οὐδὲ γὰρ τοξεύειν, οἶμαι, ἔφη, οὐδ' ἀκοντίζειν ἄνθρωπον
ἐπετρέπομεν ὑμῖν, ἀλλ' ἐπὶ σκοπὸν βάλλειν ἐδιδάσκο-
μεν· ἵνα γε νῦν μὲν μὴ κακουργοίητε τοὺς φίλους, εἰ δέ

σὺ λέγεις] Stobæus αὖ λέγεις, deinde ἐννομώτατος. Pro εἴης Budenſis et Altorf. εἴη habet, quam lectionem Brodæus etiam commemorat: unde Stephanus οἷος ἄν τις—εἴη malebat.

28. νῦν γε] Guelf. γε omittit; deinde καὶ τοὺς πολίτας habet cum Brem. Stobæus φίλους καὶ τούς. Mihi γε poſt πρὸς collocatum aptius videretur.

δύναισθε] Ita Caſtalio primus Edd. vett. lectionem δύνασθε correxit.

ἔφη, ὦ πάτερ] Altorf. ἔφη, πάτερ. Guelf. οὐ δῆτ', ἔφη, ἔγωγε. deinceps μὴν ἕνεκα, ἔφη Brem. cum Guelf.

δολοῦν] Ita pro δουλοῦν Guelf. Bodl. Altorf. deinde καὶ πλέγμασι Guelf.

ἐπειρᾶσθε—αὐτὰ] Edd. vett. πειρᾶσθε correxit Caſtalio: eædem cum Altorf. ταῦτα habent.

γιγνώσκεις, ὅτι] Guelf. Brem. πάντα γιγνώσκεις ταῦτα ὅτι κακουργίαι τέ εἰσι: quam lectionem vertit Philelphus et alicunde commemoravit Stephanus.

29. ὁ Κῦρος] Hæc verba cum Philelpho Guelf. omittit.

ἵνα γε νῦν μὲν] Mihi locus ſalebroſus vitio aliquo laborare videtur in his ipſis verbis, quæ ſi compares cum ſimili loco ſect. 28. malis fere eum ad hunc modum mutare: καὶ νῦν γε, ſcilicet διδάσκομεν τοξεύειν καὶ ἀκοντίζειν. ἵνα μὴ κακουργοίητε etc, In Altorf. βάλλειν deeſt.

ποτε πόλεμος γένοιτο, δύναισθε καὶ ἀνθρώπων στοχά-
ζεσθαι. Καὶ ἐξαπατᾷν δὲ καὶ πλεονεκτεῖν οὐκ ἐν ἀν-
θρώποις ἐπαιδεύομεν ὑμᾶς, ἀλλ᾽ ἐν θηρίοις, ἵνα μηδ᾽ ἐν
τούτοις τοὺς φίλους βλάπτοιτε· εἰ δέ ποτε πόλεμος γέ-
30 νοιτο, μηδὲ τούτων ἀγύμναστοι εἴητε. Οὐκοῦν, ἔφη, ὦ
πάτερ, εἴπερ χρήσιμά ἐστιν ἀμφότερ᾽ ἐπίστασθαι, εὖ τε
ποιεῖν καὶ κακῶς ἀνθρώπους, καὶ διδάσκειν ἀμφότερα
31 ταῦτα ἔδει ἐν ἀνθρώποις. Ἀλλὰ λέγεται, ἔφη, ὦ παῖ,
ἐπὶ τῶν ἡμετέρων προγόνων γενέσθαι ποτὲ ἀνὴρ διδάσκα-
λος τῶν παίδων, ὃς ἐδίδασκεν ἄρα τοὺς παῖδας τὴν δι-
καιοσύνην, ὥσπερ καὶ σὺ κελεύεις, μὴ ψεύδεσθαι, καὶ
ψεύδεσθαι· καὶ μὴ ἐξαπατᾷν, καὶ ἐξαπατᾷν, καὶ μὴ
διαβάλλειν, καὶ διαβάλλειν· καὶ μὴ πλεονεκτεῖν, καὶ
πλεονεκτεῖν. Διώριζε δὲ, τούτων ἅ τε πρὸς τοὺς φίλους
ποιητέον ἦν, καὶ ἃ πρὸς τοὺς ἐχθρούς. καὶ ἔτι δὲ [προ-
βὰς] ταῦτα ἐδίδασκεν, ὡς καὶ τοὺς φίλους δίκαιον εἴη
ἐξαπατᾷν, ἐπί γε ἀγαθῷ· καὶ κλέπτειν τὰ τῶν φίλων,
32 ἐπί γε ἀγαθῷ. Καὶ τάδε διδάσκοντα ἀνάγκη καὶ

πόλεμος γένοιτο] Brodæus conjiciebat *ἣν δέ ποτε καὶ πόλεμος γένηται, ἵνα δύναισθε τῶν ἀνθ. στ.*

ἐξαπατᾷν δὲ] Guelf. Brem. *δὲ* omittit.

μηδὲ τούτων] Ex Guelf. *μηδέποτε* dedit Zeune.

30. *καὶ κακῶς ἀνθρώπους*] Guelf. *ἀνθ. καὶ κακῶς.*

ἐν ἀνθρώποις] Guelf. Brem. *ἐπ᾽ ἀνθρ.* ut Philelphus.

31. *τὴν δικαιοσύνην*] Vulgo interſertum *τε* auctoritate Guelf. et Brem. omiſit Zeune: Leunclavius *καὶ ἀδικίαν—καὶ μὴ ψεύδεσθαι* etc. malebat, quam ejus conjecturam probavit Stephanus in Editione altera, omiſſo tamen altero *καὶ*, cum in priore *τε* in *γε* mutari voluiſſet. Weiſke aſſumta Stephani priore correctione; et mutato *τε* in *γε* verba *τήν γε—κελεύεις* parentheſi incluſit, quo clarius pateret *δικαιοσύνην* non regi ab *ἐδίδασκεν*, ſed ab omiſſa *κατὰ* præpoſitione. Malebat tamen verba *τήν τε δικαιοσύνην* prorſus abeſſe quo locus melius reſponderet ſectioni 33. Ipſe etiam abeſſe mallem: verum quamdiu adſunt, *καὶ ἀδικίαν—καὶ μὴ ψεύδεσθαι* ſequi debebat.

καὶ σὺ] Copulam cum Edd. primis Guelf. et Altorf. omittunt.

Διώριζε δὲ] Ita Guelf. pro *διωρίζετο.* deinceps *ποιητέον καὶ πρὸς ἐχθρούς.* Brem. *ποιητέον καὶ πρός.*

ἔτι δὲ προβὰς] Caſtalio *προβὰς αὐτῷ* dedit: ubi *αὐτῷ* deleri juſſit Brodæus. Vulgatam ex Guelf. mutavit Zeune et dedit *καὶ ἐπί γε ταῦτα,* quam lectionem putat Philelphum vertiſſe: *atque in hanc ſententiam.* Brem. *καὶ ἔτι ταῦτα* omiſſo *προβάς.* deinceps *ἐδίδασκέ τε ὡς καὶ φίλους* Guelf. unde *καὶ* cum Zeunio inſerui et verbum *προβὰς* ſecluſi.

φίλων, ἐπί γε] Guelf. Brem. *φίλων ἐπί.*

32. *Καὶ τάδε*] Ita ex Guelf. Zeune,

γυμνάζειν ἦν πρὸς ἀλλήλους τοὺς παῖδας ταῦτα ποιεῖν·
ὥσπερ καὶ ἐν πάλῃ φασὶ τοὺς Ἕλληνας διδάσκειν ἐξα-
πατᾷν, καὶ γυμνάζειν δὲ τοὺς παῖδας πρὸς ἀλλήλους
τοῦτο δύνασθαι ποιεῖν. Γενόμενοι οὖν τινες οὕτως εὐ-
φυεῖς πρὸς τὸ κλέπτειν, καὶ πρὸς τὸ ἐξαπατᾷν, καὶ
πρὸς τὸ πλεονεκτεῖν, ἴσως δὲ καὶ πρὸς τὸ φιλοκερδεῖν
οὐκ ἀφυεῖς ὄντες, οὐκ ἀπείχοντο οὐδ᾽ ἀπὸ τῶν φίλων, τὸ
μὴ οὐχὶ πλεονεκτεῖν αὐτῶν πειρᾶσθαι. Ἐγένετο οὖν ἐκ 33
τούτου ῥήτρα, ᾗ καὶ νῦν χρώμεθα ἔτι, ἁπλῶς διδάσκειν
τοὺς παῖδας, ὥσπερ τοὺς οἰκέτας πρὸς ἡμᾶς αὐτοὺς δι-
δάσκομεν, ἀληθεύειν, καὶ μὴ ἐξαπατᾷν, μηδὲ κλέπτειν,
μηδὲ πλεονεκτεῖν· εἰ δὲ παρὰ ταῦτα ποιοῖεν, κολάζειν·
ὅπως σὺν τοιούτῳ ἔθει ἐθισθέντες πρᾳότεροι πολῖται γέ-
νοιντο. Ἐπεὶ δὲ ἔχοιεν τὴν ἡλικίαν, ἥνπερ σὺ νῦν ἔχεις, 34
ἤδη καὶ τὰ πρὸς τοὺς πολεμίους νόμιμα ἐδόκει ἀσφαλὲς
εἶναι διδάσκειν. Οὐδὲ γὰρ ἂν ἔτι ἐξενεχθῆναι δοκεῖτε
πρὸς τὸ ἄγριοι πολῖται γενέσθαι, ἐν τῷ αἰδεῖσθαι ἀλ-
λήλους συντεθραμμένοι· ὥσπερ γε καὶ περὶ ἀφροδισίων
οὐ διαλεγόμεθα πρὸς τοὺς ἄγαν νέους, ἵνα μὴ, πρὸς

cum Edd. primæ καὶ omiſſo ταῦτα haberent: Stephanus καὶ ταῦτα dedit.

Γενόμενοι οὖν] Ex Guelf. δὲ dedit Zeune.

εὐφυεῖς] deinceps Guelf. in margine habet addita verba πρὸς τὸ κλέπτειν. Altorf. τινὲς εὐφυεῖς πρὸς τὸ κλέπτειν καὶ πρὸς τὸ ἐξαπατᾷν καὶ πρὸς τὸ πλεονεκτεῖν. Brem. etiam πρὸς τὸ πλεονεκτεῖν cum Philelpho habet. Igitur vulgatam εὐφυεῖς καὶ πρὸς τὸ εὖ ἐξαπατᾷν—εὖ πλεονεκτεῖν partim ſupplevi partim emendavi.

ἀπείχοντο] Brodæus alicunde ἠπείχοντο commemorat. ἀπείχοντα οὐδὲ τῶν φίλων Brem.

τὸ μὴ] Margo Iſingr. τοῦ μή. deinceps πλεονεκτεῖν παρ᾽ αὐτῶν Brem. Altorf.

33. ἐκ τούτου] Guelf. Philel. Altorf. ἐκ τούτων. ſequens ῥήτρα pro vulgato ante φρήτρα vertit Brodæus et Philelphus, et ſuadente Leunclavio Muretoque primus dedit Stephanus; ῥήτρα eſt etiam in Guelf. Brem. Altorf. et margine Bodl.

τοὺς οἰκέτας] Guelf. articulum omittit.

μηδὲ κλέπτειν] Guelf. καὶ μὴ πλεονεκτεῖν deinceps habet, ita ut cum Philelphi libro verba μηδὲ κλέπτειν omittere voluiſſe videatur.

εἰ δὲ] Altorf. τὸν δὲ παρὰ ταῦτα ποιοῦντα. Caſtalio κολάζει dedit.

34. ἥνπερ σὺ] Guelf. ἣν σύ. Altorf. ἥνπερ καὶ σὺ, quod mihi placet.

διδάσκειν] deinceps ἐδόκει collocat Altorf.

οὐδὲ γὰρ] Guelf. οὐ γὰρ—ἀλλήλοις.

τῇ ἰσχυρᾷ ἐπιθυμίᾳ αὐτοῖς ῥᾳδιουργίας προσγενομένης,
35 ἀμέτρως αὐτῇ χρῷντο οἱ νέοι. Νὴ Δί', ἔφη· ὡς τοίνυν ὀψιμαθῆ με ὄντα τούτων τῶν πλεονεξιῶν, ὦ πάτερ, μὴ φείδου, εἴ τι ἔχεις, διδάσκειν, ὅπως πλεονεκτήσω ἐγὼ τῶν πολεμίων. Μηχανῶ τοίνυν, ἔφη, ὁπόση ἐστὶ δύναμις, τεταγμένοις τοῖς αὐτοῦ ἀτάκτους λαμβάνειν τοὺς πολεμίους· καὶ ὡπλισμένοις, ἀόπλους· καὶ ἐγρηγορόσι, καθεύδοντας· καὶ φανερούς σοι ὄντας, ἀφανὴς ὢν αὐτὸς ἐκείνοις, καὶ ἐν δυσχωρίαις αὐτοὺς γιγνομένους, ἐν ἐρυμνῷ αὐτὸς ὤν, ὑποδέξῃ.
36 Καὶ πῶς ἄν, ἔφη, τις τοιαῦτα, ὦ πάτερ, ἁμαρτάνοντας δύναιτο τοὺς πολεμίους λαμβάνειν; Ὅτι, ἔφη, ὦ παῖ, πολλὰ μὲν τούτων ἀνάγκη ἐστὶ καὶ ὑμᾶς καὶ τοὺς πολεμίους πάσχειν. Σιτοποιεῖσθαί τε γὰρ ἀνάγκη ἀμφοτέρους, κοιμᾶσθαί τε ἀμφοτέρους, καὶ ἕωθεν ἐπὶ τὰ ἀναγκαῖα σχεδὸν ἅμα πάντας ἴεσθαι, καὶ ταῖς ὁδοῖς, ὁποῖαι ἂν ὦσι, τοιαύταις ἀνάγκη

τῇ ἰσχυρᾷ ἐπιθυμίᾳ] Guelf. et Brem. *τὴν ἰσχυρὰν—θίαν*, ſed corrigitur in Guelf.

ῥᾳδιουργίας] Suidas, Photii Lexicon MS. et Thomas M. *εὐκολίαν* ex Xenophonte interpretantur: facilitatem, quam diſciplina præbeat, Weiſke.

35. *Νὴ Δία*] Altorf. *ναὶ δία.* deinceps *ὄντα με* Brem.

ἔχεις] Caſtalio *ἔχοις* dedit.

αὐτοῦ] Ita Edd. primæ, Guelf. pro *σαυτοῦ*. Altorf. *ὅπως εἰς τὴν δύναμιν—τοῖς αὐτοῖς σαυτοῦ.*

φανερούς σοι] Pronomen Caſtalio cum Philelpho omittit.

αὐτὸς ἐκείνοις] Altorf. *αὐτοῖς ἐκείνοις—αὐτὸς ὑποδέξῃ.* Stephanus *φανεροὺς δέ σοι* vel certe *καὶ ἐν δυσχωρίαις δὲ* legi malebat, quod *ὑποδέξῃ* non *ὑποδέχεσθαι* ſequitur. Caſtalio contra *ὑποδέξαι* dedit, et Philelphus *excipito* vertit. In Altorfino *ὅπως* aliam difficultatem infert propter *λαμβάνειν*. Abreſchius Thucyd. p. 169. corrigebat *καὶ ἵν' ἐν δυσχωρίαις*. Interpunctione interim ſententiam adjuvi.

γιγνομένους] Brem. *γινομένους*. Margo Steph. *γενομένους*.

36. *δύναιτο*] Ita cum Edd. primis Altorf. *δύναιτ' ἂν* reliquæ Edd.

πάσχειν] Contra *παρασχεῖν* Philelphus, Guelf. Brem. ſed margo Guelf. *πάσχειν* habet: quod ad præcedens *ἁμαρτάνοντας τὰ τοιαῦτα* facilius refertur, quam *παρασχεῖν*. Quare Muretus *καὶ ἡμᾶς τοῖς πολεμίοις καὶ ἡμῖν τοὺς πολεμίους παρασχεῖν*, Abreſchius vero Thucyd. p. 169. corrigebat: *ὑμᾶς τοῖς πολεμίοις καὶ τοὺς πολεμίους ὑμῖν παρασχεῖν.*

σιτοποιεῖσθαι] Recte Suidas in *σιτομετρεῖν* vocabulo *τροφὴν λαμβάνειν* interpretatur: *σιτοποιεῖν* eſt cibum parare, inprimis frumentum molere, farinam ſubigere, et ſimilia.

κοιμᾶσθαι τε] Suidas contra ex h. l. *καὶ κοιμᾶσθαι* laudat; *καὶ κοιμᾶσθαί τε* Altorf. malim *καὶ κ. δὲ* deinceps Guelf. *ἀνάγκη* iterum inſert.

ἴεσθαι δεῖ] Ita ex libro Leidenſi ſcribi malebat Valckenair ad Herodot. p. 331. Scilicet pro *ἀποχωρεῖν δεῖσθαι* in Leid. et Brem. libro eſt *ἴεσθαι*, ex quo ineptum *δεῖσθαι* or-

χρῆσθαι. Ἃ χρή σε πάντα κατανοοῦντα, ἐν ᾧ μὲν ἂν
ὑμᾶς γιγνώσκῃς ἀσθενεστάτους γιγνομένους, ἐν τούτῳ
μάλιστα φυλάττεσθαι. ἐν ᾧ δ᾽ ἂν τοὺς πολεμίους
αἰσθάνῃ εὐχειρωτοτάτους γιγνομένους, ἐν τούτῳ μάλιστα
ἐπιτίθεσθαι. Πότερον δ᾽, ἔφη ὁ Κῦρος, ἐν τούτοις μόνον 37
ἐστὶ πλεονεκτεῖν, ἢ καὶ ἐν ἄλλοις τισί; Καὶ πολύ γε
μᾶλλον, ἔφη, ὦ παῖ· ἐν τούτοις μὲν γὰρ ὡς ἐπὶ τὸ πολὺ
πάντες ἰσχυρὰς φυλακὰς ποιοῦνται, εἰδότες, ὅτι δέονται.
Οἱ δ᾽ ἐξαπατῶντες τοὺς πολεμίους δύνανται καὶ, θαρ-
σῆσαι ποιήσαντες, ἀφυλάκτους λαμβάνειν· καὶ διῶξαι
παραδόντες ἑαυτοὺς, ἀτάκτους ποιῆσαι· καὶ, ἐς δυσχω-
ρίαν φυγῇ ὑπαγαγόντες, ἐνταῦθα ἐπιτίθεσθαι. Δεῖ 38
δὴ, ἔφη, ὦ παῖ, φιλομαθῆ σε τούτων ἁπάντων ὄντα,
οὐχ, οἷς ἂν μάθῃς, τούτοις μόνοις χρῆσθαι, ἀλλὰ καὶ
αὐτὸν ποιητὴν εἶναι τῶν πρὸς τοὺς πολεμίους μηχανημά-
των· ὥσπερ καὶ οἱ μουσικοὶ οὐχ, οἷς ἂν μάθωσι, τούτοις
μόνον χρῶνται, ἀλλὰ καὶ ἄλλα μέλη πειρῶνται ποιεῖν.
Καὶ σφόδρα μὲν καὶ ἐν τοῖς μουσικοῖς τὰ νέα καὶ ἀν-
θηρὰ εὐδοκιμεῖ, πολὺ δὲ καὶ ἐν τοῖς πολεμικοῖς μᾶλλον
τὰ καινὰ μηχανήματα εὐδοκιμεῖ· ταῦτα γὰρ μᾶλλον
καὶ ἐξαπατᾷν δύναται τοὺς ὑπεναντίους. Εἰ δὲ σύ γε, 39

tum eſt; itaque gloſſa ἀποχωρεῖν corruptum ἴεσθαι præceſſit.

γιγνώσκῃς] Altorf. γιγνώσκεις dat.

εὐχειρωτάτους] Ita pro εὐχειροτάτους liber Altorf. ſolus cum Stephano et Leuncl. Compara Œcon. 8, 4.

37. Πότερον] Altorf. πότερα. Guelf. ἢ ἄλλοις.

μᾶλλον, ἔφη] Altorf. ἔφη, μᾶλλον.

ὡς ἐπὶ τὸ πολὺ] Iſingr. Baſil. ὡς ἐπὶ πολύ.

οἱ δ᾽ ἐξαπ.] Juntinæ lectio εἰ δ᾽ in Guelf. ſupra ſcripta exſtat: eam correxit Brodæus. deinceps Altorf. θαρσῆσαί τι ποιήσαντες. non male.

παραδόντες ἑαυτοὺς] Ita Philel. Budenſis et Altorf. probante Mureto. Contra Guelf. cum Edd. primis παριδόντες ἑαυτούς. Brem. παριδόντες αὐτοὺς ἀτάκτως.

ὑπαγαγόντες] Guelf. ὑπάγοντες.

38. Δεῖ δὴ] Ita cum Suida in φιλομαθὴς Brem. habet pro δέ.

τούτων ἁπάντων] Ita pro πάντων Guelf. idem cum Altorf. μάθῃς pro μάθοις dedit; idem verba ὦ παῖ cum Philelpho omittit.

καὶ αὐτὸν] Suidas αὐτὸν omiſit.

ἄλλα μέλη] Guelf. et Brem. cum Philelpho ἄλλα νέα μέλη.

ἀνθηρὰ] Articulum τὰ ex Guelf. et Suida in ἀνθηρὰ addidit Zeune. Ceterum prius εὐδοκιμεῖ deleri malebat Muretus. Sententia eſt etiam apud Homerum Odyſſeæ i. 351.

δύναται] Ita Guelf. et Brem. pro

ἔφη, ὦ παῖ, μηδὲν ἄλλο ἢ μετενέγκοις ἐπ' ἀνθρώπους τὰς μηχανὰς, ἃς καὶ ἐπὶ τοῖς πάνυ μικροῖς θηρίοις ἐμηχανῶ, οὐκ οἴει ἂν, ἔφη, πρόσω πάνυ ἐλάσαι τῆς πρὸς τοὺς πολεμίους πλεονεξίας; Σὺ μὲν γὰρ ἐπὶ τὰς ὄρνιθας ἐν τῷ ἰσχυροτάτῳ χειμῶνι ἀνιστάμενος, ἐπορεύου νυκτός· καὶ πρὶν κινεῖσθαι τὰς ὄρνιθας ἐπεπήγηντό σοι ἐπὶ τούτῳ αἱ πάγαι αὐταῖς, καὶ τὸ κεκινημένον χωρίον ἐξείκαστο τῷ ἀκινήτῳ· ὄρνιθες δὲ ἐπεπαίδευντό σοι, ὥστε σοὶ μὲν τὰ συμφέροντα ὑπηρετεῖν, τὰς δὲ ὁμοφύλους ὄρνιθας ἐξαπατᾷν· αὐτὸς δὲ ἐνήδρευες, ὥστε ὁρᾷν μὲν αὐτὰς, μὴ ὁρᾶσθαι δὲ ὑπ' αὐτῶν· ἠσκήκεις δὲ φθάνειν
40 ἕλκων, ἢ τὰ πτηνὰ φυγεῖν. Πρὸς δ' αὖ τὸν λαγῶ, ὅτι μὲν ἐν σκότει νέμεται, τὴν δ' ἡμέραν ἀποδιδράσκει, κύνας ἔτρεφες, αἳ τῇ ὀσμῇ αὐτὸν ἀνεύρισκον. Ὅτι δὲ ταχὺ

δύνανται, ſed iidem ſtatim ὑπεναντίους omiſſo τοὺς pro vulgato πολεμίους.

39. μηδὲν ἄλλο ἢ] Ita Bodl. ἄλλο ἢ μηδὲν ἐνέγκοις Brem. μηδὲν ἄλλο μετενέγκοις ἐπ' ἀνθρώπους ἢ τὰς vulgabatur antea. Ordinem rectum reſtituit etiam Muretus.

τοῖς πάνυ μικροῖς] Ita plane Altorf. uti Muretus correxerat, vulgatam ἃς καὶ πάνυ ἐπὶ τοῖς μικροῖς. deinceps ἐμηχανῶ θηρίοις Altorf.

πρόσω πάνυ] Altorf. πάνυ πρόσω.

Σὺ μὲν γὰρ] Altorf. σὺ γὰρ ἐπὶ μὲν τὰς ὄρνιθας, qui verborum ordo mihi magis placet. τοὺς ὄρνιθας laudat ex h. l. Athenæus p. 373. D. atque ita Brem.

ἀνιστάμενος] Juntina ἀνθιστάμενος, quod etiam in Guelf. olim fuerat ſcriptum ſed deinde correctum.

ἐπεπήγηντο] Ita edd. primæ. Guelf. ἐπεπήγοιντο σοὶ αἱ πάγαι, ſed correctum ἐπεπήγειντο et in margine additum, ἐπὶ τούτῳ. Brem. et Altorf. ἐπεποίηντο αἱ πάγαι omiſſis ἐπὶ τούτῳ. Brem. etiam σοι omittit. Stephanus ἐπεποίηντο edidit.

ἐπεπαίδευντό] Guelf. Brem. ἐξεπαιδεύοντο. deinceps τοὺς δὲ ὁμοφύλους Brem.

ὥστε ὁρᾷν] Guelf. ὡς ὁρᾷν.

ἠσκήκεις] Guelf. et Leidenſis teſte Oudendorpio ad Thomam p. 765. ἠσκ. δ. φθάνων ἕλκειν—φεύγειν. In margine Guelf. annotatur varietas εἶχες δὲ ἐπιμέλειαν τοῦ φθάνειν ἑκὼν τὰ πετεινὰ πρὸ τοῦ φυγεῖν. Sic etiam Edd. primæ, ubi Brodæus ex aliis libris ἕλκων correxit. εἶχες δ' ἐπιμ.—φεύγειν Altorf. εἰσήκεις φθάνων ἕλκειν μᾶλλον ἢ τὰ πτηνὰ φεύγειν Brem. φεύγειν etiam Leidenſis. Muretus ἕλκων τὰ παγίδια malebat. Stephanus commemorat lectionem ἠσκήκεις δὲ φθάνειν ἕλκων τὰ πτηνὰ πρὸ τοῦ φυγεῖν, et alteram ἠσκ. δὲ φθάνων ἕλκειν τ. π. π. τ. φ. Thomas πετεινὸν damnat et πτηνὸν dicere jubet: hæc eſt etiam inter cauſas, quod hanc noſtram lectionem optavit Zeune. At in Herodoto ii. 123. πετεινὰ in locum πτηνὰ reſtituere non dubitavit Weſſeling; tamen iii. 106. Editionum πετεινὰ mutavit poſtrema Editio in πετηνά.

40. λαγὼ] Ita cum Guelf. Athenæus p. 400. pro λαγῶ. deinceps pro ὀσμῇ forte hoc in loco fuit in libris quibuſdam ὀδμῇ ionicum, quod Xenophonti exprobravit Phrynichus grammaticus: poſtea εὕρισκον Guelf.

ἔφευγεν, ἐπεὶ εὑρεθείη, ἄλλας κύνας εἶχες ἐπιτετηδευμέ-
νας πρὸς τὸ κατὰ πόδας αἱρεῖν. Εἰ δὲ καὶ ταύτας
ἀποφύγοι, τοὺς πόρους αὐτῶν ἐκμανθάνων, καὶ πρὸς οἷα
χωρία φεύγειν αἱροῦνται οἱ λαγῴ, ἐν τούτοις τὰ δίκτυα
δυσόρατα ἐνεπετάννυες, ἵνα ἐν τῷ σφόδρα φεύγειν αὐτὸς
ἑαυτὸν ἐμπίπτων ἐνέδυ. Τοῦ δὲ μηδ' ἐντεῦθεν διαφεύ-
γειν, σκοποὺς τοῦ γιγνομένου καθίστης, οἳ ἐγγύθεν
ταχὺ ἔμελλον ἐπιγενήσεσθαι· καὶ αὐτὸς μὲν σὺ ὄπισθεν
κραυγῇ οὐδὲν ὑστεριζούσῃ τοῦ λαγῶ βοῶν, ἐξέπληττες αὐ-
τὸν, ὥστε ἀφρόνως ἁλίσκεσθαι· τοὺς δὲ ἔμπροσθεν σι-
γᾶν διδάξας ἐνεδρεύοντας, λανθάνειν ἐποίεις. Ὥσπερ 41
οὖν προεῖπον, εἰ τοιαῦτα ἐθελήσαις καὶ ἐπὶ τοὺς ἀνθρώ-
πους μηχανᾶσθαι, οὐκ οἶδ' ἔγωγε, εἴ τινα λίποις ἂν τῶν
πολεμίων. Ἢν δέ ποτε ἄρα ἀνάγκη γένηται καὶ ἐν τῷ
ἰσοπέδῳ, καὶ ἐκ τοῦ ἐμφανοῦς, καὶ ὡπλισμένους ἀμφο-

ἀποφύγοι] Ita Guelf. et Altorf. ἀποφύγοιε Editiones veteres; ἀποφύγοιεν induxit Stephanus, quod eſt in Brem.

φεύγειν αἱροῦνται] i. e. ſolent. Sed Guelf. Brem. Philel. φεύγοντες habent.

λαγῴ] Brem. λαγωοὶ Altorf. λαγῶ.

τὰ δίκτυα] Articulum Guelf. omittit.

ἐνεπετάννυες, ἵνα] Guelf. ἐνεπετάννυες ἂν, καὶ τῷ—ἐμπεσὼν συνέδυ. Etiam Brem. ἐνεπετάννυες ἄν. Margo Steph. et Leuncl. ἐμπεσὼν συνέδει memorat, quod vertit Philelphus, et eſt in libris Bodl. Gabrielis, Brem. ἵνα ἐνέδυ Budæus interpretabatur dictum pro ἵνα ἐνδύσαιτο, *ut ipſe ſeſe indueret in retia*. At recte Fiſcherus inſtat ἐνέδυ ſenſu medii verbi adhiberi: alioquin ἵνα cum indicativo adhiberi interdum ſolet. Reſtat ut cum Stephano ἵνα interpretemur *ubi, in quibus locis*. In loco plane gemino Memorab. iii. 11, 8. eſt ἵν' εἰς ταῦτα ἐμπίπτοντες συμποδίζωνται.

σφόδρα] Guelf. σφοδρῶς.

Τοῦ δὲ μηδ'] Guelf. τοῦ μηδ' habet cum Altorf. σκοποὶ ſunt qui de Venatione 6, 5. dicuntur ἀρκυωροί.

ἔμελλον] Guelf. ἤμελλον ſupra ſcripta vulgata.

αὐτὸς μὲν σὺ] Guelf. αὐτὸς μὲν οὖν—κραυγῇ δ' οὐδὲν—τὸν λαγῶν (ſed corrigitur τοῦ λαγῶ)—ἐξέπλησσες.

βοῶν] Placet Altorf. libri φοβῶν: nimis enim tautologum κραυγῇ βοῶν mihi videtur.

41. ἐπὶ τοὺς ἀνθρώπους] Brem. ἐπὶ τοῖς ἀνθρώποις. Altorf. τοιαῦτα καὶ ἐπὶ τοῖς ἀνθρώποις ἐθελήσαις μηχ. ut ſupra ſect. 39. ἐπὶ τοῖς πάνυ μικροῖς θηρίοις.

εἴ τινα] Guelf. εἴ τινας. Philelphus εἴ τι—τῶν πολεμικῶν vertit. Mihi locus hic vitii aliquid adhuc alere videtur: et Weiſke ſenſum in Philel. verſione expreſſum præferebat. λείπεις eſt in Brem.

Ἢν] Altorf. ἐάν.

καὶ ἐκ τοῦ—καὶ ὡπλισμένους] Copulam priorem omittunt Edd. primæ et ante ἀμφοτέρους collocant: utram-

τέρους μάχην συνάπτειν, ἐν τῷ τοιούτῳ δὴ, ὦ παῖ, αἱ ἐκ πολλοῦ παρεσκευασμέναι πλεονεξίαι μέγα δύνανται. Ταύτας δὲ ἐγὼ λέγω εἶναι, ὅταν τῶν στρατιωτῶν εὖ μὲν τὰ σώματα ἠσκημένα ᾖ, εὖ δὲ αἱ ψυχαὶ τεθηγμέναι,
42 εὖ δὲ αἱ πολεμικαὶ τέχναι μεμελετημέναι ὦσιν. Εὖ δὲ χρὴ καὶ τοῦτο εἰδέναι, ὅτι, ὁπόσους ἂν ἀξιοῖς σοι πείθεσθαι, καὶ ἐκεῖνοι πάντες ἀξιώσουσί σε πρὸ ἑαυτῶν βουλεύεσθαι. Μηδέποτε οὖν ἀφροντίστως ἔχε, ἀλλὰ τῆς μὲν νυκτὸς προσκόπει, τί σοι ποιήσουσιν οἱ ἀρχόμενοι, ἐπειδὰν ἡμέρα γένηται· τῆς δὲ ἡμέρας, ὅπως τὰ εἰς
43 νύκτα κάλλιστα ἕξει. Ὅπως δὲ χρὴ τάσσειν εἰς μάχην στρατιὰν, ἢ ὅπως ἄγειν ἡμέρας ἢ νυκτὸς, ἢ στενὰς ἢ πλατείας ὁδοὺς, ἢ ὀρεινὰς ἢ πεδινὰς, ἢ ὅπως στρατοπεδεύεσθαι, ἢ ὅπως φυλακὰς νυκτερινὰς ἢ καὶ ἡμερινὰς καθιστάναι, ἢ ὅπως πρὸς πολεμίους προσάγειν, ἢ ἀπάγειν ἀπὸ πολεμίων, ἢ ὅπως παρὰ πόλιν πολεμίαν ἄγειν, ἢ ὅπως πρὸς τεῖχος ἄγειν ἢ ἀπάγειν, ἢ ὅπως νάπας ἢ ποταμοὺς διαβαίνειν, ἢ ὅπως ἱππικὸν φυλάττεσθαι, ἢ ὅπως ἀκοντιστὰς ἢ τοξότας· καὶ εἴ γε δή σοι κατὰ κέρας ἄγοντι οἱ πολέμιοι ἐπιφανεῖεν, πῶς χρὴ ἀντικαθιστάναι· καὶ εἴ σοι ἐπὶ φάλαγγος ἄγοντι ἄλλοθέν ποθεν

que omittit Altorf. Muretus facit cum Hutchinſono et Zeunio, niſi quod καὶ ante ὡπλισμένους deletum malebat, quod factum in Londinenſi: cum Hutchinſono etiam Guelf. Brem. Bodl. Philel.

τοιούτῳ δὴ] Guelf. δέ. deinceps αεὶ αἱ ἐκ τοῦ πολλοῦ malebat Brodæus.

Ταύτας] Altorf. liber ταῦτα dat.

ὅταν] Guelf. ἦν, in margine ὅταν. Etiam Brem. ἦν.

42. καὶ τοῦτο] Altorf. καὶ ταύτα, ſic. deinceps ἀξιοῦσί σε πρὸ αὐτῶν Brem. haud male.

βουλεύεσθαι] Margo Guelf. annotat varietatem βουλεύειν. Altorf. βουλεύειν.

μὴ οὖν ποτε. Etiam Junt. μὴ οὖν ποτε habet.

τῆς δὲ ἡμέρας] Guelf. τῇ θ' ἡμέρᾳ.

43. ὅπως δὲ] Guelf. cum Brem. et Philelpho ὅπως τε. deinceps τάττειν Brem.

καθιστάναι, ἢ] Guelf. ἢ omiſſo προσάγειν πρὸς πολεμίους. Ordinem eundem obſervat Brem.

πρὸς τεῖχος] Altorf. πρὸς τὸ τεῖχος.

νάπας] Guelf. Brem. Altorf. νάπη. deinde φυλάσσεσθαι Guelf.

διαβαίνειν] Altorf. παραβαίνειν dat.

εἴ γε δὴ] Altorf. εἴ γε σοι.

ἄγοντι οἱ] Guelf. οἱ omittit.

οἱ πολέμιοι φανεῖεν, ἢ κατὰ πρόσωπον, ὅπως χρὴ ἀντιπαράγειν· ἢ ὅπως τὰ τῶν πολεμίων ἄν τις μάλιστα αἰσθάνοιτο, ἢ ὅπως τὰ σὰ ἥκιστα οἱ πολέμιοι εἰδεῖεν, ταῦτα δὴ πάντα τί ἂν ἐγὼ λέγοιμί σοι; Ὅσα τε γὰρ ἔγωγε ᾔδειν, πολλάκις ἀκήκοας· ἄλλος τε εἴ τις ἐδόκει τι τούτων ἐπίστασθαι, οὐδενὸς αὐτῶν ἠμέληκας, οὐδ᾽ ἀδαὴς γεγένησαι. Δεῖ οὖν πρὸς τὰ συμβαίνοντα, οἶμαι, τούτοις χρῆσθαι, ὁποίοις ἄν σοι ἀεὶ συμφέρειν τούτων δοκῇ.

Μάθε δέ μου, ὦ παῖ, καὶ τάδε, ἔφη, τὰ μέγιστα· 44
παρὰ γὰρ ἱερὰ καὶ οἰωνοὺς μήτ᾽ ἐν σαυτῷ μηδέποτε μήτ᾽ ἐν τῇ στρατιᾷ, κινδυνεύσῃς· κατανοῶν, ὡς ἄνθρωποι μὲν αἱροῦνται πράξεις εἰκάζοντες, εἰδότες δὲ οὐδέν, ἀπὸ ποίας ἔσται αὐτοῖς τὰ ἀγαθά. Γνοίης δ᾽ ἂν ἐξ αὐτῶν 45
τῶν γιγνομένων. Πολλοὶ μὲν γὰρ ἤδη πόλεις ἔπεισαν, καὶ ταῦτα οἱ δοκοῦντες σοφώτατοι εἶναι, πόλεμον ἄρασθαι πρὸς τούτους, ὑφ᾽ ὧν οἱ πεισθέντες ἐπιθέσθαι

7) de divinatione in rebus fuscipiendis adhibenda.

φανεῖεν] Guelf. φαίνοιντο ut Philelphus. ἄλλοθέν που φαίνοιντο Brem. ἄλλοθεν ποθ᾽ οἱ Altorf.

ὅπως χρὴ] Caftal. Halenfis Editio et liber Altorf. πῶς χρή.

ἥκιστα οἱ] Guelf. et Brem. οἱ πολέμιοι ἥκιστα. Deinceps ταῦτα δὴ ex Brem. pro δὲ dedi; is tamen ταῦτα δὴ τί ἂν ἐγὼ λέγοιμι; ὅσα habet.

ἔγωγε ᾔδειν] Ex Guelf. γε addidit Zeune.

ἄλλος τε] Vulgatum ἄλλως cum Zeunio *præterea* aut *omnino* interpretari non poffum, fed cum Mureto oppofitum ἔγωγε probavi ἄλλος. In Guelf. pro εἴτις eft ὅστις, fed deinde correctum. ὅστις etiam Brem. τούτων δοκεῖ Altorf.

ὁποίοις ἂν σοι ἀεὶ] Guelf. ὁποῖον ἂν συμέρειν σοι; fed corrigitur ὁποίοις ἂν συμφέρειν σοὶ, omiffo ἀεὶ, ut in verfione Philelphi. Brem. ἂν συμφέρειν σοι τούτων omiffo οἶμαι, ut in verfione Philelphi. Mihi et τούτων difplicet et totus locus adhuc vitii quid alere videtur.

44. Μάθε δέ μου] Muretus μάθε δέ μοι malebat.

καὶ τάδε, ἔφη] Guelf. et Brem. καὶ ταῦτα, ὦ παῖ, ἔφη.

σαυτῷ] Guelf. ἑαυτῷ, fed corrigitur.

μήτ᾽ ἐν τῇ] Ita pro μηδ᾽ Guelf. qui τῇ deinceps omittit.

αὐτοῖς τὰ ἀγαθὰ] Ita corrigitur in Guelf. pro αὐτῶν quod eft in textu et in Brem. Vulgo ante Zeunium erat τἀγαθόν.

45. πολλοὶ—ἤδη πολλοὺς] Guelf. Philel. ἤδη omittit. πολλοὶ γὰρ αὖ πόλεις ἔπισαν Brem. πολλοὶ γὰρ ἤδη. πολλοὶ γὰρ ἤδη πόλεις Altorf. Margo Stephanianæ et Leuncl. memorat lectionem πολλοὶ γὰρ αὖ πολλοὺς quod cum Welfio recepit Weifke. Leonclavius πλείστους malebat. Mihi αὖ videtur ex αὐτίκα, exempli gratia, contractum.

πρὸς τούτους] Altorf. male πρὸς τούτοις.

ὑφ᾽ ὧν] Ita ex correctione Guelf. ubi ἀφ᾽ ὧν erat antea.

ἀπώλοντο. Πολλοὶ δὲ πολλοὺς ηὔξησαν ἤδη καὶ ἰδιώτας
καὶ πόλεις, ὑφ᾽ ὧν αὐξηθέντων τὰ μέγιστα κακὰ ἔπα-
θον. Πολλοὶ δὲ, οἷς ἐξῆν φίλοις χρῆσθαι, καὶ εὖ ποιεῖν
καὶ εὖ πάσχειν, τούτοις δούλοις μᾶλλον βουληθέντες ἢ
φίλοις χρῆσθαι, ὑπ᾽ αὐτῶν τούτων δίκην ἔδοσαν. Πολ-
λοῖς δ᾽ οὐκ ἤρκεσεν αὐτοῖς τὸ μέρος ἔχουσι ζῇν ἡδέως,
ἐπιθυμήσαντες δὲ πάντων κύριοι εἶναι, διὰ ταῦτα καὶ
ὧν εἶχον ἀπέτυχον· πολλοὶ δὲ τὸν πολύευκτον χρυ-
46 σὸν κτησάμενοι, διὰ τοῦτον ἀπώλοντο. Οὕτως ἡ [γε]
ἀνθρωπίνη σοφία οὐδὲν μᾶλλον οἶδε τὸ ἄριστον αἱρεῖ-
σθαι, ἢ εἰ κληρούμενος, ὅ τι λάχοι, τοῦτό τις πράττοι.
Θεοὶ δὲ, ὦ παῖ, αἰεὶ ὄντες πάντα ἴσασι, τά τε γεγενη-
μένα, καὶ τὰ ὄντα, καὶ ὅ τι ἐξ ἑκάστου αὐτῶν ἀποβήσε-
ται· καὶ τῶν συμβουλευομένων ἀνθρώπων, οἷς ἂν ἵλεῳ
ὦσι, προσημαίνουσιν, ἅ τε χρὴ ποιεῖν, καὶ ἃ οὐ χρή.
Εἰ δὲ μὴ πᾶσιν ἐθέλουσι συμβουλεύειν, οὐδὲν θαυμα-
στόν· οὐ γὰρ ἀνάγκη αὐτοῖς ἐστιν, ὧν ἂν μὴ θέλωσιν,
ἐπιμελεῖσθαι.

πολλοὺς] Ex alio libro πολλὰ attulit Brodæus.

ἤδη] Omittit iterum Guelf. et Brem. deinceps ἰδιῶται malebat Muretus.

καὶ εὖ ποιεῖν καὶ εὖ πάσχειν] Hiulcum quid eſt in h. l. quod ſenſiſſe videtur etiam Weiſke, qui, niſi totum hoc colum ſit ab inepto gloſſatore, malebat καὶ εὖ ποιοῦσιν εὖ πάσχειν.

ἡδέως] Margo Guelf. annotavit ſcripturam ἰδίως. Altorf. ἤρκεσεν τὸ μέρος—ἡδίως. Mihi αὐτοῖς diſplicet et in lectione ἰδίως forte ἰδίᾳ latet, quaſi ſcriptum fuiſſet ἤρκεσεν τὸ μέρος ἔχουσιν ἰδίᾳ αὐτοῖς (id eſt ἑκάστοις, *pro ſe quique*) ζῇν. Forte tamen præſtat αὐτοῖς cum Altorf. delere.

ἀπέτυχον] Mihi ſententia poſtulare videbatur, *non ſolum ea, quæ concupiverant, aſſecuti non ſunt, ſed etiam ea ipſa, quæ antea poſſederant, amiſerunt.* Igitur in græco fuiſſe videtur διὰ ταῦτα καὶ, ὧν ἐπεθύμουν, ἀπέτυχον, καὶ, ἃ εἶχον, ἀπέβαλον. An ἀποτυγχάνειν τινος eſt amittere quod quis habet ?

χρυσὸν] Ita etiam margo Guelf. in textu eſt πλοῦτον ut in Brem. libro Brodæi et Philelphi : deinceps κατακτησάμενοι Guelf. Brem. quod recepit Zeune.

46. ἡ [γε]] Guelf. et Brem. γε omittunt : igitur ſecluſi.

λάχοι] libri Brodæi τύχοι. deinceps πράσσοι Guelf.

ἴσασι, τά τε] Ita Guelf. et Philelphus pro τά. Altorf. ὄντες καὶ ἴσασι τά.

ἅ τε χρὴ] Altorf. προσημαίνουσί τε ἅ. quod præfero.

ὧν ἂν μὴ θέλωσι] Statim ab initio ſect. 3. et 4. curare jubebat, ut ἵλεῳ οἱ θεοὶ ὄντες ἐθέλωσι συμβουλεύειν.

ΞΕΝΟΦΩΝΤΟΣ

ΚΥΡΟΥ ΠΑΙΔΕΙΑΣ Β'.

CAP. I.

Cyaxares suas hostiumque copias recenset Cyro, et pugnæ armorumque genus quod fit, ostendit. Cyrus autem ab eo impetrat, ut Perfis advenientibus nova arma ad bellum felicius gerendum, fieri jubeat.

ΤΟΙΑΥΤΑ μὲν δὴ ἀφίκοντο διαλεγόμενοι μέχρι τῶν
ὁρίων τῆς Περσίδος· ἐπεὶ δὲ αὐτοῖς ἀετὸς δεξιὸς φανεὶς
προηγεῖτο, προσευξάμενοι θεοῖς καὶ ἥρωσι, τοῖς Περσίδα
γῆν κατέχουσιν, ἵλεως καὶ εὐμενεῖς πέμπειν σφᾶς, οὕτω
διέβαινον τὰ ὅρια. Ἐπειδὴ δὲ διέβησαν, προσηύχοντο
αὖθις θεοῖς, τοῖς Μηδίαν γῆν κατέχουσιν, ἵλεως καὶ εὐ-
μενεῖς δέχεσθαι αὐτούς. Ταῦτα δὲ ποιήσαντες, ἀσπα-
σάμενοι ἀλλήλους, ὥσπερ εἰκὸς, ὁ μὲν πατὴρ πάλιν εἰς
Πέρσας ἀπῄει, Κῦρος δὲ εἰς Μήδους πρὸς Κυαξάρην ἐπο-
ρεύετο. Ἐπεὶ δὲ ἀφίκετο ὁ Κῦρος εἰς Μήδους πρὸς τὸν 2
Κυαξάρην, πρῶτον μὲν, ὥσπερ εἰκὸς, ἠσπάσαντο ἀλλή-
λους· ἔπειτα δὲ ἤρετο τὸν Κῦρον ὁ Κυαξάρης, πόσον τι
ἄγοι τὸ στράτευμα. Ὁ δ' ἔφη, τρισμυρίους μὲν, οἳ

1. Τοιαῦτα μὲν δὴ] Guelf. ταῦτα μὲν ἀφ. fed margo τοιαῦτα annotat.

ἐπεὶ δὲ] Altorf. ἐπειδὴ δέ.

γῆν κατέχουσιν] Altorf. γῆν ἔχουσιν —οὕτως διέβαινον.

προσηύχοντο] Guelf. προσηύξαντο ut Philelphus. deinceps αὐτοῖς malebat Muretus; poftea γῆν ἔχουσιν Altorf.

εἰς Πέρσας] Ita etiam margo Guelf. in textu eft εἰς πόλιν, deinde fect. 2. πρὸς Κυαξάρην eft, cum ftatim articulo addito πρὸς τὸν fequatur. fed ibi articulum Altorf. omittit.

2. πόσον τι] Guelf. τι omittit. εἰ ἄγοιτο Bodl. Mihi ἄγοι τὸ στράτευμα unice placebat, quod dedi: nam dux ἄγει, non ἄγεται τὸ στράτευμα, ducit, non fecum ducit: articulum etiam poftulat grammatica ratio et ufus, ut fect. 4. πόση τις ἡ προσιοῦσα.

τρισμυρίους] Ita cum Aldina et libris Brodæi Stephanus pro δισμυρίους. Convenit hic numerus cum cap. v.

καὶ πρόσθεν ἐφοίτων πρὸς ὑμᾶς μισθοφόροι· ἄλλοι δὲ
καὶ τῶν οὐδεπώποτε ἐξελθόντων προσέρχονται τῶν ὁμοτί-
3 μων. Πόσοι τινές; ἔφη ὁ Κυαξάρης. Οὐκ ἂν ὁ ἀριθ-
μός σε, ἔφη ὁ Κῦρος, ἀκούσαντα εὐφράνειεν· ἀλλ' ἐκεῖνο
ἐννόησον, ὅτι ὀλίγοι ὄντες οὗτοι οἱ ὁμότιμοι καλούμενοι
πολλῶν ὄντων τῶν ἄλλων Περσῶν ῥᾳδίως ἄρχουσιν.
Ἀτάρ, ἔφη, δέῃ τι αὐτῶν; ἢ μάτην ἐφοβήθης, οἱ δὲ πο-
λέμιοι οὐκ ἔρχονται; Ναὶ μὰ Δί', ἔφη, καὶ πολλοί γε.
4 Πῶς τοῦτο σαφές; Ὅτι, ἔφη, πολλοὶ ἥκοντες αὐτόθεν,
ἄλλος ἄλλον τρόπον, πάντες ταὐτὰ λέγουσιν. Ἀγωνι-
στέον ἄρα ἡμῖν πρὸς τοὺς ἄνδρας. Ἀνάγκη γάρ, ἔφη.
Τί οὖν, ἔφη ὁ Κῦρος, οὐ καὶ τὴν δύναμιν ἔλεξάς μοι, εἰ
οἶσθα, πόση τις ἡ προσιοῦσα, καὶ πάλιν τὴν ἡμετέραν;
ὅπως εἰδότες ἀμφοτέρας, πρὸς ταῦτα βουλευσόμεθα,
ὅπως ἂν ἄριστα ἀγωνιζοίμεθα. Ἄκουε δή, ἔφη ὁ Κυα-
ξάρης·

5 Κροῖσος μὲν ὁ Λυδὸς ἄγειν λέγεται μυρίους μὲν ἱπ-
πέας, πελταστὰς δὲ καὶ τοξότας πλείους ἢ τετρακισμυ-
ρίους. Ἀρτάμαν δέ, τὸν τῆς μεγάλης Φρυγίας ἄρ-
χοντα, λέγουσιν ἱππέας μὲν εἰς ὀκτακισχιλίους ἄγειν,

sect. 5. libri I. etsi infra, c. iv. 2. ταξίαρχοι tantum ducenti memorantur.

μὲν, οἳ] Ex Guelf. Bodl. μέν γε οἳ dedit Zeune et Weiske. μὲν, οἷοι Altorf. cum Juntina. deinceps καὶ ἄλλοι δὲ τῶν Isingr. cum Altorf. οὐδέποτε Guelf.

3. εὐφράνειεν] Ita pro εὐφρανεῖ Budensis et Altorf.

ἔφη, δέῃ] Altorf. ἔφη δὴ, δέῃ.

4. ταὐτὰ] Ita Guelf. ex correctione pro ταὐτόν. Altorf. ταῦτα πάντες λ. Ceterum ἄλλον τρόπον pertinet etiam ad λέγουσιν non ad ἥκοντες.

Ἀγωνιστέον ἄρα] Ex Guelf. μὲν interseruit Zeune.

Ἀνάγκη γὰρ, ἔφη] Ita cum Philelpho et Guelf. Stephanus et Zeune. Altorf. Ἀνάγκη, ἔφη. Τί οὖν ὁ Κῦρος οὐκ ἔλεξάς μοι τὴν δύναμιν.

πόση τις] Guelf. τις omittit: deinceps ὑμετέραν malebat Weiske, quod expressit Gallicus interpres Charpentier. deinde ἀμφότερα Altorf.

βουλευσόμεθα] Ita pro βουλευώμεθα ex Guelf. Zeune.

Ἄκουε δὴ] In Guelf. sic est ex correctione pro δὲ, quod erat in textu. etiam Altorf. δὴ habet.

5. Κροῖσος μὲν] Altorf. γὰρ addit, deinde idem πελταστάς τε. deinceps ἱππεῖς Guelf.

Ἀρτάμαν] Junt. Isingr. Bryl. Ἀρτακάμαν. Infra viii. 6, 7. Artacamas Satrapa in Phrygiam majorem mittitur. Et in Anabasi vii. 8. 25. Phrygiæ satrapa Artacamas nominatur.

λογχοφόρους δὲ σὺν πελτασταῖς οὐ μείους τετρακισμυρίων· Ἀριβαῖον δὲ, τὸν τῶν Καππαδοκῶν βασιλέα, ἱππέας μὲν εἰς ἑξακισχιλίους, τοξότας δὲ καὶ πελταστὰς οὐ μείους τρισμυρίων. τὸν Ἀράβιον δὲ Μάραγδον ἱππέας τε εἰς μυρίους, καὶ ἅρματα εἰς ἑκατὸν, καὶ σφενδονητῶν πάμπολύ τι χρῆμα. Τοὺς μέντοι Ἕλληνας, τοὺς ἐν τῇ Ἀσίᾳ οἰκοῦντας, οὐδέν πω σαφὲς λέγεται, εἰ ἕπονται· τοὺς δὲ ἀπὸ Φρυγίας τῆς παρ' Ἑλλήσποντον συμβαλεῖν φασι Γαβαῖον ἔχοντα εἰς Καΰστρου πεδίον ἑξακισχιλίους μὲν ἱππεῖς πελταστὰς δὲ εἰς δισμυρίους. Κάρας μέντοι καὶ Κίλικας καὶ Παφλαγόνας παρακληθέντας οὔ φασιν ἕπεσθαι. Ὁ δὲ Ἀσσύριος, ὁ Βαβυλῶνά τε ἔχων, καὶ τὴν ἄλλην Ἀσσυρίαν, ἐγὼ μὲν οἶμαι, ἱππέας μὲν ἄξει οὐ μεῖον δισμυρίων, ἅρματα δ',

λογχοφόρους δὲ] Altorf. δὲ omittit, deinde Ἀρύβαιον habet: εἰς ante ἑξακισχιλίους omittit Guelf. cum Philelpho.

Μάραγδον] Guelf. Ἀρίβαιον δὲ ἄραγδον, ſed corrigitur ἀράβιον. Arabios Meſopotamiæ Σκηνίτας vocatos Xenophon in Cyropædia et Anabaſi i. 5, 1. et vii. 8, 25. dicit, quorum equitatum tantum fuiſſe miratur et de fide Xenophontis dubitat Weiſke, nulla dubitationis édita cauſſa. Suſpicor autem ex verbis viri docti *ullum Arabiæ populum*, eum a vera horum Arabum ſede aberraſſe.

Τοὺς μέντοι Ἕλληνας] Quaſi ſequeretur λέγουσιν, non λέγεται. deinceps ἐποικοῦντας Budenſis et Altorf. ut infra vi. 2, 10.

παρ' Ἑλλήσποντον] Ita iterum infra iv. 2, 30. et viii. 6, 7. Guelf. πρὸς ἑλλησπόντῳ.

Γαβαῖον] Guelf. Γάβαιδον. Altorf. συμβάλλειν φ. poſtea Καΰστριον Guelf. et Philelphi verſio; ſed in Guelf. correctum eſt. In Anabaſi i. 2, 11. eſt εἰς Καΰστριον πεδίον, πόλιν οἰκουμένην, et ultra Mæandri fontes collocatur: contra campum Cayſtrium in Ionia Diodorus 14, 80. in finibus agri Epheſii Stephanus Byz. ponit. Difficultatem hujus loci, quem ſatis intelligere ſe negabat Weiſke, et pro ἔχοντα ſcribendum ἄρχοντα conjiciebat, faciunt verba in unam et continuam periodum contorta. συμβάλλειν eſt h. l. cogere copias in locum aliquem aptum, ut erat equitatui explicando campus Mæandrius et Cayſtrius. Gabæus igitur ἔχων τοὺς ἀπὸ Φρυγίας, ἑξακισχ. μὲν ἱππέας, πελταστὰς δὲ εἰς δισμυρίους συνέβαλεν εἰς Κ. πεδίον. In his nihil ineſt difficultatis.

ἱππεῖς] Budenſis ἱππῆς; ἱππέας dedit Zeune, ἑξάκις μὲν χιλίους ἱππεῖς Altorf.

εἰς δισμυρίους] Ita pro μυρίους Guelf. qui numerus probabilior pro ratione equitum.

Ἀσσύριος] Ex Juntina et Altorf. αὐτὸς addidit Zeune; Verba ὁ Βαβυλῶνα—Ἀσσυρίαν non immerito ſuſpecta ſunt Weiſkio; quid enim Cyro enarrare erat opus fines imperii Aſſyrii?

ἱππέας] Guelf. ἱππεῖς.

ἄξει] Juntina, Iſingr. ἕξειν, Aldina ἄξειν. Margo Steph. ſecundæ οἶμαι ὅτι ἱππέας μὲν ἄξει aut etiam abſque ὅτι, ſcriptum alicubi memorat: et ἄξει eſt in Guelf. Bodl. Altorf. et verſione Philelphi.

μεῖον] Guelf. οὐκ ἐλάττους cum Phil.

εὖ οἶδ᾽, οὐ πλείω διακοσίων, πεζοὺς δὲ, οἶμαι, παμπόλ-
6 λους· εἰώθει γοῦν, ὁπότε δεῦρ᾽ ἐμβάλλοι. Σὺ, ἔφη ὁ
Κῦρος, πολεμίους λέγεις, ἱππέας μὲν εἰς ἑξακισμυρίους
εἶναι, πελταστὰς δὲ καὶ τοξότας πλέον ἢ εἴκοσι μυριά-
δας. Ἄγε δὴ, τῆς δυνάμεως τῆς σῆς τί φὴς πλῆθος
εἶναι; Εἰσὶν, ἔφη, Μήδων μὲν ἱππεῖς πλείους τῶν μυ-
ρίων· πελτασταὶ δὲ καὶ τοξόται γένοιντ᾽ ἂν, ὡς ἐπὶ τῆς
ἡμετέρας, κἂν ἑξακισμύριοι. Ἀρμενίων δ᾽, ἔφη, τῶν
ὁμόρων ἡμῖν, παρέσονται ἱππεῖς μὲν τετρακισχίλιοι, πε-
ζοὶ δὲ δισμύριοι. Λέγεις σὺ, ἔφη ὁ Κῦρος, ἱππέας μὲν
ἡμῖν εἶναι μεῖον ἢ τὸ τρίτον μέρος τοῦ τῶν πολεμίων ἱπ-
7 πικοῦ, πεζοὺς δὲ σχεδὸν ἀμφὶ τοὺς ἡμίσεις. Τί οὖν;
ἔφη ὁ Κυαξάρης, ὀλίγους νομίζεις Περσῶν εἶναι, οὓς σὺ
φὴς ἄγειν; Ἀλλ᾽ εἰ μὲν ἀνδρῶν προσδεῖ ἡμῖν, ἔφη ὁ
Κῦρος, εἴτε καὶ μὴ, αὖθις βουλευσόμεθα· τὴν δὲ μάχην
μοι, ἔφη, λέξον ἑκάστων, ἥτις ἐστί. Σχεδὸν, ἔφη ὁ

εὖ οἶδ᾽, οὐ πλείω] Altorf. ἅρματα δ᾽ οὐ μεῖον διακοσίων. Guelf. ex correctione οὐ μείω habet: οὐ μεῖον malebat Muretus.

εἰώθει] εἰώθει δὲ Guelf. Muretus εἴωθε malebat propter ſequens vulgo ἐμβάλλει; idem placuit Stephano, niſi ἐμβάλλοι ſcribatur: ἐμβάλοι Altorf. et Bodl. ἐμβάλλοι Guelf. quod recipere non dubitavi.

6. λέγεις, ἱππέας] Altorf. λέγεις πολεμίους. deinceps ἱππεῖς Guelf. idem cum Philelpho εἰς omittit. ἱππῆς Budenſis.

πλέον ἢ] Guelf. πλεῖον ἤ.

δυνάμεως τῆς σῆς] Hunc ordinem verborum ex Guelf. dedit Zeune pro vulgato τῆς σῆς δυνάμεως τί πλ. φ. εἶναι;

Μήδων μὲν] Ita Guelf. vulgo μὲν poſitum erat poſt ἱππεῖς.

ὡς ἐπὶ τῆς ἡμετέρας] Aldina ὡς omiſit. τοξόται, ἐγὼ μὲν οἴομαι, γένοιντο—καὶ ἑξακισμύριοι Altorf. Mihi verba præſcripta ſenſum commodum h. l. habere non videntur, ſive tu cum Philelpho *ut in noſtro ſcilicet regno*, ſive *pro ratione et magnitudine regionis noſtræ* interpreteris. Ex lectione Altorf. ſuſpicio eſt mihi ſubnata olim h. l. fuiſſe τοξόται γένοιντ᾽ ἄν, ὡς ἐγὼ οἶμαι, τῆς ἡμετέρας καὶ ἑξακισμύριοι.

δὲ δισμύριοι] Altorf. δὲ καὶ δισμύριοι.

τὸ τρίτον] Articulum τὸ ex Altorf. addidi.

σχεδὸν ἀμφὶ] Guelf. et Bodl. omittit σχεδόν.

7. ὀλίγους] Aldina et Philelphus οὐκ ὀλίγους, probante Brodæo et Stephaniana prima; contra in poſteriore cum Leonclavio οὐκ omiſit, quod facit etiam Guelf. οὐκ ὀλίγου Altorf. Numerum nunc iterum Perſarum extorquere Cyro Cyaxares artificio conatur, quam is jam antea edere detrectaverat: ambiguam igitur adhibet interrogationem, cui aptior lectio ὀλίγους abſque negatione.

αὖθις] poſtea, deinde. Leonclavius tamen εὐθὺς malebat. deinceps συμβουλευσόμεθα ex Guelf. Zeune dedit.

μάχην μοι] Altorf. μάχην, ἔφη, λέξον μοι ἥτις ἑκάστων ἐστίν.

Κυαξάρης, πάντων ἡ αὐτή. Τοξόται γάρ εἰσι καὶ ἀκον-
τισταὶ οἵ τ' ἐκείνων καὶ οἱ ἡμέτεροι. Οὐκοῦν, ἔφη ὁ Κῦ-
ρος, ἀκροβολίζεσθαι ἀνάγκη ἐστὶ, τοιούτων γε τῶν ὅπλων
ὄντων. Ἀνάγκη γὰρ οὖν, ἔφη ὁ Κυαξάρης. Οὐκοῦν ἐν τού- 8
τῳ μὲν, ἔφη ὁ Κῦρος, τῶν πλειόνων ἡ νίκη· πολὺ γὰρ ἂν
θᾶττον οἱ ὀλίγοι ὑπὸ τῶν πολλῶν τιτρωσκόμενοι ἀναλω-
θείησαν, ἢ ὑπὸ τῶν ὀλίγων οἱ πολλοί. Εἰ οὖν οὕτως ἔχει,
ἔφη, ὦ Κῦρε, τί ἂν ἄλλο τὶς κρεῖττον εὕροι, ἢ πέμπειν εἰς
Πέρσας, καὶ ἅμα μὲν διδάσκειν αὐτοὺς, ὅτι, εἴ τι πείσον-
ται Μῆδοι, εἰς Πέρσας τὸ δεινὸν ἥξει, ἅμα δὲ αἰτεῖν πλεῖον
στράτευμα; Ἀλλὰ τοῦτο μὲν, ἔφη ὁ Κῦρος, εὖ ἴσθι, ὅτι,
οὐδ' εἰ πάντες ἔλθοιεν Πέρσαι, πλήθει γε οὐκ ἂν ὑπερβα-
λοίμεθα τοὺς πολεμίους. Τί μήν; ἄλλο τι ἐνορᾷς ἄμεινον 9
τούτου; Ἐγὼ μὲν ἂν, ἔφη ὁ Κῦρος, εἰ σὺ εἴην, ὡς τά-
χιστα ὅπλα ἐποιούμην πᾶσι Πέρσαις τοῖς προσιοῦσιν,
οἷάπερ ἔρχονται ἔχοντες παρ' ὑμῶν οἱ τῶν ὁμοτίμων κα-

Οὐκοῦν, ἔφη ὁ Κῦρος] Verba ἔφη ὁ Κῦρος ut deinceps ὁ Κυαξάρης omittit Guelf.

8. ἐν τούτῳ μὲν] Guelf. μὲν ἐν τούτῳ omiſſis ἔφη ὁ Κῦρος quæ nec Philelphus expreſſit.

θᾶττον οἱ ὀλίγοι] Guelf. θᾶσσον. deinde Juntinæ οἱ λόγοι correxit Brodæus. poſtea οἱ πολλοὶ ὑπὸ τῶν ὀλίγων Guelf. cum Altorf.

κρεῖττον] Guelf. κρεῖσσον. Altorf. εὕροι κρεῖττον.

εἰς Πέρσας τὸ] Junt. Altorf. Πέρσαις τό. Guelf. ἐς Πέρσας.

ἴσθι, ὅτι] Guelf. ὅτι omiſſo deinceps οὐχ ὑπερβαλοίμεθ' ἄν.

9. ἄλλο τι] Junt. Iſingr. cum Altorf. ἄλλο τι σὺ ὁρᾷς. In Guelf. manus correctoris ſupra ἄλλο ſcripſerat τι, quod lectum vertit etiam Philelphus. Cum Aldina Stephanus ἄλλο ἐνορᾷς. Equidem τί μὴν ἄλλο σὺ ἐνορᾷς probarem.

εἰ σὺ εἴην] Juntina, Iſingr. Bryl. Mel. εἰ ἔχοιμι, ut Budenſis, Guelf. Philelphi liber: eadem lectio in Altorf. ſuperſcripta eſt ab alio: Aldina habet εἰ σὺ εἴην, ἔχοιμι, unde Steph. et Leoncl. fecerunt εἰ σὺ εἴην, εἰ ἔχοιμι. Gabriel. probabat εἰ σὺ εἴην. Camerarius emendabat εἰ ἔχοιμι, ὀϊσύϊνα ὡς τάχιστα ὅπλα ποιοίμην, οἷαπερ ἔρχονται ἔχοντες παρ' ἡμῶν. Steph. cum Budæo εἰ οἰσύην vel οἰσύαν ἔχοιμι legi poſſe putabat, quod γέῤῥα Perſarum fuiſſent ὀϊσύϊνα et quod Xenophon Hellenicorum altero ὅπλα ὀϊσύϊνα commemoret.

τάχιστα] Margo Steph. ὡς τάχιστ' ἂν ὅπλα ποιήμην affert alicunde, quæ ſi ſcribantur ποιοίμην, ut erat in Budenſi, ferri poſſunt.

ἔρχονται] i. e. advenient mox. nam ſequitur οἱ ὁμότιμοι παρῆσαν. deinceps Budenſis et Altorf. οἱ ante παρ' omittunt: ἔχοντες ἔρχονται παρ' ἡμῶν Altorf. Muretus ἔρχονται ἔχοντες παρ' ὑμῶν οἱ τῶν ὁμοτίμων καλούμενοι. In Juntina eſt ut in Guelf. οἱ ὑπὲρ ἡμῶν. Brodæus *qui nobiſcum militant* vertit: *qui a nobis vocantur homotimi:* legit igitur ſcriptum οἱ παρ' ἡμῶν ὁμότιμοι καλούμενοι. quam ſcripturam niſi probes, cum Mureto erit οἱ παρ' ὑμῶν τῶν ὁμοτίμων καλούμενοι legendum, quod interim dedi, dum certior lectio

λούμενοι. Ταῦτα δ' ἐστὶ θώραξ μὲν περὶ τὰ στέρνα, γέῤῥον δὲ εἰς τὴν ἀριστερὰν, κοπὶς δὲ ἢ σάγαρις εἰς τὴν δεξιάν· κἂν ταῦτα παρασκευάσῃς, ἡμῖν μὲν ποιήσεις τὸ ὁμόσε τοῖς ἐναντίοις ἰέναι ἀσφαλέστατον, τοῖς πολεμίοις δὲ τὸ φεύγειν, ἢ τὸ μένειν, αἱρετώτερον. Τάττομεν δὲ, ἔφη, ἡμᾶς μὲν αὐτοὺς ἐπὶ τοὺς μένοντας· οἵγε μέν τ' ἂν αὐτῶν φεύγωσι, τούτους ὑμῖν καὶ τοῖς ἵπποις νέμομεν, ὡς μὴ σχολάζωσι μήτε φεύγειν, μήτ' ἀναστρέφεσθαι.

10 Κῦρος μὲν οὕτως ἔλεξε· τῷ δὲ Κυαξάρῃ ἔδοξέ τε εὖ λέγειν, καὶ τοῦ μὲν πλείους μεταπέμπεσθαι οὐκέτι ἐμέμνητο, παρεσκευάζετο δὲ ὅπλα τὰ προειρημένα. Καὶ σχεδόν τε ἕτοιμα ἦν, καὶ τῶν Περσῶν οἱ ὁμότιμοι παρῆσαν, ἔχοντες τὸ ἀπὸ Περσῶν στράτευμα. Ἔνθα δὴ εἰπεῖν λέγεται ὁ Κῦρος, συναγαγὼν αὐτοὺς, τάδε·

11 Ἄνδρες φίλοι, ἐγὼ ὑμᾶς ὁρῶν, αὐτοὺς μὲν καθωπλισμένους οὕτω, καὶ ταῖς ψυχαῖς παρεσκευασμένους, ὡς χεῖρας συμμίξοντας τοῖς πολεμίοις, τοὺς δὲ ἑπομένους ὑμῖν Πέρσας γιγνώσκων, ὅτι οὕτως ὡπλισμένοι εἰσὶν, ὡς ὅτι προσωτάτω ταχθέντες μάχεσθαι, ἔδεισα, μὴ, ὀλίγοι στάντες, καὶ ἔρημοι συμμάχων συμπίπτοντες πο-

Concionibus de mutando armorum genere habitis Perſæ omnes iiſdem quibus Homotimi armis ornantur.

afferatur. Zeunius ſuum οἱ παρ' ἡμῶν interpretatur : ſc. ὄντες, *qui ſunt e nobis:* at ſequens οἱ τῶν ὁμοτίμων κ.λ. neglexit.

ἀσφαλέστατον] Margo Steph. ἀσφαλέστερον τοῖς ἐναντίοις δὲ affert : et comparativum expreſſit Philelphus. deinceps τοῖς δὲ πολεμίοις τὸ φ. Altorf.

Τάττομεν] Guelf. τάσσομεν. deinceps τούτοις ὑμῖν—μήτε μένειν μήτ' ἀναστρ. ſed μένειν eſt in raſura ſcriptum, τούτοις etiam in Juntina, quod Caſtalio correxit. μένειν eſt etiam in Altorf. et libro Philelphi, et recepit Zeune.

10. Κυαξάρῃ] Zeune Κυαξάρει dedit. deinceps παρεσκεύαζεν Altorf

Ἔνθα δὴ] Ita cum Edd. primis Altorf. ἐνταῦθα ex Guelf. dedit Zeune. Deinceps Altorf. ἔνθα δὴ λέγει ὁ Κῦρος συναγαγὼν αὐτοὺς, omiſſo τάδε, quod etiam in Guelf. manu correctoris additum eſt.

11. ὡς χεῖρας] Vulgo interſertum εἰς cum Guelf. delevi. τοὺς πολεμίους dat Altorf.

ταχθέντες] Ita etiam Guelf. ſed a manu correctoris : fuerat enim antea σταθέντες. deinceps omittit στάντες, ut Altorf. ταχθέντες. Ceterum concinnitas videbatur mihi poſtulare ὡς ὅτι προσωτάτω ταχθέντες μαχούμενοι : ut antea erat καθωπλισμένους οὕτω—ὡς χεῖρας συμμίξοντας. opponuntur enim ſibi invicem *conſerere manus* et *eminus pugnare.*

ἔδεισα] Timui ; igitur conſului ſaluti veſtræ, et providi arma, ſimilia veſtris, quibus milites vos ſecuti armarentur.

λεμίοις πολλοῖς, πάθοιτέ τι. Νῦν οὖν, ἔφη, σώματα μὲν ἔχοντες ἀνδρῶν ἥκετε οὐ μεμπτά· ὅπλα δὲ ἔσται αὐτοῖς ὅμοια τοῖς ὑμετέροις· τάς γε μὴν ψυχὰς αὐτῶν θήγειν, ὑμέτερον τὸ ἔργον. Ἄρχοντος γάρ ἐστιν, οὐχ ἑαυτὸν μόνον ἀγαθὸν παρέχειν, ἀλλὰ καὶ τῶν ἀρχομένων ἐπιμελεῖσθαι, ὅπως ὡς βέλτιστοι ἔσονται. Ὁ μὲν 12
οὕτως εἶπεν· οἱ δ᾽ ἥσθησαν μὲν πάντες, νομίζοντες μετὰ πλειόνων ἀγωνιεῖσθαι· εἷς δὲ αὐτῶν καὶ ἔλεξε τοιάδε·

Ἀλλὰ θαυμαστὰ μὲν, ἔφη, ἴσως δόξω λέγειν, εἰ 13
Κύρῳ συμβουλεύσω τι εἰπεῖν ὑπὲρ ἡμῶν, ὅταν τὰ ὅπλα λαμβάνωσιν οἱ ἡμῖν μέλλοντες συμμαχεῖσθαι· ἀλλὰ γιγνώσκω γάρ, ἔφη, ὅτι οἱ τῶν ἱκανωτάτων καὶ εὖ καὶ κακῶς ποιεῖν λόγοι οὗτοι καὶ μάλιστα ἐνδύονται ταῖς ψυχαῖς τῶν ἀκουόντων· καὶ δῶρα ἣν διδῶσιν οἱ τοιοῦτοι, κἂν μείω τυγχάνῃ ὄντα, ἢ τὰ παρὰ τῶν ὁμοίων, ὅμως μείζονος αὐτὰ τιμῶνται οἱ λαμβάνοντες. Καὶ νῦν, ἔφη, οἱ Πέρσαι παραστάται ὑπὸ Κύρου πολὺ μᾶλλον ἡσθήσονται, ἢ ὑφ᾽ ἡμῶν παρακαλουμένοι· εἴς τε τοὺς ὁμοτίμους καθιστάμενοι, βεβαιοτέρως σφίσιν ἡγήσονται ἔχειν τοῦτο, ὑπὸ βασιλέως τε παιδὸς καὶ ὑπὸ στρατηγοῦ

Νῦν οὖν] Mihi Guelf. νῦν μὲν οὖν, ἔφη, σώματα ἔχοντες placet: nisi quod ἔχοντες in hac sententia mihi displicet omnino: ferrem ἄγοντες; at ἔχειν σῶμα dicitur proprie is, qui suum ipse habet et secum fert corpus. deinceps malim ὅπλα τε ἔσται. in Guelf. est: ἥκετε· οὐ μεμπτὰ δ᾽ ὅπλα ἔσται αὐτοῖς. Scilicet vis oppositionis et summa orationis versatur non in armorum commutatione, quæ similia militibus plebeiis providerat Cyrus, sed in ratione, qua efficere debebant homotimi, ut plebeii animum eorum æquare conarentur.

ὑμετέροις] Ita Stephaniana 2. cum esset ante ἡμετέροις, quod Portus defendebat ex eo, quod Cyrus esset unus τῶν ὁμοτίμων. deinceps etiam vulgo ἡμέτερον τὸ ἔργον erat, sed ὑμέτερον etiam Philelphus reddidit. τὸ ante ἔργον Aldina omisit cum Altorfino. τάς γε μέντοι ψυχὰς θ. αὐτῶν Guelf. τάς γε μέν τοι etiam Altorf.

οὐχ ἑαυτὸν] Ita cum Brodæo, Philelpho, Camerario, Guelf. Zeune: alii libri οὐκ αὐτὸν—εἶναι. Altorf. αὐτὸν ἀγαθὸν μόνον habet. deinceps ἀλλὰ δὴ καὶ Guelf. qui postea ὅπως omittit.

13. θαυμαστὰ μὲν] Guelf. μὲν omittit. deinceps ὑπὲρ ἡμῶν εἰπεῖν. Altorf. Κῦρον συμβουλεύσω εἰπεῖν omisso τι. postea συμμάχεσθαι Guelf. in margine correctum est.

καὶ δῶρα ἣν] κἂν δῶρα Guelf. Junt. καὶ δῶρα γε ἣν Altorf. unde δῶρα δὲ malim. deinceps καὶ ἂν Guelf.

παραστάται] Ita cum Philelpho Guelf. pro παρακληθέντες.

γιγνόμενον, ἢ εἰ ὑφ' ἡμῶν εἰς τὸ αὐτὸ τοῦτο ἄγοιντο.
Ἀπεῖναι μέντοι οὐδὲ τὰ ἡμέτερα χρή· ἀλλὰ παντὶ τρόπῳ
δεῖ τῶν ἀνδρῶν θήγειν πάντως τὸ φρόνημα. Ἡμῖν γὰρ
ἔσται τοῦτο χρήσιμον, ὅ τι ἂν οὗτοι βελτίονες γένωνται.
14 Οὕτω δὴ ὁ Κῦρος καταθεὶς τὰ ὅπλα εἰς τὸ μέσον, καὶ
συγκαλέσας πάντας τοὺς Περσῶν στρατιώτας, ἔλεξε
τοιάδε·

15 Ἄνδρες Πέρσαι, ὑμεῖς καὶ ἔφυτε ἐν τῇ αὐτῇ ἡμῖν χώ-
ρᾳ, καὶ ἐτράφητε· καὶ τὰ σώματά γε ἡμῶν οὐδὲν χεί-
ρονα ἔχετε, ψυχάς τε οὐδὲν κακίονας ὑμῖν προσήκει
ἡμῶν ἔχειν. Τοιοῦτοι δ' ὄντες, ἐν μὲν τῇ πατρίδι οὐ
μετείχετε τῶν ἴσων ἡμῖν, οὐχ ὑφ' ἡμῶν ἀπελαθέντες,
ἀλλ' ὑπὸ τοῦ τὰ ἐπιτήδεια ἀνάγκην ὑμῖν εἶναι πορίζεσ-
θαι. Νῦν δὲ ὅπως μὲν ταῦτα ἕξετε, ἐμοὶ μελήσει, σὺν
τοῖς θεοῖς· ἔξεστι δ' ὑμῖν, εἰ βούλεσθε, λαβόντας
ὅπλα, οἷάπερ ἡμεῖς ἔχομεν, εἰς τὸν αὐτὸν ἡμῖν κίνδυνον
ἐμβαίνειν· καὶ, ἄν τι ἐκ τούτων καλὸν κἀγαθὸν γίγνη-
16 ται, τῶν ὁμοίων ἡμῖν ἀξιοῦσθαι. Τὸν μὲν οὖν πρόσθεν
χρόνον ὑμεῖς τε τοξόται καὶ ἀκοντισταὶ ἦτε καὶ ἡμεῖς·
καὶ εἴ τι χείρους ἡμῶν ταῦτα ποιεῖν ἦτε, οὐδὲν θαυμα-

γιγνόμενον, ἢ εἰ] Margo Steph. Leoncl. γενόμενον, ἢ εἰ ὑφ' ἡ: τὸ αὐτὸ τοῦτο γίγνοιτο. quæ eſt lectio Philel. et Guelf.

τὸ φρόνημα] Junt. Altorf. et corrector Guelf. τὰ φρονήματα.

14. τοιάδε] Altorf. τοιαῦτα dat.

15. Πέρσαι] Eſt in margine Altorfini libri.

σώματά γε] Zeune ex Juntina, Iſingr. Altorf. σώματά τε revocavit. Mihi ex uſu Xenophonteo σώματα δὲ ſcribendum videtur. deinceps ὑμᾶς προσήκει Altorf. οὐδὲν χείρονα ἡμῶν Guelf.

βούλεσθε] Guelf. βούλοισθε. Ald. βούλησθε. ſequens λαβόντας eſt ex Guelf. pro λαβοῦσιν.

ἔχομεν] Vulgo ſequebantur hæc: καὶ εἴτι χείρονες ἡμῶν ἐστὲ, quæ omittuntur rectius a Junt. Iſingr. Bryl. Mel. libris Gabrielis; in Altorf. corrector ea addidit; etiam Stephanus ſeclusit et Muretus delenda cenſuit, velut ex ſequentibus huc tracta: Gallus *Bejot* tolerabat mutata ſic: ἐπεὶ οὔτε χείρονες ἡμῶν ἐστέ. In Budenſi verba λαβόντας—ἔχομεν aberant.

ἡμῖν κίνδυνον] Guelf. κίνδυνον ἡμῖν. deinceps Junt. Iſingr. καὶ ἥν τις—καλὸς κἀγαθός: quæ lectio in Guelf. ſupra ſcripta eſt, niſi quod ibi γίνεται exſtat: In Altorf. eſt κἄν τις, ſed κἄν eſt ab alia manu.

στόν· οὐ γὰρ ἦν ὑμῖν σχολὴ, ὥσπερ ἡμῖν, τούτων ἐπιμε-
λεῖσθαι. Ἐν δὲ τῇδε τῇ ὁπλίσει, οὐδὲν ἡμεῖς ὑμῶν
προέξομεν. Θώραξ μὲν γὰρ περὶ τὰ στέρνα ἁρμόζων
ἑκάστῳ ἔσται, γέῤῥον δὲ ἐν τῇ ἀριστερᾷ, ὃ πάντες εἰθίσ-
μεθα φορεῖν, μάχαιρα δὲ ἢ σάγαρις ἐν τῇ δεξιᾷ, ᾗ δὴ
παίειν τοὺς ἐναντίους δεήσει, οὐδὲν φυλαττομένους, μή τι
παίσαντες ἐξαμάρτωμεν. Τί οὖν ἂν ἐν τούτοις ἕτερος 17
ἑτέρου ἡμῶν διαφέροι, πλὴν τόλμῃ; ἣν οὐδὲν ὑμῖν προσ-
ήκει ἧττονα ἡμῶν παρέχεσθαι. Νίκης τε γὰρ ἐπιθυμεῖν,
ἣ τὰ καλὰ πάντα καὶ τὰ ἀγαθὰ κτᾶταί τε καὶ σώζει,
τί μᾶλλον ἡμῖν ἢ ὑμῖν προσήκει; Κράτους τε, ὃ πάντα
τὰ τῶν ἡττόνων τοῖς κρείττοσι δωρεῖται, τί εἰκὸς ἡμᾶς
μᾶλλον ἢ καὶ ὑμᾶς τούτου δεῖσθαι; Τέλος εἶπεν, Ἀκη- 18
κόατε πάντα· ὁρᾶτε τὰ ὅπλα· ὁ μὲν χρήζων, λαμβα-
νέτω ταῦτα, καὶ ἀπογραφέσθω πρὸς τὸν ταξίαρχον εἰς
τὴν ὁμοίαν τάξιν ἡμῖν. ὅτῳ δ᾽ ἀρκεῖ ἐν μισθοφόρου
χώρᾳ εἶναι, καταμενέτω ἐν τοῖς ὑπηρετικοῖς ὅπλοις. Ὁ 19
μὲν οὕτως εἶπεν. Ἀκούσαντες δὲ οἱ Πέρσαι ἐνόμισαν,
εἰ παρακαλούμενοι, ὥστε τὰ ὅμοια πονοῦντες τῶν αὐτῶν

16. *ὥσπερ ἡμῖν*] Guelf. *ὡς ἡμῖν.* Altorf. *χείρονες.*

τῇδε τῇ] Guelf. *ταύτῃ τῇ.*

μὲν γὰρ] Guelf. *μέν γε*, nec *γὰρ* Philelphus reddidit.

ὃ πάντες—φορεῖν] Weiſke malebat *ὃ δὴ πάντες* aut *οἷον π.* nullam fere ob cauſam.

ᾗ δὴ] Junt. et Altorf. omittunt *δή.* deinceps *παίοντος* Guelf. poſtea *ἤ μή τι* margo Leonclavianæ tertiæ habet: quod non probandum. Opponitur enim uſus gladii ſagittis et jaculis, quæ facile aberrant hoſtibus.

17. *ἑτέρου ἡμῶν*] Guelf. *διαφέροι ἡμῶν.* deinceps margo Guelf. cum Junt. *τόλμης.* Aldina *ἐν τόλμῃ.* Altorf. *ἕτερος ἐν τούτοις ἑτέρου διαφέρει πλὴν τόλμης.*

ἧττονα ἡμῶν] Guelf. *ἣν οὐδὲν ὑμῖν ἧσσον προσήκει ἢ ἡμῖν ὑποτρέφεσθαι,* ſed margo annotat *παρέχεσθαι.* Stephanus ex vetere exemplari attulit ſcripturam *πλὴν ἐν τόλμῃ ᾗ οὐδὲν ὑμῖν ἧττον προσήκει ἢ ἡμῖν ὑποστρέφεσθαι.* ubi ipſe corrigebat *ἧς—ἐπιστρέφεσθαι.* Sed ſine dubio librarius ſcripturam libri Guelf. voluit repræſentare, quam Zeunius non ſatis fideliter annotaverat.

κτᾶταί τε] Ex Guelf. et Altorf. *τε* addidi cum Zeunio.

ὃ πάντα] Altorf. *ὃ τὰ τῶν ἡττόνων* omiſſo *πάντα.* Guelf. *ἡσσόνων—κρήσσασι.*

18. *τὰ ὅπλα*] Additum *πάντα* Stephanus neſcio unde invexerat, quod recte omittunt Edd. primæ, Philel. Camerarius, Leonclavius et Guelf.

χώρᾳ εἶναι] Guelf. hoc in margine, *ἰέναι* in textu habet.

19. *πονοῦντες*] Deinceps margo Steph. et Leoncl. *ὁμοίως βιοτεύειν,*

τυγχάνειν, μὴ θελήσουσι ταῦτα ποιεῖν, δικαίως ἂν διὰ παντὸς τοῦ αἰῶνος ἀμηχανοῦντες βιοτεύειν· καὶ οὕτω δὴ ἀπογράφονται πάντες, ἀνέλαβόν τε τὰ ὅπλα πάντες.

Cyrus meditationes campestres instituit, et, virtutis præmiis propositis, studia contentionum honestarum excitat.

20 Ἐν ᾧ δὲ οἱ πολέμιοι ἐλέγοντο μὲν προσιέναι, παρῆσαν δὲ οὐδέπω, ἐν τούτῳ ἐπειρᾶτο ὁ Κῦρος ἀσκεῖν μὲν τὰ σώματα τῶν μεθ' ἑαυτοῦ πρὸς ἰσχὺν, διδάσκειν δὲ τὰ τακτικὰ, θήγειν δὲ τὰς ψυχὰς εἰς τὰ πολεμικά.
21 Καὶ πρῶτον μὲν λαβὼν παρὰ Κυαξάρους ὑπηρέτας, προσέταξεν ἑκάστοις τῶν στρατιωτῶν ἱκανῶς, ὧν ἐδέοντο, πάντα πεποιημένα παρασχεῖν· τοῦτο δὲ παρασκευάσας, οὐδὲν αὐτοῖς ἄλλο ἐλελοίπει, ἢ ἀσκεῖν τὰ ἀμφὶ τὸν πόλεμον· ἐκεῖνο δοκῶν καταμεμαθηκέναι, ὅτι οὗτοι κράτιστοι ἕκαστα γίγνονται, οἳ ἂν, ἀφέμενοι τοῦ πολλοῖς προσέχειν τὸν νοῦν, ἐπὶ ἓν ἔργον τράπωνται. Καὶ αὐτῶν δὲ τῶν πολεμικῶν περιελὼν καὶ τὸ τόξῳ μελετᾶν καὶ ἀκοντίῳ, κατέλιπε τοῦτο μόνον αὐτοῖς, τὸ σὺν μαχαίρᾳ καὶ γέρρῳ καὶ θώρακι μάχεσθαι. Ὥστε εὐθὺς αὐτῶν παρεσκεύασε τὰς γνώμας, ὡς ὁμόσε ἰτέον εἴη τοῖς πολεμίοις, ἢ ὁμολογητέον, μηδενὸς ἀξίους εἶναι συμμάχους· τοῦτο δὲ χαλεπὸν ὁμολογῆσαι, οἵ τινες ἂν εἰδῶσιν, ὅτι οὐδὲ δι' ἓν ἄλλο τρέφονται, ἢ ὅπως μαχοῦνται ὑπὲρ τῶν

τυγχάνοιεν μὴ ἐθέλοντες. Guelf. ὁμοίων βιοτεύειν, τυγχάνειν, μὴ ἐθελήσουσι, sed βιοτεύειν erat punctis notatum. Sunt ista ὁμοίως βιοτεύειν ex glossa nata et ad verba sequentia ἀμηχανοῦντες βιοτεύειν conformata.

μὴ θελήσουσι] Guelf. μὴ ἐθελ. deinceps καὶ οὕτω δὴ nescio unde invectum fuit; abest enim ab Edd. primis, Philelphi et Altorf. libro: postea Altorf. ἔλαβόν τε.

20. ἐλέγοντο μὲν] Altorf. omisso μὲν deinceps παρῆσαν δ' οὔπω habet.

πρὸς ἰσχὺν] Guelf. εἰς ἰσχύν.

21. Κυαξάρους] Ita pro Κυαξάρου dedit Zeune.

ἱκανῶς] Ita Castalio primus ex versione Philelphi scripsit pro ἱκανοὺς, quod est in libris editis et scriptis reliquis, et si verum est, olim pertinuit ad ὑπηρέτας, alio loco positum. deinceps παρέχειν Altorf.

καὶ ἀκοντίῳ, κατέλιπε] Altorf. τῷ ἀκοντίῳ, κατέλειπε. Voluit τὸ ἀκοντίῳ. Hunc locum vitiose excerpsit Suidas in γέῤῥον.

ἰτέον εἴη] Ita cum Guelf. Steph. 2. Hutchinson et Zeune. Aldina ἰτέον εἴη ἐπί. Junt. cum Altorf. ἰτέον ἐπί.

ἀξίους εἶναι] Guelf. μηδενὸς εἶναι ἀξίους. deinceps τουτί.

μαχοῦνται] Ita Philelphi liber, Guelf. et margo Steph. et Leoncl. pro μάχωνται, quod corrector Guelf. etiam intulit.

τρεφόντων. Ἔτι δὲ πρὸς τούτοις ἐννοήσας, ὅτι, περὶ 22
ὁπόσων ἂν γένωνται ἀνθρώποις φιλονεικίαι, πολὺ μᾶλ-
λον ἐθέλουσι ταῦτα ἀσκεῖν, ἀγῶνας αὐτοῖς προεῖπεν
ἁπάντων, ὁπόσα ἐγίγνωσκεν ἀσκεῖσθαι ἀγαθὸν εἶναι
ὑπὸ στρατιωτῶν. Ἃ δὲ προεῖπε, τάδε ἦν· ἰδιώτῃ μὲν,
ἑαυτὸν παρέχειν εὐπειθῆ τοῖς ἄρχουσι, καὶ ἐθελόπονον,
καὶ φιλοκίνδυνον μετ᾽ εὐταξίας, καὶ ἐπιστήμονα τῶν
στρατιωτικῶν, καὶ φιλόκαλον περὶ ὅπλα, καὶ φιλότι-
μον ἐπὶ πᾶσι τοῖς τοιούτοις· πεμπαδάρχῳ δ᾽, αὐτὸν
ὄντα, οἷόνπερ τὸν ἀγαθὸν ἰδιώτην, καὶ τὴν πεμπάδα, εἰς
τὸ δυνατὸν, τοιαύτην παρέχειν· δεκαδάρχῳ δὲ, τὴν δεκάδα·
ὡσαύτως δὲ λοχαγῷ, τὸν λόχον· ὡς δ᾽ αὔτως ταξιάρχῳ.
ὡς δ᾽ αὔτως ἑκάστῳ τῶν ἄλλων ἀρχόντων, ἀνεπίκλητον
αὐτὸν ὄντα ἐπιμελεῖσθαι καὶ τῶν ὑφ᾽ αὐτῷ ἀρχόντων,
ὅπως ἐκεῖνοι αὖ, ὧν ἂν ἄρχωσι, παρέξουσι τὰ δέοντα
ποιοῦντας. Ἆθλα δὲ προὔφηνε, τοῖς μὲν ταξιάρχαις, 23
οἳ κρατίστας δόξαιεν τὰς τάξεις παρασκευάσαι, χιλιάρ-

22. ἂν γένωνται] Altorf. ἂν ἐνγένηνται. Voluitne ἐγγένωνται?

ἀγῶνας] Vulgo τε sequebatur, quod cum Altorf. omisi, uti volebat etiam fieri Stephanus aut τε in γε mutari. deinceps καὶ προεῖπε τάδε Guelf. cum Philelpho, quod recepit Zeune.

ἰδιώτῃ μὲν] Deinceps cum Aldina Stephanus ἀγαθὸν infersit, quod reliqui libri omnes omittunt: παρέχειν ἑαυτὸν Altorf.

πεμπαδάρχῳ—πεμπάδα] Ita cum Guelf. Altorf. Juntina. πενταδάρχῳ—πεντάδα Aldina. Leonclavius in notis Edit. primæ hanc ipsam Aldinam scripturam probavit, in Editione altera πεμπταδάρχῳ—πεμπτάδα maluit, πεμπαδάρχῳ et πεμπάδα ceu formam Æolicam plane rejecit. Stephanus Aldinam secutus est cum Weiskio. Eadem est varietas lectionis in Hipparchico 4, 9. et Hellenicorum vii. 2, 6.

δεκαδάρχῳ] Guelf. δεκάρχῳ. deinceps δεκάδα· λοχαγῷ δὲ, Guelf. cum Philelpho.

τὸν λόχον] Guelf. pergit καὶ ταξιάρχῳ ἀνεπίπλητον. sed correctum ἀνεπίπληκτον, et in margine inferuntur hæc: ὡσαύτως ἑκάστῳ τῶν ἄλλων ἀρχόντων. Etiam in Steph. et Leoncl. verba ὡς δ᾽ αὔτως ἑκ. τ. ἄ. ἀρ. seclusa sunt, nec ea Philelphus expressit: τῶν ἄλλων ἀρχόντων ἑκάστῳ Altorf.

ἀνεπίκλητον] Hoc ex Xenophonte laudat Pollux 8, 68. contra ἀνεπίπληκτον cum Budensi Juntina. Brodæus utramque lectionem cum tertia ἀνεπίληπτον memorat. Sequens αὐτὸν Junt. Ald. Isingr. omittunt.

ὑφ᾽ αὐτῷ] Ita cum Aldina Stephanus. αὑτὸν Junt. αὑτῶν Guelf. deinceps ἄρχουσι Junt. Philel. Guelf. Altorf. ἂν omittit etiam Guelf. Altorf. postea παρέξοισιν Altorf.

23. τοῖς μὲν ταξιάρχαις] Guelf. τοῖς ταξιάρχοις, ὡς τοὺς κράτιστα δόξαντας τὰς τάξεις παρεσκευάσθαι χ. ἔσ. sed corrector ταξιάρχαις dedit et annotata est in margine vulgata lectio. δόξειεν Ald. Altorf. Junt. Isingr. postea vero Altorf. δόξειαν etiam præfert cum Juntina.

χους ἔσεσθαι· τῶν δὲ λοχαγῶν, οἳ κρατίστους δόξαιεν
τοὺς λόχους ἀποδεικνύναι, εἰς τὰς τῶν ταξιαρχῶν χώρας
ἐπαναβήσεσθαι· τῶν δ᾽ αὖ δεκαδαρχῶν τοὺς κρατί-
στους, εἰς τὰς τῶν λοχαγῶν χώρας καταστήσεσθαι·
τῶν δ᾽ αὖ πεμπαδαρχῶν, ὡσαύτως εἰς τὰς τῶν δεκαδάρ-
χων· τῶν γε μὴν ἰδιωτῶν τοὺς κρατιστεύοντας, εἰς τὰς τῶν
πεμπαδαρχῶν. Ὑπῆρχε δὲ πᾶσι τούτοις τοῖς ἄρχουσι,
πρῶτον μὲν θεραπεύεσθαι ὑπὸ τῶν ἀρχομένων· ἔπειτα
δὲ καὶ ἄλλαι τιμαὶ, αἳ πρέπουσαι ἑκάστοις, συμπαρεί-
ποντο. Ἐπανέτεινε δὲ καὶ μείζονας ἐλπίδας τοῖς ἀξίοις
ἐπαίνου, εἴ τι ἐν τῷ ἐπιόντι χρόνῳ ἀγαθὸν μεῖζον φαί-
24 νοιτο. Προεῖπε δὲ νικητήρια καὶ ὅλαις ταῖς τάξεσι,
καὶ ὅλοις τοῖς λόχοις· καὶ ταῖς δεκάσιν ὡσαύτως καὶ
ταῖς πεμπάσιν, ἐὰν φαίνωνται εὐπιστόταται τοῖς ἄρ-
χουσιν οὖσαι, καὶ προθυμότατα ἀσκοῦσαι τὰ προειρη-
μένα. Ἦν δὲ ταύταις τὰ νικητήρια, οἷα δὴ εἰς πλῆθος
πρέπει. Ταῦτα μὲν δὴ προείρητό τε, καὶ ἤσκητο ὑπὸ
25 τῆς στρατιᾶς. Σκηνὰς δὲ αὐτοῖς κατεσκεύασε, πλῆ-
θος μὲν, ὅσοι ταξίαρχοι ἦσαν· μέγεθος δὲ, ὥστε ἱκα-
νὰς εἶναι τῇ τάξει ἑκάστῃ· ἡ δὲ τάξις ἦν ἑκατὸν ἄνδρες.
Ἐσκήνουν μὲν δὴ οὕτω κατὰ τάξεις· Ἐν δὲ τῷ ὁμοσκη-
νοῦν ἐδόκουν μὲν αὐτῷ ὠφελεῖσθαι πρὸς τὸν μέλλοντα
ἀγῶνα τοῦτο, ὅτι ἑώρων ἀλλήλους ὁμοίως τρεφομένους·

δεκαδαρχῶν] Ita cum Caftal. et Guelf. Zeune pro δεκάρχων, quod eft etiam in Altorf. deinceps πενταδαρχῶν Guelf. fed alterum eft in margine : πεμπάρχων Altorf.

Ὑπῆρχε δὲ] Guelf. ὑπῆρχε τούτοις πᾶσι.

Ἐπανέτεινε] Guelf. ἐπανετείνοντο δὲ καὶ μείζονες ἐλπίδες τοῖς ἀξίοις, ἔπαινοί τε (Suidas qui eandem fcripturam habet in ἐπανατείνειν, addit καὶ) εἴ τι —ἀγαθὸν εἶναι μ. φ. Eandem fcripturam cum Guelf. expreffit Philelphus.

24. φαίνωνται] Philelphus φαίνωνταί τε videtur expreffiffe.

εὐπιστόταται] Leonclavius εὐπειστόταται. Muretus εὐπειθέσταται malebat.

ταύταις τὰ] Guelf. ταῦτα τά. voluitne τοιαῦτα τά?

ἤσκητο ὑπὸ] Guelf. ἤσκητο ἡ στρατιὰ, fed vulgata eft in margine.

25. ὥστε ἱκανὰς] Altorf. ὡς ἱκανάς. deinceps τάξει· ἑκάστη δ᾽ ἡ τάξις ἦν Guelf. ut liber Philelphi.

ὁμοσκηνοῦν] Guelf. et Suidas ὁμοῦ σκηνοῦν. præterea Suidas τοὺς στρατιώτας deinceps addit pergens ἐδόκουν ὠφελεῖσθαι—στρεφομένους ὁμοίως· καὶ οὐκ ἦν—ἀγῶνα· ἑώρων γάρ. Altorf, τοῦτον, ὅτι dat.

καὶ οὐκ ἐνῆν πρόφασις μειονεξίας, ὥστε ὑφίεσθαί τε
τινά, κακίω τε ἕτερον ἑτέρου εἶναι πρὸς τοὺς πολεμίους.
Ὠφελεῖσθαι δὲ ἐδόκουν αὐτῷ καὶ πρὸς τὸ γιγνώσκε-
σθαι ἀλλήλοις ὁμοσκηνοῦντες. Ἐν δὲ τῷ γιγνώσκε-
σθαι καὶ τὸ αἰσχύνεσθαι πᾶσι δοκεῖ μᾶλλον ἐγγίγνε-
σθαι· οἱ δὲ ἀγνοούμενοι ῥᾳδιουργεῖν πως μᾶλλον δοκοῦ-
σιν, ὥσπερ οἱ ἐν σκότει ὄντες. Ἐδόκουν δὲ αὐτῷ καὶ εἰς 26
τὸ τὰς τάξεις ἀκριβοῦν μέγα ὠφελεῖσθαι διὰ τὴν ὁμο-
σκηνίαν. Εἶχον γὰρ οἱ μὲν ταξίαρχοι τὰς ὑφ' ἑαυτοῖς
τάξεις κεκοσμημένας, ὥσπερ ὁπότε εἰς ἕνα πορεύοιτο ἡ
τάξις· οἱ δὲ λοχαγοὶ, τοὺς λόχους ὡσαύτως· οἱ δὲ δεκά-
δαρχοι, τὰς δεκάδας· καὶ οἱ πεμπάδαρχοι, τὰς πεμ-
πάδας. Τὸ δὲ ἀκριβοῦν τὰς τάξεις σφόδρα ἐδόκει αὐτῷ 27
ἀγαθὸν εἶναι, καὶ εἰς τὸ μὴ ταράττεσθαι, καὶ εἰς τὸ,
εἰ ταραχθεῖεν, θᾶττον καταστῆναι· ὥσπερ γε καὶ λί-
θων καὶ ξύλων ἃ ἂν δέῃ συναρμοσθῆναι, ἔστι, κἂν
ὁπωσοῦν καταβεβλημένα τύχῃ, συναρμόσαι ταῦτα εὐπε-
τῶς, ἢν ἔχῃ γνωρίσματα, ὥστε εὔδηλον εἶναι, ἐξ ὁποίας

ὑφίεσθαί τι] Guelf. cum Altorf. et Suida τι omittit: deinceps Suidas κακιώτερον ἑτέρου (ut eſt in Edd. primis, κακίω ἕτερον Guelf. cum Altorf.) εἶναι πρὸς τ. πολ. καὶ ὅτι ἐγίνωσκον ἀλλήλους. καὶ τὸ αἰσχύνεσθαι πᾶσιν ἐδόκει ἐγγίνεσθαι. οἱ δ' ἀγνοοῦντες ῥᾳδιουργοῦσιν ὥσπερ ἐν σκότει ὄντες.

ὠφελεῖσθαι δὲ ἐδόκουν αὐτῷ] Hæc verba ut ſuperflua delebat Muretus. deinceps Edd. primæ τῷ γιγνώσκεσθαι ἀλλήλοις. Guelf. γιγνώσκειν ἀλλήλους recepit.

Ἐν δὲ τῷ] Ita Philel. et Guelf. pro ἐν γὰρ τῷ. Fons ſententiæ videtur eſſe Iliadis 5. verſus 530. cum ſequente. deinceps πᾶσι δοκεῖ Philel. cum Guelf. pro πᾶσιν ἐδόκει vulgato ante Zeunium.

ἀγνοούμενοι] Suidæ ἀγνοοῦντες ῥᾳδιουργοῦσι repetiit Euſtathius ad Iliad. p. 181. ed. Baſil.

26. καὶ εἰς τὸ] Guelf. εἰς τὸ καὶ τάξεις.

ὁμοσκηνίαν] Margo Steph. cum Guelf. συσκηνίαν.

τὰς ὑφ'] Ita cum Mureto ſcripſi pro ὑφ' ἑαυτοῖς τάς. deinceps κοιμωμένας Editionum primarum ex Philelphi verſione Budenſi et Guelf. correxit cum Stephano Leoncl.

λόχους ὡσαύτως· οἱ δὲ] Ita cum Guelf. et Philelpho Zeune, et ante eum Muretus ita locum corrigebat; Vulgo erat: λόχους· ὡσαύτως οἱ.

τὰς δεκάδας· καὶ οἱ] Guelf. τὰς, omiſſo δεκάδας· πέμπαρχοι πεμπάδας. In Altorf. δέκαρχοι eſt a prima manu ſcriptum.

27. δὲ ἀκριβοῦν] Guelf. δὲ διακριβοῦν. deinceps καὶ, εἰ ταραχθεῖεν omiſſis εἰς τὸ; idem denique ταράσσεσθαι—θᾶσσον.

ταῦτα—ἢν] Guelf. αὐτὰ—ἄν. deinceps ex eodem ordinem vulgarem ὁποίας χώρας ἕκαστον cum Zeunio mutavi.

28 ἕκαστον χώρας αὐτῶν ἐστιν. Ἐδόκουν δὲ ὠφελεῖσθαι αὐτῷ ὁμοῦ τρεφόμενοι καὶ πρὸς τὸ ἧττον ἀλλήλους ἂν ἐθέλειν ἀπολείπειν· ὅτι ἑώρα καὶ τὰ θηρία, τὰ συντρεφόμενα, δεινὸν ἔχοντα πόθον, ἤν τις αὐτὰ διασπᾷ ἀπ' ἀλλήλων.

29 Ἐπεμέλετο δὲ καὶ τοῦδε ὁ Κῦρος, ὅπως μήποτε ἀνίδρωτοι γενόμενοι ἐπὶ τὸ ἄριστον καὶ τὸ δεῖπνον εἰσίοιεν. Ἢ γὰρ ἐπὶ θήραν αὐτοὺς ἐξάγων, ἱδρῶτα αὐτοῖς παρεῖχεν, ἢ παιδιὰς τοιαύτας ἐξεύρισκεν, αἳ ἱδρῶτα ἔμελλον παρέχειν· ἢ καὶ πρᾶξαι εἴ τι δεόμενος τύχοι, οὕτως ἐξηγεῖτο τῆς πράξεως, ὡς μὴ ἐπανίοιεν ἀνιδρωτί. Τοῦτο γὰρ ἡγεῖτο καὶ πρὸς τὸ ἡδέως ἐσθίειν ἀγαθὸν εἶναι, καὶ πρὸς τὸ ὑγιαίνειν, καὶ πρὸς τὸ δύνασθαί τι πονεῖν. Καὶ πρὸς τὸ ἀλλήλοις δὲ πρᾳοτέρους εἶναι ἀγαθὸν ἡγεῖτο τοὺς πόνους εἶναι, ὅτι καὶ οἱ ἵπποι, συμπονοῦντες ἀλλήλοις, πρᾳότεροι συνεστήκασι. Πρός γε μὴν τοὺς πολεμίους μεγαλοφρονέστεροι γίγνονται, οἳ ἂν ξυνειδῶσιν ἑαυτοῖς εὖ ἠσκηκότες.

30 Κῦρος δὲ αὐτῷ σκηνὴν μὲν κατεσκευάσατο, ὡς ἱκανὴ εἴη ἔχειν, οὓς καλοίη ἐπὶ τὸ δεῖπνον. Ἐκάλει δὲ ὡς τὰ

28. ἂν ἐθέλειν] Guelf. ἐθέλειν ἀπολιπεῖν. deinceps συντρεφόμενα ex Guelf. et margine Steph. cum Zeunio prætuli.

διασπᾷ] Altorf. διασπάσῃ, *diſtraheret* Philelphus. deinceps ἐπεμελεῖτο Altorf. poſtea τούτου ὁ Κῦρος Guelf.

29. ἀνίδρωτοι] Aldina ἀνίδρωτι. deinceps ἐπὶ τὸ δεῖπνον Altorf.

θήραν αὐτοὺς] Pronomen cum Philelpho Guelf. omittit: deinceps ἤμελλον Guelf. poſtea παρασχήσειν Junt. Altorf. ſed παρέχειν in Altorf. ſupra ſcriptum eſt.

πρᾶξαι] Ita cum Philelpho Leoncl. pro πράξας Edd. primarum. Stephanus in Editione priore πράξεως εἴ τινος conjecerat legendum: in altera fecit cum Leonclaviana. πρᾶξαι εἴ τι ἄλλο δεόμενος Altorf.

τι πονεῖν] Guelf. τι omittit.

πρᾳότεροι] Altorf. cum Philelpho πρᾳότερον, quod Stephanus in poſteriore recepit.

30. αὐτῷ σκηνὴν] Altorf. αὐτὸς σκ.

ὡς ἱκανὴ εἴη ἔχειν] Budenſis cum Altorf. ὡς ἱκανὴ εἴη, οὓς. quam Camerarius ſcripturam ita interpretabatur, quaſi eſſet ἱκανὴ τούτοις, οὓς καλοίη. Vulgo eſt ὥστε ἱκανὴν ἔχειν. unde Zeunius ὡς ἱκανὴ εἴη ἔχειν, manus docta in margine Stephanianæ 1. quæ erat penes Fiſcherum ἱκανὴν ὥστε ἔχειν effecit. Muretus deleto ὥστε corrigebat ἱκανὴν κατέχειν. Mihi comparanti ſectionem 25. videbatur ſcribendum ὥστε ἱκανὴν εἶναι (τούτοις) οὓς καλοίη. Poſtea ἐπὶ δεῖνον Guelf.

πολλὰ τῶν ταξιαρχῶν, οὓς καιρὸς αὐτῷ δοκοίη εἶναι. ἔστι δ᾽ ὅτε καὶ τῶν λοχαγῶν καὶ τῶν δεκαδάρχων τινὰς καὶ πεμπαδάρχων ἐκάλει· ἔστι δ᾽ ὅτε καὶ τῶν στρατιωτῶν· ἔστι δ᾽ ὅτε καὶ τὴν πεμπάδα ὅλην, καὶ δεκάδα ὅλην, καὶ λόχον ὅλον, καὶ τάξιν ὅλην. Ἐκάλει δὲ καὶ ἐτίμα, ὅτε τινὰς ἴδοι τοιοῦτό τι ποιήσαντας, ὃ πάντας ἐβούλετο ποιεῖν. Ἦν δὲ τὰ μὲν παρατιθέμενα ἀεὶ ἴσα αὐτῷ τε καὶ τοῖς καλουμένοις ἐπὶ τὸ δεῖπνον. Καὶ τοὺς ἀμφὶ τὸ 31
στράτευμα δὲ ὑπηρέτας ἰσομοίρους ἀεὶ πάντων ἐποίει· οὐδὲν γὰρ ἧττον τιμᾶν ἄξιον ἐδόκει αὐτῷ εἶναι τοὺς ἀμφὶ τὰ στρατιωτικὰ ὑπηρέτας οὔτε κηρύκων οὔτε πρέσβεων. Καὶ γὰρ πιστοὺς ἡγεῖτο δεῖν εἶναι τούτους, καὶ ἐπιστήμονας τῶν στρατιωτικῶν, καὶ συνετοὺς, προσέτι δὲ σφοδροὺς, καὶ ταχεῖς, καὶ ἀόκνους, καὶ ἀταράκτους. Πρὸς δὲ τούτοις, καὶ ὅσα οἱ βέλτιστοι νομιζόμενοι ἔχουσιν, ἐγίγνωσκεν ὁ Κῦρος δεῖν τοὺς ὑπηρέτας ἔχειν, καὶ τοῦτο ἀσκεῖν, ὡς μηδὲν ἀναίνοιντο ἔργον, ἀλλὰ πάντα νομίζοιεν πρέπειν αὐτοῖς πράττειν, ὅσα ἂν ὁ ἄρχων προστάττοι.

CAP. II.

ΑΕΙ μὲν οὖν ἐπεμέλετο ὁ Κῦρος, ὁπότε συσκηνοῖεν, Convivantium ser-

δεκαδάρχων — πεμπαδάρχων] Eadem ſcripturæ varietas in libris eſt h. l. quæ ſupra adfuit. ἔστιν ὅτε καὶ τῶν στρατιωτῶν Altorf.

τὴν πεμπάδα] Articulo omiſſo Altorf. deinceps ἐκάλει δὲ καὶ δεκάδα— ὁπότε τινάς. Etiam Budenſis δεκάδα ὅλην ἐκάλει, Bodl. πεμπάδα ἐκάλει. In primis Edd. verba καὶ δεκάδα ὅλην abſunt.

ὃ πάντας] Guelf. αὐτὸς, in margine πάντας; Philelphus *eos* vertit.

τὰ μὲν—τὸ δεῖπνον] In Guelf. corrector articulum bis addidit.

31. ἀεὶ πάντων] Guelf. πάντων ἀεὶ ἐποιεῖτο.

προσέτι δὲ] Junt. ἔτι δέ. Ex Guelf. προσέτι δὲ καὶ dedit Zeune. ἔτι δὲ καὶ Altorf.

ἀταράκτους] Ita Guelf. vulgatum ἀταράχους *moderatos* vertit Philelphus. deinceps πρὸς δ᾽ ἔτι ἃ Guelf. vulgata in margine annotata. καὶ ante ὅσα omittit Altorf. ὅσα ἔχουσιν eſt de moribus, ut latinum *Cæſar hoc habet*.

ὅσα ἂν] Guelf. omiſſo ἂν habet προστάσσοι. Altorf. αὐτοῖς πράττειν— πράττοι, ſupra ſcripto προστάττοι.

1. ἐπεμέλετο] Altorf. ἐπεμελεῖτο. deinceps εὐχαριτώτατοι malebat Stephanus. Vide ad Sympoſium 3, 9.

mones ita moderatur Cyrus, ut et delectent et profint. Ergo cum narrationes de fatuitate et vecordia Perfarum privatim inftitutorum redarguantur ab Aglaidata, Cyrus narratorum jocos defendit. Inde, poft feria quædam de præmiis diftribuendis, rurfus ad ludum fermones revocat.

ὅπως εὐχαριστότατοί τε ἅμα λόγοι ἐμβληθήσονται καὶ παρορμῶντες εἰς τἀγαθόν. Ἀφίκετο δ' οὖν καὶ εἰς τόνδε ποτὲ τὸν λόγον· Ἆρά γε, ἔφη, ὦ ἄνδρες, ἐνδεέστεροί τι ἡμῶν διὰ τοῦτο φαίνονται εἶναι οἱ ἑταῖροι, ὅτι οὐ πεπαίδευνται τὸν αὐτὸν τρόπον ἡμῖν; ἢ οὐδὲν ἄρα διοίσουσιν ἡμῶν, οὔτε ἐν ταῖς συνουσίαις, οὔτε ὅταν ἀγωνίζεσθαι
2 πρὸς τοὺς πολεμίους δέῃ; Καὶ ὁ Ὑστάσπης ὑπολαβὼν εἶπεν· Ἀλλ' ὁποῖοι μέν τινες ἔσονται εἰς τοὺς πολεμίους, οὔπω ἔγωγε ἐπίσταμαι· ἐν μέντοι τῇ συνουσίᾳ δύσκολοι, ναὶ μὰ τοὺς θεοὺς, ἔνιοι αὐτῶν ἤδη φαίνονται. Πρώην μέν γε, ἔφη, Κυαξάρης ἔπεμψεν εἰς τὴν τάξιν ἑκάστην ἱερεῖα, καὶ ἐγένετο ἑκάστῳ ἡμῶν τρία κρέα ἢ καὶ πλείω τὰ περιφερόμενα. Καὶ ἤρξατο μὲν δὴ ἀπ' ἐμοῦ ὁ μάγειρος, τὴν πρώτην περίοδον περιφέρων· ὅτε δὲ τὸ δεύτερον εἰσῄει περιοίσων, ἐκέλευσα ἐγὼ ἀπὸ τοῦ τελευταίου ἄρ-
3 χεσθαι, καὶ ἀνάπαλιν περιφέρειν. Ἀνακραγὼν οὖν τις τῶν κατὰ μέσον τὸν κύκλον κατακειμένων στρατιωτῶν, Μὰ Δί', ἔφη, τῶνδε μὲν οὐδὲν ἴσον ἐστὶν, εἴγε ἀφ' ἡμῶν τῶν ἐν μέσῳ οὐδεὶς οὐδέποτε ἄρξεται. Καὶ ἐγὼ ἀκούσας ἠχθέσθην τε, εἴ τι μεῖον δοκοίη ἔχειν, καὶ ἐκάλεσα εὐθὺς αὐτὸν πρὸς ἐμέ. Ὁ δὲ μάλα τοῦτό γε εὐτάκτως ὑπήκουσεν. Ὡς δὲ τὰ περιφερόμενα ἧκε πρὸς ἡμᾶς, ἅτε, οἶμαι, ὑστάτους λαμβάνοντας, τὰ σμικρότατα λε-

οἱ ἑταῖροι] Ita cum libro Gabrielis (cum quo Leidenfis, tefte Van Goens ad Porphyr. p. 111.) Muretus pro ἕτεροι vulgari, ut iterum fect. 5. ἑταῖροι vocantur plebeii Perfæ nunc cum optimatibus militantes. εἶναι omittit Altorf.

διοίσουσι] Guelf. διοίσειν.

2. ναὶ μὰ] Altorf. omittit ναὶ, deinceps ἤδη αὐτῶν omiffo ἔνιοι. Guelf. ἤδη a manu correctoris habet, quod a Philel. libro etiam abfuit.

ἐγένετο ἑκάστῳ] Guelf. ἐγένοντο κρέα ἑκάστῳ ἡμῶν τρία καὶ πλείω, fed corrector ἐγένετο fupra fcripfit, et poft τρία inferuit ἤ.

μὲν δὴ] Guelf. δὴ omittit.

3. κατακειμένων] Altorf. ἀνακειμένων.

ἀφ' ἡμῶν] Guelf. ἀφ' ἡμῶν γε ut Alt. deinceps τε poft ἠχθέσθην omittit. poftea δοκοίη ex Altorf. dedi pro δοκοῖεν.

τοῦτό γε] Guelf. cum Altorf. μάλα γε τοῦτο. poftea οἴομαι Guelf.

λειμμένα ἦν· ἐνταῦθα δὴ ἐκεῖνος πάνυ ἀνιαθεὶς δῆλος
ἐγένετο, καὶ εἶπε πρὸς ἑαυτόν, Τῆς τύχης, τὸ ἐμὲ νῦν
κληθέντα δεῦρο τυχεῖν! Καὶ ἐγὼ εἶπον, Ἀλλὰ μὴ φρόν- 4
τιζε· αὐτίκα γὰρ ἀφ' ἡμῶν αὖ ἄρξεται, καὶ σὺ πρῶτος
λήψῃ τὸ μέγιστον. Καὶ ἐν τούτῳ περιέφερε τὸ τρίτον,
ὅπερ δὴ λοιπὸν ἦν τῆς περιφορᾶς· κἀκεῖνος ἔλαβε μετ'
ἐμὲ δεύτερος. Ὡς δ' ὁ τρίτος ἔλαβε, καὶ ἔδοξεν αὐτὸν
μεῖζον ἑαυτοῦ λαβεῖν, καταβάλλει, ὃ ἔλαβεν, ὡς ἕτερον
ληψόμενος. Καὶ ὁ μάγειρος οἰόμενος αὐτὸν οὐδὲν ἔτι
δεῖσθαι ὄψου, ᾤχετο παραφέρων, πρὶν λαβεῖν αὐτὸν ἕτε-
ρον. Ἐνταῦθα δὴ οὕτω βαρέως ἤνεγκε τὸ πάθος, ὥστε 5
ἀνήλωτο μὲν αὐτῷ, ὃ εἰλήφει, ὄψον, ὃ δὲ ἔτι αὐτῷ λοιπὸν
ἦν τοῦ ἐμβάμματος, τοῦτό πως, ὑπὸ τοῦ ἐκπεπλῆχθαί
τε καὶ ὀργίζεσθαι τῇ τύχῃ, δυσφορούμενος ἀνέτρεψεν.
Ὁ μὲν δὴ λοχαγὸς, ὁ ἐγγύτατα ἡμῶν, ἰδὼν, συνεκρότησέ
τε τὼ χεῖρε, καὶ τῷ γέλωτι ηὐφραίνετο. Ἐγὼ μέντοι,

δῆλος ἐγένετο] Guelf. δ. ἦν—πρὸς αὐτόν. postea δευτεροτυχεῖν, quæ lectio etiam in margine Leoncl. et Steph. annotata est.

4. αὖ ἄρξεται] Ex Guelf. et Philelpho αὖ addidit Zeune. postea ἐν τοσούτῳ vulgatum e Bodl. et Guelf. correxit Zeune.

περιέφερε] sc. ὁ μάγειρος, qui et in ἄρξεται intelligendus erat. Philelphus περιεφέρετο legisse videtur, quod conjecit etiam Muretus addito τὸ articulo.

αὐτὸν μεῖζον ἑαυτοῦ] Ex Guelf. αὐτοῦ dedit Zeune, sed is omisit annotare lectionem in ipso textu Codicis exstantem κἆτ' ἔδοξεν αὐτῷ μεῖον λαβεῖν· κατέβαλεν οὖν, ὃ ἔλαβεν, ὡς. Philelphus idem fere vertit: *cui cum visum esset exiguum cepisse, obsonium, quod ceperat, posuit, tanquam.* Mihi in vulgata pronomen bis positum displicet, ut ἔδοξεν pro *putavit:* quare probo lectionem Codicis ita fere refictam: ὡς δ' ὁ τρίτος ἔλαβε κἆτα ἔδοξεν αὐτῷ μεῖον λαβεῖν· καταβάλλει οὖν etc.

ἄρταμος] Ita pro μάγειρος cum Guelf. (cui accedit Leidensis teste Valckenario ad Herodot. p. 590.) Zeune. deinceps omisso οἰόμενος Juntina οὐδὲν αὐτὸν ἔτι δεῖσθαι. Castalio dedit νομίσας οὐδὲν αὐτὸν ἔτι δεῖσθαι. Ex Aldina (cum qua Guelf. et Altorf.) οἰόμενος restituit Stephanus. Sed pro οὐδέν τι ex Juntina et Philelphi versione οὐδὲν ἔτι posui. Altorf. οὐδὲν οἰόμενος αὐτὸν δεῖσθαι ἔτι ὄψου.

5. ὥστε ἀνήλωτο] Camerarius et Leonclavius post ὥστε interpretando inserunt ὅτε vel ὡς.

ἐμβάμματος] Ita pro ἐμβάπτεσθαι cum Mureto scripsit Zeune.

δυσθετούμενος] Hoc pro δυσφορούμενος ex Guelf. et margine Steph. et Leoncl. restituit Zeune, male tamen interpretatus, quasi idem cum δυσφορούμενος significaret h. l. Postea ἀνέστρεψεν est in Guelf. ἀνέτριψεν est vitium Bryling. et Isingr.

τε τὼ] Guelf. τε omittit. με τὼ Altorf.

τῷ γέλωτι] Est vel *risui indulgebat*, vel *ridiculo delectabatur*. Margo Steph. et Leoncl. τῷ λέγοντι habet, nescio unde.

ἔφη, προσεποιούμην βήττειν· οὐδὲ γὰρ αὐτὸς ἠδυνάμην κατέχειν τὸν γέλωτα. Τοιοῦτον μὲν δή σοι, ὦ Κῦρε, ἕνα
6 τῶν ἑταίρων ἐπιδεικνύω, ἔφη. Ἐπὶ μὲν δὴ τούτῳ, ὥσπερ εἰκὸς, ἐγέλασαν. Ἄλλος δέ τις ἔλεξε τῶν ταξιάρχων· Οὗτος μὲν δὴ, ἔφη, ὦ Κῦρε, ὡς ἔοικεν, οὕτω δυσκόλῳ ἐνέτυχεν. Ἐγὼ δὲ, ὡς σὺ, διδάξας ἡμᾶς, τὰς τάξεις ἀπέπεμψας, καὶ ἐκέλευσας διδάσκειν τὴν ἑαυτοῦ ἕκαστον τάξιν, ἃ παρὰ σοῦ ἐμάθομεν, οὕτω δὴ καὶ ἐγὼ, ὥσπερ καὶ οἱ ἄλλοι ἐποίουν, ἐλθὼν ἐδίδασκον ἕνα λόχον.
7 Καὶ στήσας τὸν λοχαγὸν πρῶτον, καὶ τάξας δῆτα ἐπ' αὐτῷ ἄνδρα νεανίαν, καὶ τοὺς ἄλλους, ᾗ ᾤμην δεῖν, ἔπειτα στὰς ἐκ τοῦ ἔμπροσθεν, βλέπων εἰς τὸν λόχον, ἡνίκα μοι ἐδόκει καιρὸς εἶναι, προϊέναι ἐκέλευσα. Καὶ ὁ ἀνήρ σοι ὁ νεανίας ἐκεῖνος, προελθὼν τοῦ λοχαγοῦ ἔμπροσθεν, πρότερος ἐπορεύετο. Κἀγὼ ἰδὼν, εἶπον, Ὦ ἄνθρωπε, τί ποιεῖς; Καὶ ὃς ἔφη· Προέρχομαι, ὥσπερ σὺ κελεύεις. Κἀγὼ εἶπον· Ἀλλ' ἐγὼ οὐ σὲ μόνον ἐκέλευον, ἀλλὰ πάντας, προϊέναι. Καὶ ὃς, ἀκούσας τοῦτο, μεταστραφεὶς πρὸς τοὺς λοχίτας εἶπεν, Οὐκ ἀκούετ', ἔφη,

κατέχειν] Cum Guelf. κατασχεῖν Zeune.

ὦ Κῦρε, ἕνα] Guelf. ἕνα, ὦ Κῦρε, τῶν ἑτέρων, ſed correctum ἑταίρων, Altorf. μέν τοι σοι, Κῦρε, ἓν λέγω τῶν ἑταίρων etc. omiſſo ἔφη poſt ἐπιδεικνύω, quod fecit etiam Philelphus.

6. ἐπὶ—τούτῳ] Ita Stephanus pro τοῦτο, quod eſt etiam in Guelf. ubi corrector ν inſeruit, ut eſſet τοῦτον. Edd. primæ τούτων.

δυσκόλῳ ἐνέτυχεν] Ita pro δυσκόλως ἐπέτυχεν ex libro Gabrielis Stephanus, e Guelf. Zeune: accedit Altorf. δυσκόλοις malebat Muretus. ὦ Κῦρε, ἔφη Altorf.

ἀπέπεμψας] Guelf. ἔπεμψας, ut Philelphus.

δῆτα ἐπ' αὐτῷ] Guelf. δὴ—αὐτόν. ſed corrigitur αὐτῷ, et margo δῆτα annotat. deinceps ἃ ᾤόμην, ſupra ſcripto ᾗ. Nominat tironem plebeium ἄνδρα νεανίαν.

εἰς τὸν λόχον] Guelf. λοχαγωγὸν, ſed ſyllaba γω punctis eſt notata, et annotata ſcriptura λόχον. poſtea προσιέναι Edd. primæ, quod correxit Leoncl. poſterior: προϊέναι etiam Guelf. Bodl. Philelphi liber, et ex correctione Altorf. Similiter paulo poſt vulgatum προσελθὼν correxit Stephanus, cui accedit Guelf. Bodl. Philel.

λοχαγοῦ] Guelf. λοχαγωγοῦ, ſyllabæ γω punctis ſuppoſitis, et ἔμπροσθεν a correctore demum addito.

ἀλλ' ἐγὼ οὐ] Guelf. ἀλλ' οὐκ ἐγώ. deinceps προσιέναι in eodem corrigitur, quæ eſt lectio Altorf. libri.

7. προελθὼν] Altorf. προσελθὼν—καὶ ἰδὼν εἶποι.

λοχίτας] Brodæus in libris aliquot

προστάττοντος προϊέναι πάντας; Καὶ οἱ ἄνδρες πάντες
παρελθόντες τὸν λοχαγὸν, ᾖεσαν πρὸς ἐμέ. Ἐπεὶ δὲ ὁ 8
λοχαγὸς αὐτοὺς ἀνεχώριζεν, ἐδυσφόρουν τε, καὶ ἔλεγον,
ποτέρῳ χρὴ πείθεσθαι; νῦν γὰρ ὁ μὲν κελεύει προϊέναι,
ὁ δ᾽ οὐκ ἐᾷ. Ἐγὼ μέντοι ἐνεγκὼν ταῦτα πρᾴως, ἐξαρ-
χῆς αὖ καταχωρίσας, εἶπον, μηδένα τῶν ὄπισθεν κινεῖ-
σθαι, πρὶν ἂν ὁ πρόσθεν ἡγῆται· ἀλλὰ τοῦτο μόνον ὁρᾷν
πάντας, τῷ πρόσθεν ἕπεσθαι. Ὡς δ᾽ εἰς Πέρσας τὶς 9
ἀπιὼν ἦλθε πρὸς ἐμὲ, καὶ ἐκέλευσέ με τὴν ἐπιστολὴν
δοῦναι, ἣν ἔγραψα οἴκαδε, κᾀγὼ (ὁ γὰρ λοχαγὸς ᾔδει,
ὅπου ἔκειτο ἡ ἐπιστολὴ) ἐκέλευσα, αὐτὸν δραμόντα ἐνεγ-
κεῖν τὴν ἐπιστολήν· ὁ μὲν δὴ ἔτρεχεν· ὁ δὲ νεανίας ἐκεῖνος
εἵπετο τῷ λοχαγῷ, σὺν αὐτῷ τῷ θώρακι καὶ τῇ κοπίδι·
καὶ ὁ ἄλλος δὲ πᾶς λόχος, ἰδὼν ἐκεῖνον, συνέτρεχε· καὶ
ἧκον οἱ ἄνδρες φέροντες τὴν ἐπιστολήν. Οὕτως, ἔφη, ὅγε
ἐμὸς λόχος ἀκριβοῖ σοι πάντα τὰ παρὰ σοῦ. Οἱ μὲν 10
δὴ ἄλλοι, ὡς εἰκὸς, ἐγέλων ἐπὶ τῇ δορυφορίᾳ τῆς ἐπιστο-
λῆς. Ὁ δὲ Κῦρος εἶπεν, Ὦ Ζεῦ καὶ πάντες θεοὶ, οἵους
ἄρα ἡμεῖς ἔχομεν ἄνδρας ἑταίρους! Οἵ γε εὐθεράπευτοι
μὲν οὕτως εἰσὶν, ὥστε τινὰς αὐτῶν ἔστι καὶ μικρῷ ὄψῳ

λοχαγέτας reperit. deinceps Guelf. λοιδορουμένου (supra scripta vulgari) προϊέναι, ἔφη, πάντας κελεύει.

ἐδυσφόρουν τε] Junt. Bryl. Mel. Altorf. ἐδυσφοροῦντο. Guelf. etiam τε omittit. deinceps πείσεσθαι Edd. primæ, χρὴ πείσασθαι Steph. πείθεσθαι ex Guelf. et Altorf. dedit Zeune: πείθεσθαι. νῦν μὲν γάρ.

Ἐγὼ μέντοι] Guelf. καὶ ἐγὼ μέντοι cum Philel.

αὖ καταχωρίσας] Guelf. αὐτίκα χωρίσας. sed corrector post αὐτίκα addidit κατά. deinceps ἡγεῖται Edd. primæ. πρὶν ἂν πρόσθεν Altorf. deinde τὸ πρόσθεν dat.

9. δοῦναι] Post οἴκαδε collocat Guelf. deinceps pro ὁ δὲ νεανίας ἐκεῖνος εἵπετο Altorf. ὁ δέ τοι μετ᾽ ἐκεῖνον ἕπεται.

δὲ πᾶς λόχος] Guelf. δὴ λόχος πᾶς.

ἀκριβοῖ σοὶ] Altorf. ἐμὸς σοὶ λόχος ἀκριβοῖ πάντα.

10. ἔχομεν ἄνδρας] Altorf. ἄνδρας ἔχομεν ἑταίρους.

οἵ γε] Ita Ald. Philel. Guelf. et Stephanus. εἰ γὰρ cum Junt. Altorf. Zeune. Kœppen εἴ γε malebat, comparans Memorab. iv. 3, 12. ubi est σοὶ δ᾽ ἐοίκασιν, ἔτι φιλικώτερον ἢ τοῖς ἄλλοις ἔχειν, εἴ γε μηδὲ ἐπερωτώμενοι ὑπό σου προσημαίνουσί σοι. ubi Ernesti ex Codice uno οἵ γε edidit. Mihi Zeuniana lectio tolerari posse non videbatur.

ὥστε τινας] Ald. ὥστε εἶναι αὐτῶν καὶ μ. ὀ. παμπόλους φίλους ἀνακτ. ὥστέ τινας αὐτῶν, ἐστι κ. μ. ὀ. πάνυ ἀν. φίλους. fuit igitur in Codice Aldi duplex scriptura. Philelphi versio habet *ut minimo etiam obsonio magnus*

πάνυ ἀνακτήσασθαι [φίλους]· πιθανοὶ δ᾽ οὕτως εἰσί
τινες, ὥστε, πρὶν εἰδέναι τὸ προσταττόμενον, πρότερον πεί-
θονται. Ἐγὼ μὲν οὐκ οἶδα, ποίους τινὰς χρὴ μᾶλλον
11 εὔξασθαι, ἢ τοιούτους, στρατιώτας ἔχειν. Ὁ μὲν δὴ
Κῦρος ἅμα γελῶν οὕτως ἐπήνεσε τοὺς στρατιώτας.
Ἐν δὲ τῇ σκηνῇ ἐτύγχανέ τις ὢν τῶν ταξιάρχων,
Αγλαϊτάδας ὄνομα, ἀνὴρ, τὸν τρόπον τῶν στρυφνοτέρων
ἀνθρώπων· οὗτος ὧδέ πως εἶπεν. Ἦ γὰρ οἴει, ἔφη, ὦ
Κῦρε, τούτους ἀληθῆ λέγειν ταῦτα; Ἀλλὰ τί μὴν βου-
λόμενοι, ἔφη ὁ Κῦρος, ψεύδονται; Τί δ᾽ ἄλλο γε, ἔφη,
εἰ μὴ γέλωτα ποιεῖν ἐθέλοντες; ὑπὲρ οὗ λέγουσί τε
12 ταῦτα, καὶ ἀλαζονεύονται. Καὶ ὁ Κῦρος, Εὐφήμει,
ἔφη· μηδὲ λέγε ἀλαζόνας εἶναι τούτους. Ὁ μὲν γὰρ
ἀλαζὼν ἔμοιγε δοκεῖ ὄνομα κεῖσθαι ἐπὶ τοῖς προσποιου-
μένοις καὶ πλουσιωτέροις εἶναι, ἢ εἰσι, καὶ ἀνδρειοτέροις,
καὶ ποιήσειν, ἃ μὴ ἱκανοί εἰσιν, ὑπισχνουμένοις· καὶ
ταῦτα, φανεροῖς γιγνομένοις, ὅτι τοῦ λαβεῖν τι ἕνεκα
καὶ κερδᾶναι ποιοῦσιν. Οἱ δὲ μηχανώμενοι γέλωτα

imparium numerus in amicitiam queat induci. Juntina ὥστε τινὰς αὐτῶν ἔστι κ. μ. ὀ. πάνυ ἀν. φ. Guelf. ὥστ᾽ εἶναι αὐτῶν. ſed poſt εἶναι corrector inſeruit τινάς. Budenſis liber πάνυ πολλοὺς ἀνακτ. habebat: Altorf. ὥστε τίνας αὐτῶν εἶναι—παν. ἀνακτ. φίλους. ſed πόλλους eſt ſupra ſcriptum. Steph. edidit ὥστε εἶναι αὐ. καὶ μ. ὀ. παμπόλλους φ. ἀν. Videtur olim in libris ſcriptis lectio ὥστε εἶναι αὐτῶν κ. μ. ὀ. παμπόλλους vel πάνυ πολλοὺς φίλους ἀνακτ. fuiſſe, in aliis: ὥστε τινὰς αὐτῶν ἔστι καὶ πάνυ μικρῷ ὄψῳ ἀν. φίλους vel καὶ μικρῷ ὀ. πάνυ ἀν. φίλους. Zeunius φίλους ſeclufit, quoniam Xenophon ἀναρτᾶσθαι ut ἀνακτᾶσθαι abſque adjuncto vocabulo eo dicere ſoleat.

πιθανοὶ] Suidas ex h. l. recte εὐπειθεῖς interpretatur.

εὔξασθαι] Junt. Altorf. εὔχεσθαι.

11. ταξιάρχων] Ita pro ταξιαρχῶν (a ταξιάρχης) Guelf. et Altorf. idem deinceps cum Bodl. στρυφν. dedit pro στυφνοτέρων Juntino. Equidem quam regulam vel ſpeciem euphoniæ ſecuti ſint veteres ſcriptores vel grammatici vel librarii in uſurpandis vel permutandis formis στυφὸς, στυφνὸς, στυφρὸς, στρυφνὸς, nondum potui excogitare. Interim vide ad Timæi Gloſſar. p. 237.

οὗτος] Guelf. ὃς οὑτωσί πως εἶπε, τί γάρ. Zeune inde οὑτωσί περ retulit. Philelphus ὃς ὧδέ πως—τί γὰρ expreſſit. deinceps ἀληθῶς margo Steph. quæ ſcriptura fuit Guelf. poſtea correcta.

ἄλλο γε] In Guelf. omiſſum γε corrector addidit, quod equidem non deſiderarem. ex eodem deinceps μηδὲ λέγε pro μὴ cum Z. dedi.

12. λαβεῖν τι] Omiſſum τι in Edd. pr. ſupplevit Philelphi verſio, Brodæus, Stobæus, Guelf.

τοῖς συνοῦσι μήτε ἐπὶ τῷ ἑαυτῶν κέρδει μήτ' ἐπὶ ζημίᾳ
τῶν ἀκουόντων μήτε ἐπὶ βλάβῃ μηδεμιᾷ, πῶς οὐχ οὗτοι
ἀστεῖοι ἂν καὶ εὐχάριτες δικαιότερον ὀνομάζοιντο μᾶλλον,
ἢ ἀλαζόνες; Ὁ μὲν δὴ Κῦρος οὕτως ἀπελογήσατο περὶ 13
τῶν τὸν γέλωτα παρασχόντων. Αὖθις δὲ ὁ ταξίαρχος,
ὁ τὴν τοῦ λόχου χαριτίαν διηγησάμενος, ἔφη, Ἦ που ἄν,
ὦ Ἀγλαϊτάδα, εἴ γε κλαίειν ἐπειρώμεθά σε ποιεῖν,
σφόδρα ἂν ἡμῖν ἐμέμφου, (ὥσπερ ἔνιοι καὶ ἐν ᾠδαῖς καὶ
ἐν λόγοις οἰκτρὰ ἄττα λογοποιοῦντες εἰς δάκρυα πειρῶν-
ται ἄγειν·) ὁπότε γε νῦν, καὶ αὐτὸς εἰδὼς, ὅτι εὐφραίνειν
μέν τί σε βουλόμεθα, βλάπτειν δ' οὐδὲν, ὅμως οὕτως ἐν
πολλῇ ἀτιμίᾳ ἡμᾶς ἔχεις. Ναὶ μὰ Δί', ἔφη ὁ Ἀγλα- 14
ϊτάδας, καὶ δικαίως γε· ἐπεὶ καὶ αὐτοῦ τοῦ κλαίειν
καθίζοντος τοὺς φίλους, πολλαχῇ ἔμοιγε δοκεῖ ἐλάττο-
νος ἄξια διαπράττεσθαι ὁ γέλωτα αὐτοῖς μηχανώμενος.
Εὑρήσεις δὲ καὶ σὺ, ἢν ὀρθῶς λογίζῃ, ἐμὲ ἀληθῆ λέ-
γοντα. Κλαύμασι μέν γε καὶ πατέρες υἱοῖς σωφροσύ-
νην μηχανῶνται, καὶ διδάσκαλοι παισὶν ἀγαθὰ μαθή-
ματα· καὶ νόμοι γε πολίτας διὰ τοῦ κλαίοντας καθί-
ζειν εἰς δικαιοσύνην προτρέπονται· τοὺς δὲ γέλωτα μη-

εὐχάριτες] Stobæus εὐχάριστοι. Altorf. ἂν omittit. In uſu hujus et germani εὐχάριστος vel εὐχάριτος mire variant ſcripturam libri veteres, et in judicando eo fluctuavit etiam H. Stephanus. Sequens μᾶλλον omiſit Stobæus, quod nec ego requirerem.

13. ταξίαρχος] Ita cum Zeunio ex verſione Philelphi, comparata ſect. 6. ſcripſit etiam Weiſke hic et ſtatim ſect. 15. et 16. Pro αὖθις Philelphi verſio αὐτὸς expreſſit, quod margini allevit Stephanus.

ἦ που ἂν] Guelf. deinceps ἔφη inſerit, quod corrector punctis ſuppoſitis notavit, idem omiſſum σε adjunxit: poſtea Guelf. κλάειν—σφόδρ' ἄν.

βλάπτειν] Ex Guelf. βλάψαι dedit Zeune.

14. Ναὶ μὰ] Ex Guelf. cum Zeunio Καὶ ναὶ μὰ dedit Weiſke, qui tamen cum verbis ὁ Ἀγλ. ἔφη copulandum cenſuit.

κλαίειν καθίζοντος] Mox et alibi κλαίοντα καθίζειν i. e. καθιστάναι τινὰ dicit; verum hoc in loco infinitum modum κλαίειν propter ſequens participium καθίζοντος prætulit.

Εὑρήσεις] Guelf. et liber Philelphi διὸ, ἔφη, καὶ σὺ νῦν, ἂν ὀρ. λογίζῃ, ἐμὲ ἀληθῆ λέγοντα εὑρήσεις.

διὰ τοῦ κλ.] Guelf. διὰ τοὺς κλ. Zeune inde διὰ τὴν κλ. attulit.

χανωμένους ἔχοις ἂν εἰπεῖν ἢ σώματα ὠφελοῦντας, ἢ ψυχὰς οἰκονομικωτέρας τι ποιοῦντας, ἢ πολιτικωτέρας;

15 Ἐκ τούτου ὁ Ὑστάσπης ὧδέ πως εἶπε· Σὺ, ἔφη, ὦ Ἀγλαϊτάδα, ἢν ἐμοὶ πείθῃ, εἰς μὲν τοὺς πολεμίους θαῤῥῶν δαπανήσεις τοῦτο τὸ πολλοῦ ἄξιον, καὶ κλαίοντας ἐκείνους πειράσῃ καθίζειν· ἡμῖν δὲ πάντως, ἔφη, καὶ τοῖσδε τοῖς φίλοις τούτου τοῦ ὀλίγου ἀξίου γέλωτος ἐπιδαψιλεύσῃ. Καὶ γὰρ οἶδ', ὅτι πολύς σοί ἐστιν ἀποκείμενος· οὔτε γὰρ αὐτὸς χρώμενος ἀνήλωκας αὐτὸν, οὐδὲ μὴν φίλοις γε, οὐδὲ ξένοις ἑκὼν εἶναι γέλωτα παρέχεις· ὥστε οὐδεμία σοι πρόφασίς ἐστιν, ὡς οὐ παρεκτέον σοι ἡμῖν γέλωτα. Καὶ ὁ Ἀγλαϊτάδας εἶπε, Καὶ σὺ δ' αὖ, ὦ Ὑστάσπη, γέλωτα πειρᾷ ποιεῖν ἐξ ἐμοῦ; Καὶ ὁ ταξίαρχος εἶπε· Ναὶ μὰ Δί', ἀνόητος ἄρα ἐστίν· ἐπεὶ ἔκ γε σοῦ πῦρ, οἶμαι, ῥᾷον ἄν τις ἐκτρίψειεν, ἢ γέλωτα

16 ἐξαγάγοι. Ἐπὶ τούτῳ μὲν δὴ οἵ τε ἄλλοι ἐγέλασαν, τὸν τρόπον εἰδότες αὐτοῦ, καὶ αὐτὸς ὁ Ἀγλαϊτάδας ἐπεμειδίασε. Καὶ ὁ Κῦρος, ἰδὼν αὐτὸν φαιδρωθέντα, Ἀδικεῖς, ἔφη, ὦ ταξίαρχε, ὅτι ἄνδρα ἡμῖν τὸν σπουδαιότατον διαφθείρεις, γελᾶν ἀναπείθων, καὶ ταῦτ', ἔφη,

οἰκονομικωτέρας τι] Vulgatum οἰκονομητικωτέρας ex Guelf. addito indidem τι correxit Zeune. οἰκονομιτέρας ſupra ſcripto ab alio κω Altorf.

15. δαπανήσεις] Guelf. ποιήσεις vulgata in margine appoſita: Altorf. ὡς μὲν τοὺς πολεμίους—τὸ τοῦ πολλοῦ ἄξιον.

καὶ τοῖσδε τοῖς] Ita cum Philel. Guelf. ἐν τοῖς τοιοῖς δὲ omiſſo φίλοις Junt. cum Altorf. ubi alia manus φίλοις addidit. ἐν τοῖσδε τοῖς. Aldina et Steph. καὶ τοῖσδε τοῖς Bodl. ἐν τοῖσδε τούτου Iſingr. Bryl.

γέλωτος] Guelf. τοῦ γέλ. deinceps ἐπιδαψιλήσῃ Altorf. in margine adſcripto εύσῃ.

οὐδὲ—φίλοις γε] Guelf. γε omittit. οὐδὲ propter antecedens οὔτε mutare tamen noluit Zeune exemplis a Dorvillio ad Charit. p. 721. poſitis commotus.

σὺ δ' αὖ] Guelf. σύ γε omiſſo αὖ. Philelphus καὶ οἴει σὺ (vel γε) ὦ Ὑστ. γέλωτα ποιεῖν ἐξ ἐμοῦ expreſſit, quam lectionem exhibet margo Leoncl. Steph.

ταξίαρχος] Hoc pro vulgato λοχαγὸς et deinceps ταξίαρχε pro λοχαγὲ ex Philelphi verſione dedit Zeune. cf. ad ſect. 13.

ἐξαγάγοι] Guelf. ἐξαγάγοιτο.

16. μὲν δὴ] Guelf. δὴ omittit. Pro αὐτοῦ Juntina cum Altorf. τοῦ Ἀγλαϊτάδα habet. Articulum ὁ ante Ἀγλ. omittit Guelf.

οὕτω πολέμιον ὄντα τῷ γέλωτι. Ταῦτα μὲν δὴ ἐνταῦθ' 17
ἔληξεν. Ἐκ δὲ τούτου Χρυσάντας ὧδε ἔλεξεν·
Ἀλλ' ἔγωγ', ἔφη, ὦ Κῦρε, καὶ πάντες οἱ παρόντες,
ἐννοῶ, ὅτι ἐξεληλύθασι μὲν σὺν ἡμῖν οἱ μὲν καὶ βελτίονες
οἱ δὲ καὶ μείονος ἄξιοι· ἢν δέ τι γένηται ἀγαθὸν, ἀξιώ-
σουσιν οὗτοι πάντες ἰσομοιρεῖν. Καί τοι ἔγωγε οὐδὲν
ἀνισώτερον νομίζω τῶν ἐν ἀνθρώποις εἶναι, τοῦ τῶν ἴσων
τόν τε κακὸν καὶ τὸν ἀγαθὸν ἀξιοῦσθαι. Καὶ ὁ Κῦρος 18
εἶπε πρὸς τοῦτο· Ἆρ' οὖν, πρὸς τῶν θεῶν, κράτιστον ἡμῖν,
ἄνδρες, ἐμβαλεῖν περὶ τούτου βουλὴν εἰς τὸν στρατὸν, πό-
τερα δοκεῖ, ἤν τι ἐκ τῶν πόνων δῷ ὁ θεὸς ἀγαθὸν, ἰσο-
μοίρους πάντας ποιεῖν, ἢ σκοποῦντας τὰ ἔργα ἑκάστου,
πρὸς ταῦτα καὶ τὰς τιμὰς ἑκάστῳ προστιθέναι; Καὶ 19
τί δεῖ, ἔφη ὁ Χρυσάντας, ἐμβαλεῖν λόγον περὶ τούτου,
ἀλλ' οὐχὶ προειπεῖν, ὅτι οὕτω ποιήσεις; Ἢ οὐ σὺ καὶ
τοὺς ἀγῶνας, ἔφη, προεῖπας καὶ τὰ ἆθλα; Ἀλλὰ μὰ
Δί', ἔφη ὁ Κῦρος, οὐχ ὅμοια ταῦτα ἐκείνοις. Ἃ μὲν
γὰρ ἂν στρατευόμενοι κτήσωνται, κοινὰ, οἶμαι, ἑαυτοῖς
ἡγήσονται εἶναι· τὴν δὲ ἀρχὴν τῆς στρατιᾶς ἐμὴν ἴσως ἔτι

17. ἔληξεν] Argentina cum Altorfino ἔλεξεν. Guelf. cum Philelpho τοιαῦτα ἐλέγοντο adſcripto in margine ἔληξεν.

βελτίονες] Hoc vulgato βελτίονος prætuli ex Altorf. Pro βελτίονος enim πλείονος dicitur græce.

γένηται] Guelf. γίγνηται. idem tamen rectius οὗτοι πάντες cum Altorf. dedit pro πάντες οὗτοι.

οὐδὲν—τῶν ἐν ἀνθρώποις] Memorab. iii. 6, 2. καλὸν εἴ περ τι καὶ ἄλλο τῶν ἐν ἀνθρώποις.

τοῦ τῶν ἴσων] Bodl. cum margine Steph. ἢ τοῦ ἴσου.

18. κράτιστον ἡμῖν, ὦ] Guelf. verbo ὦ ἄνδρες anteponit. idem deinceps cum margine Steph. τὸ στράτευμα habet. ἐμβάλλειν Altorf.

ἢ σκοποῦντας] Junt. et Guelf. ἢ omittunt.

προστιθέναι] Aldinæ προτιθέναι cum Stephano probavit Weiſke; ſed non de præmiis proponendis ſed diſtribuendis ſermonem eſſe recte monuit Zeune.

19. ἐμβαλεῖν] Guelf. ἐμβάλλειν; deinceps ἀλλ' οὐχὶ Iſingr. Bryl. verſio Philelphi. καὶ τί δὴ Altorf.

ἔφη, προεῖπας] Guelf. ἔφη omittit, Philelphus ejus loco οὕτῳ vertit. Iſingr. et Bryl. ἢ omittunt. ἢ cum Zeunio dedit Weiſke. deinceps κοινὰ ἑαυτῶν Guelf. ſed deinde correctum eſt.

στρατιᾶς] Ita cum libris Camer. Philel. Guelf. Zeune pro στρατείας, quod tamen revocavit Weiſke.

οἴκοθεν νομίζουσιν εἶναι. ὥστε διατάττοντα ἐμὲ τοὺς
20 ἐπιστάτας, οὐδὲν, οἶμαι, ἀδικεῖν νομίζουσιν. Ἦ καὶ οἴει,
ἔφη ὁ Χρυσάντας, ψηφίσασθαι ἂν τὸ πλῆθος συνελθὸν,
ὥστε μὴ ἴσων ἕκαστον τυγχάνειν, ἀλλὰ τοὺς κρατίστους
καὶ τιμαῖς καὶ δώροις πλεονεκτεῖν; Ἔγωγ᾽, ἔφη ὁ Κῦ-
ρος, οἶμαι, ἅμα μὲν ὑμῶν συναγορευόντων, ἅμα δὲ καὶ
αἰσχρὸν ὂν ἀντιλέγειν, μὴ οὐχὶ τὸν πλεῖστα καὶ πονοῦν-
τα, καὶ ὠφελοῦντα τὸ κοινὸν, τοῦτον καὶ μεγίστων ἀξιοῦ-
σθαι. Οἶμαι δὲ, ἔφη, καὶ τοῖς κακίστοις σύμφορον
21 φανεῖσθαι τοὺς ἀγαθοὺς πλεονεκτεῖν. Ὁ δὲ Κῦρος
ἐβούλετο καὶ αὐτῶν ἕνεκα τῶν ὁμοτίμων γενέσθαι τοῦτο
τὸ ψήφισμα. Βελτίους γὰρ ἂν καὶ αὐτοὺς ἡγεῖτο τού-
τους εἶναι, εἰ εἰδεῖεν, ὅτι, ἐκ τῶν ἔργων καὶ αὐτοὶ κρινό-
μενοι, τῶν ἀξίων τεύξοιντο. Καιρὸς οὖν αὐτῷ ἐδόκει νῦν
εἶναι ἐμβαλεῖν περὶ τούτου ψῆφον, ἐν ᾧ καὶ οἱ ὁμότιμοι
ὤκνουν τὴν τοῦ ὄχλου ἰσομοιρίαν. Οὕτω δὴ συνεδόκει
τοῖς ἐν τῇ σκηνῇ συμβαλέσθαι περὶ τούτου λόγους, καὶ

20. *ἴσων*] Ita verſio Philel. Camer. Bodl. et Guelf. Altorf. et Stephaniana poſterior pro *ἴσον* reliquarum Editionum.

οἶμαι] Ita cum Guelf. pro *οἴομαι* Zeune. *συναγορευόντων ἡμῶν* Guelf. quam lectionem expreſſit etiam Philelphus. Ordinem verborum Guelf. prætulit Zeune.

αἰσχρὸν ὂν] Guelf. *αἰσχρὸν τὸ ἀντιλέγειν*, ſed corrector *ὂν* poſt *αἰσχρ.* inſeruit, quod eſt pro *ὄντος*. Mihi lectio Guelf. præplacet.

τὸ κοινὸν] Ita etiam Guelf. ſed ex correctione: antea fuit *τι* ſimpliciter. deinceps idem *συμφέρον*. Philelphus verbum *ἔφη* omiſit.

φανεῖσθαι] Neminem certe dicturum pro ignavis et contraria ſententia.

21. *τούτους*] Ex verſione Philel. Guelf. et Altorf. additum a Zeunio: deinceps Edd. veteres cum Guelf. *εἰδοῖεν*.

τεύξοιντο] Ita ex correctione Guelf. cum antea *τεύξονται* eſſet

νῦν εἶναι] Ita cum Philel. Bodl. Guelf. Zeune. *αὐτῷ ἐδόκει εἶναι δεῖν* Edd. primæ, Stephaniana prior et Leonclavianæ. In poſteriore Steph. mutavit *δεῖν* in *νῦν* auctoritate paucorum codicum, ut ait. In Guelf. *ἐδόκει αὐτῷ νῦν εἶναι*, ſed corrector poſt *νῦν* inſeruit *δεῖν*.

περὶ τούτου] Junt. Altorf. et margo Guelf. *περὶ τούτων*. eadem mox varietas lectionis eſt in iiſdem libris. ſed Guelf. etiam *τὴν ψῆφον*.

συμβαλέσθαι—λόγους] Ita ex Guelf. recte prætulit vulgato *ἐμβαλέσθαι λόγον* Zeune. Debebat enim eſſe *ἐμβαλεῖν*. In Anabaſi iv. 6, 14. eſt *ἀτὰρ τί ἐγὼ περὶ κλοπῆς συμβάλλομαι*, quid ego de furto et artificio furandi loquor? Similis eſt locus vi. 3, 3. *συνεβάλοντο δὲ καὶ λόφον*, de colle inter eos convenit. Dialogus de corruptæ eloquentiæ cauſis c. 42. *de*

συναγορεύειν ταῦτα ἔφασαν χρῆναι, ὅστισπερ ἀνὴρ οἴοιτο
εἶναι.
Ἐπιγελάσας δὲ τῶν ταξιάρχων τις εἶπεν, Ἀλλ' ἐγὼ, 22
ἔφη, ἄνδρα καὶ τοῦ δήμου οἶδα, ὃς συνερεῖ, ὥστε μὴ εἰκῆ
οὕτως ἰσομοιρίαν εἶναι. Ἄλλος δ' ἀντήρετο, τοῦτον τίνα
λέγοι. Ὁ δ' ἀπεκρίνατο, Ἔστι, νὴ Δί', ἀνὴρ σύσκη-
νος ἐμὸς, ὃς ἐν παντὶ μαστεύει πλέον ἔχειν. Ἄλλος δ'
αὖ ἐπήρετο αὐτὸν, Ἦ καὶ τῶν πόνων; Μὰ Δί', ἔφη, οὐ
μὲν δή· ἀλλὰ τοῦτό γε ψευδόμενος ἑάλωκα. Καὶ γὰρ
πόνων, καὶ τῶν ἄλλων τῶν τοιούτων, πάνυ πράως ἀεὶ
ἐᾷ τὸν βουλόμενον πλέον ἔχειν. Ἀλλ' ἐγὼ μὲν, ἔφη ὁ 23
Κῦρος, ὦ ἄνδρες, γιγνώσκω τοὺς τοιούτους ἀνθρώπους,
οἷον καὶ νῦν ὅδε λέγει, εἴπερ δεῖ ἐνεργὸν καὶ πειθόμενον
ἔχειν τὸ στράτευμα, ἐξαιρετέους εἶναι ἐκ τῆς στρατιᾶς.
Δοκεῖ γάρ μοι τὸ μὲν πολὺ τῶν στρατιωτῶν εἶναι οἷον
ἕπεσθαι, ᾗ ἄν τις ἡγῆται· ἄγειν δ', οἶμαι, ἐπιχειροῦ-
σιν, οἱ μὲν καλοὶ κἀγαθοὶ, ἐπὶ τὰ καλὰ κἀγαθὰ, οἱ
Cyaxari ſuadet Cyrus, ut Armeniorum rex, qui defecerat, ad officium redigatur, et, probata re, ſub venationis ſpecie cum exercitu ad fines ejus accedit.

9. Ἐπειδὴ δὲ] Guelf. ἐπεὶ δὲ ἐξῆλθον οἱ Ἰνδοί, Κῦρος—ἤρξατο λόγου τ. at i. 6, 2. ἤρχετο λόγου τοιοῦδε. alia et diverſa eſt ratio loci iii. 2, 28.

ἐγὼ μὲν] Ita Guelf. Vulgo male μέντοι legitur, quod locum hic non habet. deinceps idem οὐδέν τι cum Junt. et Altorf. dedit pro Aldino οὐδέν τοι. In Altorf. eſt ἤλθομεν. deinde ἢ ἴδια Edd. primæ habent, ſed ἢ omiſit cum Philelpho Steph. et Guelf.

πάνυ ὀλίγα] Philelphus πάνυ omiſit, item ſequens ἔφη cum Junt. Ald. Altorf.

ἴσως, ἔφη] Ita Guelf. cum Philelpho et Brodæo. Juntina ὡς habet, reliquæ omiſerunt. ἔφη ex Guelf. acceſſit, qui deinde ἐγὼ ἀνήλωκα. Altorf. σὺ poſt θαυμάζεις omittit, me non improbante: igitur ſecluſi.

εὖ δ᾽ ἴσθι] Ex Guelf. δὲ recte inſeruit Zeune. Philelphus omiſſo ἔφη vertit: *at ne te lateat velim.* Weiſke δὲ ſecluſit, et καίτοι τοῦτο εἴπως θ. σύ, εὖ ἴσθι legi maluit. Ego vero, ſi lectio Guelf. omnino contemnenda eſſet, ſimpliciter καὶ τοῦτο εἴπως θαυμάζεις, εὖ ἴσθι mallem.

τινὶ ἀγασθῶ] Ita Edd. primæ, libri Camer. Guelf. Altorf. et Suidas in ἀγασθῶ; cum Brodæo Stephanus τινὰ dedit. Sed in Sympoſio 8, 29. ſimiliter eſt ὅσων δὲ ψυχαῖς ἀγασθείη. ubi Juntina habet ἀγαθείη, ut h. l. Juntina et Aldina ἀγαθῶ, et in libro de rep. Laced. 1. 7. Juntina ἀγαθείη, in Platonis Politico c. 44. ἀγαθῶμεν habent Edd. veteres. Ex ἀγαθῶ h. l. Editiones Halenſis, Bryl. et Argent. ἀγαθῷ inepte effecerunt.

10. ἥδιον εἶναι] Mihi ἥδιον ineptum videtur. Nec enim jucunditatis aut voluptatis ratio habetur hic, ſed officii, et ejus, quod decet et rei convenit. Modus eſt in εὖ λέγειν καὶ εὖ ποιεῖν. Igitur ῥᾷον vel βέλτιον præferendum eſſe videbatur. Sed infra v. 5, 4. poſtquam præceſſerat ἔγνω βέλτιον εἶναι τὸ στράτευμα μένειν ἐν τοῖς μεθορίοις, repetit ὁρῶν οὖν καὶ τούτους πολλὰ σινομένους τὴν Μηδικήν, τούτων αὖ ἐδόκει ἥδιον ἀπαλλαγῆναι μᾶλλον ἢ ἄλλον εἰσδέξασθαι.

μᾶλλον] Male ad ἥδιον relatum παρέλκειν dixit Zeune. Eſſe *potius* monuit Fiſcher Animadv. ad Wellerum 2. p. 138. Huc pertinet locus infra v. 5, 4. paulo antea appoſitus.

οὓς δὲ δὴ τῶν εἰς τὸν πόλεμον ἔργων ποιήσασθαί τις βού-
λοιτο συνεργοὺς προθύμους, τούτους παντάπασιν ἔμοι γε
δοκεῖ ἀγαθοῖς θηρατέον εἶναι καὶ λόγοις καὶ ἔργοις.
Φίλους γὰρ, οὐκ ἐχθροὺς, δεῖ εἶναι τοὺς μέλλοντας
ἀπροφασίστους συμμάχους ἔσεσθαι, καὶ μήτε ἐπὶ τοῖς
ἀγαθοῖς τοῦ ἄρχοντος φθονήσοντας, μήτε ἐν τοῖς κακοῖς
11 προδώσοντας. Ταῦτ' οὖν ἐγὼ οὕτω γιγνώσκων, χρημά-
των δοκῶ προσδεῖσθαι. Πρὸς μὲν οὖν σὲ πάντα ὁρᾶν,
ὃν αἰσθάνομαι δαπανῶντα πολλὰ, ἄτοπόν μοι δοκεῖ εἶ-
ναι· σκοπεῖν δ' ἀξιῶ κοινῇ καὶ σὲ καὶ ἐμὲ, ὅπως σὲ μὴ
ἐπιλείψει χρήματα. Ἢν γὰρ σὺ ἄφθονα ἔχῃς, οἶδ',
ὅτι καὶ ἐμοὶ ἂν εἴη λαμβάνειν, ὁπότε δεοίμην, ἄλλως τε
καὶ εἰ εἰς τοιοῦτόν τι λαμβάνοιμι, ὃ μέλλει καὶ σοὶ δα-
12 πανηθὲν βέλτιον εἶναι. Ἔναγχος οὖν ποτέ σου μέμνη-
μαι ἀκούσας, ὡς ὁ Ἀρμένιος καταφρονοίη σου νῦν, ὅτι
ἀκούει, τοὺς πολεμίους προσιόντας ἐφ' ἡμᾶς· καὶ οὔτε
στράτευμα πέμποι, οὔτε τὸν δασμὸν, ὃν ἔδει, ἀπάγοι.
Ποιεῖ γὰρ ταῦτα, ἔφη, ὦ Κῦρε, ἐκεῖνος· ὥστε ἐγώ γε

οὓς δὲ δὴ] Edd. primarum *οὓς δὲ δεῖ* correxit Brodæus et Caſtalio.

ἐπὶ τοῖς] Præpoſitionem in Guelf. corrector addidit. deinceps idem cum Juntina, Altorf. et margine Steph. Leoncl. *ὀῤῥωδήσοντας* habet.

11. *γιγνώσκων*] Ita cum Juntina Altorf. niſi quod hic *γιγνώσκω—δοκῶν* præfert. Vulgatum *προγιγνώσκων* inutilem præpoſitionem additam habet.

πάντα] *κατὰ π.* interpretatur Zeune; rectius Weiſke *quicquid in exercitu pecunia vel commeatu indiget.* In Guelf. *ὁρῶν* eſt, quod correxit manus aliena: idem *πολλὰ δαπανῶντα σε*, etiam Altorf. *πολλὰ δαπανῶντα* habet.

καὶ σὲ] Hæc verba omiſit Altorf. qui recte deinde *ἐπιλείψει*. Vulgo erat *ἐπιλείψῃ*; Guelf. *ὑπολείψῃ* habet.

ἢν γὰρ] Guelf. *ἐὰν γάρ*.

ἂν εἴη] Ex Guelf. cum Brodæo *ἂν* addidit Zeune.

ὃ μέλλει] Eſt pro *καθ' ὃ* vel *εἰς ὃ*, quod ipſum Stephanus reponi voluit.

12. *οὖν ποτέ*] Guelf. *μὲν οὖν μέμνημαί σου* omiſſo *ποτὲ*, quod tamen adverbio *ἔναγχος* junctum habet etiam Ariſtophanes Nubium verſu 639. Ceterum qui fidem hiſtoricam Xenophonteæ Cyropædiæ ad calculos revocare operæ duxit pretium Uſſerius, Armenii defectionem anno mundi 3447. Julianæ periodi 4157. ante æram chriſtianam 557. tertio regnantis Neriglіſſaris anno, qui Evilmerodacho in Aſſyriorum imperio ſucceſſerat, aſſignat.

ἐφ' ἡμᾶς] Guelf. *ἡμῖν*: idem deinceps *πέμπει οὔτε δασμὸν—ἀπάγει.* ſed corrector articulum *τὸν* ante *δασμὸν* inſeruit.

Ποιεῖ γὰρ ταῦτα] Recte meminiſti;

ἀπορῶ, πότερόν μοι κρεῖττον στρατεύεσθαι καὶ πειρᾶσθαι, ἀνάγκην αὐτῷ προσθεῖναι, ἢ λυσιτελεῖ ἐᾶσαι ἐν τῷ παρόντι, μὴ καὶ τοῦτον πολέμιον πρὸς τοῖς ἄλλοις προσθώμεθα. Καὶ ὁ Κῦρος ἐπήρετο· Αἱ δ᾽ οἰκήσεις 13
αὐτῷ πότερον ἐν ἐχυροῖς χωρίοις εἰσὶν, ἢ καί που ἐν εὐεφόδοις; Καὶ ὁ Κυαξάρης εἶπεν· Αἱ μὲν οἰκήσεις οὐ πάνυ ἐν ἐχυροῖς· ἐγὼ γὰρ τούτου οὐκ ἠμέλουν· ὄρη μέντοι ἐστὶν, ἔνθα δύναιτ᾽ ἂν ἀπελθὼν ἐν τῷ παραχρῆμα ἐν ἀσφαλεῖ εἶναι, τοῦ μηδ᾽ αὐτός [γε] ὑποχείριος γενέσθαι, μηδὲ ὅσα ἐνταῦθα δύναιτο ὑπεκκομίσασθαι, εἰ μή τις πολιορκοίη προσκαθήμενος, ὥσπερ ὁ ἐμὸς πατήρ ποτε ἐποίησεν. Ἐκ τούτου δὴ ὁ Κῦρος λέγει τάδε· Ἀλλ᾽ εἰ 14
θέλεις, ἔφη, ἐμὲ πέμψαι, ἱππέας μοι προσθεὶς, ὁπόσοι δοκοῦσιν ἱκανοὶ εἶναι, οἶμαι ἂν, σὺν τοῖς θεοῖς, ποιῆσαι

facit enim hæc ille. In Guelf. eſt αὐτὰ, ex quo ſequens ἔγωγε eſt pro ἐγώ τε vulgato ante Zeunium.

προσθεῖναι] Guelf. προσθῆναι habet, et deinceps cum Ald. et Juntina λυσιτελεῖν, quod Caſtalio correxit.

13. αὐτῷ] Ita Philel. liber Gabr. Altorfinus; et margo Steph. cum Zeunio addidi: ſed præpoſitio ἐν in Guelf. deeſt.

τούτου] Guelf. τοῦτ᾽ habet. In margine Steph. eſt τοῦτο οἶδα, ortum ex interpretatione lectionis vulgatæ. Idem Guelf. καὶ ἐγὼ habet ſcriptum annotante Fiſchero, quæ lectio eſt etiam in Hutchinſoni minore Editione: mihi καὶ tranſpoſitum locum ſuum ante τούτου tueri poſſe videtur, ut infra in ſimili loco vi. 2, 11. σχεδὸν δὲ τούτοις ταὐτὰ ἔλεγον καὶ οἱ αἰχμάλωτοι· ἐπεμελεῖτο γὰρ καὶ τούτου ὁ Κῦρος, ὅπως ἁλίσκοιντο παρ᾽ ὧν etc.

ἐν ἀσφαλεῖ εἶναι τοῦ] In tuto eſſe, neque timere, ne. Ita iii. 3, 31. ἐν ἀσφαλεῖ εἰσι τοῦ μηδὲν παθεῖν. Ex Thucydidis libro 2. Stephani Theſaurus poſuit εἰ δοκεῖ ἀσφάλεια πολλὴ εἶναι μὴ ἂν ἐλθεῖν τοὺς ἐναντίους ἡμῖν διὰ μάχης. ubi in vocabulo ἀσφαλὴς idem Stephanus ex hoc loco appoſuit verba τοῦ μὴ αὐτὸς ὑποχείριος γενέσθαι. In Guelf. libro eſt quod in libro Philelphi fuit μὴ, ſed correctum in μήτε. deinceps Junt. Iſingr. Altorf. dant εἶναι; poſtea ὑποκομ. Guelf. Zeune μηδ᾽ αὐτὸς propter ſequens μηδὲ ſcripſit: contra Fiſcher ad Platonis Cratylum Particula XIII. p. ix. μὴ αὐτός γε ὑποχείριος γίγνεσθαι, μηδὲ ὅσ᾽ ἂν ἐν: δύναιτο ὑπεκκ. legi voluit. Vulgo erat μήτ᾽ αὐτός. Equidem Zeunii ſcripturam adſcivi, ſed voculam γε ſecluſi, quippe quam alienum particulæ ἂν locum occupaſſe cenſeam. Ita ſupra in loco Thucydidis eſt μὴ ἐλθεῖν ἂν poſt ἀσφάλεια εἶναι. Alioquin γίγνεσθαι cum Fiſchero ſcribere maluiſſem.

πατήρ ποτε] Guelf. π. τοῦτο, ſed correctum deinde.

14. δὴ ὁ] Ita ex Guelf. Zeune pro δὲ dedit: deinde ex eodem libro ἔφη addidit.

πέμψαι] Sic Guelf. pro πέμπειν. Sequens ἂν poſt οἶμαι ad ποιῆσαι pertinet, *puto me effecturum eſſe, mihi effecturus eſſe videor.* οἶμαι eſt ex Steph. et Guelf. pro οἴομαι vulgato ante Zeunium. οἶμαι γὰρ male Altorf.

ἱκανοὶ] Guelferb. cum Zonara μέτριοι habet.

αὐτὸν καὶ τὸ στράτευμα πέμψαι, καὶ ἀποδοῦναι τὸν δασμόν σοι· ἔτι δὲ ἐλπίζω, καὶ Φίλον αὐτὸν μᾶλλον
15 ἡμῖν γενήσεσθαι, ἢ νῦν ἐστι. Καὶ ὁ Κυαξάρης εἶπε· Καὶ ἐγὼ ἐλπίζω, ἐκείνους ἐλθεῖν ἂν πρὸς σὲ μᾶλλον, ἢ πρὸς ἡμᾶς· ἀκούω γὰρ καὶ συνθηρευτάς τινας τῶν παίδων σοι γενέσθαι αὐτοῦ. ὥστε ἴσως ἂν καὶ πάλιν ἔλθοιεν πρός σε· ὑποχειρίων δὲ γενομένων τινῶν αὐτῶν, πάντα πραχθείη ἄν, ἣ ἡμεῖς βουλόμεθα. Οὐκοῦν σοι δοκεῖ, ἔφη ὁ Κῦρος, σύμφορον εἶναι, τὸ λεληθέναι ἡμᾶς ταῦτα βουλεύοντας; Μᾶλλον γὰρ ἂν οὖν, ἔφη ὁ Κυαξάρης, καὶ ἔλθοι τις αὐτῶν εἰς χεῖρας, καί, εἴ τις ὁρμῷτο
16 ἐπ' αὐτούς, ἀπαρασκευαστότεροι ἂν λαμβάνοιντο. Ἄκουε τοίνυν, ἔφη ὁ Κῦρος, ἤν τί σοι δόξω λέγειν. Ἐγὼ πολλάκις δὴ σὺν πᾶσι τοῖς μετ' ἐμοῦ Πέρσαις τεθήρακα ἀμφὶ τὰ ὅρια τῆς τε σῆς χώρας καὶ τῆς τῶν Ἀρμενίων, καὶ ἱππέας δέ τινας ἤδη προσλαβὼν τῶν ἐνθένδε ἑταίρων

γενήσεσθαι] Ita cum Philel. et Guelf. Zeune pro ἔσεσθαι.

15. ἡμᾶς] Guelf. cum Philelpho πρὸς ἐμέ. Cum verbo ἐλθεῖν maluissem particulam ἂν junctam reperisse hoc quidem in loco; repertam demum in Altorfino inserui, ubi scriptum legitur ἔγωγε ἐλπίζω—ἐλθεῖν ἂν πρὸς σέ.

ἀκούω γὰρ] Deinceps ὅτι ex Guelf. ubi deletum fuit recentiore manu, inseruit Zeune. Ordinem vulgarem αὐτοῦ σοι γενέσθαι ex eodem Guelf. mutavi, et dedi eum, quem et Philelphus secutus est. In Altorf. est συνθήρους.

πραχθείη ἂν] Recte hunc ordinem ut auribus gratiorem vulgari πάντ' ἂν πραχ. prætulit Zeune: deinceps ἣν ἡμεῖς βουλώμεθα male Edd. primæ. Paulo antea τινῶν omittit Guelf. (additum tamen a correctore) et liber Philel.

σοι δοκεῖ] Ita Guelf. pro vulgato ante Zeunium δοκεῖ σοι. Idem liber συμφέρον a correctore habet scriptum.

γὰρ ἂν] Ita Guelf. et Philel. antea γ' ἂν οὖν. Altorf. γὰρ οὖν. Leoncl. 3. et Weiske male τ' ἂν dederunt. ὁρμοῖτο deinceps Edd. primæ, quod habet etiam Altorf. cum λαμβάνοιτο, sed supra scriptum ὁρμῷτο—λαμβάνοιντο.

ἀπαρασκευαστότεροι] Positivum modum habent Guelferb. versio Philel. cum margine Steph. et Leoncl. deinceps Juntinum ἀναλαμβάνοιντο Brodæus jam correxerat.

16. ἤν τί σοι] Guelf. ἄν τί σοι. Junt. Ald. Altorf. σοι omittunt. Sequens Ἐγὼ idem Altorf. omittit.

πολλάκις δὴ] Muretus ἤδη corrigebat; recte: nec enim ullum locum posuit Zeune, ubi δὴ eandem significationem habere videatur.

Πέρσαις] Seclusit nomen Zeune, quoniam Philel. et Guelf. omiserit: deinceps Philelphi versio ὄρη pro ὅρια expressit; ex eadem, libro Budensi et Guelferb. τε post τῆς adscivit Zeune.

δέ τινας ἤδη] Vulgo est δὲ ἤδη τινάς. Sed Guelf. καὶ ἱππέας τινὰς ἤδη προσλαβὼν habet.

ἀφικόμην. Τὰ μὲν τοίνυν ὅμοια ποιῶν, ἔφη ὁ Κυαξά-
ρης, οὐκ ἂν ὑποπτεύοιο· εἰ δὲ πολὺ πλείων ἡ δύναμις
φαίνοιτο, ἧς εἰώθεις ἔχων θηρᾷν, τοῦτο ἤδη ὕποπτον ἂν
γίγνοιτο. Ἀλλ' ἔστιν, ἔφη ὁ Κῦρος, καὶ πρόφασιν 17
κατασκευάσαι καὶ ἐνθάδε οὐκ ἀπίθανον, καὶ ἤν τις
ἐκεῖσε ἐξαγγείλῃ δὴ, ὡς ἐγὼ βουλοίμην μεγάλην θήραν
ποιῆσαι· καὶ ἱππέας, ἔφη, αἰτοίην ἄν σε ἐκ τοῦ φανε-
ροῦ. Κάλλιστα λέγεις, ἔφη ὁ Κυαξάρης· ἐγὼ δέ σοι
οὐκ ἐθελήσω διδόναι πλὴν μετρίους τινὰς, ὡς βουλόμενος
πρὸς τὰ φρούρια ἐλθεῖν τὰ πρὸς τῇ Ἀσσυρίᾳ. Καὶ
γὰρ τῷ ὄντι, ἔφη, βούλομαι ἐλθὼν κατασκευάσαι αὐτὰ
ὡς ἐχυρώτατα. Ὁπότε δὲ σὺ προεληλυθοίης σὺν ᾗ
ἔχεις δυνάμει, καὶ θηρῴης καὶ δὴ δύο ἡμέρας, πέμ-
ψαιμι ἄν σοι ἱκανοὺς ἱππέας καὶ πεζοὺς τῶν παρ' ἐμοὶ
ἠθροισμένων, οὓς σὺ λαβὼν, εὐθὺς ἀνίοις· καὶ αὐτὸς δ'
ἂν ἔχων τὴν ἄλλην δύναμιν πειρῴμην μὴ πρόσω ὑμῶν
εἶναι, ἵνα, εἴπου καιρὸς εἴη, ἐπιφανείην.

ποιῶν — ὑποπτεύοιο] Guelf. cum Junt. *ὑποπτεύοιτο*, et corrector participium ſupra verſum adſcripſit. deinde *πολὺ* Philelphi verſio omiſit, et pro *ἤδη* videtur *δὴ* expreſſiſſe.

ἧς εἰώθεις] Guelf. *ἧς ἔχων εἴωθας θηρᾷν ἤδη* omiſſo *τοῦτο*, quod corrector addidit: eandem lectionem annotat margo Steph. et Leoncl. *εἴωθας* expreſſit etiam Philelphus. Poſtea *ἂν γένοιτο* Guelf. mihi præplacet.

17. *ἀπίθανον*] Junt. Guelf. margo Steph. Leoncl. *ἄπιστον*, quod prætulit Zeune.

καὶ ἤν τις] Philelphus *καὶ* omiſit; *ἄν τις* Guelf. ſequens *δὴ* ex Guelf. adſcivit Zeune.

ἄν σε] Guelf. *ἂν* omittit.

κάλλιστα λέγεις, ἔφη] Ita Guelf. Ordinem Zeuniana vetuſtiorem *κάλλιστ', ἔφη, λέγεις, ὁ Κ.* reduxit Weiſke.

ὡς βουλόμενος] Cauſam prætexens, me parare iter: deinde *Συρίᾳ* Guelf. ſed correctum.

τῷ ὄντι βούλομαι, ἔφη] Ita cum Guelf. Zeune: reliquæ Edd. *τ. ὄντι, ἔφη, β.* deinde Guelf. *ἰσχυρότατα*, ſed correctum. iterum idem infra iii. 1, 19.

προεληλυθοίης] Guelf. *προεληλύθοις*. margo Steph. Leoncl. *προεληλυθὼς εἴης*. Veterem lectionem, velut Atticam exemplo *πεποιθοίη* appoſito ex Ariſtophanis Acharn. 938. defendit Fiſcher ad Weller. 2. p. 438.

καὶ δὴ δύο] Cum Mureto *ἤδη δύο* præfert Zeune, quoniam *καὶ* plane frigeat. At *καὶ δὴ* illud ipſum *ἤδη* ſignificatione refert. Male *καὶ* ſecluſit Weiſke.

πέμψαιμι ἂν] Guelf. *ἂν* omiſit: ſequens *ἀνίοις*, i. e. *ἀνέλθοις*, fuiſſe qui in *ἂν ἴοις* mutatum mallet, annotavit Stephanus.

δ' ἂν ἔχων] Hoc ex Altorf. dedi pro *δὲ ἔχων*.

εἴπου] Bodl. et Altorf. *εἴποι*. Guelf. *εἴπῃ*, ſed correctum *εἴπου*. Philelphus *ubi tempus fuerit* interpretatus,

18 Οὕτω δὴ ὁ μὲν Κυαξάρης εὐθέως πρὸς τὰ Φρούρια
ἤθροιζεν ἱππέας τε καὶ πεζοὺς, καὶ ἁμάξας δὲ σίτου
προέπεμπε τὴν ἐπὶ τὰ Φρούρια ὁδόν. Ὁ δὲ Κῦρος ἐθύ-
ετο ἐπὶ τῇ πορείᾳ, καὶ ἅμα πέμπων ἐπὶ τὸν Κυαξάρην
ᾔτει τῶν νεωτέρων ἱππέων. Ὁ δὲ, πάνυ πολλῶν βουλο-
μένων ἕπεσθαι, οὐ πολλοὺς ἔδωκεν αὐτῷ. Προεληλυ-
θότος δ᾽ ἤδη τοῦ Κυαξάρους σὺν δυνάμει καὶ πεζικῇ καὶ
ἱππικῇ τὴν πρὸς τὰ Φρούρια ὁδὸν, γίγνεται τῷ Κύρῳ τὰ
ἱερὰ, ἐπὶ τὸν Ἀρμένιον ἰέναι, καλά· καὶ οὕτως ἐξάγει [δὴ],
19 ὡς εἰς θήραν παρεσκευασμένος. Πορευομένῳ δὲ αὐτῷ
εὐθὺς ἐν τῷ πρώτῳ χορίῳ ὑπανίσταται λαγώς· ἀετὸς
δ᾽, ἐπιπτάμενος αἴσιος, ὡς κατεῖδε τὸν λαγὼ φεύγοντα,
ἐπιφερόμενος ἔπαισέ τε αὐτὸν, καὶ συναρπάσας ἐξῇρε,
καὶ ἀπενεγκὼν ἐπὶ λόφον τινὰ οὐ πρόσω, ἐχρῆτο τῇ
ἄγρᾳ, ὅ τι ἤθελεν. Ἰδὼν οὖν ὁ Κῦρος τὸ σημεῖον, ἥσθη
τε καὶ προσεκύνησε Δία βασιλέα, καὶ εἶπε πρὸς τοὺς
παρόντας· Ἡ μὲν θήρα καλὴ ἔσται, ὦ ἄνδρες, ἢν θεὸς
20 θελήσῃ. Ὡς δὲ πρὸς τοῖς ὁρίοις ἐγένοντο, εὐθὺς, ὥσπερ
εἰώθει, ἐθήρα· καὶ τὸ μὲν πλῆθος τῶν πεζῶν καὶ τῶν

non ὅπου καιρὸς legiſſe dicendus erat : nam ita εἴ τις Attice ſæpiſſime dicitur pro ὅστις.

18. εὐθέως] Guelf. εὐθὺς—ἱππέας καὶ πεζούς. Deinde poſt Κῦρος iterum legitur vulgo εὐθέως, in Zeuniana εὐθὺς ex Guelf. quod cum Edd. pr. libro Philel. Budenſi et Altorf. omiſi.

ἐπὶ—ᾔτει] Ita cum Philel. Bodl. et Guelf. Muretus et Zeune. ἤτοι τὸν Κυαξ. Juntina. ᾔτει τ. Κ. ἐπὶ τῶν Steph. 1. et duæ Leoncl. cum quinque Codicibus Pariſienſibus a Gallo *Bejot* inſpectis.

Προεληλυθότος] Edd. primarum προσελ. correxit Stephanus, aſſentientibus libris ſcriptis. Κυαξάρου Guelf. et deinde δυνάμει πεζῇ ubi corrector καὶ inſeruit.

ὁδὸν] Omittit Guelf. deinde γίνεται idem : ἰέναι ibidem in margine adſcripſit corrector. Zeunio ὁδὸν ſecludere placuit, mihi contra verbum ἰέναι ſecludendum videtur.

ἐξάγει [δὴ] Omiſſum in Guelf. ſeclusi, velut otioſum propter antecedens καὶ οὕτω. deinde in Guelf. παρεσκευασμένους, ſed correctum poſtea.

19. ἀετὸς δ᾽] Guelf. ἀετὸς δέ γ᾽, habet : deinde ὃς κατιδών. participium etiam Philelphus vertit. αἴσιος ut ſupra i. 6, 1. locum deſignat, unde aquila advolans omen fecit : Eſt igitur δεξιὸς, a dextro latere viſa.

λαγῶ] Guelf. et Altorf. λαγὼν, ante Zeunium λαγὼ, quem vide, ſi lubet, ad i. 6, 40. Idem Guelf. κἀπενεγκὼν habet. poſtea ἠθέλεσεν Altorf.

θελήσῃ] Ita pro θέλῃ ex Guelf. Zeune.

20. ἐγένοντο] Guelf. ἐγένετο omiſſo ſequente εὐθύς.

ἱππέων ὤγμευον αὐτῷ, ὡς ἐπιόντες τὰ θηρία ἐξανισταῖεν·
οἱ δὲ ἄριστοι καὶ πεζοὶ καὶ ἱππεῖς διέστησαν, καὶ τὰ
ἀνιστάμενα ὑπεδέχοντο καὶ ἐδίωκον, καὶ ᾕρουν πολλοὺς
καὶ σῦς, καὶ ἐλάφους, καὶ δορκάδας, καὶ ὄνους ἀγρίους·
πολλοὶ γὰρ ἐν τούτοις τοῖς τόποις ὄνοι καὶ νῦν ἔτι γίγνον-
ται. Ἐπεὶ δ' ἔληξαν τῆς θήρας, προσμίξας πρὸς τὰ 21
ὅρια τῶν Ἀρμενίων ἐδειπνοποιήσατο· καὶ τῇ ὑστεραίᾳ αὖ-
θις ἐθήρα, προσελθὼν πρὸς τὰ ὄρη, ὧν ὠρέγετο. Ἐπεὶ
δ' αὖ ἔληξεν, ἐδειπνοποιεῖτο. Τὸ δὲ παρὰ Κυαξάρους
στράτευμα ὡς ᾔσθετο προσιὸν, ὑποπέμψας πρὸς αὐτοὺς,
εἶπεν, ἀπέχοντας αὐτοῦ δειπνοποιεῖσθαι ὡς δύο παρα-
σάγγας· τοῦτο προϊδὼν ὡς συμβαλεῖται πρὸς τὸ λαν-
θάνειν· ἐπεὶ δὲ δειπνήσειεν, εἶπε τῷ ἄρχοντι αὐτῶν, παρ-
εἶναι πρὸς αὐτόν. Μετὰ τὸ δεῖπνον δὲ τοὺς ταξιάρχους
ἐκάλει· ἐπεὶ δὲ παρῆσαν, ἔλεξεν ὧδε·

Ἄνδρες φίλοι, ὁ Ἀρμένιος πρόσθε μὲν καὶ σύμμα- 22
χος ἦν καὶ ὑπήκοος Κυαξάρει· νῦν δ', ὡς ᾔσθετο τοὺς
πολεμίους ἐπιόντας, καταφρονεῖ, καὶ οὔτε τὸ στράτευμα

ὤγμευον αὐτῷ] Edd. primæ, Guelf. et Steph. ὤρμησε fine αὐτῷ. In margine Steph. 2. eſt ὤρμησαν. Leonclavius, Budenſis et Altorfini libri lectionem recte recepit cum Æm. Porto. Ita etiam Suidas et Grammaticus editus in Biblioth. Coiſlin. p. 477. male interpretatus ἐπορεύοντο. ſaltem κατὰ στίχον addidiſſet, ut fecit in ὄγμος. Similis plane locus eſt apud Pollucem de cervorum venatione ἁλίσκονται δὲ δικτύοις μὲν, εἴτις ὀγμεύσας αὐτὰς συνελάσειε. Apud Suidam exſtat locus Anonymi vitioſe ſcriptus et ex noſtro corrigendus in ὀργμεύοντες· ἦσαν δὲ ὄρη παντοίων θηρίων ἀνάπλεα, ἃ κατὰ κύκλους ὀργμεύοντες οἱ στρατιῶται πολλὰ τῶν θηρίων ᾕρουν.

διέστησαν] Guelf. διέστασαν καὶ τ' ἀνιστάμενα.

ὄνοι] Omittit Guelf.

21. ἔληξαν] In Guelf. ἔληξε, deinde ὅρια τῆς Ἀρμενίας Altorf. ſed correctum.

ἐπεὶ δ' αὖ] Junt. ἐπειδάν. Ald. ἐπειδὰν δέ. Caſtal. et Argentor. καὶ ἐπειδάν. Guelf. ἐπειδὴ οὖν. Noſtrum Stephanus ex verſione Philelphi recepit. deinde Κυαξάρου Guelf.

τοῦτο προϊδὼν] Guelf. καὶ τοῦτο πρ. —ἐπειδὴ δὲ δειπνήσαιεν. Altorf. προϊὸν —συμβάλληται.

δεῖπνον δὲ] Ex Guelf. μετὰ δὲ τὸ δ'.— παρεκάλει dedit Zeune. ſed in Codice corrector παρ punctis notavit.

22. πρόσθε] Ita pro πρόσθεν Guelf. idem Κυαξάρῃ.

ᾔσθετο τοὺς] ᾔσθηται dat Altorf. liber. Articulum primus Stephanus addidit, aſſentiente Guelf. unde τὸ acceſſit ante στράτευμα. Poſtea πέμπει ὑμῖν Aldina et Juntina.

πέμπει ἡμῖν, οὔτε τὸν δασμὸν ἀποδίδωσι· νῦν οὖν τοῦτον
δεῖ θηράσαι, ἢν δυνώμεθα. Ὧδέ μοι οὖν δοκεῖ, ἔφη,
ποιεῖν· Σὺ μέν, ὦ Χρυσάντα, ἐπειδὰν ἀποκοιμηθῇς, ὅσον
μέτριον, λαβὼν τοὺς ἡμίσεις Περσῶν τῶν σὺν ἡμῖν, ἴθι
τὴν ὀρεινὴν καὶ κατάλαβε τὰ ὄρη, εἰς ἅ φασιν αὐτόν,
23 ὅταν τι φοβηθῇ, καταφεύγειν. Ἡγεμόνας δέ σοι ἐγὼ
δώσω· Φασὶ μὲν οὖν, καὶ δασέα τὰ ὄρη ταῦτα εἶναι, ὥστ᾽
ἐλπὶς ὑμᾶς μὴ ὀφθῆναι· ὅμως δέ, εἰ προπέμποις πρὸ
τοῦ στρατεύματος εὐζώνους ἄνδρας, λῃσταῖς ἐοικότας καὶ
τὸ πλῆθος καὶ τὰς στολάς, οὗτοι ἄν σοι, εἴ τισιν ἐντυγ-
χάνοιεν τῶν Ἀρμενίων, οὓς μὲν ἂν συλλαμβάνοντες αὐ-
τῶν, κωλύοιεν τῶν ἐξαγγελιῶν, οὓς δὲ μὴ δύναιντο λαμ-
βάνειν, ἀποσοβοῦντες ἂν ἐμποδὼν γίγνοιντο τοῦ μὴ ὁρᾶν
αὐτοὺς τὸ ὅλον στράτευμά σου, ἀλλ᾽ ὡς περὶ κλωπῶν
24 βουλεύεσθαι. Καὶ σὺ μέν, ἔφη, οὕτω ποίει· ἐγὼ δὲ
ἅμα τῇ ἡμέρᾳ, τοὺς ἡμίσεις μὲν τῶν πεζῶν ἔχων, ἅπαν-
τας δὲ τοὺς ἱππέας, πορεύσομαι διὰ τοῦ πεδίου εὐθὺς
πρὸς τὰ βασίλεια. Καὶ ἢν μὲν ἀνθίστηται, δῆλον, ὅτι

δεῖ θηράσαι] Guelf. cum libro Philelphi τοῦτον θηράσαι ἂν δυνώμεθα ἤλθομεν, quod recepit Zeune. τοῦτον δὴ θηράσαι Altorf. ubi poſt δυνώμεθα aliena manus ἤλθομεν adjecit.

ὧδέ] Guelf. ὧδ᾽ οὖν, ἔφη, δοκεῖ.

ἀποκοιμηθῇς] In Guelf. εἰς τὸ μέτριον. Philelphus ἀποκομισθῇς εἰς τὰ ὅρια vertit.

λαβὼν] Ita pro λάβε libri Philel. Gabr. Bodl. Guelf. Sequens ὅταν τι ex Guelf. et margine Steph. dedi cum Zeunio pro ὅταν τινά.

23. τὰ ὄρη ταῦτα] Ita ex Guelf. pro ταῦτα τὰ ὄρη ſcripſi, ordine numeroſiore. Idem deinde cum Philel. ἡμᾶς habet ſcriptum.

προπέμποις] Guelf. προπέμπεις—τοὺς εὐζώνους. Articulum recepit Zeune, τοὺς interpretatus dictum pro τινάς.

στολὰς] Altius velut ad curſum cinctas intelligit Weiſke.

εἴ τισιν] Guelf. εἴ τινι. ſic etiam Altorf. ſed ſuper raſura habet ſcriptum.

οὓς μὲν] Hoc in Guelf. corrector ſcripſit, in loco ſcripturæ primæ τοὺς μὲν quod ipſum h. l. legi malebat Reizius de Proſodiæ Gr. Accent. p. 33. ed. Wolfii. At Zeune συλλαμβάνοντες interpretatur dictum pro συλλαμβάνωσιν, uti etiam Philelphus vertit: quæ tamen ratio duriſſima mihi videtur. Igitur cum Guelf. τοὺς μὲν præfero.

στράτευμά σου] Ex Guelf. σου addidi; quod vertit etiam Philelphus. Sequens κλωπῶν vulgari κλοπῶν recte ſubſtituit Weiſke.

24. ἡμίσεις μὲν] In Guelf. μὲν corrector inſeruit; idem deinde πάντας habet.

ἀνθίστηται] Bryl. Iſingr. ἀνθίσταται.

μάχεσθαι δεήσει· ἢν δ' [ἂν] ὑποχωρῇ τοῦ πεδίου, δῆ-
λον, ὅτι μεταθεῖν δεήσει· ἢν δ' εἰς τὰ ὄρη φεύγῃ, ἐν-
ταῦθα δή, ἔφη, σὸν ἔργον, μηδένα ἀφιέναι τῶν πρός σε
ἀφικνουμένων. Νόμιζε δ', ὥσπερ ἐν θήρᾳ ἡμᾶς μὲν 25
τοὺς ἐπιζητοῦντας ἔσεσθαι, σὲ δὲ τὸν ἐπὶ ταῖς ἄρκυσι.
Μέμνησο οὖν ἐκεῖνο, ὅτι φθάνειν δεῖ πεφραγμένους τοὺς
πόρους, πρὶν κινεῖσθαι τὴν θήραν. Καὶ λεληθέναι δὲ
δεῖ τοὺς ἐπὶ τοῖς στόμασι, εἰ μέλλουσι μὴ ἀποστρέφειν
τὰ προσφερόμενα. Μὴ μέντοι, ἔφη, ὦ Χρυσάντα, οὕτως 26
αὖ ποίει, ὥσπερ ἐνίοτε διὰ τὴν φιλοθηρίαν· πολλάκις
γὰρ ὅλην τὴν νύκτα ἄϋπνος πραγματεύῃ· ἀλλὰ νῦν ἐᾶ-
σαι χρὴ τοὺς ἄνδρας τὸ μέτριον ἀποκοιμηθῆναι, ὡς ἂν
δύνωνται ὑπνομαχεῖν. Μηδέ γε σύ, ὅτι, οὐχ ἡγεμόνας 27
ἔχων ἀνθρώπους, πλανᾷ ἀνὰ τὰ ὄρη, ἀλλ' ὅπῃ ἂν τὰ
θηρία ὑφηγῆται, ταύτῃ μεταθεῖς, μήτι καὶ νῦν οὕτω τὰ

ἢν δ' [ἂν] Seclusi ἂν, quod ſenſum turbat: margo Londinenſis Edit. neſcio unde ἢν δ' αὖ annotavit. διὰ τοῦ πεδίου Altorf.

δή, ἔφη] Altorf. cum Philelpho ἔφη omittit; idem Altorf. τῶν εἰς σὲ ἀφικ.

25. ἐπιζητοῦντας] Edd. primæ et Guelf. ἐπιζητήσοντας. Sequens σὲ δὲ primus Caſtalio et Steph. dederunt pro σὺ δὲ Edd. primarum. Verum eſt in Guelf.

τὸν ἐπὶ ταῖς ἄρκυσι] i. e. τὸν ἀρκυωρόν. Vulgo eſt τῶν ἐπί. In Guelf. corrector τῶν inſeruit, τὸν eſt in Bodl. et Altorf.

τὴν θήραν] Ita libri omnes: τὰ θηρία dedit Hutchinſon: τὸν θῆρα ex libro Gabrielis in marginem Steph. relatum eſt.

τοὺς ἐπὶ τοῖς στόμασι] Vulgata τοὺς ἐπὶ τούτοις τεταγμένους adſcripta eſt in margine Guelf. qui omiſſo δὲ habet in textu: δεῖ αὐτὸν τοῖς ἐπὶ τοῖς στόμασιν. deinde idem ἀποστρέψειν. *qui ſunt ad hos aditus ordinati* Philelphi verſio habet. τοὺς ἐπὶ τοῖς στόμασι eſt in margine Steph. et Leoncl. unde recepit Zeune, στόματα aditus τῶν πόρων, viarum interpretatus.

26. πραγματεύῃ] Altorf. πραγματεύει. Pro ἄϋπνος margo Steph. ἄγρυπνος.

ὑπνομαχεῖν] Aldina ὑπνοτυχεῖν. margo Steph. et Leoncl. ὕπνου τυχεῖν, quæ eſt ſcriptura libri Brodæi, Philelphi, Bodl. ὑπνομαχεῖν Juntina, Guelf. Budenſis, Altorf. Mœris Atticiſta, Suidas et Thomas M. habent aut confirmant.

27. γε σὺ] Pronomen Guelf. omittit. ἔχων in ἔχεις Muretus mutari voluit. deinde πλανῶ Edd. prim. et Guelf. a manu correctoris.

ταύτῃ] Junt. ταύτην. Brodæi liber et Altorf. ταύτῃ μεμάθηκας μετιέναι. deinde μεταθεὶς Guelf. *hac tranſcurrens tranſire didiciſti* Philel. Mihi totus locus ita legendus eſſe videtur μηδὲ σύ γε, ὅτι πλανᾷ ἀνὰ τὰ ὄρη, οὐχ ἡγεμόνας ἔχων ἀνθρ. ἀλλ' ὅπῃ ἂν τὰ θηρία ὑφηγῆται, ταύτῃ μετιέναι μεμάθηκας, μήτι καὶ νῦν. Ita melius reſpondet ſectio hæc ſequenti.

μήτι καὶ νῦν] Ex Guelf. et Altorf. hic et in ſectione ſequente vulgatum μήτοι mutavi cum Zeunio. deinde πορεύῃ Juntina et margo Guelf. poſt-

δύσβατα πορεύου, ἀλλὰ κέλευε σοὶ τοὺς ἡγεμόνας, ἐὰν
μὴ πάνυ πολὺ ἐλάσσων ἡ ὁδὸς ᾖ, τὴν ῥάστην ἡγεῖσθαι.
28 Στρατιᾷ γὰρ ἡ ῥάστη ταχίστη. Μηδέ γε, ὅτι σὺ εἴθι-
σαι τρέχειν ἀνὰ τὰ ὄρη, μήτοι δρόμῳ ἡγήσῃ, ἀλλ' ὡς ἂν
δύνηταί σοι ὁ στρατὸς ἕπεσθαι, τῷ μέσῳ τῆς σπουδῆς
29 ἡγοῦ. Ἀγαθὸν δὲ, καὶ τῶν δυνατωτάτων καὶ προθύ-
μων ὑπομένοντάς τινας ἐνίοτε παρακελεύεσθαι· ἐπειδὰν
δὲ παρέλθῃ τὸ κέρας, παροξυντικὸν εἰς τὸ σπεύδειν πάν-
τας, παρὰ τοὺς βαδίζοντας τρέχοντας ὁρᾶσθαι.
30 Χρυσάντας μὲν δὴ ταῦτα ἀκούσας, καὶ ἐπιγαυρωθεὶς
τῇ ἐντολῇ τοῦ Κύρου, λαβὼν τοὺς ἡγεμόνας, ἀπελθὼν,
καὶ παραγγείλας, ἃ ἔδει, τοῖς σὺν αὐτῷ μέλλουσι πο-
ρεύεσθαι, ἀνεπαύετο. Ἐπεὶ δὲ ἀπεκοιμήθησαν, ὅσον
31 ἐδόκει μέτριον εἶναι, ἐπορεύετο ἐπὶ τὰ ὄρη. Κῦρος δὲ,
ἐπεὶ ἡμέρα ἐγένετο, ἄγγελον προέπεμπε πρὸς τὸν Ἀρμέ-
νιον, προειπὼν αὐτῷ λέγειν ὧδε· Κῦρος, ὦ Ἀρμένιε, κε-
λεύει οὕτω ποιεῖν σε, ὅπως ὡς τάχιστα ἔχων οἴσεις καὶ
τὸν δασμὸν καὶ τὸ στράτευμα. Ἢν δ' ἐρωτᾷ, ὅπου
εἰμὶ, λέγε τἀληθῆ, ὅτι ἐπὶ τοῖς ὁρίοις. Ἢν δ' ἐρωτᾷ,
εἰ καὶ αὐτὸς ἔρχομαι, λέγε κἀνταῦθα τἀληθῆ, ὅτι οὐκ

ea σοὶ ex Guelf. Altorf. et Philel. ſubſtituit vulgari σὺ Zeune. abhinc ἂν μὴ πολὺ Guelf. corrector πάνυ addidit. denique ἀρίστην Guelf. vera lectione in marginem rejecta.

28. ὅτι σὺ] Guelf. σὺ ὅτι δύνασαι. Paulo antea μηδὲ Junt. Aldina: μή γε Altorf. μηδέ γε etiam Guelf. δυνατοτάτων Altorf.

ὁ στρατὸς] Ita Guelf. in litura habet ſcriptum, ubi antea στρατιώτης fuerat.

29. ὑπομένοντάς] Subſiſtentes. Weiſkio tota ſectio ſpuria videbatur eſſe; ſed is ſententia loci plane aberraſſe mihi videtur.

πάντας, παρὰ] In Guelf. eſt πάντας τοὺς παρατρέχοντας, vulgata in margine adſcripta. Ex anterioribus ad τρέχοντας intellige τινάς.

30. τοῦ Κύρου] Articulum ex Guelf. Altorf. et Suida in ἐπιγαυρωθεὶς reſtituit Zeune.

σὺν αὐτῷ] Guelf. ἅμα αὐτῷ recepit Zeune.

ἀπεκοιμήθησαν] Ex Junt. et Guelf. ἀνεκοιμηθ. revocavit Zeune. Verum habet Aldina. Sed in Guelf. eſt præterea ἐπειδὰν δὲ, et poſtea ἐπορεύοντο, ut Philelphus vertit.

31. ἐπεὶ ἡμέρα] Ex Guelf. ἐπειδὴ dedit Zeune. idem liber μὲν inſerit poſt ἄγγελον. Altorf. προσέπεμπε habet ſcriptum.

οἴσεις] Ita Guelf. cum Zonara; οἴσῃς Budenſis et Altorf. ſed ſuper raſura ſcriptum hic habet. Ante Zeunium erat ἀπίῃς.

οἶσθα. Ἢν δὲ, ὁπόσοι ἐσμὲν, πυνθάνηται, συμπέμπειν
τινὰ κέλευε καὶ μαθεῖν. Τὸν μὲν δὴ ἄγγελον, ἐπιστεί- 32
λας ταῦτα, ἔπεμψε· νομίζων φιλικώτερον εἶναι οὕτως,
ἢ μὴ προειπόντα πορεύεσθαι. Αὐτὸς δὲ συνταξάμενος,
ᾗ ἄριστον καὶ πρὸς τὸ ἀνύτειν τὴν ὁδὸν, καὶ πρὸς τὸ μά-
χεσθαι, εἴ τι δέοι, ἐπορεύετο. Προεῖπε δὲ τοῖς στρατιώ-
ταις μηδένα ἀδικεῖν· καὶ εἴ τις Ἀρμενίων τῳ ἐντυγχά-
νοι, θαῤῥεῖν τε παραγγέλλειν, καὶ ἀγορὰν τὸν θέλοντα
ἄγειν, ὅπου ἂν ὦσιν, εἴ τε σιτία εἴ τε ποτὰ τυγχάνοι πω-
λεῖν βουλόμενος.

ἢν δὲ ὁπόσοι] Guelf. ἐὰν δ' ὁπ. deinde συμπέμπειν τινὰ καὶ μαθεῖν κέλευε Altorf.

32. εἶναι οὕτως] Guelf. οὕτως εἶναι.

ἀνύτειν] Hoc pro vulgari. ἀνύειν ex Guelf. ἀνύττειν effecit Zeune.

θέλοντα] Hoc vulgato βουλόμενον ex Guelf. fubftituit Zeune: deinde ex eodem libro vulgarem lectionem εἴ τις σιτία ἢ correxit. εἴ τις σιτεία ἤτο ποτὰ Altorf. fed ἢ eft fuper rafura et τε fupra contextum. Poftremo τυγχάνει Juntina.

ΞΕΝΟΦΩΝΤΟΣ

ΚΥΡΟΥ ΠΑΙΔΕΙΑΣ Γ'.

CAP. I.

Ο ΜΕΝ δὴ Κῦρος ἐν τούτοις ἦν· ὁ δὲ Ἀρμένιος, ὡς
ἤκουσε τοῦ ἀγγέλου τὰ παρὰ τοῦ Κύρου, ἐξεπλάγη, ἐν-
νοήσας, ὅτι ἀδικοίη καὶ τὸν δασμὸν λείπων, καὶ τὸ στρά-
τευμα οὐ πέμπων. Καὶ τὸ μέγιστον ἐφοβεῖτο, ὅτι ὀφ-
θήσεσθαι ἔμελλε τὰ βασίλεια οἰκοδομεῖν ἀρχόμενος, ὡς
ἂν ἱκανὰ ἀπομάχεσθαι εἴη. Διὰ πάντα δὴ ταῦτα 2
ὀκνῶν, ἅμα μὲν διέπεμπεν ἀθροίζων τὴν αὑτοῦ δύναμιν,
ἅμα δ' ἔπεμπεν εἰς τὰ ὄρη τὸν νεώτερον υἱὸν Σάβαριν,
καὶ τὰς γυναῖκας, τήν τε ἑαυτοῦ καὶ τὴν τοῦ υἱοῦ, καὶ
τὰς θυγατέρας· καὶ κόσμον δὲ καὶ κατασκευὴν τὴν
πλείστου ἀξίαν συναπέπεμπε, προπομποὺς δοὺς αὐτοῖς.
Αὐτὸς δὲ ἅμα μὲν κατασκεψομένους ἔπεμπε, τί πράτ-
τοι Κῦρος, ἅμα δὲ συνέταττε τοὺς παραγιγνομένους τῶν
Ἀρμενίων· Καὶ ταχὺ παρῆσαν ἄλλοι, λέγοντες, ὅτι καὶ
δὴ αὐτὸς [οὗτος] ὁμοῦ· ἐνταῦθα δὴ οὐκέτι ἔτλη εἰς χεῖ-

Armeniæ rex cum suis capitur, et, judicii quadam forma defensus a filio, in fidem conditionibus æquis recipitur.

1. λείπων] Guelf. et Altorf. λιπών.

2. διὰ πάντα] Guelf. διὰ ταῦτα δὴ πάντα. Altorf. δι' ἅπαντα—τὴν αὑτοῦ δύναμιν.

κόσμον δὲ] Guelf. κόσμον τε—συνέπεμπε. Etiam Altorf. συνεπέπεμπε dat, sed super rasura scriptum.

κατασκεψομένους] Juntina et correctio Guelf. κατασκεψόμενος.

καὶ δὴ] Mureti conjectura ἤδη carere possumus. Idem Attice est καὶ δή. Rectius admonet ὁμοῦ esse pro ἐγγύς. deinde οὗτος seclusi, quod a Guelf. abest. Juntina cum Altorf. οὗτος omisit. αὐτὸς est terribilis ille cum maxime Armenio Cyrus.

3 ρας ἐλθεῖν, ἀλλ' ὑπεχώρει. Ὡς δὲ τοῦτο εἶδον αὐτὸν
ποιήσαντα οἱ Ἀρμένιοι, διεδίδρασκον ἤδη ἕκαστος ἐπὶ τὰ
ἑαυτοῦ, βουλόμενοι τὰ ὄντα ἐκποδὼν ποιεῖσθαι. Ὁ δὲ
Κῦρος, ὡς ἑώρα διαθεόντων καὶ ἐλαυνόντων τὸ πεδίον
μεστὸν, ὑποπέμπων ἔλεγεν, ὅτι οὐδενὶ πολέμιος εἴη τῶν
μενόντων· εἰ δέ τινα φεύγοντα λήψοιτο, προηγόρευσεν,
ὅτι ὡς πολεμίῳ χρήσοιτο. Οὕτω δὴ οἱ μὲν πολλοὶ
κατέμενον, ἦσαν δὲ, οἳ ὑπεχώρουν σὺν τῷ βασιλεῖ.
4 Ἐπεὶ δὲ οἱ σὺν ταῖς γυναιξὶ προϊόντες ἐνέπεσον εἰς τοὺς ἐν
τῷ ὄρει, κραυγήν τε εὐθὺς ἐποίουν, καὶ φεύγοντες ἡλί-
σκοντο πολλοὶ αὐτῶν. Τέλος δὲ καὶ ὁ παῖς καὶ αἱ γυ-
ναῖκες καὶ αἱ θυγατέρες ἑάλωσαν, καὶ τὰ χρήματα,
ὅσα σὺν αὐτοῖς ἀγόμενα ἔτυχεν. Ὁ δὲ βασιλεὺς αὐ-
τῶν, ὡς ᾔσθετο τὰ γιγνόμενα, ἀπορῶν ποῖ τράποιτο, ἐπὶ
5 λόφον τινὰ καταφεύγει. Ὁ δὲ αὖ Κῦρος ταῦτα ἰδὼν,
περιΐσταται τὸν λόφον τῷ παρόντι στρατεύματι, καὶ πρὸς
Χρυσάνταν πέμψας ἐκέλευε, φυλακὴν τοῦ ὄρους κατα-
λιπόντα ἥκειν. Τὸ μὲν δὴ στράτευμα ἠθροίζετο τῷ
Κύρῳ· ὁ δὲ πέμψας πρὸς τὸν Ἀρμένιον κήρυκα, ἤρετο
ὧδε· Εἰπέ μοι, ἔφη, ὦ Ἀρμένιε, πότερα βούλει αὐτοῦ
μένων τῷ λιμῷ καὶ τῷ δίψει μάχεσθαι, ἢ εἰς τὸ ἰσόπε-
δον καταβὰς ἡμῖν διαμάχεσθαι; Ἀπεκρίνατο ὁ Ἀρμέ-
6 νιος, ὅτι οὐδετέροις βούλοιτο μάχεσθαι. Πάλιν ὁ Κῦρος

3. εἶδον αὐτὸν] Guelf. τοῦτ' εἶδον ποιήσαντα αὐτόν. deinde βουλόμενος Altorf.

προηγόρευσε] Guelf. προηγόρευε.

4. προϊόντες] Ita cum Stephano Philelphi verſio et liber Guelf. pro προσιόντες Edd. primarum.

εἰς τοὺς] Margo Steph. τοῖς affert. deinceps εὐθὺς κραυγήν τε Guelf. ex quo poſt πολλοὶ Zeune ob elegantiam, ut ait, γε inſeruit.

καὶ ὁ παῖς] Margo Steph. οἱ παῖδες. Articulum τὰ ante χρήματα in Guelf. corrector inſeruit.

ἔτυχεν] Ita Guelf. ἔτυχον Edd. primæ et Altorf. ἐτύγχανεν Steph. ἐτύγχανον Leonclaviana anni 1594.

5. τὸν λόφον] Altorf. τῷ λόφῳ. quod ſi eſſet περιΐστησι τὸ παρὸν στράτευμα, ferri poſſet. deinde καὶ Χρυσάντᾳ πέμψας Altorf.

μοι, ἔφη] Juntina verbum omittit. In Guelf. ἤρετο κήρυκα, ſed ordinem vulgarem induxit corrector.

τῷ δίψει] Ita Guelf. pro τῇ δίψῃ. deinceps οὐδενὶ pro οὐδετέροις margo Steph. poſtea διαμάχεσθαι Guelf.

πέμψας ἠρώτα, Τί οὖν κάθησαι αὐτόθι, καὶ οὐ κατα-
βαίνεις; Ἀπορῶν, ἔφη, ὅ τι χρὴ ποιεῖν. Ἀλλ' οὐδὲν,
ἔφη ὁ Κῦρος, ἀπορεῖν σε δεῖ· ἔξεστι γάρ σοι ἐπὶ δίκην
καταβαίνειν. Τίς δ', ἔφη, ἔσται ὁ δικάζων; Δῆλον,
ὅτι ᾧ ὁ Θεὸς ἔδωκε καὶ ἄνευ δίκης σοι χρῆσασθαι, ὅ τι
καὶ βούλοιτο. Ἐνταῦθα δὴ ὁ Ἀρμένιος, γιγνώσκων τὴν
ἀνάγκην, καταβαίνει· καὶ ὁ Κῦρος, λαβὼν εἰς τὸ μέσον
κἀκεῖνον καὶ τὰ ἄλλα πάντα, περιεστρατοπεδεύσατο,
ὁμοῦ ἔχων πᾶσαν ἤδη τὴν δύναμιν.
Ἐν τούτῳ δὲ τῷ χρόνῳ ὁ πρεσβύτερος παῖς τοῦ Ἀρμε- 7
νίου, Τιγράνης, ἐξ ἀποδημίας τινὸς προσήει, ὅς καὶ σύν-
θηρός ποτε ἐγένετο τῷ Κύρῳ· καὶ ὡς ἤκουσε τὰ γεγενη-
μένα, εὐθὺς πορεύεται, ὥσπερ εἶχε, πρὸς τὸν Κῦρον.
Ὡς δὲ εἶδε πατέρα τε καὶ μητέρα, καὶ ἀδελφοὺς καὶ
τὴν ἑαυτοῦ γυναῖκα αἰχμαλώτους γεγενημένους, ἐδάκρυ-
σεν, ὥσπερ εἰκός. Ὁ δὲ Κῦρος, ἰδὼν αὐτὸν, ἄλλο μὲν 8
οὐδὲν ἐφιλοφρονήσατο αὐτῷ, εἶπε δ', ὅτι εἰς καιρὸν ἥκεις,
ἔφη, ὅπως σὺ τῆς δίκης ἀκούσῃς παρὼν τῆς ἀμφὶ τοῦ
πατρός. Καὶ εὐθὺς συνεκάλει τοὺς ἡγεμόνας τούς τε

6. καταβαίνεις] Guelf. οὐκ ἀποβαίνεις (quod tamen correctum) male recepit Zeune; ibidem eſt κάθισαι. Pro αὐτόθι Altorf. ἐνταῦθα habet.

δίκην] Ita cum Stephano Guelf. δίκη Edd. primæ, unde δίκῃ margo Steph. et Leoncl.

ἔσται] Ex Philel. Brodæi, Budenſi et Guelf. libris reſtituit omiſſum Zeune.

χρήσασθαι] Guelf. χρῆσθαί σοι ὅτι βούλοιτο. Altorf. etiam καὶ omiſit.

ὁμοῦ ἔχων] Hic eſt ordo verborum in Guelf. vulgaris ὁμοῦ ἤδη πᾶσαν ἔχων τ. δ. Ex eodem Bodl. et Altorf. ἤδη pro δὴ dedit Zeune. Quod eſt in Guelf. ἐστρατοπεδεύσατο, ſed correctum, vertit tamen Philelphus.

7. τούτῳ δὲ] Ita pro δὴ ex Guelf. Philelpho et Zonara ſcripſi. ſequens πρεσβύτερος ex eodem Guelf. et Zonara vulgari πρεσβύτατος ſubſtituit Zeune.

ἐγένετο] Stephanus ἐγεγένητο dedit.

ὥσπερ εἶχε] Ita cum Philelpho et Guelf. Zonaras. ὡς εἶχεν πρὸς τὸν Κῦρον Altorf. Vulgo poſt Κῦρον legebantur ἧπερ εἶχε ſcripta.

τε καὶ μητέρα] Ex Guelf. et Zonara τε inſeruit Zeune.

ἀδελφοὺς] Lectionem Aldinæ, Philelphi, Bodl. Gabriel. Guelf. Zonaræ ἀδελφὰς repudiavit Zeune, quoniam hæc noſtra τὸν ἀδελφὸν et ſorores τὰς ἀδελφὰς ſect. 2. comprehendit.

8. αὐτῷ] Dubito an αὐτὸν potius ſcribendum ſit.

ἥκεις ἔφη] Ex Guelf. et Zonara ἔφη inſeruit Zeune. Sed in Codice ἔφης ſcriptum et punctis notatum eſt. Sequens σὺ omittit Guelf. qui συγκαλεῖ deinde habet.

τῶν Περσῶν καὶ τοὺς τῶν Μήδων· προσεκάλει δὲ καὶ, εἴ
τις Ἀρμενίων τῶν ἐντίμων παρῆν· καὶ τὰς γυναῖκας, ἐν
ταῖς ἁρμαμάξαις παρούσας, οὐκ ἀπήλασεν, ἀλλ' εἴα
9 ἀκούειν. Ὁπότε δὲ καλῶς εἶχεν, ἤρχετο τοῦ λόγου,
[καὶ,] Ὦ Ἀρμένιε, ἔφη, πρῶτον μέν σοι συμβουλεύω, ἐν
τῇ δίκῃ τἀληθῆ λέγειν, ἵνα σοι ἕν γε ἀπῇ τὸ εὐμισητό-
τατον· τὸ γὰρ ψευδόμενον φαίνεσθαι, εὖ ἴσθι, ὅτι καὶ
τοῦ συγγνώμης τινὸς τυγχάνειν ἐμποδὼν μάλιστα ἀν-
θρώποις γίγνεται. Ἔπειτα δὲ, ἔφη, συνίσασι μέν σοι
καὶ οἱ παῖδες καὶ αἱ γυναῖκες αὗται πάντα, ὅσα ἔπρα-
ξας, καὶ Ἀρμενίων οἱ παρόντες· ἢν δὲ αἰσθάνωνταί σε
ἄλλα ἢ τὰ γενόμενα λέγοντα, νομιοῦσί σε καὶ αὐτὸν
καταδικάζειν σαυτοῦ, πάντα τὰ ἔσχατα παθεῖν, ἢν ἐγὼ
τἀληθῆ πύθωμαι. Ἀλλ' ἐρώτα, ἔφη, ὦ Κῦρε, ὅ τι
βούλει, ὡς τἀληθῆ ἐροῦντος· τούτου ἕνεκα καὶ γενέσθω,
10 ὅ τι βούλεται. Λέγε δή μοι, ἔφη, ἐπολέμησάς ποτε
Ἀστυάγει τῷ τῆς ἐμῆς μητρὸς πατρὶ, καὶ τοῖς ἄλλοις
Μήδοις; Ἔγωγ', ἔφη. Κρατηθεὶς δ' ὑπ' αὐτοῦ, συνω-
μολόγησας δασμὸν οἴσειν, καὶ συστρατεύσεσθαι, ὅπου
ἐπαγγέλοῖ, καὶ ἐρύματα μὴ ἕξειν; Ἦν ταῦτα. Νῦν

προσεκάλει] Ita Edd. primæ, Philel. Guelf. παρεκάλει Stephanus dedit. Aldina προσκάλει.

ἁρμαμάξαις] Guelf. ἁμάξαις.

9. τοῦ λόγου, [καὶ]] Copulam ab Altorf. libro omiſſam ſecluſi. Ita ſæpe εἶπε antecedente tamen ἔφη ſequitur, nulla præcedente copula.

συμβουλεύω] Guelf. συμβουλεύσω.

γίγνεται] Margo Steph. καθίσταται. deinceps μέν σοι Guelf. et Altorf. omittit, et verba eadem Steph. et Leoncl. incluſerunt.

γενόμενα] Ita pro γιγνόμενα ex Philel. Altorf. et Guelf. Zeune.

σε καὶ αὐτὸν] id eſt καὶ σεαυτὸν, ut Plato Phædonis ſect. 66. ἐμοῦ γε βίᾳ καὶ αὐτοῦ. et ſect. 7. δοκεῖ τι μοὶ καὶ αὐτῷ λέγειν Κέβης.

ἢν ἐγὼ] In Philelphi libro et Guelf. ἢν μὴ ἐγώ. In Altorf. μὴ aliena manu additum legitur.

τούτου ἕνεκα] Philelphus τούτων expreſſit; ſequens καὶ Altorf. omittit.

10. τῆς ἐμῆς] Guelf. τε τῆς ἐμῆς.

συστρατεύσεσθαι] Hoc cum Heuſingero et Fiſchero ex Guelf. ſcriptura συστρατεύσασθαι effeci. Vulgatum συστρατεύεσθαι cum lectione Guelf. permutavit Zeune.

ἐπαγγελοῖ] Margo Steph. καὶ παραγγελεῖ. Vulgatum παραγγέλλοι nullo modo tolerandum, ſed leviter vitioſum mutavi.

οὖν διὰ τί οὔτε τὸν δασμὸν ἀπήγαγες, οὔτε τὸ στράτευμα
ἔπεμπες, ἐτείχιζές τε τὰ ἐρύματα; Καὶ ὃς ἔφη, Ἐλευ-
θερίας ἐπεθύμουν· καλὸν γάρ μοι ἐδόκει εἶναι, καὶ αὐ-
τὸν ἐλεύθερον εἶναι, καὶ παισὶν ἐλευθερίαν καταλιπεῖν.
Καὶ γάρ ἐστιν, ἔφη ὁ Κῦρος, καλὸν μάχεσθαι, ὅπως μή 11
ποτέ τις δοῦλος μέλλοι γενήσεσθαι· ἢν δὲ δὴ ἢ πολέμῳ
κρατηθεὶς, ἢ καὶ ἄλλον τινὰ τρόπον δουλωθεὶς, ἐπιχει-
ρῶν τις φαίνηται τοὺς δεσπότας ἀποστερεῖν ἑαυτοῦ, τοῦ-
τον σὺ, πρῶτος εἰπὲ, πότερον ὡς ἀγαθὸν ἄνδρα καὶ καλὰ
πράττοντα τιμᾷς, ἢ ὡς ἀδικοῦντα, ἢν λάβῃς, κολάζεις;
Κολάζω, ἔφη· οὐ γὰρ ἐᾷς σὺ ψεύδεσθαι. Λέγε δὴ 12
σαφῶς, ἔφη ὁ Κῦρος, ὧδε καθ᾽ ἓν ἕκαστον· Ἢν ἄρχων
τις τύχῃ σοι, καὶ ἁμάρτῃ, πότερον ἐᾷς ἄρχειν, ἢ ἄλλον
καθίστης ἀντ᾽ αὐτοῦ; Ἄλλον καθίστημι, ἔφη. Τί δὲ,
ἢν χρήματα πολλὰ ἔχῃ, ἐᾷς πλουτεῖν, ἢ πένητα ποιεῖς;
Ἀφαιροῦμαι, ἔφη, ἃ ἂν ἔχων τυγχάνῃ. Ἢν δὲ καὶ
πρὸς πολεμίους αὐτὸν γιγνώσκῃς ἀφιστάμενον, τί ποιεῖς;
Κατακαίνω, ἔφη· τί γὰρ δεῖ, ἐλεγχθέντα ὅτι ψεύδομαι,
ἀποθανεῖν μᾶλλον, ἢ τἀληθῆ λέγοντα; Ἐνταῦθα δὴ 13
ὁ μὲν παῖς αὐτοῦ, ὡς ἤκουσε ταῦτα, περιεσπάσατο

ἀπήγαγες] Guelf. ἀπῆγες, Altorf. οὐδὲ τὸν δασμόν.

τὸ στράτευμα] Ex Guelf. τὸ inserui; ex eodem et Altorf. vulgatum ἔπεμψας correxit Zeune.

Καὶ ὃς ἔφη] Hæc Altorf. omittit, et in Guelf. corrector in margine addidit.

ἐδόκει] Ita pro δοκεῖ ex Philelphi libro et Guelf. Zeune. Verba καὶ αὐτὸν ἐλ. εἶναι omittit Altorfinus Codex.

11. δουλωθεὶς] Ex libris Brodæi χειρωθεὶς retulit margo Steph. et Leoncl.

πρῶτος εἰπὲ] Margo Steph. πρῶτον. sequens εἰπὲ omisit Guelf. et Altorf. in Guelf. corrector addidit. deinde τιμήσαις—εἰ λάβῃς Guelf.

12. ὧδε] Altorf. et Guelf. cum Philelpho omittunt; in Guelf. corrector addidit.

τύχῃ σοι] Pronomen ex Philel. Brod. Altorf. et Guelf. cum Stephano Zeune addidit.

ἔφη] Philel. et Guelf. omittit. Sequens πολλὰ primus addidit Stephanus et habet Philel. cum Guelf.

ἃ ἂν] Edd. primæ cum Altorf. ἃ omittunt.

γιγνώσκῃς] Guelf. αὐτὸν post verbum ponit. ἔφη post κατακαίνω abest ab Edd. primis et Altorf.

13. Ἐνταῦθα] Guelf. Ἔνθα.

τὴν τιάραν, αἱ δὲ γυναῖκες ἀναβοήσασαι ἐδρύπτοντο,
καὶ τοὺς πέπλους κατερρήξαντο, ὡς οἰχομένου τοῦ πα-
τρὸς, καὶ ἀπολωλότων πάντων σφῶν ἤδη. Καὶ ὁ Κῦρος
σιωπῆσαι κελεύσας, πάλιν εἶπεν· Εἶεν· τὰ μὲν δὴ σὰ
δίκαια ταῦτα, ὦ Ἀρμένιε· ἡμῖν δὲ τί συμβουλεύεις ἐκ
τούτων ποιεῖν; Ὁ μὲν δὴ Ἀρμένιος ἐσιώπα, ἀπορῶν, πό-
τερα συμβουλεύοι τῷ Κύρῳ κατακαίνειν ἑαυτὸν, ἢ τἀναν-
14 τία διδάσκοι, ὧν αὐτὸς ἔφη ποιεῖν. Ὁ δὲ παῖς αὐτοῦ
Τιγράνης ἐπήρετο τὸν Κῦρον, Εἰπέ μοι, ὦ Κῦρε, ἔφη, ἐπεὶ
ὁ πατὴρ ἀποροῦντι ἔοικεν, ἦ συμβουλεύσω περὶ αὐτοῦ, ἃ
οἶμαί σοι βέλτιστα εἶναι; Καὶ ὁ Κῦρος, ᾐσθημένος, ὅτε
συνεθήρα αὐτῷ ὁ Τιγράνης, σοφιστήν τινα αὐτῷ συνόντα,
καὶ θαυμαζόμενον ὑπὸ τοῦ Τιγράνου, πάνυ ἐπεθύμει αὐ-

ἐδρύπτοντο] Margo Steph. κατεδρύπτοντο. Sequens πάλιν in Guelf. excidit. πάντων paulo antea in eodem Guelf. et Altorf. corrector demum addidit.

καὶ τοὺς πέπλους κατερρήξαντο] Hæc verba vulgo post τιάραν collocata leguntur et Tigrani tributa, cujus personam et ingenium dedecent, ut statim ex ejus oratione apparebit. Legit tamen jam olim eo ordine posita verba Pollux 7. sect. 50. qui virilem vestem πέπλον esse interdum ex hoc Xenophontis loco solo efficere conatus est. Ὁ δ' αὐτὸς Ξενοφῶν καὶ ἀνδρεῖον φόρημα εἶναι τὸν πέπλον· τὸν γὰρ Ἀρμένιον ἔφη κατασχίσασθαι τοὺς πέπλους. Addit rationem εἰ μὴ ἄρα ὅτι οἱ βάρβαροι καὶ ταῖς θηλυπρεπεστέραις τῶν ἐσθήτων ἔχαιρον. Quod si etiam barbaris Asiaticis mollem et fœmineam vestem concedere volueris cum Polluce, obstat tamen numerus pluralis πέπλους de una Tigranis veste positus ineptissime. Præterea in loco Pollucis animadvertenda est variatio personæ. Armenio enim ipsi, id est patri, tribuit factum, quod nunc filio adscriptum legitur, cum variatione etiam verbi, κατεσχίσατο, quod in tali re a Xenophonte quidem adhibitum nusquam legitur. Infra iii. 3, 67. est αἱ γυναῖκες ἀνέκραγον καὶ ἔθεον—αἱ δὲ καὶ νεώτεραι καταρρηγνύμεναι τοὺς πέπλους καὶ δρυπτόμεναι καὶ ἱκετεύουσαι. Et v. 1, 6. ἡ γυνὴ περικατερρήξατό τε τὸν ἄνωθεν πέπλον καὶ ἀνωδύρατο. ex quo loco apparet peplum muliebre caput simul faciemque totam cum pectore et manibus obvelasse. Superiore enim ejus parte discissa demum Panthea faciem, collum et manus nudas conspiciendas præbebat. Sed Zeune auctoritate Pollucis l. c. deceptus peplum isto in loco pro tunica seu interiore veste, χιτῶνι, dictum interpretatur. Male etiam Philelphus libri sui et Guelferb. lectionem τὸν πέπλον ἄνωθεν interpretatus est a summo usque peplum laceravit.

ταῦτα] Juntina cum Guelf. omisit. Philelphus vertit: *Hæc igitur jura tua sunt.* rectius Weiske: *hoc tu jure adversus alium uteris*, seu *ita de alio statuere, tu justum putas.*

ἐσιώπα] Guelf. ante ponit ἀπορῶν; et deinceps αὐτὸν habet pro ἑαυτόν. Sequens ποιεῖν Aldina omisit.

14. μοι, ὦ Κῦρε] Guelf. μοι, ἔφη, ὦ Κῦρε—οἴομαι.

Τιγράνου] Hoc ex Guelf. et Altorf.

τοῦ ἀκοῦσαι, ὅ τι ποτὲ ἐροῖ· καὶ προθύμως ἐκέλευε λέγειν ὅ τι γιγνώσκοι.

15 Ἐγὼ τοίνυν, ἔφη ὁ Τιγράνης, εἰ μὲν ἄγασαι τοῦ πατρὸς, ἢ ὅσα βεβούλευται, ἢ ὅσα πέπραχε, πάνυ σοι συμβουλεύω τοῦτον μιμεῖσθαι· εἰ μέν τοι σοὶ δοκεῖ πάντα ἡμαρτηκέναι, συμβουλεύω σοι αὐτὸν μὴ μιμεῖσθαι. Οὐκοῦν, ἔφη ὁ Κῦρος, τὰ δίκαια ποιῶν, ἥκιστ' ἂν τὸν ἁμαρτάνοντα μιμοίμην. Ἔστιν, ἔφη, ταῦτα. Κολαστέον ἄρ' ἂν εἴη, κατά γε τὸν σὸν λόγον, τὸν πατέρα· εἴπερ τὸν ἀδικοῦντα δίκαιον κολάζειν. Πότερα δ' ἡγῇ, ὦ Κῦρε, ἄμεινον εἶναι, σὺν τῷ σῷ ἀγαθῷ τὰς τιμωρίας ποιεῖσθαι, ἢ σὺν τῇ σῇ ζημίᾳ; Ἐμαυτὸν [ἄρα,] ἔφη, οὕτω γ' ἂν τιμωροίμην.

16 Ἀλλὰ σὺ μέντοι, ἔφη ὁ Τιγράνης, μεγάλα γ' ἂν ζημιοῖο, εἰ τοὺς σεαυτοῦ κατακαίνοις [τότε,] ὁπότε σοι πλείστου ἄξιοι εἶεν κεκτῆσθαι. Πῶς δ' ἂν, ἔφη ὁ Κῦρος, τότε πλείστου ἄξιοι γίγνοιντο ἄνθρωποι, ὁπότε ἀδικοῦντες ἁλίσκοιντο; Εἰ τότε, οἶμαι, σώφρονες γίγνοιντο. Δοκεῖ γάρ μοι, ὦ Κῦρε, οὕτως

pro Τιγράνους dedit Zeune. deinde ἐπεθύμη Altorf. ubi manus aliena ει supra poftremam fyllabam appofuit.

ἐροῖ] De meo correxi vulgatum ἐροίη, ad quod tamen Interpretum nullus adhæfit. deinde ἐκέλευσε Edd. primæ cum Guelf. quod recepit Zeune.

15. πάνυ σοι] Verbum μιμεῖσθαι, in quo definunt cola duo, turbavit olim librarios. Juntina enim πέπραχε τοῦ δοκεῖν πάντα ἡμαρτηκέναι. Brodæus ex libris fuis appofuit: πάνυ σοι συμβουλεύω τούτων μιμεῖσθαι· εἰ μέντοι σοὶ δοκεῖ πάντων ἡμαρτηκέναι, συμβουλεύω σοι αὐτοῦ μὴ μιμεῖσθαι. Aldina cum Leoncl. 1, 2. et Steph. 1, 2. πέπραχε τῶν πάνυ. ubi τῶν deleri juffit Muretus. συμβουλεύσω τοῦτο Juntina, συμβουλεύσω τοῦτον Guelf. ut Ifingr.

εἰ μέν τοι] Aldina cum Steph εἰ δέ τοι. Guelf. et Altorf. εἰ μέν τι. Equidem Zeunium fequor, qui fimilem Memorab. ii. 3, 5. locum ponit, ubi μὲν præcedens fequitur μέν τοι in vicem τοῦ δέ. Sic iterum infra fect. 26.

συμβουλεύω] Guelf. συμβουλεύσω τοῦτον μὴ μιμεῖσθαι. Budenfis συμβουλεύω τοῦτον μ. μ. ut Altorfinus liber. Cum Aldina Stephanus συμβ. σοι αὐτὸν μ. μ. quam fcripturam veluti numerofiorem cum Weifkio revocavi, σοι omifit Zeune.

Ἐμαυτὸν [ἄρα]] Seclufi, quod Guelf. omifit vocabulum; mihi in eodem loco cum γε coire poffe non videbatur.

16. Ἀλλὰ σὺ] Altorf. σὺ omifit, ut ἂν poft πῶς δὲ pofitum.

τότε] Seclufit Zeune omiffum a Guelf. adverbium.

Εἰ τότε] Aldina ἢ ὅτε. Juntina ἢ τότε. Brodæus conjiciebat ἢν τότε. Philelphus εἴ ποτε expreffit.

ἔχειν, ἄνευ μὲν σωφροσύνης οὐδ' ἄλλης ἀρετῆς οὐδὲν ὄφε-
λος εἶναι· (τί γὰρ ἄν, ἔφη, χρήσαιτ' ἄν τις ἰσχυρῷ ἢ
ἀνδρείῳ, μὴ σώφρονι, [ἢ ἱππικῷ;] τί δὲ πλουσίῳ; τί δὲ
δυνάστῃ ἐν πόλει;) σὺν δὲ σωφροσύνῃ καὶ φίλος πᾶς
17 χρήσιμος, καὶ θεράπων πᾶς ἀγαθός. Τοῦτο οὖν, ἔφη,
λέγεις, ὡς καὶ ὁ σὸς πατὴρ ἐν τῇδε τῇ μιᾷ ἡμέρᾳ ἐξ
ἄφρονος σώφρων γεγένηται; Πάνυ μὲν οὖν, ἔφη. Πά-
θημα ἄρα τῆς ψυχῆς σὺ λέγεις εἶναι τὴν σωφροσύνην,
ὥσπερ λύπην, οὐ μάθημα· οὐ γὰρ ἂν δήπου, εἴγε φρό-
νιμον δεῖ γενέσθαι τὸν μέλλοντα σώφρονα ἔσεσθαι, πα-
18 ραχρῆμα ἐξ ἄφρονος σώφρων ἄν τις γένοιτο. Τί δαί,
ἔφη, ὦ Κῦρε, οὔπω ᾔσθου καὶ ἕνα ἄνδρα δι' ἀφροσύνης
μὲν ἐπιχειροῦντα κρείττονι ἑαυτοῦ μάχεσθαι, ἐπειδὰν δὲ
ἡττηθῇ, εὐθὺς πεπαυμένον τῆς πρὸς τοῦτον ἀφροσύνης;
Πάλιν δαί, ἔφη, οὔπω ἑώρακας πόλιν ἀντιταττομένην
πρὸς πόλιν ἑτέραν, ἥτις, ἐπειδὰν ἡττηθῇ, παραχρῆμα
19 ταύτῃ, ἀντὶ τοῦ μάχεσθαι, πείθεσθαι θέλει; Ποίαν δ',
ἔφη ὁ Κῦρος, καὶ σὺ τοῦ πατρὸς ἧτταν λέγων, οὕτως
ἰσχυρίζῃ σεσωφρονίσθαι αὐτόν; Ἣν, νὴ Δία, ἔφη, σύν-
οιδεν ἑαυτῷ ἐλευθερίας μὲν ἐπιθυμήσας, δοῦλος δ' ὡς

ἰσχυρῷ ἢ] Altorf. ἰσχυρῷ ἀνδρείῳ, μὴ σώφρονι μηδ' ἰσχυρῷ ἢ ἱππικῷ.

ἢ ἱππικῷ] Post σώφρονι sejunctum a reliquis ἰσχυρῷ ἢ ἀνδρείῳ ineptum mihi videtur: aliquanto melius τί ἱππικῷ vertit Philelphus et cum sequentibus copulavit. Mihi vero totum colon spurium videtur. Xenophon enim de facultatibus homini a natura aut fortuna, non ab arte concessis loquitur. Quare seclusi. Iterum sequens ἐν πόλει mihi languere videtur.

πᾶς ἀγαθὸς] In Editione Castal. et Bryl. πᾶς excidit.

17. τῆς ψυχῆς σὺ λέγεις] Hoc ordine Guelf. σὺ λ. τ. ψ. vulgo. deinde σώφρων τις ἂν Altorf. et paulo antea σοι λέγεις dat.

18. δι' ἀφροσύνης] Margo Steph. cum Guelf. δι' ἀφροσύνην. deinde τῆς πρὸ τούτου ἀφ. libri Brodæi. πρὸς τούτου est in Aldina. Saltem esset πρὸ τοῦ.

Πάλιν δ' ἔφη] Guelf. Πόλιν δ' ἔφη, οὔπω ἑώρ. ἀντιτ. sed corrector vulgatam lectionem dedit. deinde ἐθέλει Guelf.

19. ἰσχυρίζῃ] Guelf. ἰσχυρίζεις, sed correctum. Forte ἰσχυρίζει voluit dare: idem deinceps cum Edd. primis σεσωφρονῆσθαι.

ἦν, νὴ Δία, ἔφη] Ita Guelf. Vulgo ἐν ᾗ, νὴ Δία, ἑαυτὸν σύν. ubi Steph. ἑαυτῷ correxit. ἔφη Brodæus ex libris suis addidit. νὴ Δί', ἔφη, αὐτῷ Altorf. sed Δί' est in margine. deinde οὐδέποτε ex Guelf. annotavit Zeune.

οὐδεπώποτε γενόμενος· ἃ δὲ ᾠήθη χρῆναι λαθεῖν, ἢ
φθάσαι ἢ ἀποβιάσασθαι, οὐδὲν τούτων ἱκανὸς γενόμε-
νος διαπράξασθαι. Σὲ δὲ οἶδεν, ἃ μὲν ἐβουλήθης
ἐξαπατῆσαι αὐτὸν, οὕτως ἐξαπατήσαντα, ὥσπερ ἄν τις
τυφλοὺς ἢ κωφοὺς καὶ μηδ' ὁτιοῦν φρονοῦντας ἐξαπατή-
σειεν· ἃ δὲ ᾠήθης λαθεῖν χρῆναι, οὕτω σε οἶδε λαθόντα,
ὥστε, ἃ ἐνόμιζεν ἑαυτῷ ἐχυρὰ χωρία ἀποκεῖσθαι, ταῦτα
εἱρκτὰς αὐτῷ ἔλαθες προκατασκευάσας· τάχει δὲ τοσ-
οῦτον περιεγένου αὐτοῦ, ὥστε πρόσωθεν ἔφθασας ἐλ-
θὼν σὺν πολλῷ στόλῳ, πρὶν τοῦτον τὴν παρ' ἑαυτῷ δύνα-
μιν ἀθροίσασθαι. Ἔπειτα δοκεῖ σοι, ἔφη ὁ Κῦρος, καὶ 20
ἡ τοιαύτη ἧττα σωφρονίζειν ἱκανὴ εἶναι ἀνθρώπους, τὸ
γνῶναι ἄλλους ἑαυτῶν βελτίονας ὄντας; Πολύ γε μᾶλ-
λον, ἔφη ὁ Τιγράνης, ἢ ὅταν μάχῃ τις ἡττηθῇ. Ὁ μὲν
γὰρ ἰσχύϊ κρατηθεὶς ἔστιν ὅτε ᾠήθη τὸ σῶμα ἀσκήσας
ἀναμαχεῖσθαι· καὶ πόλεις γε ἁλοῦσαι, συμμάχους
προσλαβοῦσαι, οἴονται ἀναμαχέσασθαι ἄν· οὓς δ' ἂν
βελτίους τινὲς ἑαυτῶν ἡγήσωνται, τούτοις πολλάκις καὶ

φθάσαι ἢ] Aldinæ φωράσαι retinuit Stephanus. Noſtrum φθάσαι ἢ ἀποβ. cum Juntina Bodl. Philel. et Gabr. libris dedit Hutchinſon; ἐπιβιάσασθαι cum Aldina Stephanus dedit. φθάσαι omiſſo ſequente ἢ cum Guelf. Zeune et Weiſke. Recte Gallus *Bejot* comparavit locum Hellenicorum vi. 1. p. 339. ὃς φρόνιμος μὲν οὕτω στρατηγός ἐστιν, ὡς ὅσα τε λανθάνειν καὶ ὅσα φθάνειν καὶ ὅσα βιάζεσθαι ἐπιχειρεῖ, οὐ μάλα ἀφαμαρτάνειν.

διαπράξασθαι] Hoc corrector Guelf. pro διατάξασθαι dedit.

ἃ μὲν] Guelf. cum Philelpho ἐπεί. ſed vulgata in Guelf. ſupra ſcripta eſt.

ἢ κωφοὺς] Philelphus cum Guelf. καὶ κωφούς.

ἐχυρὰ] Juntina et Guelf. ἰσχυρά. Altorf. αὐτῷ.

ταῦτα εἱρκτὰς] Guelf. σοι εἱρκτὰς ταῦτα ἔλαθε, ſed σοι punctis notatum eſt. ταῦτά σὺ εἱρκτὰς corrigi voluit Brodæus: quem equidem ſequendum puto.

πρόσωθεν] Ita cum Bodl. Hutchinſon. Vulgo πρόσθεν Altorf. πρόσωπον. Noſtrum expreſſit Philelphus.

20. τὸ γνῶναι] Edd. primæ et Altorf. τοῦ γν. quod in Guelf. ſupra ſcriptum: deinde ἑαυτοῦ cum Aldina Guelf. Altorf.

τὸ σῶμα ἀσκήσας] Guelf. σωμασκήσας, vulgata ſupra ſcripta. Supra i. 6, 17. σωμασκεῖν dicitur ut Memorab. iii. 5, 15. hinc σωμασκία Memorab. iii. 9, 11. Vide ſupra ad ii. 3, 8.

πόλεις γε] Mihi πόλεις δὲ ſcribendum ex ſententia videtur.

τινὲς ἑαυτῶν] Altorf. τινὲς αὐτῶν. Edd. primæ τινὰς, quod corrector in Guelf. ſupra ſcripſit. Recte cum Philelpho Stephanus.

21 ἄνευ ἀνάγκης ἐθέλουσι πείθεσθαι. Σὺ, ἔφη, ἔοικας
οὐκ οἴεσθαι τοὺς ὑβριστὰς γιγνώσκειν τοὺς ἑαυτῶν σω-
φρονεστέρους· οὐδὲ τοὺς κλέπτας, τοὺς μὴ κλέπτοντας·
οὐδὲ τοὺς ψευδομένους, τοὺς ἀληθῆ λέγοντας· οὐδὲ τοὺς
ἀδικοῦντας, τοὺς τὰ δίκαια ποιοῦντας· οὐκ οἶσθα, ἔφη,
ὅτι καὶ νῦν ὁ σὸς πατὴρ ἐψεύσατο, καὶ οὐκ ἐξημπέδου
τὰς πρὸς ἡμᾶς συνθήκας, εἰδὼς, ὅτι ἡμεῖς οὐδ᾽ ὁτιοῦν,
22 ὧν Ἀστυάγης συνέθετο, παραβαίνομεν; Ἀλλ᾽ οὐδ᾽ ἐγὼ
τοῦτο λέγω, ὡς τὸ γνῶναι μόνον τοὺς βελτίονας, σωφρο-
νίζει, ἄνευ τοῦ δίκην διδόναι ὑπὸ τῶν βελτιόνων, ὥσπερ ὁ
ἐμὸς νῦν πατὴρ δίδωσιν. Ἀλλ᾽, ἔφη ὁ Κῦρος, ὅ γε σὸς
πατὴρ πέπονθε μὲν οὐδ᾽ ὁτιοῦν οὔπω κακόν· φοβεῖταί
γε μέντοι, εὖ οἶδ᾽, ὅτι, μὴ πάντα τὰ ἔσχατα πάθῃ.
23 Οἴει οὖν τι, ἔφη ὁ Τιγράνης, μᾶλλον καταδουλοῦσθαι
ἀνθρώπους τοῦ ἰσχυροῦ φόβου; Οὐκ οἶσθ᾽, ὅτι οἱ μὲν,
τῷ ἰσχυροτάτῳ κολάσματι νομιζομένῳ, σιδήρῳ παιόμε-
νοι, ὅμως ἐθέλουσι, καὶ πάλιν μάχεσθαι τοῖς αὐτοῖς;
οὓς δ᾽ ἂν σφόδρα φοβηθῶσιν ἄνθρωποι, τούτοις οὐδὲ
παραμυθουμένοις ἔτι ἀντιβλέπειν δύνανται; Λέγεις σὺ,
ἔφη, ὡς ὁ φόβος τοῦ ἔργῳ κακοῦσθαι μᾶλλον κολάζει
24 τοὺς ἀνθρώπους; Καὶ σύ γε, ἔφη, οἶσθα, ὅτι ἀληθῆ
λέγω· ἐπίστασαι γὰρ, ὅτι οἱ μὲν φοβούμενοι, μὴ φύ-
γωσι πατρίδα, καὶ οἱ μέλλοντες μάχεσθαι, δεδιότες μὴ

21. Σὺ, ἔφη] Philelphus rectius, Σὺ μὲν, ἔφη, scriptum vertit.

ἐψεύσατο] In Altorf. verba ἐψεύσατο καὶ οὐκ ab aliena sunt manu adscripta.

22. τοῦτο λέγω] Philel. et Guelf. ταῦτα λ. deinde σωφρονίζειν—πατὴρ νῦν Guelf. etiam Altorf. πατὴρ νῦν.

ὁτιοῦν οὔπω] Guelf. ὁτιοῦν πω. deinde φοβεῖτα γε μὲν Guelf. φοβεῖταί γε μέν τοι Altorf. unde γε addidi cum Zeunio.

23. οὖν τι] Altorf. τι οὖν. Leonclavii conjectura οὖν τινι non necessaria est.

ἔτι ἀντιβλέπειν] Ex Brodæi, Philelphi et Guelf. libris ἔτι restituit Zeune. In Guelf. παραμυθούμενοι est, sed correctum; παραμυθουμένων ἔτι Altorfinus liber.

24. οἱ μέλλοντες] Altorf. οἱ μὲν μέλλοντες—ῥᾳθύμως. Etiam margo Steph. ῥᾳθύμως annotavit.

ἡττηθῶσιν, ἀθύμως διάγουσι· καὶ οἱ πλέοντες, μὴ ναυ-
αγήσωσι, καὶ οἱ δουλείαν καὶ δεσμὸν φοβούμενοι, οὗτοι
μὲν οὔτε σίτου, οὔθ' ὕπνου δύνανται τυγχάνειν διὰ τὸν
φόβον· οἱ δὲ ἤδη μὲν φυγάδες, ἤδη δ' ἡττημένοι, ἤδη δὲ
δουλεύοντες, ἔστιν ὅτε δύνανται καὶ μᾶλλον τῶν εὐδαιμό-
νων ἐσθίειν τε καὶ καθεύδειν. Ἔτι δὲ φανερώτερον καὶ 25
ἐν τοῖσδε, οἷον φόρημα ὁ φόβος· ἔνιοι γὰρ φοβούμενοι,
μὴ ληφθέντες ἀποθάνωσι, ὑπὸ τοῦ φόβου προαποθνή-
σκουσιν, οἱ μὲν ῥιπτοῦντες ἑαυτοὺς, οἱ δὲ ἀπαγχόμενοι,
οἱ δὲ ἀποσφαττόμενοι· οὕτω πάντων τῶν δεινῶν ὁ φόβος
μάλιστα καταπλήττει τὰς ψυχάς. Τὸν δ' ἐμὸν πατέ-
ρα, ἔφη, νῦν πῶς δοκεῖς διακεῖσθαι τὴν ψυχὴν, ὃς οὐ
μόνον περὶ ἑαυτοῦ, ἀλλὰ καὶ περὶ ἐμοῦ, καὶ περὶ γυναι-
κὸς, καὶ περὶ πάντων τῶν τέκνων δουλείας φοβεῖται;
Καὶ ὁ Κῦρος εἶπεν· Ἀλλὰ νῦν μὲν ἔμοιγε οὐδὲν ἄπιστον, 26
τοῦτον οὕτω διακεῖσθαι· δοκεῖ μέντοι μοι τοῦ αὐτοῦ ἀν-
δρὸς εἶναι, καὶ εὐτυχοῦντα ἐξυβρίσαι, καὶ πταίσαντα
ταχὺ πτῆξαι· καὶ ἀνεθέντα πάλιν αὖ μέγα φρονῆσαι,
καὶ πάλιν αὖ πράγματα παρασχεῖν. Ἀλλὰ, ναὶ μὰ 27
Δί', ἔφη, ὦ Κῦρε, ἔχει μὲν προφάσεις τὰ ἡμέτερα
ἁμαρτήματα, ὥστε ἀπιστεῖν ἡμῖν· ἔξεστι δέ σοι καὶ
φρούρια ἐντειχίζειν, καὶ τὰ ἐχυρὰ κατέχειν, καὶ ἄλλο,

δεσμὸν] Philel. Bodl. Altorf. δασμόν.

τυγχάνειν] Hoc in Guelf. adscriptum legitur lectioni λαγχάνειν. Pro ὕπνου Philelphus ποτοῦ vertit.

καὶ μᾶλλον] Ex Altorf. καὶ accessit. deinde καὶ πίνειν post ἐσθίειν τε in libris suis additum annotavit Brodæus et margo Steph. Leoncl.

25. Ἔτι δὲ] Altorf. δὲ omittit.

ὑπὸ τοῦ φόβου προαπ.] Hic ordo in Guelf. numerosior mihi visus est, quam vulgaris ubi verbum προαπ. præcedit.

τῶν δεινῶν ὁ φόβος] Guelf. δεινῶν φόβος.

διακεῖσθαι] Altorf. αἰκίζεσθαι, sed διακεῖσθαι est ab alio in margine adjectum.

26. τοῦτον οὕτω] Ita Guelf. οὕτω τοῦτον vulgo. In Guelf. tamen τούτων fuit antea.

καὶ εὐτυχοῦντα] Copulam omittit Guelf. idem deinde ἀνεθέντα γε, quod recepit Zeune; postea παρέχειν.

27. ὥστε ἀπιστεῖν] Ex Guelf. ὥστ' ἂν dedit Zeune; non raro enim ἂν jungi infinitivo, idque exquisite. Quæ ratio ineptissima est omnium. deinceps Edd. veteres ἐνεκτειχίζειν habent.

ὅ τι ἂν βούλῃ, πιστὸν λαμβάνειν. Καὶ μέντοι, ἔφη, ἡμᾶς μὲν ἕξεις οὐδέν τι τούτοις μέγα λυπουμένους· μεμνησόμεθα γὰρ, ὅτι ἡμεῖς αὐτῶν αἴτιοί ἐσμεν· εἰ δέ τινι τῶν ἀναμαρτήτων παραδιδοὺς τὴν ἀρχὴν, ἀπιστῶν αὐτοῖς φανείης, ὅρα, μὴ ἅμα τε εὖ ποιήσῃς, καὶ ἅμα οὐ φίλον νομίσωσί σε· εἰ δ' αὖ, φυλαττόμενος τὸ ἀπεχθάνεσθαι, μὴ ἐπιθήσεις αὐτοῖς ζυγὰ, τοῦ μὴ ὑβρίσαι, ὅρα, μὴ ἐκείνους αὖ δεήσει σε σωφρονίζειν ἔτι μᾶλλον, ἢ ἡμᾶς νῦν
28 ἐδέησεν. Ἀλλὰ ναὶ μὰ τοὺς θεοὺς, ἔφη, τοιούτοις μὲν ἔγωγε ὑπηρέταις, οὓς εἰδείην ἀνάγκῃ ὑπηρετοῦντας, ἀηδῶς ἄν μοι δοκῶ χρῆσθαι· οὓς δὲ γιγνώσκειν δοκοίην, ὅτι εὐνοίᾳ καὶ φιλίᾳ τῇ ἐμῇ τὸ δέον συλλαμβάνοιεν, τούτους ἄν μοι δοκῶ καὶ ἁμαρτάνοντας ῥᾷον φέρειν, ἢ τοὺς μισοῦντας μὲν, ἔκπλεω δὲ πάντα ἀνάγκῃ διαπονουμένους. Καὶ ὁ Τιγράνης εἶπε πρὸς ταῦτα, Φιλίαν δ', ἔφη, παρὰ τίνων ἄν ποτε λάβοις τοσαύτην, ὅσην σοι παρ' ἡμῶν ἔξεστι κτήσασθαι νῦν; Παρ' ἐκείνων οἶμαι, ἔφη, παρὰ τῶν μηδεπώποτε πολεμίων γεγενημένων· εἰ ἐθέλοιμι εὐεργετεῖν αὐτοὺς, ὥσπερ σὺ νῦν με κελεύεις εὐεργετεῖν

βούλῃ] Guelf. βούλει. Junt. plane omisit.

καὶ μέντοι] Cum sequatur statim ἡμᾶς μὲν, malim h. l. καὶ τοίνυν scribi, nec ipsum μέντοι huic loco aptum videtur.

εἰ δέ τινι] Hoc durum Weiskio videbatur, qui τισὶ malebat.

αὐτοῖς φανείης] Vulgatum αὐτὸς ex libris Philelphi, Gabr. Bodl. Guelf. correxit Zeune; αὐτῷ malebat Muretus. φανῇ Junt. Guelf. φανεῖ Altorfini præfert Fischer ad Weller. 2. p. 399. et jam antea ad Platonis Critonem p. 207. cujus in sententiam facile transeo.

νομίσωσι] Junt. Ald. Altorf. νομιοῦσι, Guelf. νομίσουσι. Fischer ad Platonis Apolog. Socrat. p. 123. ποιήσεις—νομιοῦσι corrigendum putabat. deinde οὐ δ' αὖ φυλαττόμενος Altorf.

ἐπιθήσεις] Ita cum Junt. Guelf. ἐπιθῇς Ald. et Steph. ἐπιθήσει Altorf.

δεήσει] Hoc ex libro Altorf. pro δεήσῃ recepi.

28. οὓς εἰδείην] Junt. ὑπηρέταις οὖσιν, εἰ εἰδείην. Ald. ὑπηρέταις, οὓς εἰ εἰδείην. In libro Guelf. corrector οὖ σε inseruit. Mihi οὓς ἂν εἰδείην placet.

συλλαμβάνοιεν] adminiculentur, adjuvent.

εἶπε πρὸς ταῦτα] Ex Philel. Guelf εἶπε addidit Zeune; sequens tamen ἔφη Guelf. omisit: idem λάβοις ἂν ποτε præbet.

οἶμαι] Ita Guelf. pro οἴομαι; idem deinceps μηδέ ποτε.

πολεμίων] Anteposuit οὕτω Steph. seclusum, sed nescio unde arreptum.

νῦν με κελεύεις] Ita cum Guelf. Zeune. σὺ νῦν κελεύεις μὲ Altorf. σὺ κελεύεις με νῦν vulgo erat.

ὑμᾶς. Ἦ καὶ δύναιο ἄν, ἔφη, ὦ Κῦρε, ἐν τῷ παρόντι 29
εὑρεῖν νῦν, ὅτῳ ἂν χαρίσαιο, ὅσαπερ τῷ ἐμῷ πατρί; Αὐ-
τίκα, ἔφη, ἥν τινα ἐᾷς ζῆν τῶν σε μηδὲν ἠδικηκότων, τίνα
σοι τούτου χάριν οἴει αὐτὸν εἴσεσθαι; τί δέ; ἂν αὐτοῦ
τέκνα καὶ γυναῖκα μὴ ἀφαιρῇ, τίς σε τούτου ἕνεκα φι-
λήσει μᾶλλον, ἢ ὁ νομίζων προσήκειν αὐτῷ ἀφαιρεθῆναι;
τὴν δ᾽ Ἀρμενίων βασιλείαν εἰ μὴ ἕξει, οἶσθά τινα, ἔφη,
νῦν λυπούμενον μᾶλλον, ἢ ἡμᾶς; οὐκοῦν καὶ τοῦτο, ἔφη,
δῆλον, ὅτι ὁ μάλιστα λυπούμενος, εἰ μὴ βασιλεὺς εἴη,
οὗτος καὶ λαβὼν τὴν ἀρχήν, μεγίστην ἄν σοι χάριν εἰδείη.
Εἰ δέ τί σοι, ἔφη, μέλει καὶ τοῦ ὡς ἥκιστα τεταραγμένα 30
τάδε καταλιπεῖν, ὅταν ἀπίῃς, σκόπει, ἔφη, πότερον ἂν
οἴει ἠρεμεστέρως ἔχειν τὰ ἐνθάδε, καινῆς γενομένης ἀρ-
χῆς, ἢ τῆς εἰωθυίας καταμενούσης· εἰ δέ τί σοι μέλει
καὶ τοῦ ὡς πλείστην στρατιὰν ἐξάγειν, τίνα ἂν οἴει μᾶλ-
λον ἐξετάσαι ταύτην ὀρθῶς τοῦ πολλάκις αὐτῇ κεχρημέ-
νου; εἰ δὲ καὶ χρημάτων δεήσει, τίνα ἂν ταῦτα νομίζεις
ἐκπορίσαι κρεῖττον τοῦ καὶ εἰδότος καὶ ἔχοντος πάντα τὰ
ὄντα; Ὦ ᾽γαθέ, ἔφη, Κῦρε, φύλαξαι, μὴ ἡμᾶς ἀπο-
βαλών, σαυτὸν ζημιώσῃς πλείω, ἢ ὁ πατὴρ ἠδυνήθη σε
βλάψαι. Ὁ μὲν τοιαῦτα ἔλεγεν.
Ὁ δὲ Κῦρος ἀκούων ὑπερήδετο, ὅτι ἐνόμιζε περαίνε- 31

29. εὑρεῖν νῦν] Guelf. Altorf. νῦν εὑρεῖν. sequens ἂν Edd. primæ omittunt.

εἴσεσθαι] Guelf. Altorf. οἴσεσθαι. idem Altorf. χάριν τούτου. deinde τί δ᾽ ἢν Guelf.

ἀφαιρῇ] Altorf. ἀφέρῃς (supra ε scripto η)—ἢ νομίζων. super contextu tamen ὁ adscriptum legitur.

αὐτῷ] Stephanus ἑαυτῷ dedit.

ἔφη νῦν] Ex Guelf. addidit Zeune: ἔφη solum habet Altorf.

οὐκοῦν καὶ τοῦτο] Ita cum libro Gabr. et Guelf. Stephaniana posterior: Antea τούτου erat: Philelphus οὐκοῦν ἐκ τούτου vertit.

βασιλεὺς εἴη] Ita Ald. Philel. Steph. et Guelf. βασιλεύσει Juntina, βασιλεὺς εἰ Altorf.

30. γενομένης] Guelf. cum Philelpho ἀρχομένης, quod mihi præplacet.

τίνα ἂν] Guelf. τίν᾽ ἄν. Juntina τίνι ἄν. Altorf. στρατειάν.

δεήσει] Ita ex Guelf. et Altorf. Zeune vulgatum δεήσῃ correxit; sequens τίνα ἂν est ex eodem Guelf. Altorf. et Philelphi libro pro τίνας ἄν. postea κρεῖττον ἐκπορίσαι Altorf,

σθαι πάντα αὐτῷ, ὅσαπερ ὑπέσχετο τῷ Κυαξάρει πρά-
ξειν· ἐμέμνητο γὰρ εἰπὼν, ὅτι καὶ φίλον οἴοιτο μᾶλλον
αὐτὸν ἢ πρόσθεν ποιήσειν. Ἐκ τούτου δὴ τὸν Ἀρμένιον
ἐρωτᾷ, Ἢν δὲ δὴ ταῦτα πείθωμαι ὑμῖν, λέγε μοι σὺ,
ἔφη, ὦ Ἀρμένιε, πόσην μὲν στρατιάν μοι συμπέμψεις,
32 πόσα δὲ χρήματα συμβαλῇ εἰς τὸν πόλεμον; Πρὸς
ταῦτα δὴ λέγει ὁ Ἀρμένιος, Οὐδὲν, ἔφη, ὦ Κῦρε, ἔχω
ἁπλούστερον εἰπεῖν, οὐδὲ δικαιότερον, ἢ δεῖξαι μὲν ἐμὲ
πᾶσαν τὴν δύναμιν τὴν οὖσαν, σὲ δὲ ἰδόντα, ὅσην μὲν ἂν
σοι δοκῇ, στρατιὰν ἄγειν, τὴν δὲ καταλιπεῖν τῆς χώρας
φυλακήν. Ὡσαύτως δὲ περὶ χρημάτων, δηλῶσαι μὲν
ἐμὲ δίκαιόν σοι πάντα τὰ ὄντα· σὲ δὲ τούτων αὐτῶν,
γνόντα, ὁπόσα ἂν βούλῃ, φέρεσθαι, καὶ ὁπόσα ἂν
33 βούλῃ, καταλιπεῖν. Καὶ ὁ Κῦρος εἶπεν· Ἴθι δὴ, δεῖ-
ξόν μοι, πόση σοι δύναμίς ἐστι, λέξον δὲ καὶ πόσα χρή-
ματα. Ἐνταῦθα δὴ λέγει ὁ Ἀρμένιος. Ἱππεῖς μὲν
τοίνυν τῶν Ἀρμενίων εἰσὶν εἰς ὀκτακισχιλίους, πεζοὶ δὲ
εἰς τέτταρας μυριάδας· χρήματα δ', ἔφη, σὺν τοῖς θη-

31. τῷ Κυαξάρει] Articulum ex Guelf. addidit Zeune, ubi πάντα τῷ Κ. ſcriptum eſt. Sequens αὐτὸν idem liber omiſit; Brodæus malebat αὐτοῦ legi, quod eſt in Altorfino, ſed punctis ſuppoſitis damnatum.

Ἐκ τούτου] Ex Guelf. Καὶ ἐκ τούτου dedit Zeune. deinde πείθομαι Guelf. πύθωμαι Edd primæ.

πόσην μὲν—μοι] Ita cum Guelf. Zeune: antea erat πόσην μοι στρατιάν.

32. οὐδὲν, ἔφη] Guelf. et Philel. οὐδὲν ἔχω, ὦ Κ., ἔφη. deinde τὴν οὖσαν δύναμιν Guelf.

τὴν δὲ] ἄλλην additum malebat Weiſke; ſaltem intelligendum eſſe puto.

ὡσαύτως δὲ] Guelf. omittit δέ. Margo Steph. cum Altorf. ὡς δ' αὔτως, quod probo.

τούτων αὐτῶν] Guelf. τοῦτον αὐτόν. Poſt ὁπόσα prius τε auctoritate Guelf. delevi: deinde βούλῃ bis ſcripſi cum Stephano et Weiſkio, βούλει ex Guelf. et Altorf. recepit Zeune. Et priore quidem loco eſt βούλει etiam in Aldina, Junt. ſed alterum tantum in Iſingr. Quod ait Zeunius ἂν cum alias tum ſectione 30 cum indicativo modo jungi, primum in eo loco exemplum non reperio, deinde in ea ratione nihil ineſt, quod ad hunc locum pertineat.

33. πόση] Ita ex Guelf. Zeune pro ὁπόση. Paulo antea Philel. margo Steph. et Guelf. correctio λέξον præbent pro δεῖξον. Ex Guelf. δὴ acceſſit; qui liber idem poſt λέξον repetit.

τῶν Ἀρμενίων] Articulum omittunt Edd. primæ. εἰσὶν Ἀρμενίων Guelf.

σὺν τοῖς] Guelf. a prima manu ἐν τοῖς habet, quam ſcripturam annotavit etiam Brodæus. ſequens εἰς omittit Guelf.

σαυροῖς, οἷς ὁ πατὴρ κατέλιπεν, ἔστιν, εἰς ἀργύριον λο-
γισθέντα, τάλαντα πλείω τῶν τρισχιλίων. Καὶ ὁ Κῦ- 34
ρος οὐκ ἐμέλλησεν, ἀλλ' εἶπε· τῆς μὲν τοίνυν στρατιᾶς,
ἐπεί σοι, ἔφη, οἱ ὅμοροι Χαλδαῖοι πολεμοῦσι, τοὺς ἡμί-
σεις μοι σύμπεμπε· τῶν δὲ χρημάτων, ἀντὶ μὲν τῶν
πεντήκοντα ταλάντων, ὧν ἔφερες δασμὸν, διπλάσια Κυα-
ξάρει ἀπόδος, ὅτι ἔλιπες τὴν φοράν· ἐμοὶ δ', ἔφη, ἄλλα
ἑκατὸν δάνεισον· ἐγὼ δέ σοι ὑπισχνοῦμαι, ἢν ὁ Θεὸς εὖ
διδῷ, ἀνθ' ὧν ἂν ἐμοὶ δανείσῃς, ἢ ἄλλα πλείονος ἄξια
εὐεργετήσειν, ἢ τὰ χρήματα ἀπαριθμήσειν, ἢν δύνωμαι·
ἢν δὲ μὴ δύνωμαι, ἀδύνατος ἂν φανοίμην, οἶμαι, ἄδικος
δ' οὐκ ἂν δικαίως κρινοίμην. Καὶ ὁ Ἀρμένιος, Πρὸς 35
τῶν θεῶν, ἔφη, ὦ Κῦρε, μὴ οὕτω λέγε· εἰ δὲ μὴ, οὐ
θαῤῥοῦντά με ἕξεις· ἀλλὰ νόμιζε, ἔφη, ἃ ἂν καταλί-
πῃς, μηδὲν ἧττον σὰ εἶναι, ὧν ἂν ἔχων ἀπίῃς. Εἶεν,
ἔφη ὁ Κῦρος· ὥστε δὲ τὴν γυναῖκα ἀπολαβεῖν, πόσα ἄν
μοι χρήματα δῴης; Ὁπόσα ἂν δυναίμην, ἔφη. Τί δαὶ,
ὥστε τοὺς παῖδας; Καὶ [ἀντὶ] τούτων, ἔφη, ὁπόσα ἂν δυ-
ναίμην. Οὐκοῦν, ἔφη ὁ Κῦρος, ταῦτα μὲν ἤδη διπλάσια
τῶν ὄντων. Σὺ δὲ, ἔφη, ὦ Τιγράνη, λέξον μοι, πόσου 36
ἂν πρίαιο, ὥστε τὴν γυναῖκα ἀπολαβεῖν. (Ὁ δὲ ἐτύγ-
χανε νεόγαμός τε ὢν, καὶ ὑπερφιλῶν τὴν γυναῖκα.)

34. ἐμέλλησεν] Ita cum libris Gabr. Philel. Bodl. Stephanus et Leoncl. ſcripſerunt in loco vitioſi ἠμέλησεν. Guelf. ἐμέλησεν habet.

σύμπεμπε] Juntina, Iſingr. συμπέμπετε. Zonaras σύμπεμψον.

διπλάσια] Ex Guelf. formam hanc vulgari διπλασίονα prætulit Zeune. Κυαξάρῃ idem liber.

ἢν ὁ θεὸς] Vulgo erat ἂν θεὸς, quod ex Guelf. correxit Zeune. At infra cap. 2. ſect. 29. ἢν θεὸς ἀγαθὸν τέλος διδῷ: v, 4, 21. ἢν θεὸς θέλῃ.

ἢ ἄλλα] Juntina cum Guelf. ἢ omittit. deinde φαινοίμην corrector libri Guelf. ſcripſit.

35. οὐ θαῤῥοῦντα] in Guelf. a prima manu ὡς θ. ſcriptum eſt.

πόσα] Guelf. ἔφη, πόσα—δοίης. Poſterius eſt etiam in Altorf. quod malebat Portus, et præfert hanc formam Mœris. Deinde τί δαὶ ex Guelf. dedit Zeune pro τί δέ.

[ἀντὶ] τούτων, ὁπόσα] Stephanus cum Leoncl. ἀντὶ inſeruit in libris omnibus omiſſum. Similiter tamen eſt ſect. 37. μηδὲν αὐτῶν καταθείς. In Guelf. ὅσα eſt.

36. πόσου] Ita ex Guelf. pro ὁπόσου dedit Zeune, lectore tamen non admonito; ſequens τε ante ὢν idem liber cum Edd. primis omittit.

Ἐγὼ μὲν, ἔφη, ὦ Κῦρε, κἂν τῆς ψυχῆς πριαίμην, ὥστε
37 μήποτε λατρεῦσαι ταύτην. Σὺ μὲν τοίνυν, ἔφη, ἀπάγου
τὴν σήν· οὐδὲ γὰρ εἰλῆφθαι ἔγωγε αἰχμάλωτον ταύτην
νομίζω, σοῦ γε μὴ πώποτε φυγόντος ἡμᾶς. Καὶ σὺ δὲ,
ὦ Ἀρμένιε, ἀπάγου τήν τε γυναῖκα καὶ τοὺς παῖδας,
μηδὲν αὐτῶν καταθείς· ἵνα εἰδῶσιν, ὅτι ἐλεύθεροι πρός
σε ἀπέρχονται. Καὶ νῦν μὲν, ἔφη, δειπνεῖτε παρ' ἡμῖν·
δειπνήσαντες δὲ ἀπελαύνετε, ὅποι ὑμῖν θυμός. Οὕτω δὴ
κατέμειναν.
38 Διασκηνούντων δὲ μετὰ τὸ δεῖπνον, ἐπήρετο ὁ Κῦρος.
Εἰπέ μοι, ἔφη, ὦ Τιγράνη, ποῦ δὴ ἐκεῖνός ἐστιν ὁ ἀνὴρ,
ὃς συνεθήρα ἡμῖν, καὶ σύ μοι μάλα ἐδόκεις θαυμάζειν
αὐτόν. Οὐ γὰρ, ἔφη, ἀπέκτεινεν αὐτὸν οὑτοσὶ ὁ ἐμὸς
πατήρ; Τί λαβὼν ἀδικοῦντα; Διαφθείρειν αὐτὸν ἔφη
ἐμέ. Καίτοι γ', ἔφη, ὦ Κῦρε, οὕτω καλὸς κἀγαθὸς
ἦν ἐκεῖνος, ὡς καὶ, ὅτε ἀποθνήσκειν ἔμελλε, προσκαλέ-
σας με εἶπε· Μή τι σὺ, ὦ Τιγράνη, ἔφη, ὅτι ἀποκτείνει
με, χαλεπανθῇς τῷ πατρί· οὐ γὰρ κακονοίᾳ τινὶ τοῦτο
ποιεῖ, ἀλλ' ἀγνοίᾳ· ὁπόσα δὲ ἀγνοίᾳ ἄνθρωποι ἐξαμαρ-
39 τάνουσι, πάντα ἀκούσια ταῦτ' ἔγωγε νομίζω. Ὁ μὲν

37. αἰχμάλωτον] Brodæi correctionem ἔγωγε ταύτην ὡς αἰχμ. νομίζω refert margo Steph. et Leoncl. deinde μή ποτε φεύγοντος.

τήν τε] Copulam Guelf. omittit; ante αὐτῶν iterum viri docti ἀντὶ, aut ὑπὲρ, aut ἕνεκα addendum cenſuerunt. ſequens πρός σε ἀπέρχονται Stephanus ſcripſit admonente Brodæo in locum vitioſi προσαπέρχονται Edd. primarum, addicentibus libris Philelphi et Guelf.

ὅποι] Ita ex Guelf. pro ὅπου Zeune, ſed idem liber antecedens μὲν male omiſit.

38. διασκηνούντων] Index Zeunianus male verſari in tabernaculo interpretatur. Eſt quod ſupra διαλύειν τὴν σκηνὴν dixit. Ita etiam in Anabaſi iv. 4, 5. et vi. 5, 3. Hellenicorum iv. 8, 18. ubi recte Morus verbum eſt interpretatus.

μετὰ τὸ] Articulum et ſequens ἔφη omiſit Guelf. ἐπήρετο vero Philelphus.

συνεθήρα] Mihi ποτὲ addendum videbatur.

καίτοι γ', ἔφη] Ex Guelf. γ', ἔφη, cum Zeunio addidi. ἐκεῖνος ἦν deinde Guelf.

ἀποκτείνει] Ita ex Guelf. pro ἀποκτενεῖ Zeune dedit, et deinceps χαλεπανθῇς ex eodem Altorf. et Junt. χαλεπείνῃς Ald. et Steph.

ταῦτ' ἔγωγε] Edd. primæ ante Stephanum ἐγὼ habent; nec aliter Guelf.

δὴ Κῦρος ἐπὶ τούτοις εἶπε, Φεῦ τοῦ ἀνδρός. Ὁ δὲ Ἀρμένιος ἔλεξεν οὕτως. Ὦ Κῦρε, οὐδ᾽ οἱ ταῖς ἑαυτῶν γυναιξὶ λαμβάνοντες συνόντας ἀλλοτρίους ἄνδρας, οὐ τοῦτο αἰτιώμενοι αὐτοὺς κατακτείνουσιν, ὡς ἀφρονεστέρας ποιοῦντας τὰς γυναῖκας· ἀλλὰ νομίζοντες ἀφαιρεῖσθαι αὐτὰς τὴν πρὸς ἑαυτοὺς φιλίαν, διὰ τοῦτο ὡς πολεμίοις αὐτοῖς χρῶνται. Καὶ ἐγὼ ἐκείνῳ, ἔφη, ἐφθόνησα, ὅτι μοι ἐδόκει τὸν ἐμὸν υἱὸν ποιεῖν αὐτὸν μᾶλλον θαυμάζειν, ἢ ἐμέ. Καὶ ὁ Κῦρος εἶπεν, Ἀλλὰ ναὶ μὰ τοὺς θεούς, ἔφη, ὦ Ἀρμένιε, ἀνθρώπινά μοι δοκεῖς ἁμαρτεῖν· καὶ σύ, ὦ Τιγράνη, συγγίγνωσκε τῷ πατρί. Τότε μὲν δὴ τοιαῦτα διαλεχθέντες καὶ φιλοφρονηθέντες, ὥσπερ εἰκός,

39. οὕτως. ὦ Κῦρε] Guelf. οὗτοι ἔφη ὦ K. ſed correctum οὕτως ἔφη. Altorf. etiam οὗτοι habet: deinde Guelf. ὄντας, ex correctione συνόντας præfert.

ἀφρονεστέρας] Edd. primæ cum Guelf. σωφρονεστέρας. Altor. ἀμαθεστέρας, Budenſis εὐμαθεστέρας. Philelphus ἀφρονεστέρας vertiſſe videtur *impudicas* Gabriel *impudentiores*, hinc ἀφρ. recepit Stephanus, qui utrumque latinum interpretem græcum ἀκρατεστέρας legiſſe ſcriptum putabat; contra Leoncl. ἀσωφρονεστέρας Philelphum expreſſiſſe ſuſpicabatur. Sequens ποιοῦντας in ποιοῦνται mutari voluit Stephanus, ex Juntina et Guelf. in ποιοῦντες mutavit Zeune, cum Tayloro et Marklando locum interpretatus ita: *non necant adulteros mariti ad uxores coercendas ſeu a flagitio arcendas ex deterrendas.* Quam rationem et contortam et falſam eſſe recte admonuit Weiſke. Locus etjam Xenophontis in Hierone III. 3. ubi lex Attica eadem commemoratur, quam Lyſiæ oratio p. 34. tractat, clariſſimus eſt: ὅτι λυμαντῆρας αὐτοὺς νομίζουσι τῆς τῶν γυναικῶν φιλίας πρὸς τοὺς ἄνδρας εἶναι· ἐπεὶ ὅταν γε ἀφροδισιασθῇ κατὰ συμφοράν τινα γυνή, οὐδὲ ἧττον τούτου ἕνεκα τιμῶσιν αὐτὰς οἱ ἄνδρες, ἐάν περ ἡ φιλία δοκῇ αὐτοῖς ἀκήρατος διαμένειν. Igitur hoc in loco verba ὡς ἀφρονεστέρας—γυναῖκας ſic intelligenda cenſeo, quaſi ſcriptum eſſet ὡς αἰτίους ὄντας τοῦ ἀφροδισιάζεσθαι τὰς γυναῖκας aut ὅτι ἀφροδισιάσθησαν αἱ γυναῖκες. Eandem legis Atticæ et pœnæ capitalis adulterorum blanditiis propoſitæ rationem interpretatur Lyſias.

αὐτὰς τὴν] Veterum Edd. lectionem cum Hutchinſono et Welſio immutavit Zeune confiſus auctoritate Philelphi et Guelf. ubi αὐτοὺς eſt a prima manu, noſtrum a correctoris ſecunda. Verum ita αὐτοὺς τὴν τῶν γυναικῶν πρὸς ἑαυτοὺς (Guelf. αὐτοὺς) φιλίαν eſſe debere, recte admonuit Weiſke.

ἐκείνῳ] Ita Philel. Brodæi, Bodl. Guelf. et Altorf. libri pro ἐκεῖνο, quod merito damnavit Stephanus; deinde ἐφθόνουν ὅτι μοι ἐδόκει τοῦτο ποιεῖν αὐτὸν μᾶλλον ὀνομάζειν ἢ ἐμὲ Guelf. ſed corrector poſt ἐδόκει inſeruit τὸν ἐμὸν υἱὸν ita ut legeretur τὸν ἐμὸν υἱὸν τοῦτον ποιεῖν αὐτὸν μᾶλλον θ. ἢ ἐμέ. non inepte. Ceterum Interpretes a Brodæo inde monuerunt Xenophontem in animo habuiſſe Socratem ejuſque mortem ſub perſona Sophiſtæ cum Tigrane verſati induxiſſe. Inimicorum criminatio hæc erat maxima apud Noſtrum Memorabilium i. 2, 52. οὕτω διατιθέναι τοὺς ἑαυτῷ συνόντας, ὥστε μηδαμοῦ παρ᾽ αὐτοῖς τοὺς ἄλλους εἶναι πρὸς ἑαυτόν.

40. θεούς, ἔφη] Guelf. ἔφη omiſit. deinde ταῖς ἁρμαμάξαις.

ἐκ συναλλαγῆς, ἀναβάντες ἐπὶ τὰς ἁρμαμάξας σὺν ταῖς γυναιξὶν, ἀπήλαυνον εὐφραινόμενοι.

41 Ἐπεὶ δ' ἦλθον οἴκαδε, ἔλεγον τοῦ Κύρου ὁ μέν τις τὴν σοφίαν, ὁ δὲ τὴν καρτερίαν, ὁ δὲ τὴν πρᾳότητα, ὁ δέ τις καὶ τὸ κάλλος καὶ τὸ μέγεθος. Ἔνθα δὴ ὁ Τιγράνης ἐπήρετο τὴν γυναῖκα, Ἦ καὶ σοὶ, ἔφη, ὦ Ἀρμενία, καλὸς ἐδόκει ὁ Κῦρος εἶναι; Ἀλλὰ μὰ Δί', ἔφη, οὐκ ἐκεῖνον ἐθεώμην. Ἀλλὰ τίνα μήν; ἔφη ὁ Τιγράνης. Τὸν εἰπόντα, νὴ Δία, ὡς τῆς αὐτοῦ ψυχῆς ἂν πρίαιτο, ὥστε μή με δουλεύειν. Τότε μὲν δὴ, ὥσπερ εἰκὸς, ἐκ τοιούτων ἀνεπαύοντο σὺν ἀλλήλοις.

42 Τῇ δ' ὑστεραίᾳ ὁ Ἀρμένιος Κύρῳ μὲν καὶ τῇ στρατιᾷ πάσῃ ξένια ἔπεμπε· προεῖπε δὲ τοῖς ἑαυτοῦ, οὓς δεήσοι στρατεύεσθαι, εἰς τρίτην ἡμέραν παρεῖναι· τὰ δὲ χρήματα, ὧν εἶπεν ὁ Κῦρος, διπλάσια ἀπηρίθμησεν. Ὁ δὲ Κῦρος, ὅσα εἶπε λαβὼν, τὰ ἄλλα ἀπέπεμψεν· ἤρετο δὲ, πότερος ἔσται ὁ τὸ στράτευμα ἄγων, ὁ παῖς, ἢ αὐτός. Εἰπέτην δὲ ἅμα, ὁ μὲν πατὴρ οὕτως, Ὁπότερον ἂν σὺ κελεύῃς· ὁ δὲ παῖς οὕτως, Ἐγὼ μὲν οὐκ ἀπολείψομαί σου, ὦ Κῦρε, οὐδ' ἂν σκευοφόρον ἐμὲ δέῃ σοι συνακολουθεῖν.

Regis Armeniorum et filii ejus paratum obſequium.

43 Καὶ ὁ Κῦρος ἐπιγελάσας εἶπε, Καὶ ἐπὶ πόσῳ ἂν ἐθέλοις, ἔφη, τὴν γυναῖκά σου ἀκοῦσαι, ὅτι σκευοφορεῖς;

41. καὶ τὸ κάλλος] Primus copulam καὶ ex Philel. addidit Stephanus; eandem habet Guelf.

Ἦ καὶ σοὶ] Ex Philelpho, Guelf. et Leidenſi libro apud Valcken. ad Theocritum p. 342. reſtituit ἦ Zeune. deinde ἐθεώρουν eſt in margine Steph. Sequens μὴν Juntina male omiſit.

αὑτοῦ—ἂν πρίαιτο] Guelf. cum Edd. primis αὐτοῦ: in eodem ἂν corrector addidit.

ἀνεπαύοντο] Zeune Homericam Alexandri et Helenæ conſuetudinem comparat Iliadis 3, 447. ſed Xenophontis locum præfert. Talia ſi quis hodie hiſtoriæ gravi inſereret! Quantum a naturæ et majorum noſtrorum ſimplicitate receſſimus!

42 πάσῃ] Guelf. ἁπάσῃ, quod, etſi ingratum facit hiatum, recepit Zeune.

ἀπέπεμψε] Ita cum Philelpho et Guelf. Zeune. Vulgo erat ἔπεμψε.

κελεύῃς] Guelf. male κελεύεις; deinde ἐμὲ pro μὲ ex eodem libro dedit Zeune. poſtea δεήσοι Juntina et Guelf. quod expreſſit Philelphus.

43. ἐθέλοις, ἔφη] Guelf. ἔφη, ἐθέλοις. Edd. primæ ἐθέλῃς. Altorf. ἔφη omittit.

Ἀλλ' οὐδὲν, ἔφη, ἀκούειν δεήσει αὐτήν· ἄξω γάρ· ὥστε ὁρᾷν ἐξέσται αὐτῇ, ὅ τι ἂν ἐγὼ πράττω. Ὥρα ἂν, ἔφη, συσκευάζεσθαι ὑμῖν εἴη. Νόμιζε, ἔφη, συνεσκευασμένους παρέσεσθαι, ὅ τι ἂν ὁ πατὴρ δῷ. Τότε μὲν δὴ ξενισθέντες οἱ στρατιῶται ἐκοιμήθησαν.

CAP. II.

ΤΗ δ' ὑστεραίᾳ ἀναλαβὼν ὁ Κῦρος τὸν Τιγράνην, καὶ τῶν Μήδων ἱππέων τοὺς κρατίστους, καὶ τῶν ἑαυτοῦ φίλων ὁπόσους καιρὸς ἐδόκει εἶναι, περιελαύνων τὴν χώραν κατεθεᾶτο, σκοπῶν, οὗ τειχισθείη φρούριον. Καὶ ἐπ' ἄκρον τι ἐλθὼν, ἐπηρώτα τὸν Τιγράνην, ποῖα ἂν εἴη τῶν ὀρέων, ὁπόθεν οἱ Χαλδαῖοι καταθέοντες λῄζονται. Καὶ ὁ Τιγράνης ἐδείκνυεν. Ὁ δὲ πάλιν ἤρετο, Νῦν δὲ ταῦτα τὰ ὄρη ἔρημά ἐστιν; Οὐ μὰ Δί', ἔφη, ἀλλ' ἀεὶ σκοποί εἰσιν ἐκείνων, οἳ σημαίνουσι τοῖς ἄλλοις, ὅ τι ἂν ὁρῶσι. Τί οὖν, ἔφη, ποιοῦσιν, ἐπὰν αἴσθωνται; Βοηθοῦσιν, ἔφη, ἐπὶ τὰ ἄκρα, ὡς ἂν ἕκαστος δύνηται.
Ταῦτα μὲν δὴ ὁ Κῦρος ἠκηκόει· σκοπῶν δὲ κατενόει πολ- 2
λὴν τῆς χώρας τοῖς Ἀρμενίοις ἔρημον καὶ ἀργὸν οὖσαν διὰ τὸν πόλεμον. Καὶ τότε μὲν ἀπῆλθον ἐπὶ τὸ στρατόπεδον, καὶ δειπνήσαντες ἐκοιμήθησαν. Τῇ δ' ὑστε- 3
ραίᾳ αὐτός τε ὁ Τιγράνης παρῆν συνεσκευασμένος· καὶ

Chaldæos pariter oppreſſos Cyrus ſibi et Armeniis ſocios adjungit, et, utriſque volentibus, montes occupatos ipſe tenet: quos munire inſtituit.

Ὥρα ἂν] Vide ad i. 4, 13.

Νόμιζε] Ita cum Stephani Ed. a Zeune dedit ex Philel. libro, Brodæi, Camer. Bodl. Altorf. et Guelf. νομίζω Edd. primæ. νόμιζε δὲ ex Guelf. annotavit Fiſcher; et mihi particula aliqua poſt verbum deeſſe videbatur propter ſententiam et ob numeros orationis.

1. ἀναλαβὼν] Hoc pro λαβὼν ex Guelf. dedit Zeune. deinde ποῦ τειχίσειε Guelf. τειχισθεῖεν Altorf.

ποῖα ἂν—ὀρέων] Guelf. omiſſo ἂν habet ὀρῶν. Sed Grammaticus apud Suidam in ἀνθέων admonet Xenophontem βελέων, ὀρέων et ſimilia diviſim ſcripſiſſe.

ἀλλ' ἀεὶ] Altorf. omittit ἀεὶ, quod equidem poſt σημαίνουσι poſitum mallem.

ἐπὰν] Guelf. ἐπὴν habet, ἐπεὶ Altorf.

2. κατενόει] Guelf. μὲν addit. deinde ἀργὴν Aldina, Junt. Iſingr.

3. συνεσκευασμένος] Guelf. παρεσκευασμένος omiſſo τε antecedente, quod correƈtor addidit.

εἰς τετρακισχιλίους ἱππεῖς συνελέγοντο αὐτῷ, καὶ τοξό-
ται εἰς τοὺς μυρίους, καὶ πελτασταὶ ἄλλοι τοσοῦτοι.
Ὁ δὲ Κῦρος, ἐν ᾧ συνελέγοντο, ἐθύετο· ἐπεὶ δὲ καλὰ ἦν
τὰ ἱερὰ αὐτῷ, συνεκάλεσε τούς τε τῶν Περσῶν ἡγεμό-
4 νας, καὶ τοὺς τῶν Μήδων. Ἐπεὶ δὲ ὁμοῦ ἦσαν, ἔλεξε
τοιάδε·

Ἄνδρες φίλοι, ἔστι μὲν τὰ ὄρη ταῦτα, ἃ ὁρῶμεν,
Χαλδαίων· εἰ δὲ ταῦτα καταλάβοιμεν, καὶ ἐπ' ἄκρου
γένοιτο τὸ ἡμέτερον φρούριον, σωφρονεῖν ἀνάγκη ἂν εἴη
πρὸς ἡμᾶς [καὶ] ἀμφοτέροις, τοῖς τε Ἀρμενίοις καὶ τοῖς
Χαλδαίοις. Τὰ μὲν οὖν ἱερὰ καλὰ ἡμῖν· ἀνθρωπίνη δὲ
προθυμία εἰς τὸ πραχθῆναι ταῦτα οὐδὲν οὕτω μέγα
σύμμαχον ἂν γένοιτο, ὡς τάχος. Ἢν γὰρ φθάσωμεν,
πρὶν τοὺς πολεμίους συλλεγῆναι, ἀναβάντες, ἢ παντά-
πασιν ἀμαχεὶ λάβοιμεν ἂν τὸ ἄκρον, ἢ ὀλίγοις τε καὶ
5 ἀσθενέσι χρησαίμεθα ἂν πολεμίοις. Τῶν οὖν πόνων
οὐδεὶς ῥάων, οὐδὲ ἀκινδυνότερος, ἔφη, ἐστὶ, τοῦ νῦν καρτε-
ρῆσαι σπεύδοντας. Ἴτε οὖν ἐπὶ τὰ ὅπλα. Καὶ ὑμεῖς
μὲν, ὦ Μῆδοι, ἐν ἀριστερᾷ ἡμῶν πορεύεσθε· ὑμεῖς δὲ, ὦ
Ἀρμένιοι, οἱ μὲν ἡμίσεις ἐν δεξιᾷ, οἱ δὲ ἡμίσεις ἔμπρο-
σθεν ἡμῶν ἡγεῖσθε· ὑμεῖς δὲ, ὦ ἱππεῖς, ὄπισθεν ἕπε-
σθε, διακελευόμενοι καὶ ὠθοῦντες ἄνω ἡμᾶς· ἢν δέ τις
6 μαλακύνηται, μὴ ἐπιτρέπετε. Ταῦτ' εἰπὼν ὁ Κῦρος,
ἡγεῖτο, ὀρθίους ποιησάμενος τοὺς λόχους. Οἱ δὲ Χαλ-

ἱππεῖς] Ex Guelf. ἱππεῖς εἰς τοὺς τετρακ. dedit Zeune; contra ἱππεῖς εἰς τετρακ. ex eodem et Altorfino posuit Fischer.

καλὰ ἦν] Guelf. καλὰ τὰ ἱερὰ ἦν.

4. τὸ ἡμέτερον] Articulum in Guelf. corrector inseruit.

[καὶ] ἀμφοτέροις] Seclusi exemplo Zeunii καὶ, quod Philel. cum Guelf. et Altorf. omisit; ex eodem Guelf. cum Stephano ἡμῖν dedit Zeune pro ἡμῶν.

χρησαίμεθα ἂν] Guelf. χρησαίμεθ' ἂν, Altorf. ἂν omittit.

5. ἀκινδυνότερος] Male Steph. et Leoncl ἀκινδυνώτερος. Syllaba enim δυ longa est. deinde σπουδάζοντας Guelf. vulgata adscripta in margine.

Ἴτε οὖν] Philelphus ἴτε νῦν expressisse videtur.

διακελευόμενοι] Guelf. cum margine Steph. παρακελευόμενοι: deinde margo Steph. Leoncl. μαλακίζηται præfert.

δαῖοι, ὡς ἔγνωσαν τὴν ὁρμὴν ἄνω οὖσαν, εὐθὺς ἐσήμαινόν
τε τοῖς ἑαυτῶν, καὶ συνεβόων ἀλλήλοις, καὶ συνηθροί-
ζοντο. Ὁ δὲ Κῦρος παρηγγύα· Ἄνδρες Πέρσαι, ἡμῖν
σημαίνουσι σπεύδειν. Ἢν γὰρ φθάσωμεν ἄνω γενόμε-
νοι, οὐδὲν τὰ τῶν πολεμίων δυνήσεται.

Εἶχον δὲ οἱ Χαλδαῖοι γέρρα τε καὶ παλτὰ δύο· καὶ 7
πολεμικώτατοι δὲ λέγονται οὗτοι τῶν περὶ ἐκείνην τὴν
χώραν εἶναι· καὶ μισθοῦ στρατεύονται, ὁπόταν τις αὐ-
τῶν δέηται, διὰ τὸ πολεμικοί τε καὶ πένητες εἶναι· καὶ
γὰρ ἡ χώρα αὐτοῖς ὀρεινή τέ ἐστι, καὶ ὀλίγη ἡ τὰ χρή-
ματα ἔχουσα. Ὡς δὲ μᾶλλον ἐπλησίαζον οἱ ἀμφὶ τὸν 8
Κῦρον τῶν ἄκρων, ὁ Τιγράνης σὺν τῷ Κύρῳ πορευόμενος
εἶπεν, Ὦ Κῦρε, ἆρ' οἶσθ', ἔφη, ὅτι αὐτοὺς ἡμᾶς αὐτίκα
μάλα δεήσει μάχεσθαι; ὡς οἵ γε Ἀρμένιοι οὐ μὴ δέ-
ξωνται τοὺς πολεμίους. Καὶ ὁ Κῦρος εἰπὼν, ὅτι εἰδείη
τοῦτο, εὐθὺς παρηγγύησε τοῖς Πέρσαις παρασκευάζε-
σθαι, ὡς αὐτίκα δεῆσον ἐπιδιώκειν, ἐπειδὰν ὑπαγάγωσι
τοὺς πολεμίους ὑποφεύγοντες οἱ Ἀρμένιοι, ὥστ' ἐγγὺς
ἡμῖν γενέσθαι. Οὕτω δὴ ἡγοῦντο μὲν οἱ Ἀρμένιοι· τῶν 9
δὲ Χαλδαίων οἱ παρόντες, ὡς ἐπλησίαζον οἱ Ἀρμένιοι,
ταχὺ ἀλαλάξαντες ἔθεον, ὥσπερ εἰώθεσαν, ἐπ' αὐτούς·
οἱ δὲ Ἀρμένιοι, ὥσπερ εἰώθεσαν, οὐκ ἐδέχοντο. Ὡς δὲ 10

συνηθροίζοντο] Guelf. ſimplex *ἠθροίζετο* præfert.

7. *παλτὰ*] Aldina et Altorf. *πελτὰ*, ſed in Altorf. *α* ſuper *ε* ſcriptum eſt aliena manu. deinde *ἐλέγοντο* vertit Philelphus.

ὁπόταν τις] Edd. primæ *τις* omittunt. deinde cum Zeunio *πολεμικοί τε* ex Guelf. ſcripſi pro *πολεμικώτατοι*.

ὀλίγη ἡ τὰ] Muretus *ὀλίγιστα* malebat legi; deinde *χρήματα* vel agros cultos ipſos vel agrorum fructus opeſque ruſticas ſignificat. Noſter Hellenicorum iii. 4, 24. *χρήματα* dicit, quæ alii *λείαν*, prædam, iterumque iii. 5, 3. *ἐλάσαι χρήματα*.

8. *εἰπὼν ὅτι εἰδείη*] Edd. primæ *εἶπεν ὅτι ἤδη*, quæ corrigebat Muretus ita: *ὅτιὴ διὰ τοῦτο*. Verum expreſſit Philelphus cum Budenſi, Bodl. Guelf. *εἴτι δέῃ τοῦτο αὐτὸς παρηγ.* liber Brodæi. Sequens *εὐθὺς* ex margine Steph. et Guelf. addidit Zeune.

ἐπιδιώκειν] Guelf. cum Altorf. ſimplex *διώκειν* habet; ex eodem vulgatum *ὑπάγωσι* correxit Zeune.

9. *τῶν δὲ Χαλδαίων*] Altorf. *δὲ* omittit.

εἰώθεσαν] Ita ex Guelf. pro *εἰώθασιν* cum Zeunio dedi; idem deinde *εἰς αὐτοὺς* eodem auctore poſuit.

διώκοντες οἱ Χαλδαῖοι εἶδον ἐναντίους μαχαιροφόρους ἱεμένους ἄνω, οἱ μέν τινες αὐτοῖς πελάσαντες ταχὺ ἀπέθνησκον, οἱ δ' ἔφευγον, οἱ δέ τινες καὶ ἑάλωσαν αὐτῶν. Ταχὺ δὲ εἴχετο τὰ ἄκρα. Ἐπεὶ δὲ τὰ ἄκρα εἶχον οἱ ἀμφὶ τὸν Κῦρον, καθεώρων τε τῶν Χαλδαίων τὰς οἰκήσεις, καὶ ᾐσθάνοντο φεύγοντας αὐτοὺς ἐκ τῶν

11 ἐγγὺς οἰκήσεων. Ὁ δὲ Κῦρος, ὡς πάντες οἱ στρατιῶται ὁμοῦ ἐγένοντο, ἀριστοποιεῖσθαι παρήγγειλεν. Ἐπεὶ δὲ ἠριστήκεσαν, καταμαθὼν, ἔνθα αἱ σκοπαὶ ἦσαν αἱ τῶν Χαλδαίων, ἐρυμνόν τε ὂν καὶ ἔνυδρον, εὐθὺς ἐτείχιζε φρούριον· καὶ τὸν Τιγράνην ἐκέλευσε πέμπειν ἐπὶ τὸν πατέρα, καὶ κελεύειν παραγενέσθαι, ἔχοντα, ὁπόσοι εἶεν τέκτονές τε καὶ λιθοδόμοι. Ἐπὶ μὲν δὴ τὸν Ἀρμένιον ᾤχετο ἄγγελος· ὁ δὲ Κῦρος τοῖς παροῦσιν ἐτείχιζεν.

12 Ἐν δὲ τούτῳ προσάγουσι τῷ Κύρῳ τοὺς αἰχμαλώτους δεδεμένους, τοὺς δέ τινας καὶ τετρωμένους. Ὡς δὲ εἶδεν, εὐθὺς λύειν μὲν ἐκέλευσε τοὺς δεδεμένους, τοὺς δὲ τετρωμένους, ἰατροὺς καλέσας, θεραπεύειν ἐκέλευσεν· ἔπειτα δὲ ἔλεξε τοῖς Χαλδαίοις, ὅτι ἥκοι οὔτε ἀπολέσαι ἐπιθυμῶν ἐκείνους, οὔτε πολεμεῖν δεόμενος, ἀλλ' εἰρήνην ποιῆσαι βουλόμενος Ἀρμενίοις καὶ Χαλδαίοις. Πρὶν μὲν οὖν ἔχεσθαι τὰ ἄκρα, οἶδ', ὅτι οὐδὲν ἐδεῖσθε εἰρήνης· τὰ

10. ταχὺ] Philelphus τάχει expressisse videtur. τινὲς αὐτῶν Altorf.

εἴχετο] Ita Philel. margo Steph. Bodl. Guelf. pro εἶχον Edd. primarum et Altorf. deinde ἀμφὶ Κῦρον Altorf.

11. ἀριστοποιεῖσθαι] Hoc ex Guelf. annotavit et vulgato ἀριστοποιεῖν prætulit Fischer: deinde ἠριστήκεσαν δὲ Guelf. eodem annotante.

αἱ σκοπαὶ] Ita Guelf. cum Altorf. sed post ἦσαν Guelf. αἱ omisit. σκοπιαὶ Codices Brodæi, deinde iidem Brodæi libri σκοπιαί. Budensis postea cum Alt. εὔυδρον.

ἐκέλευσε] Guelf. ἐκέλευε—καὶ ἔχοντα. sequens λιθοδόμοι ex Xenophontis h. l. annotavit Pollux 7, 118. Brodæi libri λιθοτόμοι præferebant; Valckenarius apud Pierson. ad Mœrin p. 254. λιθολόγοι malebat legi.

12. λύειν μὲν] Guelf. μὲν λύειν. ex eodem additum δὲ post ἔπειτα a Zeunio. idem ἂν ante ἥκοι vulgo positum omittit; hinc seclusit Zeune.

ἀπολέσαι] Libri Brodæi ἀπελάσαι Guelf. ἀπελάσειν—βουλόμενος ποιῆσαι.

ὅτι οὐδὲν] Guelf. ὅτι οὐκ. deinde Juntina ἡμέτερα.

μὲν γὰρ ὑμέτερα ἀσφαλῶς εἶχε, τὰ δὲ τῶν Ἀρμενίων
ἤγετε καὶ ἐφέρετε· νῦν δ' ὁρᾶτε δὴ, ἐν οἵῳ ἐστέ. Ἐγὼ 13
οὖν ἀφίημι ὑμᾶς οἴκαδε τοὺς εἰλημμένους, καὶ δίδωμι
ὑμῖν σὺν τοῖς ἄλλοις Χαλδαίοις βουλεύσασθαι, εἴτε
βούλεσθε πολεμεῖν ἡμῖν, εἴτε φίλοι εἶναι. Κᾂν μὲν πό-
λεμον αἱρῆσθε, μηκέτι ἥκετε δεῦρο ἄνευ ὅπλων, εἰ σω-
φρονεῖτε· ἢν δὲ εἰρήνης δοκῆτε δεῖσθαι, ἄνευ ὅπλων ἥκετε·
ὡς δὲ καλῶς ἕξει τὰ ὑμέτερα, ἢν φίλοι γένησθε, ἐμοὶ
μελήσει. Ἀκούσαντες δὲ ταῦτα οἱ Χαλδαῖοι, πολλὰ 14
μὲν ἐπαινέσαντες, πολλὰ δὲ δεξιωσάμενοι τὸν Κῦρον,
ᾤχοντο οἴκαδε.

Ὁ δὲ Ἀρμένιος, ὡς ἤκουσε τήν τε κλῆσιν τοῦ Κύρου
καὶ τὴν πρᾶξιν, λαβὼν τοὺς τέκτονας καὶ τἄλλα, ὅσων
ᾤετο δεῖν, ἧκε πρὸς τὸν Κῦρον ὡς ἠδύνατο τάχιστα.
Ἐπεὶ δὲ εἶδε τὸν Κῦρον, ἔλεξεν, Ὦ Κῦρε, ὡς ὀλίγα δυνά- 15
μενοι προορᾷν ἄνθρωποι περὶ τοῦ μέλλοντος, πολλὰ ἐπι-
χειροῦμεν πράττειν. Νῦν γὰρ δὴ καὶ ἐγὼ, ἐλευθερίαν
μὲν μηχανᾶσθαι ἐπιχειρήσας, δοῦλος, ὡς οὐδεπώποτε,
ἐγενόμην· ἐπεὶ δ' ἑάλωμεν, σαφῶς ἀπολωλέναι νομί-
σαντες, νῦν ἀναφαινόμεθα σεσωσμένοι, ὡς οὐδεπώποτε.
Οἳ γὰρ οὐδεπώποτε ἐπαύοντο πολλὰ κακὰ ἡμᾶς ποιοῦν-
τες, νῦν ὁρῶ τούτους ἔχοντας, ὥσπερ ἐγὼ ηὐχόμην. Καὶ 16
τοῦτο ἐπίστω, ἔφη, ὦ Κῦρε, ὅτι ἐγὼ, ὥστε ἀπελάσαι
Χαλδαίους ἀπὸ τούτων τῶν ἄκρων, πολλαπλάσια ἂν
ἔδωκα χρήματα, ὧν σὺ νῦν ἔχεις παρ' ἐμοῦ· καὶ ἃ

13. Κᾂν μὲν] Guelf. καὶ ἤν. deinde verba ἄνευ ὅπλων altero loco desunt in Juntina et Altorf.

γένησθε] Ald. Junt. Altorf. γένοισθε.

14. ταῦτα οἱ Χαλδαῖοι] Guelf. οἱ Χ. ταῦτα omiſſis deinceps τὸν Κῦρον.

τἄλλα, ὅσων] Guelf. ἄλλα ὅσων. Gregorius in Commentariis ad Hermogenem p. 906. ἄλλα ὅσα ex h. l. laudavit. deinde vulgatum ἠδύνατο ex Guelf. mutavit Zeune.

15. ἑάλωμεν] Ita Steph. et Guelf. ἑάλομεν Edd. primarum repetit Zeune; Sequens σαφῶς omiſit Juntina.

Οἳ γὰρ] Juntina et Iſingr. Χαλδαῖοι γοῦν, οἳ οὐδὲ ἐπαύοντο πώποτε. deinde ηὐχόμην Altorf. ην ſupra ſcripto.

ὑπισχνοῦ ποιήσειν ἀγαθὰ ἡμᾶς, ὅτ' ἐλάμβανες τὰ χρήματα, ἀποτετέλεσταί σοι ἤδη· ὥστε καὶ προσοφείλοντές σοι ἄλλας χάριτας ἀναπεφήναμεν, ἃς ἡμεῖς γε, εἰ μὴ κακοί ἐσμεν, αἰσχυνοίμεθ' ἂν σοι μὴ ἀποδιδόντες· οἳ καὶ ἀποδιδόντες οὐδὲν ἄξιον οὐδ' οὕτω πρὸς εὐεργέτην κατα-
17 λαμβανόμεθα τοσοῦτον ποιοῦντες. Ὁ μὲν Ἀρμένιος ταῦτ' ἔλεξεν.

Οἱ δὲ Χαλδαῖοι ἧκον δεόμενοι τοῦ Κύρου, εἰρήνην σφίσι ποιῆσαι. Καὶ ὁ Κῦρος ἐπήρετο αὐτούς· Ἄλλου του, ἔφη, ὦ Χαλδαῖοι, ἢ τούτου γε ἕνεκα, εἰρήνης νῦν ἐπιθυμεῖτε, ὅτι νομίζετε ἀσφαλέστερον ἂν δύνασθαι ζῆν, εἰρήνης γενομένης, ἢ πολεμοῦντες, ἐπεὶ ἡμεῖς τ' ἄκρα τάδ'
18 ἔχομεν; Ἔφασαν οἱ Χαλδαῖοι. Καὶ ὅς, Τί οὖν, ἔφη, εἰ καὶ ἄλλα ὑμῖν ἀγαθὰ προσγένοιτο διὰ τὴν εἰρήνην; Ἔτι ἄν, ἔφασαν, μᾶλλον εὐφραινοίμεθα. Ἄλλο τι οὖν, ἔφη, ἢ, διὰ τὸ γῆς σπανίζειν ἀγαθῆς, νῦν πένητες νομίζετ' εἶναι; Συνέφασαν καὶ τοῦτο. Τί οὖν; ἔφη ὁ Κῦρος,

16. ἀναπεφήναμεν] Ita ex emendatione Brodæi Stephanus dedit, addicente libro Bodleiano. Vulgo erat ἂν πεφ.

μὴ ἀποδιδόντες οἳ] Vulgatum ἀποδιδόναι ex Guelf. correxi, qui deinceps ἃ καὶ cum Juntina habet fcriptum; reliquæ Edd. ᾧ καί. Mecum Muretus facit. Verba ᾧ καὶ ἀποδιδόντες—ποιοῦντες Altorf. omifit, et in Guelf. ἃ καὶ—ποιοῦντες in margine fuppleta funt.

17. ταῦτ' ἔλεξε] Guelf. τοσαῦτ' habet; deinde ἄλλο τι cum Juntina et Altorf. habet, quod ideo damnavit Zeune, quod διὰ intelligi h. l. non poffit, fed ex fequentibus ἕνεκα fit repetendum, quod fieri non poffe putabat. Quod fi mecum ἄλλο τι probaveris, fequens etiam γε poft τούτου cum Guelf. erit omittendum.

γενομένης] Cum γινομένης præeunte Guelf. mutavit Zeune; ex eodem recte ἂν poft ἀσφαλέστερον addidit. Sequentia mire in libris vitiofa reperiuntur. Philelphus ἐπεὶ ἡμεῖς τάδ' ἔχομεν· Ἔφασαν—τί δ' ἔφη, vertit, ut eft fcriptum in Guelf. nifi quod δὲ additum poft ἐπεὶ exftat in Guelf. At primæ Edd. ἐπεὶ καὶ ἡμεῖς ταῦτ' ἐλέγομεν, τἄλλα ἔχομεν ἔφασαν. Stephanus alicubi legi ait ἐπεὶ ἡμεῖς τἄλλα ἔχομεν omiffis ceteris, quæ ipfa eft Altorf. libri fcriptura. Leonclavius ex vulgari lectione hanc exfculpferat: ἐπεὶ καὶ ἡμεῖς ταῦτα λέγομεν οἵ τ' ἄκρα ἔχομεν, ἔφασαν οἱ Χ. Budenfis liber ἐπεὶ ἡμεῖς τἄκρα ἔχομεν· ἔφασαν. quam lectionem recepit Hutchinfon. ἐπεὶ ἡμεῖς τἄλλα ἔχομεν Bodl. et inter lineas τὰ δὲ λέγομεν addita habet. Libri Guelferbytani fcripturam recepit Zeune, excepta tamen particula δέ; eam cum Budenfis libri lectione junximus præeunte Weifkio.

18. Τί οὖν] Ex Guelf. τί δ' ἔφη Zeune dedit, quod et ipfe prætulerim, quoniam ifta formula conclufioni magis videtur infervire.

Ἔτι ἂν] Guelf. cum libro Brodæi ὅτι ἄν.

βούλοισθ' ἂν ἀποτελοῦντες, ὅσαπερ οἱ ἄλλοι Ἀρμένιοι,
ἐξεῖναι ὑμῖν, τῆς Ἀρμενίας γῆς ἐργάζεσθαι, ὁπόσην ἂν
θέλητε; Ἔφασαν οἱ Χαλδαῖοι, εἰ πιστεύοιμεν μὴ ἀδι-
κήσεσθαι. Τί δὲ σύ, ἔφη, ὦ Ἀρμένιε; βούλοιο ἄν σοι 19
τὴν νῦν ἀργὸν οὖσαν γῆν ἐνεργὸν γενέσθαι, εἰ μέλλοιεν τὰ
νομιζόμενα [παρά] σοὶ ἀποτελεῖν οἱ ἐργαζόμενοι; Ἔφη
ὁ Ἀρμένιος πολλοῦ ἂν τοῦτο πρίασθαι· πολὺ γὰρ ἂν
αὐξάνεσθαι τὴν πρόσοδον. Τί δ', ὑμεῖς, ἔφη, ὦ Χαλ- 20
δαῖοι; ἐπεὶ ὄρη ἀγαθὰ ἔχετε, ἐθέλοιτ' ἂν ἐᾶν νέμειν
ταῦτα τοὺς Ἀρμενίους, εἰ ὑμῖν μέλλοιεν οἱ νέμοντες τὰ
δίκαια ἀποτελεῖν; Ἔφασαν οἱ Χαλδαῖοι· πολλὰ γὰρ
ἂν ὠφελεῖσθαι, οὐδὲν πονοῦντας. Σὺ δέ, ἔφη, ὦ Ἀρ-
μένιε, ἐθέλοις ἂν ταῖς τούτων νομαῖς χρῆσθαι, εἰ μέλ-
λοις, μικρὰ ὠφελῶν Χαλδαίους, πολὺ πλείω ὠφεληθή-
σεσθαι; Καὶ σφόδρα ἄν, ἔφη, εἴπερ οἰοίμην ἀσφαλῶς
νέμειν. Οὐκοῦν, ἔφη, ἀσφαλῶς ἂν νέμοιτε, εἰ τὰ ἄκρα
ἔχοιτε σύμμαχα; Ἔφη ὁ Ἀρμένιοις. Ἀλλὰ μὰ Δί', 21
ἔφασαν οἱ Χαλδαῖοι, οὐκ ἂν ἡμεῖς ἀσφαλῶς ἐργαζοί-

βούλοισθ' ἂν] Edd. primæ ἢ (id est ἦ) βουλ. ἂν primus Stephanus, addicente Guelf. omisit ἤ. deinde οἱ ἄλλοι Ἀρμένιοι cum Stephano ex libro Brodæi et Guelf. posui, cum reliquæ Edd. ἄλλοι omittant, etiam Altorf. liber ἄλλοι et deinde γῆς ab aliena addita manu habet.

θέλητε] Ita ex Guelf. Zeune pro βούλησθε, ut oratio varietur.

19. βούλοιο ἂν σοι] Juntina βούλει ἄν. Isingr. βούλοι' ἄν. Brodæi liber βούλει ἄν σοι. Guelf. βούλοιο ἄν σοι, unde σοι cum Zeunio adjunximus.

ἀργὸν] Juntina ἀργὴν cum Guelf. et libro Brodæi, in quo erat scriptum τὴν νῦν ἀργὴν χώραν οὖσαν, γῆν ἐνεργόν. Altorf. ἀργὴν ἐνεργὸν ποιῆσαι γενέσθαι, ubi verbum ποιῆσαι suppositis punctis damnatur. Guelf. ἀργὴν οὖσαν χώραν, ἐνεργόν. unde χώραν recepit Zeune.

[παρὰ] σοὶ] Cum Mureto seclusi παρά. Sunt τὰ νομιζόμενα, quæ deinde τὰ δίκαια dicuntur et σοι pertinet ad ἀποτελεῖν. Articulum ante ἐργαζόμενοι in Guelf. corrector addidit.

20. ἐθέλοιτ'] Juntina εἰ θέλοιτ' et statim Edd. primæ εἰ θέλοις habent. Sequens μέλλοις ex Editione Castal. et Steph. pro μέλλεις recepit Zeune. Ante ἔφασαν Philelphus σφόδρα scriptum legit et vertit.

εἴπερ οἰοίμην] Ita Stephanus cum libro Brodæi et Gabrielis in Editione posteriore scripsit: Aldina εἰ οἰοίμην ἀσφαλὲς νέμειν. quod expressit Philelphus. εἰ οἰοίμην ἀσφαλῶς Bodl. et Altorf. εἰ ἡμῖν ἀσφαλὲς cum Juntina, Budensi et Guelf. dedit Zeune: quæ lectio posset similiter probari, si conditionem adjunctam hanc haberet εἴ γ' ἡμῖν ἀσφαλές.

οὐκοῦν, ἔφη] Juntina, Isingr. Guelf. ἔφη omittunt, deinde ἔχοιμεν habent. Altorf. ἀσφαλῶς νέμοιτε omisso ἄν; in Guelf. νέμοντες esse ait Zeune.

μεθα μὴ ὅτι τὴν τούτων, ἀλλ' οὐδ' ἂν τὴν ἡμετέραν, εἰ οὗτοι τὰ ἄκρα ἔχοιεν. Εἰ δ' ὑμῖν αὖ, ἔφη, τὰ ἄκρα σύμμαχα εἴη; Οὕτως ἄν, ἔφασαν, ἡμῖν καλῶς ἔχοι. Ἀλλὰ μὰ Δί', ἔφη ὁ Ἀρμένιος, οὐκ ἂν ἡμῖν αὖ καλῶς ἔχοι, εἰ οὗτοι παραλήψονται πάλιν τὰ ἄκρα, ἄλλως τε
22 καὶ τετειχισμένα. Καὶ ὁ Κῦρος εἶπεν, Οὑτωσὶ τοίνυν, ἔφη, ἐγὼ ποιήσω· οὐδετέροις ὑμῶν τὰ ἄκρα παραδώσω, ἀλλὰ ἡμεῖς φυλάξομεν αὐτά· κἂν ἀδικῶσιν ὑμῶν ὁποτεροιοῦν, σὺν τοῖς ἀδικουμένοις ἡμεῖς ἐσόμεθα.

23 Ὡς δ' ἤκουσαν ταῦτα ἀμφότεροι, ἐπήνεσαν, καὶ ἔλεγον, ὅτι οὕτως ἂν μόνως ἡ εἰρήνη βεβαία γένοιτο. Καὶ ἐπὶ τούτοις ἔδοσαν καὶ ἔλαβον πάντες τὰ πιστά· καὶ ἐλευθέρους μὲν ἀμφοτέρους ἀπ' ἀλλήλων εἶναι συνετίθεντο, ἐπιγαμίας δ' εἶναι, καὶ ἐπεργασίας, καὶ ἐπινομίας· καὶ συμμαχίαν δὲ κοινήν, εἴ τις ἀδικοίη ὁποτε-

21. Εἰ δ' ὑμῖν αὖ] Τί δ' ὑμῖν αὖ ſcriptum vertit Philelphus. Ante Zeunium erat εἰ δ' ὑμῖν ἄν. deinde εἶεν Guelf.

Ἀλλὰ μὰ—Ἀρμένιος] Hæc omiſit Juntina. deinde αὖ καλῶς ex Philel. Guelf. et Altorf. Zeune. Antea erat νῦν καλῶς. Sequens πάλιν Juntina omiſit.

22. τοίνυν, ἔφη] Hoc ordine cum Guelf. Zeune ἔφη collocavit; Edd. poſt ποιήσω rejiciunt: deinde οὐδετέροις ὑμῖν Edd. primæ. poſtea ὁπότεροι (omiſſo οὖν) ἡμεῖς ἐσόμεθα. Vulgo erat ἐσομ. ἡμεῖς ordine inverſo.

23. ταῦτ' ἀμφότεροι] Ordinem invertit Guelf. ſequens ὅτι ex libris Brodæi, Gabriel. Bodl. Guelf. additum eſt.

ἂν μόνως] Dedi Guelf. ſcripturam. Vulgo erat ἂν εἴη μόνως εἰρήνη βεβαία. In Altorf. βεβαίως eſt, vulgato ſupra ſcripto.

ἔδοσαν καὶ ἔλ.] Guelf. ἔλαβον καὶ ἔδοσαν.

ἀμφοτέρους] Omittit Altorf. et συνετ. εἶναι deinceps habet: poſtea ὑπεργασίας Aldina. Verum ἐπεργ. cum ἐπινομία ex h. l. retulit Pollux 7, 142.

συμμαχίαν] Ex Guelf. et margine Steph. Leoncl. ἐπισυμμ. dedit Zeune, quod rejecit Weiſke, quoniam ἐπισυμμαχία dicatur eadem, quæ συμμαχία κοινή. Locus in Epiſtola Philippi apud Demoſthenem p. 160. ubi ἐπισυμμαχία legitur, variatur tamen in libris ſcriptis. Verum ſi ἐπιμαχία eſt ſocietas belli ad propulſandam hoſtium injuriam, eoque diverſa a συμμαχίᾳ, ut vult Scholiaſtes Thucydidis 1, 44. fuerit etiam fortaſſe ἐπισυμμαχία diverſa a συμμαχίᾳ κοινῇ. Nam Cyrus potuiſſet ſtipulari ſibi συμμαχίαν ab Armeniis et Chaldæis victis; ita ut hi contra victoris συμμαχίαν implorarent, quoties ea uti vellent. Κοινὴ igitur eſſe συμμαχία hic promiſſa videri poſſit, ita tamen ut hoſtium tantum injuriæ propulſentur, non vero provocentur. Atque ejuſmodi forte fœdus fuerit ἐπισυμμαχία κοινὴ dictum. In Guelf. tamen ἐπὶ συμμαχίαν ſcriptum eſt; et deinde ποτέρους, correctum tamen; ὁποτέρου του Aldina, ὁποτέρους Iſingr. ὁποτέρους που aut του libri Brodæi.

ρουσοῦν. Οὕτω μὲν τότε διεπράχθη· καὶ νῦν δὲ ἔτι 24
οὕτω διαμένουσιν αἱ τότε γενόμεναι συνθῆκαι Χαλδαίοις
καὶ τῷ τὴν Ἀρμενίαν ἔχοντι. Ἐπεὶ δὲ αἱ συνθῆκαι
ἐγένοντο, εὐθὺς συνετείχιζόν τε ἀμφότεροι προθύμως ὡς
κοινὸν φρούριον, καὶ τὰ ἐπιτήδεια συνεισῆγον. Ἐπεὶ δὲ 25
ἑσπέρα προσῄει, συνδείπνους ἔλαβεν ἀμφοτέρους πρὸς
ἑαυτὸν, ὡς φίλους ἤδη. Συσκηνούντων δὲ, εἶπέ τις τῶν
Χαλδαίων, ὅτι τοῖς μὲν ἄλλοις σφῶν πᾶσιν εὐκτὰ ταῦτα
εἴη· εἰσὶ δὲ τινὲς τῶν Χαλδαίων, οἳ ληϊζόμενοι ζῶσι, καὶ
οὔτ' ἂν ἐπίσταιντο ἐργάζεσθαι, οὔτ' ἂν δύναιντο, εἰθισμέ-
νοι ἀπὸ πολέμου βιοτεύειν· ἀεὶ γὰρ ἐληΐζοντο ἢ ἐμισθο-
φόρουν, πολλάκις μὲν παρὰ τῷ τῶν Ἰνδῶν βασιλεῖ, (καὶ
γὰρ, ἔφασαν, πολύχρυσος ὁ ἀνὴρ) πολλάκις δὲ καὶ παρ'
Ἀστυάγει. Καὶ ὁ Κῦρος ἔφη, Τί οὖν οὐ καὶ νῦν παρ' 26
ἐμοὶ μισθοφοροῦσιν; ἐγὼ γὰρ δώσω, ὅσον τις καὶ ἄλλος
πλεῖστον δήποτε ἔδωκε. Συνέφασάν οἱ, καὶ πολλούς
γε ἔσεσθαι ἔλεγον τοὺς ἐθελήσοντας.

Καὶ ταῦτα μὲν δὴ οὕτω συνωμολογεῖτο. Ὁ δὲ Κῦρος 27
ὡς ἤκουσεν, ὅτι πρὸς τὸν Ἰνδὸν πολλάκις οἱ Χαλδαῖοι
ἐπορεύοντο, ἀναμνησθεὶς, ὅτι ἦλθον παρ' αὐτοῦ κατασκε-
ψόμενοι εἰς Μήδους τὰ αὐτῶν πράγματα, καὶ ᾤχοντο
πρὸς τοὺς πολεμίους, ὅπως αὖ καὶ τὰ ἐκείνων κατίδωσιν,
ἐβούλετο μαθεῖν τὸν Ἰνδὸν τὰ αὐτῷ πεπραγμένα. Ἤρξατο 28

Legatos ad Indorum regem de pecunia in belli ſumtus mutuo ſibi danda mittit.

24. μὲν τότε] Ex Guelf. οὖν interſeruit Zeune; deinde γεγένηντο Guelf. poſtea συνετειχίζοντο ἀμφότεροι Altorf.

25. προσῄει] Guelf. προσείη. idem συσκηνούντων dedit cum margine Steph. pro συνδειπνούντων. Ita noſter alibi utitur eodem verbo, et affini διασκηνοῦν. Poſtea ταῦτ' εὐκτὰ Guelf.

οὔτ' ἂν ἐπίσταιντο] Guelf. οὔτ' ἐπίστανται. Stephanus οὐδ' ἂν bis dedit. deinde ἢ pro καὶ ex Guelf. dedimus cum Zeunio.

πολλάκις] Antepoſitum vulgo καὶ Zeune ſecluſit, ego cum Philel. Guelf. et Altorf. omiſi. τῶν ex Guelf. acceſſit. πολύχρυσος ἀνὴρ Altorf.

26. πολλούς γε] Juntina γε omiſit.

27. πολλάκις] Guelf. poſt ὅτι collocat.

κατασκεψόμενοι] Quod e Philelphi verſione dedit Stephanus, recepi in locum vulgati κατασκεψάμενοι. Paulo antea forte οἱ παρ' αὐτοῦ præſtaret, ut ſect. 30. ὁ παρ' ἐμοῦ, legatus meus.

τὸν Ἰνδὸν] Hæc cum Juntina Budenſis liber omittit. deinde ἑαυτῷ Guelf.

οὖν λόγου τοιοῦδε· Ὦ Ἀρμένιε, ἔφη, καὶ ὑμεῖς οἱ Χαλ-
δαῖοι, εἴπατέ μοι, εἴ τινα ἐγὼ νῦν τῶν ἐμῶν ἀποστέλλοιμι
πρὸς τὸν Ἰνδὸν, συμπέμψαιτ᾽ ἄν μοι τῶν ὑμετέρων, οἵ-
τινες αὐτῷ τήν τε ὁδὸν ἡγοῖντο ἂν, καὶ συμπράττοιεν, ὥστε
γενέσθαι ἡμῖν παρὰ τοῦ Ἰνδοῦ, ἃ ἐγὼ βούλομαι; ἐγὼ
γὰρ χρήματα μὲν προσγενέσθαι ἔτι ἂν βουλοίμην ἡμῖν,
ὅπως ἔχω καὶ μισθὸν ἀφθόνως διδόναι, οἷς ἂν δέῃ, καὶ
τιμᾷν καὶ δωρεῖσθαι τῶν στρατευομένων τοὺς ἀξίους·
τούτων μὲν δὴ ἕνεκα βούλομαι ὡς ἀφθονώτατα χρήματα
ἔχειν· δεῖσθαι δὲ τούτων νομίζω. Τῶν μὲν ὑμετέρων
ἡδύ μοι φείδεσθαι· φίλους γὰρ ὑμᾶς ἤδη νομίζω·
29 παρὰ δὲ τοῦ Ἰνδοῦ ἡδέως ἂν λάβοιμι, εἰ διδοίη. Ὁ
οὖν ἄγγελος, ᾧ κελεύω ὑμᾶς ἡγεμόνας δοῦναι καὶ
συμπράκτορας γενέσθαι, ἐλθὼν ἐκεῖσε, λέξει ὧδε·
Ἔπεμψέ με Κῦρος, ὦ Ἰνδὲ, πρός σε· φησὶ δὲ προσδεῖ-
σθαι χρημάτων, προσδεχόμενος καὶ ἄλλην στρατιὰν
οἴκοθεν ἐκ Περσῶν· (καὶ γὰρ προσδέχομαι, ἔφη) ἢν οὖν
αὐτῷ πέμψῃς, ὁπόσα σοι προχωρεῖ, φησὶν, ἢν Θεὸς
ἀγαθὸν τέλος διδῷ αὐτῷ, πειράσεσθαι ποιῆσαι, ὥστε
σε νομίζειν καλῶς βεβουλεῦσθαι, χαρισάμενον αὐτῷ.

28. Ἀρμένιε] In Guelf. antea erat Ἀρμένιοι: ex eodem et Altorf. ὦ Χαλδαῖοι dedit Zeune. Verba εἴπατέ μοι omittit Altorf. liber.

νῦν τῶν] Ex Guelf. νῦν addidimus cum Zeunio: deinde ἀποστελλοίμην Guelf. in Altorf. eſt ἀποστέλλοί μην. ſed η et ν ſunt ab aliena manu ſcriptæ literæ, et η fuit alia litera.

αὐτῷ τήν τε] Juntina αὐτῶν; Guelf. τε omiſit.

στρατευομένων] Margo Steph. συστρατευομένων.

μὲν δὴ] In Guelf. μὲν corrector addidit, item ſequens δέ. Stephanus νομίζων edidit, quod eſt in Bodl.

Τῶν μὲν] Guelf. τῶν δὲ ὑμετέρων—μοι ἀπέχεσθαι φαίνεται. ut liber Brodæi; vulgatam tamen corrector annotavit; Altorf. φείδεσθαι et in margine φαίνεται habet ab aliena manu. Recte Zeunius Τῶν μὲν δὴ rectius legi ſuſpicatus eſt. deinde ἤδη ὑμᾶς Guelf.

29. ἡγεμόνας] Singularem etiam in ſequenti vocabulo præbet Juntina; deinde ὧδε λέξει Guelf. Altorf.

καὶ ἄλλην] Copulam cum Philelpho Guelf. et Altorf. omittunt.

πειράσεσθαι] Cum Stephano ex Guelf. hoc dedit Zeune pro πειρᾶσθαι. Altorf. ποιήσειν habet.

βεβουλεῦσθαι] Juntina βεβουλεῦσαι: deinde ὥστε σε ex Edd. primis revocavi, quod cum Guelf. omiſerat Zeune et Weiſke; itaque ſequebatur ut cum Brodæo et Stephano vulgatum χαρισάμενος corrigerem etiam.

Ταῦτα μὲν ὁ παρ' ἐμοῦ λέξει· τοῖς δὲ παρ' ὑμῶν ὑμεῖς 30
αὖ ἐπιστέλλετε, ὅ τι ὑμῖν δοκεῖ συμφέρον εἶναι. Καὶ ἣν μὲν λάβωμεν, ἔφη, παρ' αὐτοῦ, ἀφθονωτέροις χρησόμεθα· ἢν δὲ μὴ λάβωμεν, εἰσόμεθα, ὅτι οὐδεμίαν αὐτῷ χάριν ὀφείλομεν, ἀλλ' ἐξέσται ἡμῖν, ἐκείνου ἕνεκα, πρὸς τὸ ἡμέτερον συμφέρον πάντα τίθεσθαι. Ταῦτ' εἶπεν ὁ 31
Κῦρος, νομίζων τοὺς ἰόντας Ἀρμενίων καὶ Χαλδαίων τοιαῦτα λέξειν περὶ αὐτοῦ, οἷα αὐτὸς ἐπεθύμει πάντας ἀνθρώπους καὶ λέγειν καὶ ἀκούειν περὶ αὐτοῦ. Καὶ τότε μὲν δή, ὁπότε καλῶς εἶχε, διαλύσαντες τὴν σκηνήν, ἀνεπαύοντο.

CAP. III.

Cyrum redeuntem excipiunt honorifice deducuntque abeuntem Armenii.

ΤΗ δ' ὑστεραίᾳ ὅ τε Κῦρος ἔπεμπε τὸν ἄγγελον, ἐπιστείλας ὅσαπερ ἔφη, καὶ ὁ Ἀρμένιος καὶ οἱ Χαλδαῖοι συνέπεμπον, οὓς ἱκανωτάτους ἐνόμιζον εἶναι καὶ συμπρᾶξαι καὶ εἰπεῖν περὶ τοῦ Κύρου τὰ προσήκοντα.

Ἐκ δὲ τούτου παρασκευάσας ὁ Κῦρος τὸ φρούριον καὶ φύλαξιν ἱκανοῖς καὶ τοῖς ἐπιτηδείοις πᾶσι, καὶ ἄρχοντα αὐτῶν καταλιπὼν Μῆδον, ὃν ᾤετο Κυαξάρει ἂν μάλιστα χαρίσασθαι, ἀπῄει συλλαβὼν τὸ ἕτερον στράτευμα, ὅσον

30. Ταῦτα μὲν ὁ] Philelphus Καὶ ταῦτα μὲν δὴ παρ' ἐμοῦ ſcriptum legit et vertit; idem ſequens αὖ omiſit.

συμφέρον] Guelf. σύμφορον δοκοίη εἶναι. ſed συμφέρον corrector dedit.

λάβωμεν, ἔφη] Stephanus ἔφη addidit, quod habet etiam Guelf.

οὐδεμίαν αὐτῷ] Guelf. αὐτῷ ὅτι οὐδεμίαν χάριν ὀφείλοιμεν—ἐκείνου ἕνεκεν. deinde ἐκείνου σύμφορον Altorf. ſed in margine ἡμέτερον ab alia manu additum legitur.

31. ἰόντας] Inepte Altorfinus liber ἰδιώτας dat.

ἐπεθύμει] Guelf. ἐπιθυμεῖ—ἀνθρώπους λέγειν περὶ αὐτοῦ. ſed corrector καὶ ἀκούειν addidit.

1. συνέπεμπον] Guelf. συνέπεμψαν. Articulum ante Κύρου ex Iſingr. Bryl. Argent. cum Zeunio addidi.

παρασκευάσας ὁ Κῦρος] Ita ex Guelf. Zeune: Stephanus ὁ Κ. παρ. dedit. antea erat: ὁ Κ. ἐπιτελέσας.

τὸ ἕτερον] Juntina τε καὶ ἕτερον. Aldina, Philel. Bodl. tantum τὸ omiſſo ἕτερον. Brodæi liber et Guelf. τὸ ἕτερον, quod Stephanus recepit. Ex Juntina lectione ἑκάτερον effecit Zeune. Ego Aldinam cum Stephano ſequi malim. ἕτερον Weiſkius ait reſpicere ad partem præſidii a Cyro in caſtello relictam.

τε ἦλθεν ἔχων, καὶ ὃ παρ' Ἀρμενίων προσέλαβε, καὶ
τοὺς παρὰ Χαλδαίων, εἰς τετρακισχιλίους, οἳ ᾤοντο καὶ
ξυμπάντων τῶν ἄλλων κρείττονες εἶναι.
2 Ὡς δὲ κατέβη εἰς τὴν οἰκουμένην, οὐδεὶς ἔμεινεν ἔνδον
Ἀρμενίων, οὔτε ἀνὴρ, οὔτε γυνὴ, ἀλλὰ πάντες ὑπήντων,
ἡδόμενοι τῇ εἰρήνῃ, καὶ φέροντες, καὶ ἄγοντες, εἴ τι ἕκα-
στος ἄξιον εἶχε. Καὶ ὁ Ἀρμένιος τούτοις οὐκ ἤχθετο,
οὕτως ἂν νομίζων καὶ τὸν Κῦρον μᾶλλον ἥδεσθαι τῇ ὑπὸ
πάντων τιμῇ. Τέλος δ' οὖν ὑπήντησε καὶ ἡ γυνὴ τοῦ
Ἀρμενίου, τὰς θυγατέρας ἔχουσα καὶ τὸν νεώτερον υἱόν·
καὶ σὺν ἄλλοις δώροις καὶ τὸ χρυσίον ἐκόμιζεν, ὃ πρότε-
3 ρον οὐκ ἤθελε λαβεῖν ὁ Κῦρος. Καὶ ὁ Κῦρος ἰδὼν, εἶπεν,
Ὑμεῖς ἐμὲ οὐ ποιήσετε μισθοῦ περιϊόντα εὐεργετεῖν·
ἀλλὰ σὺ, ὦ γύναι, ἔχουσα ταῦτα τὰ χρήματα, ἃ φέ-
ρεις, ἄπιθι, καὶ τῷ μὲν Ἀρμενίῳ μηκέτι δὸς αὐτὰ κατο-
ρύξαι· ἔκπεμψον δὲ τὸν σὸν υἱὸν, ὡς κάλλιστα ἀπ' αὐ-
τῶν κατασκευάσασα, ἐπὶ τὴν στρατείαν· ἀπὸ δὲ τῶν
λοιπῶν κτῶ καὶ σαυτῇ, καὶ τῷ ἀνδρὶ, καὶ ταῖς θυγα-
τράσι, καὶ τοῖς υἱοῖς, ὅ τι κεκτημένοι καὶ κεκοσμημένοι
κάλλιον καὶ ἥδιον τὸν αἰῶνα διάξετε· εἰς δὲ τὴν γῆν, ἔφη,
ἀρκείτω τὰ σώματα, ὅταν ἕκαστος τελευτήσῃ, κατα-
4 κρύπτειν. Ὁ μὲν ταῦτα εἰπὼν παρήλασεν· ὁ δὲ Ἀρ-
μένιος συμπροὔπεμπε, καὶ οἱ ἄλλοι πάντες ἄνθρωποι,
ἀνακαλοῦντες τὸν εὐεργέτην, τὸν ἄνδρα τὸν ἀγαθόν. Καὶ

2. εἴ τι ἕκαστος] id eſt ὅτι, quod ipſum eſt in libro Brodæi, Bodl. Guelf. Altorf. et margine Steph.

Τέλος δ' οὖν] Ita Steph. et Guelf. οὖν abeſt ab Edd. primis et Altorf. libro.

καὶ τὸ χρυσίον] Guelf. καὶ et ſequentem articulum ante Κῦρος omiſit.

3. ἰδὼν] Junt. εἰδών. Guelf. λαβών. deinde χρήματα Codex omittit Guelf.

καὶ τῷ μὲν] Ex Guelf. μὲν recepit Zeune: idem liber δῶς deinde στρατιὰν habet, quam poſteriorem formam dedit Zeune. Pro ἀπ' αὐτῶν Aldina ἁπάντων habet. In Guelf. ἔκπεμψαι δὲ τὸν υἱὸν eſt, ſed vulgata a correctore addita eſt.

κεκοσμημένοι] In Altorf. κοσμηθεῖ, literis ευθε punctatis et μενοι ſupra poſito.

4. παρήλασεν] Ita pro παρήλαυνεν Guelf. idem deinde λοιποὶ πάντες.

ταῦτ' ἐποίουν, ἕως ἐκ τῆς χώρας ἐξέπεμψαν. Συναπέ-
στειλε δὲ αὐτῷ ὁ Ἀρμένιος καὶ στρατιὰν πλείονα, ὡς
εἰρήνης οἴκοι οὔσης. Οὕτω δὴ ὁ Κῦρος ἀπῄει, κεχρημα- 5
τισμένος, οὐχ ἃ ἔλαβε μόνον χρήματα, ἀλλὰ πολὺ
πλείονα τούτων ἑτοιμασάμενος διὰ τὸν τρόπον, ὥστε
λαμβάνειν, ὁπότε δέοιτο. Καὶ τότε μὲν ἐστρατοπεδεύ-
σατο ἐν τοῖς μεθορίοις. Τῇ δ' ὑστεραίᾳ τὸ μὲν στρά-
τευμα καὶ τὰ χρήματα ἔπεμψε πρὸς Κυαξάρην, (ὁ δὲ
πλησίον ἦν, ὥσπερ ἔφησεν·) αὐτὸς δὲ σὺν Τιγράνῃ καὶ
Περσῶν τοῖς ἀρίστοις ἐθήρα, ὅπου περ ἐπιτυγχάνοιεν θη-
ρίοις, καὶ εὐφραίνετο.

Ἐπεὶ δὲ ἀφίκετο εἰς Μήδους, τῶν χρημάτων ἔδωκε 6
τοῖς ἑαυτοῦ ταξιάρχοις, ὅσα ἐδόκει ἑκάστῳ ἱκανὰ εἶναι,
ὅπως καὶ ἐκεῖνοι ἔχοιεν τιμᾶν, εἴ τινας ἄγαιντο τῶν ὑφ'
ἑαυτούς· ἐνόμιζε γὰρ, εἰ ἕκαστος τὸ μέρος ἀξιέπαινον
ποιήσειε, τὸ ὅλον αὐτῷ καλῶς ἔχειν. Καὶ αὐτὸς δὲ,
εἴτι που καλὸν ἴδοι εἰς τὴν στρατιὰν, τοῦτο κτώμενος διε-
δωρεῖτο τοῖς ἀεὶ ἀξιωτάτοις· νομίζων, ὅ τι καλὸν κἀγα-
θὸν ἔχοι τὸ στράτευμα, τούτοις ἅπασιν αὐτὸς κεκοσμῆ-
σθαι. Ἡνίκα δὲ αὐτοῖς διεδίδου, ὧν ἔλαβεν, ἔλεξεν ὧδε 7

Ornatis et excitatis militibus Cyrus persuadet Cyaxari, ut jam in hostium regionem educatur exercitus: in qua praedando et cuncta vastando accedunt ad hostes.

ἐξέπεμψαν] Liber Brodæi et Guelf. ἀπῆν. Margo Steph. ἀπήει. deinde αὐτῷ καὶ ὁ Ἀρμ. Guelf.

5. ὁ Κῦρος] Articulum Edd. primæ omittunt; deinde ἡτοιμασμένος ex Guelf. et libro Brodæi Zeune dedit. Sequens ἐστρατοπεδεύσατο eſt ex eodem Guelf. et Philel. Vulgo pluralis numerus legitur.

ὅπου περ] Ita cum Guelf. Zeune pro ὅπου; deinde ἐπιτυγχάνοι Philel. et Leoncl. interpretati ſunt.

6. τῶν χρημάτων] Ita cum Philelpho liber Brodæi, Gabr. Bodl. Guelf. Altorf. deinde τοῖς αὐτοῦ Guelf. et Zonaras. ὡς ἐδόκει Altorf. *ut exiſtimabat* Philelphus. poſtea οἵτινες male Guelf.

ἄγαιντο] Ita cum Stephano libri Gabriel. Guelf. et Altorf. pro ἄγοιντο. Pro ἑαυτοὺς in Guelf. eſt ἑαυτοῖς, ſed correctum.

εἴτι που] Juntina cum Guelf. ὅτι που. deinde ἐς στρατιὰν Guelf. poſtea ταῦτα κτώμενος Juntina et Altorf. In Altorf. erat ὅτι που καλὸν εἴδοιεν εἰς στρατιὰν, ſed correctum ἴδοιεν.

διεδωρεῖτο] Ita cum Stephano Guelf. pro ἐδωρεῖτο. deinde ἀεὶ ex Guelf. inſerui.

νομίζων, ὅ τι] Juntina τοῦτο νομίζων. et libri Brodæi εἴ τι dabant.

πως εἰς τὸ μέσον τῶν ταξιάρχων, καὶ λοχαγῶν, καὶ
πάντων, οὓς ἐτίμα·
Ἄνδρες φίλοι, δοκεῖ ἡμῖν εὐφροσύνη τὶς νῦν παρεῖναι,
καὶ ὅτι εὐπορία τὶς προσγεγένηται, καὶ ὅτι ἔχομεν, ἀφ'
ὧν τιμᾷν ἕξομεν, οὓς ἂν βουλώμεθα, καὶ τιμᾶσθαι, ὡς
8 ἂν ἕκαστος ἄξιος ᾖ. Πάντως δὴ ἀναμιμνησκώμεθα,
τὰ ποῖα ἄττα ἔργα τούτων τῶν ἀγαθῶν ἐστὶν αἴτια·
σκοπούμενοι γὰρ εὑρήσετε, τό τε ἀγρυπνῆσαι, ὅπου ἔδει,
καὶ τὸ πονῆσαι, καὶ τὸ σπεῦσαι, καὶ τὸ μὴ εἶξαι τοῖς
πολεμίοις. Οὕτως οὖν χρὴ καὶ τολοιπὸν ἄνδρας ἀγα-
θοὺς εἶναι, γιγνώσκοντας, ὅτι τὰς μεγάλας ἡδονὰς καὶ
τὰ ἀγαθὰ τὰ μεγάλα ἡ πειθὼ, καὶ ἡ καρτερία, καὶ οἱ
ἐν τῷ καιρῷ πόνοι καὶ κίνδυνοι παρέχονται.
9 Κατανοῶν δὲ ὁ Κῦρος, ὡς εὖ μὲν αὐτῷ εἶχον τὰ σώ-
ματα οἱ στρατιῶται, πρὸς τὸ δύνασθαι στρατιωτικοὺς
πόνους φέρειν, εὖ δὲ τὰς ψυχὰς, πρὸς τὸ καταφρονεῖν
τῶν πολεμίων, ἐπιστήμονες δὲ ἦσαν τὰ προσήκοντα τῇ
ἑαυτῶν ἕκαστος ὁπλίσει, καὶ πρὸς τὸ πείθεσθαι δὲ τοῖς
ἄρχουσιν ἑώρα πάντας εὖ παρεσκευασμένους· ἐκ τούτων
οὖν ἐπεθύμει τι ἤδη πρὸς τοὺς πολεμίους πράττειν· γιγ-
νώσκων, ὅτι ἐν τῷ μέλλειν πολλάκις τοῖς ἄρχουσι καὶ
10 τῆς καλῆς παρασκευῆς ἀλλοιοῦταί τι· Ἔτι δ' ὁρῶν, ὅτι
φιλοτίμως ἔχοντες, ἐν οἷς ἀντηγωνίζοντο, πολλοὶ καὶ ἐπι-

7. οὓς ἐτίμα] Ita cum Aldina Steph. ὅσους Juntina, Philel. Guelf.

τιμᾶσθαι] Ut ornemur ſenſu paſſivo, interpretatur Zeune. ὧν ἂν Leonclavius in margine Edit. ſuæ poſuit. Mihi locus magis placeret, ſi omiſſo τιμᾶσθαι legeretur βουλώμεθα καὶ ὧν ἂν ἕκαστος ἄξιος ᾖ. Nam durum eſſe videtur verbis καὶ τιμᾶσθαι—ᾖ Cyrum cum ταξιάρχοις et λοχαγοῖς comprehendi. Ceterum ἀξιώσοι eſt in Guelf. ſed correctum.

8. Πάντως δὴ] Iſingr. cum Philelpho π. δὲ, quod equidem ſcriptum malim.

9. καταφρονεῖν] Guelf. φρονεῖν κατὰ τῶν. ſed correctum.

ἑαυτῶν ἕκαστος] Altorf. ἕκαστοι ſuper raſura ſcriptum habet.

ἤδη πρὸς] Ex Juntina in recentiores Editiones ἤδη τῶν πρὸς irrepſit, de quo nec Zeune nec Weiſke admonuit. Poſt ἀλλοιοῦται Bryl. cum Caſtal. et Argent. τι omiſerunt.

φθόνως εἶχον πρὸς ἀλλήλους τῶν στρατιωτῶν, καὶ τῶνδε
ἕνεκα ἐξάγειν αὐτοὺς ἐβούλετο εἰς τὴν πολεμίαν ὡς τά-
χιστα· εἰδὼς, ὅτι οἱ κοινοὶ κίνδυνοι φιλοφρόνως ποιοῦσιν
ἔχειν τοὺς συμμάχους πρὸς ἀλλήλους, καὶ οὐκέτι ἐν
τούτῳ οὔτε τοῖς ἐν ὅπλοις κοσμουμένοις φθονοῦσιν, οὔτε
τοῖς δόξης ἐφιεμένοις, ἀλλὰ μᾶλλον καὶ ἐπαινοῦσι καὶ
ἀσπάζονται οἱ τοιοῦτοι τοὺς ὁμοίους· νομίζοντες συνεργοὺς
αὐτοὺς τοῦ κοινοῦ ἀγαθοῦ εἶναι. Οὕτω δὴ πρῶτον μὲν 11
ἐξώπλισε τὴν στρατιὰν, καὶ κατέταξεν ὡς ἐδύνατο κάλ-
λιστά τε καὶ ἄριστα· ἔπειτα δὲ συνεκάλεσε μυριάρχους,
καὶ χιλιάρχους, καὶ ταξιάρχους, καὶ λοχαγούς. οὗτοι
γὰρ ἀπολελυμένοι ἦσαν τοῦ καταλέγεσθαι ἐν τοῖς τακ-
τικοῖς ἀριθμοῖς· καὶ ὁπότε δέοι ἢ ὑπακούειν τῷ στρατη-
γῷ, ἢ παραγγέλλειν τὶ, οὐδ᾽ ὣς οὐδὲν ἄναρχον κατελεί-
πετο, ἀλλὰ δωδεκαδάρχοις καὶ ἑξαδάρχοις πάντα τὰ
καταλειπόμενα διεκοσμεῖτο. Ἐπεὶ δὲ συνῆλθον οἱ ἐπι- 12
καίριοι, παράγων αὐτοὺς, ἐπεδείκνυέ τε αὐτοῖς τὰ καλῶς
ἔχοντα, καὶ ἐδίδασκεν, ᾗ ἕκαστον ἰσχυρὸν ἦν τῶν συμ-
μαχικῶν. Ἐπεὶ δὲ κἀκείνους ἐποίησεν ἐρωτικῶς ἔχειν
τοῦ ἤδη ποιεῖν τι, εἶπεν αὐτοῖς, νῦν μὲν ἀπιέναι ἐπὶ τὰς
τάξεις, καὶ διδάσκειν ἕκαστον τοὺς ἑαυτοῦ, ἅπερ αὐτὸς
ἐκείνους, καὶ πειρᾶσθαι [αὐτοὺς] ἐπιθυμίαν ἐμβαλεῖν
πᾶσι τοῦ στρατεύεσθαι, ὅπως εὐθυμότατα πάντες ἐξορ-
μῶνται, πρωῒ δὲ παρεῖναι ἐπὶ τὰς Κυαξάρους θύρας.

10. εἶχον] Juntina ἔσχον. deinde καὶ τούτων δὲ Guelf.

εἰδὼς] Juntina omifit; deinde κοινωνοὶ Ifingr. Bryl.

δόξης] Ex vitio Ifingr. τοῖς δόξοις correċtor Bryl. τοῖς τῆς δόξης effecit.

11. ἀπολελυμένοι] Budenfis liber ἀπολελειμμένοι τοῦ καταδεδέσθαι ἦσαν. Guelf. omiffo ἦσαν. deinde αὐτοῖς τακτικοῖς. Edd. primæ cum Altorfino libro ἀπολελυμμένοι τοῦ καταλέγεσθαι ἦσαν. poftea τῶν στρατηγῶν margo Steph.

12. ἐπικαίριοι] Margo Steph. Leoncl. ἐπίκουροι.

πειρᾶσθαι [αὐτοὺς]] Seclufi αὐτοὺς, quod in Guelf. correċtor addidit. Si locum obtinere fuum volueris, tum δεῖν intellige. deinde ἐμβάλλειν Guelf.

ἐξορμῶνται] Guelf. ἐξορμῶντο. non inepte. deinde πρωῒ δὲ καὶ παρεῖναι— Κυαξάρου.

13 Τότε μὲν δὴ ἀπιόντες οὕτως ἐποίουν· τῇ δ᾽ ὑστεραίᾳ ἅμα
τῇ ἡμέρᾳ παρῆσαν οἱ ἐπικαίριοι ἐπὶ τὰς θύρας. Σὺν
τούτοις οὖν ὁ Κῦρος, εἰσελθὼν πρὸς τὸν Κυαξάρην, ἤρξατο
λόγου τοιοῦδε·

Οἶδα μὲν, ἔφη, ὦ Κυαξάρη, ὅτι, ἃ μέλλω λέγειν, σοὶ
πάλαι δοκεῖ οὐδὲν ἧττον, ἢ ἡμῖν· ἀλλ᾽ ἴσως αἰσχύνῃ λέ-
γειν ταῦτα, μὴ δοκῇς, ἀχθόμενος, ὅτι τρέφεις ἡμᾶς,
14 ἐξόδου μεμνῆσθαι. Ἐπεὶ οὖν σὺ σιωπᾷς, ἐγὼ λέξω
ὑπὲρ σοῦ καὶ ὑπὲρ ἡμῶν. Ἡμῖν γὰρ δοκεῖ πᾶσιν, ἐπεί-
περ παρεσκευάσμεθα, μὴ, ἐπειδὰν ἐμβάλωσιν οἱ πολέ-
μιοι εἰς τὴν σὴν χώραν, τότε μάχεσθαι, μηδ᾽ ἐν τῇ φι-
λίᾳ καθημένους ἡμᾶς ὑπομένειν, ἀλλ᾽ ἰέναι ὡς τάχιστα
15 εἰς τὴν πολεμίαν. Νῦν μὲν γὰρ ἐν τῇ σῇ χώρᾳ ὄντες,
πολλὰ τῶν σῶν σινόμεθα ἄκοντες· ἢν δ᾽ εἰς τὴν πολε-
μίαν ἴωμεν, τὰ ἐκείνων κακῶς ποιήσομεν ἡδόμενοι.
16 Ἔπειτα νῦν μὲν σὺ ἡμᾶς τρέφεις, πολλὰ δαπανῶν· ἢν
δ᾽ ἐκστρατευώμεθα, θρεψόμεθα ἐκ τῆς πολεμίας.
17 Ἔτι δὲ εἰ μὲν μείζων τις ἡμῖν κίνδυνος ἔμελλεν εἶναι ἐκεῖ,
ἢ ἐνθάδε, ἴσως τὸ ἀσφαλέστατον ἦν ἂν αἱρετέον. Νῦν
δὲ ἴσοι μὲν ἐκεῖνοι ἔσονται, ἐάν τε ἐνθάδε ὑπομένωμεν,
ἐάν τε εἰς τὴν ἐκείνων ἰόντες ὑπαντῶμεν αὐτοῖς· ἴσοι δὲ

13. οὕτως ἐποίουν] Guelf. cum margine Steph. οὕτω πάντες ἐποίουν. idem deinde ἐπίκουροι habet, ſed correctum.

ἐπὶ τὰς] Guelf. omiſſo articulo deinde ἐλθὼν—ἤρχετο.

ἢ ἡμῖν] Juntina et Guelf. ἢ omiſit, ſed in Guelf. corrector addidit; ἢ ἐμοὶ Philelphus vertit.

ταῦτα, μὴ] Edd. primæ τοιαῦτα. Guelf. ταῦτα, Altorf. αὐτά.

14. ὑπὲρ σοῦ] Guelf. et liber Philel. καὶ ὑπὲρ σοῦ.

ἐπείπερ] Guelf. ἐπεί. deinde παρεσκευασάμεθα. poſtea vulgatum ἐμβάλλωσιν ex libro Philel. et Guelf. correxit Zeune.

15. πολεμίαν ἴωμεν] Ex Guelf. πολεμίων dedit Zeune; at ſic eſſe τὴν τῶν πολεμίων debebat. Ad ſequens ἐκείνων intellige τὴν πολεμίαν dictum pro τὴν τῶν πολεμίων γῆν. Altorf. ἐν τῇ σῇ πόλει ὄντες—ποιήσωμεν.

16. Ἔπειτα νῦν] Altorf. ἔπειτα δὲ νῦν.

17. Εἰ μὲν] Ita cum Stephano Zeune pro ἢν: Guelf. ἔμελλεν ἡμῖν: poſtea cum libris Brodæi ἤν τε—ἤν τε.

ὑπομένωμεν] Vulgatum ἐπιόντες αὐτοῖς μαχώμεθα ex libro Philelphi, Bodl. et Guelf. correxit Zeune præeunte Hutchinſono. ἐπιμένωμεν erat in libris Brodæi.

ἐκείνων] Edd. primæ εἰς ἐκείνην,

ἡμεῖς ὄντες μαχούμεθα, ἤν τε ἐνθάδε ἐπιόντας αὐτοὺς
δεχώμεθα, ἤν τε ἐπ' ἐκείνους ἰόντες τὴν μάχην συνάπτω-
μεν. Πολὺ μέντοι ἡμεῖς βελτίοσι καὶ ἐῤῥωμενεστέραις 18
ταῖς ψυχαῖς τῶν στρατιωτῶν χρησόμεθα, ἢν ἴωμεν ἐπὶ
τοὺς ἐχθροὺς, καὶ μὴ ἄκοντες δοκῶμεν ὁρᾷν τοὺς ϖολε-
μίους· ϖολὺ δὲ κἀκεῖνοι μᾶλλον ἡμᾶς φοβηθήσονται,
ὅταν ἀκούσωσιν, ὅτι οὐχ ὡς φοβούμενοι ϖτήσσομεν αὐ-
τοὺς οἴκοι καθήμενοι, ἀλλ', ἐπεὶ αἰσθανόμεθα ϖροσιόν-
τας, ἀπαντῶμέν τε αὐτοῖς, ἵν' ὡς τάχιστα συμμίξωμεν,
καὶ οὐκ ἀναμένομεν, ἕως ἂν ἡ ἡμετέρα χώρα κακῶται,
ἀλλὰ φθάνοντες ἤδη δῃοῦμεν τὴν ἐκείνων γῆν. Καίτοι, 19
ἔφη, εἴ τι ἐκείνους μὲν φοβερωτέρους ϖοιήσομεν, ἡμᾶς δὲ
αὐτοὺς θαῤῥαλεωτέρους, ϖολὺ τοῦτο ἡμῖν ἐγὼ ϖλεονέκ-
τημα νομίζω· καὶ τὸν κίνδυνον οὕτως ἡμῖν μὲν ἐλάττω
λογίζομαι, τοῖς δὲ ϖολεμίοις μείζω ϖολὺ ἂν μᾶλλον.
Καὶ ὁ ϖατὴρ αἰεὶ λέγει, καὶ σὺ φὴς, καὶ οἱ ἄλλοι δὲ
ϖάντες ὁμολογοῦσιν, ὡς αἱ μάχαι κρίνονται μᾶλλον ταῖς
ψυχαῖς, ἢ ταῖς τῶν σωμάτων ῥώμαις. Ὁ μὲν οὕτως 20
εἶπε· Κυαξάρης δὲ ἀπεκρίνατο,

Ἀλλ' ὅπως μὲν, ὦ Κῦρε, καὶ οἱ ἄλλοι Πέρσαι, ἐγὼ ἄχθομαι τρέφων ὑμᾶς, μηδ' ὑπονοεῖτε· τό γε μέντοι ἰέναι εἰς τὴν ϖολεμίαν, ἤδη καὶ ἐμοὶ βέλτιον εἶναι δοκεῖ

quod ex libro Brodæi et Guelf. correctum eſt. deinde ex marg. Steph. ἐπιόντες habet Welſiana.

ἐπιόντας] Edd. primæ ἐρχομένους. Noſtrum habet Bodl. ἐπιόντες αὐτοῖς μαχώμεθα Guelf. ſed corrector αὐτοὺς δεχώμεθα dedit.

18. δοκῶμεν ὁρᾷν] Guelf. ὁρᾷν δοκῶμεν, deinde φοβήσονται. deinde οὐχ φοβούμενοι Altorf. ὡς ſcripto ſuper contextu ab aliena manu.

ϖροσιόντας] Juntina ϖροσιόντες: deinde eadem cum Aldina et Guelf. ἀναμένωμεν habet; poſtremum etiam Altorf.

19. ϖοιήσομεν] Guelf. ϖοιήσωμεν cum Altorf. λογίζομαι ϖολεμίοις δὲ μείζω Altorf.

ϖολὺ ἂν μᾶλλον] Liber Gabriel. Altorf. et Bodl. ϖολὺ γὰρ μ. quam lectionem etiam margo ſecundæ Steph. memorat. Mihi comma hoc totum diſplicet, utpote languidum.

κρίνονται] Margo Steph. ῥώννυνται. Æque ineptum μάχαιραι dat Guelf. ſed margo verum habet.

20. τρέφων ὑμᾶς] Guelf. ὑμᾶς τρ. deinde ἐμοὶ δοκεῖ βέλτιον εἶναι. numeroſius, ut Altorfinus etiam.

πρὸς πάντα. Ἐπεὶ τοίνυν, ἔφη ὁ Κῦρος, ὁμογνωμονοῦμεν, συσκευαζώμεθα, καὶ ἢν τὰ τῶν θεῶν ἡμῖν θᾶττον
21 συγκαταινῇ, ἐξίωμεν ὡς τάχιστα. Ἐκ τούτου τοῖς μὲν στρατιώταις εἰπὼν συσκευάζεσθαι ὁ Κῦρος, ἔθυε, πρῶτον μὲν Διῒ βασιλεῖ, ἔπειτα δὲ καὶ τοῖς ἄλλοις θεοῖς· καὶ ᾐτεῖτο, ἵλεως καὶ εὐμενεῖς ὄντας, ἡγεμόνας γίγνεσθαι τῇ στρατιᾷ, καὶ παραστάτας ἀγαθοὺς, καὶ συμμάχους, καὶ συμβούλους τῶν ἀγαθῶν. Συμπαρεκάλει δὲ καὶ ἥρωας, γῆς Μηδίας οἰκήτορας καὶ κηδεμόνας.
22 Ἐπεὶ δ᾽ ἐκαλλιέρησέ τε καὶ ἀθρόον ἦν αὐτῷ τὸ στράτευμα πρὸς τοῖς ὁρίοις, τότε δὴ, οἰωνοῖς χρησάμενος αἰσίοις, ἐνέβαλεν εἰς τὴν πολεμίαν. Ἐπεὶ δὲ τάχιστα διέβη τὰ ὅρια, ἐκεῖ αὖ καὶ Γῆν ἱλάσκετο χοαῖς, καὶ θεοὺς θυσίαις, καὶ ἥρωας Ἀσσυρίας οἰκήτορας εὐμενίζετο. Ταῦτα δὴ ποιήσας, αὖθις Διῒ πατρῴῳ ἔθυε, καὶ εἴ τις ἄλλος θεῶν ἀνεφαίνετο, οὐδενὸς ἠμέλει.

23 Ἐπεὶ δὲ ταῦτα καλῶς εἶχεν, εὐθὺς τοὺς μὲν πεζοὺς προαγαγόντες οὐ πολλὴν ὁδὸν, ἐστρατοπεδεύσαντο· τοῖς δ᾽

ἢν—θᾶττον] Si eſt *quam primum dii et auguria addixerint*, inepte ſubjungi ſtatim videtur *quam celerrime exeamus*. Sed ἐπειδὰν vel ἐπειδὴ τάχιστα eſt ſupra i. 3, 14. i. 5, 6. v. 4, 21. ἐπεὶ τάχιστα mox ſect. 22. Similis tamen eſt locus in Anabaſi Cyri vi. 5, 20. ἂν θᾶττον ἐκεῖ γενώμεθα, θᾶττον ἐξιέναι πάλιν. ſed iii. 1, 9. ἐπειδὰν τάχιστα ἡ στρατεία λήξῃ, εὐθὺς ἀποπέμψει αὐτόν.

21. εἰπὼν] Guelf. εἶπον συσκευάζεσθαι· ὁ δὲ Κῦρος ἔθυε.

Διῒ βασιλεῖ] Regiæ gentis auctori et patrono. idem ſectione ſequenti et viii. 7, 3. πατρῷος dicitur. Darius apud Plutarchum de Fortuna Ζεῦ πατρῷε Περσῶν, καὶ βασίλειοι θεοί. Cf. Arriani Anab. 4, 20.

καὶ ᾐτεῖτο] Guelf. οὓς ἡγεῖτο, (ſed correctum) quod idem habet margo Steph. deinde γενέσθαι Guelf. poſtea τῆς Μηδίας, ſed correctum.

22. ἐκαλλιέρησέ τε] Guelf. ἐκαλλιέρησαν: poſtea ἐνέβαλον Juntina.

ἐκεῖ αὖ] Juntina omiſit.

Ταῦτα δὴ] In Guelf. δὴ corrector addidit; ταῦτα ἐποίησαν Altorf. deinde ἀνεφαίνετο Guelf. liber Brodæi et margo Steph. Ante Zeunium ἐφαίνετο erat. Interpretatur cum eo Weiſke verbum ἀνεφαίνετο quiſquis deorum a Magis oſtendebatur ſeu docebatur ſacrificiis eſſe conciliandus: quæ mihi ratio videtur ingenio linguæ vim facere aliquam.

23. ταῦτα καλῶς] Guelf. καλῶς ταῦτα — προσαγ. — ἐστρατοπεδεύοντο. Altorf. ἐπεὶ δὲ ταῦτα ἐποίησαν, εὐθὺς τοῖς μὲν πεζοῖς προσαγαγόντες, πολλὴν ὁδόν.

τοῖς δὲ] Libri Brodæi οὕτω τοῖς. ſequens ποιησάμενοι pro ποιήσαντες ex Guelf. dedit Zeune: poſtea cum Aldina περιεβάλλοντο Guelf. τοῖς μὲν πεζοῖς—πολλὴν Altorf.

ἵπποις καταδρομὴν ποιησάμενοι, περιεβάλοντο πολλὴν
καὶ παντοίαν λείαν. Καὶ τὸ λοιπὸν δὲ, μεταστρατοπε-
δευόμενοι, καὶ ἔχοντες ἄφθονα τὰ ἐπιτήδεια, καὶ δῃοῦν-
τες τὴν χώραν, ἀνέμενον τοὺς πολεμίους. Ἡνίκα δὲ 24
προσιόντες ἐλέγοντο οὐκέτι δέχ᾽ ἡμερῶν ἀπέχειν ὁδὸν, τότε
δὴ ὁ Κῦρος λέγει· Ὦ Κυαξάρη, ὥρα δὴ ἀπαντᾷν, καὶ
μήτε τοῖς πολεμίοις δοκεῖν, μήτε τοῖς ἡμετέροις, φοβου-
μένους μὴ ἀντιπροσιέναι· ἀλλὰ δῆλοι ὦμεν, ὅτι οὐκ
ἄκοντες μαχούμεθα. Ἐπεὶ δὲ ταῦτα συνέδοξε τῷ Κυα- 25
ξάρει, οὕτω δὴ ἀεὶ συντεταγμένοι προήεσαν τοσοῦτον καθ᾽
ἡμέραν, ὅσον ἐδόκει αὐτοῖς καλῶς ἔχειν. Καὶ δεῖπνον
μὲν ἀεὶ κατὰ φῶς ἐποιοῦντο, πυρὰ δὲ νύκτωρ οὐκ ἔκαιον
ἐν τῷ στρατοπέδῳ· ἔμπροσθεν μέντοι τοῦ στρατοπέδου
ἔκαιον, ὅπως ὁρῷεν μὲν, εἴ τινες νυκτὸς προσίοιεν, διὰ τὸ
πῦρ, μὴ ὁρῷντο δὲ ὑπὸ τῶν προσιόντων. Πολλάκις δὲ
καὶ ὄπισθε τοῦ στρατοπέδου ἐπυρπόλουν, ἀπάτης ἕνεκα
τῶν πολεμίων· ὥστ᾽ ἔστιν ὅτε καὶ κατάσκοποι ἐνέπιπτον
εἰς τὰς προφυλακὰς αὐτῶν, διὰ τὸ ὄπισθεν τὰ πυρὰ
εἶναι ἔτι πόῤῥω τοῦ στρατοπέδου οἰόμενοι εἶναι.

Οἱ μὲν οὖν Ἀσσύριοι καὶ οἱ σὺν αὐτοῖς, ἐπειδὴ ἐγγὺς 26
ἀλλήλων τὰ στρατεύματα ἐγίγνετο, τάφρον περιεβάλ-
λοντο· ὅπερ καὶ νῦν ἔτι ποιοῦσιν οἱ βάρβαροι βασιλεῖς·

Assyriorum et Cyri diversa in castris collocandis ratio.

λοιπὸν δὲ] Guelf. λοιπὸν δή. Verba καὶ ἔχοντες ἄφ. τὰ ἐπιτήδεια Juntina omisit. Weiske locum vitiosum esse censens καὶ ἔχοντες ait esse pro καίπερ, et alterum καὶ seclusit. Mihi, verbis καὶ δῃοῦντες τὴν χώραν ante καὶ ἔχοντες ἄ. τ. ἐπιτήδεια positis, locus sanari posse videbatur.

24. ἀπέχειν ὁδὸν] Guelf. ὁδὸν ἀπέχειν. deinde ἐξαπατᾷν pro ἀπαντᾷν. Altorf. δὲ ἰόντες—ὁδὸν ἀπ.

φοβουμένους] Edd. primae φοβουμένοις.

25. Ἐπεὶ δὲ] Edd. primae δὲ omittunt. deinde Κυαξάρει Guelf. postea ἀεὶ omittit Guelf. συντεταγμένοι ἀεὶ Altorf.

προήεσαν] Juntina, Zonaras et Guelf. a prima manu, προσήεσαν.

μὲν ἀεὶ] Guelf. μὲν αἰεί. deinde ἔκαιον ex correctione. sequens ἐν primus Castalio addidit. Dolum repetit noster in Anabasi vii. 2, 18. et Hellenicorum vi. 2, 29. Cf. Lucretius iv. versu 338. sqq.

πόῤῥω] Ex Guelf. πρόσω dedit Zeune.

26. ἐπειδὴ] Guelf. ἐπεὶ ἤδη—περιεβάλοντο posteriorem scripturam habet etiam Castal. Editio.

βάρβαροι] Persæ etiam, teste Xenophontis Anabasi iii. 4, 35. Vege-

ὁπόταν στρατοπεδεύωνται, τάφρον περιβάλλονται εὐπε-
τῶς διὰ τὴν πολυχειρίαν· ἴσασι γὰρ, ὅτι ἱππικὸν στρά-
τευμα ἐν νυκτὶ ταραχῶδές ἐστι καὶ δύσχρηστον, ἄλλως
27 τε καὶ βάρβαρον. Πεποδισμένους γὰρ ἔχουσι τοὺς ἵπ-
πους ἐπὶ ταῖς φάτναις· καὶ εἴ τις ἐπ' αὐτοὺς ἴοι, ἔργον
μὲν νυκτὸς λῦσαι ἵππους, ἔργον δὲ χαλινῶσαι, ἔργον δ'
ἐπισάξαι, ἔργον δ' ἐπιθωρακίσασθαι· ἀναβάντας δ'
ἐφ' ἵππων ἐλάσαι διὰ τοῦ στρατοπέδου παντάπασιν ἀδύ-
νατον. Τούτων δὴ ἕνεκα πάντων καὶ οἱ ἄλλοι καὶ ἐκεῖ-
νοι τὰ ἐρύματα περιβάλλονται· καὶ ἅμα αὐτοῖς δοκεῖ,
τὸ ἐν ἐχυρῷ εἶναι, καὶ ἐξουσίαν παρέχειν, ὅταν βούλων-
28 ται, μὴ μάχεσθαι. Τοιαῦτα μὲν δὴ ποιοῦντες ἐγγὺς
ἀλλήλων ἐγίγνοντο. Ἐπεὶ δὲ προσιόντες ἀπεῖχον ὅσον
παρασάγγην, οἱ μὲν Ἀσσύριοι οὕτως ἐστρατοπεδεύοντο,
ὥσπερ εἴρηται, ἐν περιτεταφρευμένῳ μὲν, καταφανεῖ δέ·
ὁ δὲ Κῦρος, ὡς ἐδύνατο ἐν ἀφανεστάτῳ, κώμας τε καὶ
γεωλόφους ἐπίπροσθεν ποιησάμενος· νομίζων πάντα τὰ

tius 3, 10. *Perſæ imitantes Romanos ductis foſſis caſtra conſtituunt.* Debebat imitatores Romanos dicere.

ὁπόταν] Guelf. ὅπου ἂν στρατοπεδεύονται. Philelphus οἱ ὅταν vertit: quæ ratio omnium mihi facillima videtur. Weiſke cum Zeunio verba τάφρον—πολυχειρίαν parentheſeos ſignis incluſit, inciſo poſt βασιλεῖς, puncto vero στρατοπ. verbum poſito.

δύσχρηστον] Liber Brodæi δυσήνιον. Margo Steph. Leoncl. δυσήνιον καὶ βάρβαρον. In Guelf. ἄλλως τε in margine a correctore fuit additum.

27. πεποδισμένους γὰρ] Ex Guelf. τε interſeruit Zeune. Suo tempore Perſas eodem more uſos narrat Olearius Itinerarii p. 573. et repetit Xenophon narrationem Anabaſeos iii. 4, 35.

ἐπισάξαι] Edd. primæ cum Guelf. ἐπεισάξαι. rectum ex h. l. annotavit Pollux 7, 186. et Suidas. Sequens ἐπιθωρακίσασθαι in Guelf. eſt a correctore; prius fuerat δὲ θωρακίσασθαι. quod verbum quanquam omnes Interpretes ad equos referunt, quos laminis ferreis inter ſe connexis tectos fuiſſe novimus ex Curtio 3, 11. et 4, 9. mihi tamen ad equites ipſos referendum potius videtur. Primum enim ſi equos reſpicere nos voluiſſet Xenophon, θωρακίσαι dixiſſet; deinde locus Anabaſeos antea laudatus idem ſuadere videtur: δεῖ ἐπισάξαι τὸν ἵππον καὶ χαλινῶσαι δεῖ, καὶ θωρακισθέντα ἀναβῆναι, ἐπὶ τὸν ἵππον: denique ipſe Xenophon Anabaſ. ii. 2, 14. θωρακίζεσθαι de pedite thoracem induente dixit; et Zeunianus Index ἐπιθωρακίζεσθαι *thoracem inducere* hoc ipſo in loco interpretatur.

ἐφ' ἵππων] Philelphus ἐφ' ἵππον vertit, quæ ſcriptura a correctore etiam in Guelf. inducta fuit.

τοῦ στρατοπέδου] Articulum omittit Guelf. item καὶ ante ἐξουσίαν et μὴ poſt βούλωνται, plane uti Philelphus. καὶ etiam Altorf. omiſit. Abreſch ad Thucyd. p. 497. καὶ μὴ μάχεσθαι aut ἢ μὴ—μάχεσθαι conjiciebat legendum eſſe.

πολεμικὰ, ἐξαίφνης ὁρώμενα, φοβερώτερα τοῖς ἐναντίοις εἶναι. Καὶ ἐκείνην μὲν τὴν νύκτα, ὥσπερ ἔπρεπε, προφυλακὰς ποιησάμενοι ἑκάτεροι ἐκοιμήθησαν.

Τῇ δ' ὑστεραίᾳ ὁ μὲν Ἀσσύριος καὶ ὁ Κροῖσος καὶ οἱ 29
ἄλλοι ἡγεμόνες ἀνέπαυον τὰ στρατεύματα ἐν τῷ ἐχυρῷ·
Κῦρος δὲ καὶ Κυαξάρης συνταξάμενοι περιέμενον, ὡς, εἰ
προσίοιεν οἱ πολέμιοι, μαχούμενοι. Ὡς δὲ δῆλον ἐγένε-
το, ὅτι οὐκ ἐξίοιεν οἱ πολέμιοι ἐκ τοῦ ἐρύματος, οὐδὲ μά-
χην ποιήσοιντο ταύτῃ τῇ ἡμέρᾳ, ὁ μὲν Κυαξάρης, καλέ-
σας τὸν Κῦρον καὶ τοὺς ἄλλους τῶν ἐπικαιρίων, ἔλεξε
τοιάδε· Δοκεῖ μοι, ἔφη, ὦ ἄνδρες, ὥσπερ τυγχάνομεν 30
συντεταγμένοι, οὕτως ἰέναι πρὸς τὸ τῶν ἀνδρῶν ἔρυμα,
καὶ δηλοῦν, ὅτι θέλομεν μάχεσθαι. Οὕτω γὰρ, ἔφη,
ἐπειδὰν μὴ ἀντεπεξίωσιν ἐκεῖνοι, οἱ μὲν ἡμέτεροι μᾶλλον
θαῤῥήσαντες ἀπίασιν· οἱ πολέμιοι δὲ, τὴν τόλμαν ἰδόντες
ἡμῶν, μᾶλλον φοβηθήσονται. Τούτῳ μὲν δὴ οὕτως 31
ἐδόκει. Ὁ δὲ Κῦρος, Μηδαμῶς, ἔφη, πρὸς τῶν θεῶν, ὦ
Κυαξάρη, οὕτω ποιήσωμεν. Εἰ γὰρ ἤδη ἐκφανέντες πο-

Cyrus principes Persarum ad fortitudinem cohortatur; Assyrius omnem suum exercitum; quod sero ab hoc et frustra fieri, pluribus docet Cyrus.

28. πολεμικὰ] Cum Stephaniana Guelf. πολέμια.

ἔπρεπε] Margo Steph. Leoncl. ἔμπροσθεν apposuit: deinde φυλακὰς προποιησάμενος Guelf.

29. ὁ Κροῖσος] Articulum Altorf. omittit.

ταύτῃ] Guelf. ἐν ταύτῃ.

ἄλλους τῶν ἐπικαιρίων] Ita cum Philelpho, Camerario et Guelf. Zeune. Antea erat πάντας τοὺς ἐπικαιρίους. Nostram lectionem annotavit etiam margo Steph. et Leoncl. cum hac altera καὶ τοὺς ἄλλους τοὺς ἐπικαιρίους: quæ ipsa scriptura est in Altorfino. Sequens τοιάδε Guelf. omisit cum ἔφη, quod postremum verbum nec Philelphus vertit.

30. ἐπειδὰν μὴ] Margo Steph. 2. cum Guelf. ἐὰν, quod de conditione mihi verum videtur vocabulum. Paulo antea τὸ ἔρυμα τῶν ἀνδρῶν Guelf. et Altorf.

οἱ μὲν ἡμέτεροι] Guelf. οἱ μὲν οὖν ἡμέτεροι. deinde nostram lectionem θαῤῥήσαντες ἀπίασιν ex Guelf. dedit Zeune, ubi tamen est ἀπιῶσιν, et inter lineas ἐπιᾶσιν scriptum: quæ lectio est etiam in margine Steph. et Leoncl. θαῤῥήσουσιν ἂν ἐπιᾶσι Edd. primæ. θαῤῥήσουσιν ἐν ἅπασιν Bodl. cum Philelpho, quod recepit Hutchinson; θαῤῥήσουσιν ἂν ἐπὶ πᾶσιν Argent. In Altorf. θαῤῥήσαντες ἐν ἅπασιν, sed θαῤῥήσαντες est super rasura scriptum.

πολέμιοι δὲ] Altorf. οἱ δὲ πολέμιοι. Sequens δὴ cum Guelf. et Altorf. omisit Philelphus.

31. μηδαμῶς, ἔφη] Ita Guelf. antea Κῦρος ἔφη, Μηδαμῶς: μηδαμῶς, ὦ Κυαξάρη, πρὸς Altorf. deinde Edd. primæ ποιήσομεν, quod Castalio correxit.

ἐκφανέντες] In Guelf. ἐμφανέντες, sed correctum, deinde ὡς σύ. In Altorf. ὡς est super rasura scriptum.

ρευσόμεθα, ᾗ σὺ κελεύεις, νῦν τε προσιόντας ἡμᾶς οἱ πολέμιοι θεάσονται οὐδὲν φοβούμενοι, εἰδότες, ὅτι ἐν ἀσφαλεῖ εἰσι τοῦ μηδὲν παθεῖν· ἐπειδάν τε μηδὲν ποιήσαντες ἀπίωμεν, πάλιν καθορῶντες ἡμῶν τὸ πλῆθος πολὺ ἐνδεέστερον τοῦ ἑαυτῶν, καταφρονήσουσι, καὶ αὔριον ἐξίασι
32 πολὺ ἐῤῥωμενεστέραις ταῖς γνώμαις. Νῦν δὲ, ἔφη, εἰδότες μὲν, ὅτι πάρεσμεν, οὐχ ὁρῶντες δὲ ἡμᾶς, εὖ τοῦτο ἐπίστω, οὐ καταφρονοῦσιν, ἀλλὰ φροντίζουσι, τί ποτε τοῦτ᾽ ἐστὶ, καὶ διαλεγόμενοι περὶ ἡμῶν ἐγὼ οἶδ᾽ ὅτι οὐδὲν παύονται. Ὅταν δὲ ἐξίωσι, τότε δεῖ αὐτοῖς ἅμα φανερούς τε ἡμᾶς γενέσθαι, καὶ ἰέναι εὐθὺς ὁμόσε, εἰληφό-
33 τας αὐτοὺς ἔνθα πάλαι ἐβουλόμεθα. Λέξαντος δὲ οὕτω Κύρου, συνέδοξε ταῦτα καὶ Κυαξάρει καὶ τοῖς ἄλλοις. Καὶ τότε μὲν δειπνοποιησάμενοι, καὶ φύλακας καταστησάμενοι, καὶ πυρὰ πολλὰ πρὸ τῶν φυλάκων καύσαντες,
34 ἐκοιμήθησαν. Τῇ δὲ ὑστεραίᾳ πρῴ Κῦρος μὲν ἐστεφανωμένος ἔθυε, παρήγγειλε δὲ καὶ τοῖς ἄλλοις ὁμοτίμοις, ἐστεφανωμένοις πρὸς τὰ ἱερὰ παρεῖναι. Ἐπεὶ δὲ τέλος εἶχεν ἡ θυσία, συγκαλέσας αὐτοὺς, ἔλεξεν·

Ἄνδρες, οἱ μὲν θεοὶ, ὡς οἵ τε μάντεις φασὶ, καὶ ἐμοὶ συνδοκεῖ, μάχην τ᾽ ἔσεσθαι προαγγέλλουσι, καὶ νίκην

postea ἐξιᾶσι Edd. primæ et Guelf. Sed ἐξίασι dicitur pro futuro, ab ἔξειμι, ut §. 29. ἐξίοιεν.

τοῦ ἑαυτῶν] Altorf. τοῦ omifit.

32. ἐγὼ οἶδ᾽] Guelf. ἐγ᾽ ᾦδ᾽, Altorf. ἐγὼ εὖ οἶδ᾽, Philelphus *certo fcio.*

δεῖ] Guelf. et Altorf. cum Edd. primis δεῖν habet.

33. ταῦτα καὶ] Ita cum Guelf. et Philelpho Zeune: vulgatum ordinem καὶ τ. revocavit Weifke. Κυαξάρῃ cum Edd. primis Guelf.

φύλακας—φυλάκων] Ita Stephanus cum Aldina; cum aliis Zeune φυλακὰς—φυλακῶν dedit; vide infra ad v. 1, 30. caufam. fequens πολλὰ Juntina omifit.

34. ἐστεφανωμένος] Lætitiæ et boni ominis caufa facrificia coronati peragebant Græci; et Lacedæmonii ftatim a facrificio ad pugnam pergebant, tefte Xenophonte de Republ. Laced. 13, 8. Ipfos Perfas coronatos facrificare folitos tradit Herodotus 1, 132.

μάντεις] Magos interpretantur ex Herodoto 1, 132. Cicerone de Divinat. 1, 41. et Ammiano 23, 6. deinde μάχην ἔσεσθαι Guelf. quod prætulerim, fed idem liber pejus παραγέλλουσιν habet. Poftea προσυπισχνοῦνται recte Muretus correxiffe videtur Zeunio; mihi Guelf. ὑπισχνοῦνται placet, quod tamen corrector in vulgatam προυπ. mutavit. Illud vertit etiam Philelphus.

διδόασι, καὶ σωτηρίαν προϋπισχνοῦνται ἐν τοῖς ἱεροῖς.
Ἐγὼ δὲ ὑμῖν μὲν παραινῶν, ὁποίους τινὰς χρὴ εἶναι ἐν 35
τῷ τοιῷδε, αἰσχυνοίμην ἄν· οἶδα γὰρ ὑμᾶς ταὐτὰ ἐμοὶ
ἐπισταμένους, καὶ ταὐτὰ μεμελετηκότας τε καὶ ἀκηκοό-
τας καὶ ἀκούοντας διὰ τέλους, ἅπερ ἐγὼ, ὥστε καὶ ἄλ-
λους εἰκότως ἂν διδάσκοιτε τάδε. Εἰ δὲ μὴ τυγχάνετε
κατανενοηκότες, ἀκούσατε· Οὓς γὰρ νεωστὶ συμμάχους 36
τε ἔχομεν, καὶ πειρώμεθα ἡμῖν αὐτοῖς ὁμοίους ποιεῖν,
τούτους δεῖ ὑμᾶς ὑπομιμνήσκειν, ἐφ᾽ οἷς τε ἐτρεφόμεθα
ὑπὸ Κυαξάρους, ἅ τε ἠσκοῦμεν, ἐφ᾽ ἅ τε αὐτοὺς παρα-
κεκλήκαμεν, ὥς τε ἄσμενοι ἀνταγωνισταὶ ἔφασαν ἡμῖν
ἔσεσθαι. Καὶ τούτου δὲ αὐτοὺς ὑπομιμνήσκετε, ὅτι ἥδε 37
ἡ ἡμέρα δείξει, ὧν ἄξιος ἕκαστός ἐστιν. Ὧν γὰρ ἂν
ἄνθρωποι ὀψιμαθεῖς γένωνται, οὐδὲν θαυμαστὸν, εἴ
τινες αὐτῶν καὶ τοῦ ὑπομνήσοντος δέοιντο· ἀλλ᾽ ἀγαπη-
τὸν, εἰ καὶ ἐξ ὑποβολῆς δύναιντο ἄνδρες ἀγαθοὶ εἶναι.
Καὶ ταῦτα μέντοι πράττοντες, ἅμα καὶ ὑμῶν αὐτῶν 38
πεῖραν λήψεσθε. Ὁ μὲν γὰρ δυνάμενος ἐν τῷ τοιῷδε
καὶ ἄλλους βελτίους ποιεῖν, εἰκότως ἂν ἤδη καὶ ἑαυτῷ

35. ὁποίους] Guelf. ποίους—κἂν αἰσχυνοίμην ἄν. Verba ἐν τῷ τοιῷδε omisit Guelf.

ταὐτὰ ἐμοὶ] Ita cum Juntina et Guelf. Zeune. ſed in Guelf. ἐμοὶ corrector addidit; ταῦτα ἐπίσης ἐμοὶ Aldina et reliquæ Edd. cum Philelpho.

ταὐτὰ—τε καὶ ἀκηκοότας] Guelf. omittit hæc omnia, ſed corrector ἀκηκοότας inſeruit. Zeune ταὐτὰ ſeclusit. διὰ τέλους ἀκούοντας eſt quod alias dici ſolet ἀκούοντας διατελοῦντας; ſed vitavit Xenophon participiorum concurſum et obſcuritatem.

ἅπερ] Guelf. οἷάπερ ἐγὼ, ὥτε κἂν—διδάσκητε τάδε. ἃ εἰ μὲν τυγχ. ſed corrector ſuper μὲν poſuit μή. Aldina τάδε δὲ εἰ μὴ, *ſed hæc nunc ſi minus noſtis.* Philelphus. ἂν εἰκότως διδάσκοιτε. ἃ εἰ μὴ ſed ἃ eſt ſuper raſura ſcriptum in Altorfino libro.

36. δεῖ ὑμᾶς] Guelf. τούτους δὲ ἡμᾶς δεῖ. unde τούτους δὴ malebant Fiſcher et Zeune legi. Etiam Philel. ἡμᾶς vertit.

ὥς τε ἄσμενοι] Eſt ex ὡς et τε compoſitum, *et quemadmodum.*

ἔφασαν ἡμῖν] Hoc ordine cum Guelf. Zeune; ἡμῖν ἔφ. Vulgo eſt.

37. τούτου δὲ] Guelf. τοῦτο δ᾽—ὅτι ἥδε ἡμέρα—ἐστιν ἄξιος. Londin. Editio habet τούτου δή. Altorf. ἕκαστος ἄξιος.

ἂν ἄνθρωποι] Juntina ἂν omittit: Guelf. ὀψιμαθεῖς ἄνθρ.—ὑπομιμνήσκοντος. Idem poſtea δέοιντο dedit in locum vulgaris δέονται, quod revocavit Weiſke.

δύναιντο] Guelf. δύναιντ᾽ ἄν, quod recepit Zeune.

συνειδείη τελέως ἀγαθὸς ἀνὴρ ὤν· ὁ δὲ τὴν τούτων ὑπό-
μνησιν αὐτὸς μόνος ἔχων, καὶ τοῦτο ἀγαπῶν, εἰκότως ἂν
39 ἡμιτελῆ αὐτὸν νομίζοι. Τούτου δ' ἕνεκεν οὐκ ἐγὼ, ἔφη,
αὐτοῖς λέγω, ἀλλὰ ὑμᾶς κελεύω λέγειν, ἵνα καὶ ἀρέ-
σκειν ὑμῖν πειρῶνται· ὑμεῖς γὰρ καὶ πλησιάζετε αὐτοῖς,
ἕκαστος τῷ ἑαυτοῦ μέρει. Εὖ δ' ἐπίστασθε, ἔφη, ἕως
ἂν θαῤῥοῦντας τούτοις ὑμᾶς αὐτοὺς ἐπιδεικνύητε, καὶ
τούτους καὶ ἄλλους πολλοὺς οὐ λόγῳ, ἀλλ' ἔργῳ θαῤ-
40 ῥεῖν διδάξετε. Τέλος εἶπεν, ἀπιόντας ἀριστᾷν ἐστεφα-
νωμένους, καὶ σπονδὰς ποιησαμένους ἥκειν εἰς τὰς τά-
ξεις αὐτοῖς στεφάνοις. Ἐπεὶ δ' οὗτοι ἀπῆλθον, αὖθις
τοὺς οὐραγοὺς προσεκάλεσε, καὶ τούτοις αὖ τοιάδε ἔλε-
ξεν·

41 Ἄνδρες Πέρσαι, ὑμεῖς καὶ τῶν ὁμοτίμων γεγόνατε,
καὶ ἐπιλελεγμένοι ἐστὲ, οἳ δοκεῖτε τὰ μὲν ἄλλα τοῖς
κρατίστοις ὅμοιοι εἶναι, τῇ δ' ἡλικίᾳ καὶ φρονιμώτεροι.
Καὶ τοίνυν χώραν ἔχετε, οὐδὲν ἧττον ἡμῶν ἔντιμον τῶν
προστατῶν· ὑμεῖς γὰρ ὄπισθεν ὄντες τούς τ' ἀγαθοὺς
ἂν, ἐφορῶντες καὶ ἐπικελεύοντες αὐτοῖς, ἔτι κρείττους
ποιοῖτε· εἴ τε τις μαλακίζοιτο, καὶ τοῦτον ὁρῶντες οὐκ ἂν

38. τελέως] Ita Guelf. pro τελείως vulgato ante Zeunium.

μόνος] Muretus μόνως malebat fcriptum, et deinceps τούτῳ ἀγαπῶν. Guelf. τοῦτ' ἀγαπῶν. Mihi etiam μόνος difplicet.

39. ἕνεκεν] Guelf. ἕνεκα.

ἕως ἂν θαῤῥοῦντας τούτοις] In Guelf. omiffo ἔφη eft ὡς ἢ θαρσ. fed corrector ἕως ἂν dedit. Altorfinus εἰ δ' ἐπίστασθε, ἔφη, ἕως ἂν θαῤῥοῦντας ὑμᾶς. omiffo τούτοις, quod ἐν τῷ τοιῷδε interpretari debemus.

οὐ λόγῳ] Guelf. οὐκ ἐν λόγῳ. deinde Edd. primarum διδάξατε correxit jam Caftalio.

40. σπονδὰς] Negat Herodotus 1, 132. Perfas libatione ufos; fed cum Xenophonte facit Ammianus.

οὗτοι] Omifit Guelf. in quo αὐτοὺς τοὺς οὐραγοὺς corrector in αὖθις τοὺς οὐρ. mutavit.

ἔλεξεν] Ex marg. Steph. et Guelf. ἐνετέλλετο dedit Zeune.

41. ἐπιλελεγμένοι] Altorf. ἀπειλεγμένοι dat.

ἧττον ἡμῶν] Ex Guelf. ἡμῶν addidi. τῶν ἡμῶν προστατῶν Brodæi liber, ἧττον ἡμῶν τῶν προστατῶν margo Steph.

ἐφορῶντες] Muretus ἐφορμῶντες malebat legi; fequens ποιοῖτε cum Stephaniana altera Bodl. pro ποιεῖτε dedit.

εἴ τε τις] Margo Steph. cum Guelf. καὶ εἴ τις.

ἐπιτρέποιτε αὐτῷ. Συμφέρει δ' ὑμῖν, εἴπερ τῳ καὶ 42
ἄλλῳ, τὸ νικᾶν, καὶ διὰ τὴν ἡλικίαν, καὶ διὰ τὸ βάρος
τῆς στολῆς. Ἂν δ' ἄρα ὑμᾶς καὶ οἱ ἔμπροσθεν ἀνα-
καλοῦντες ἕπεσθαι παρεγγυῶσιν, ὑπακούετε αὐτοῖς· καὶ
ὅπως μηδ' ἐν τούτῳ αὐτῶν ἡττηθήσεσθε, ἀντιπαρακε-
λευόμενοι αὐτοῖς, θᾶττον ἡγεῖσθαι ἐπὶ τοὺς πολεμίους.
Καὶ ἀπιόντες, ἔφη, ἀριστήσαντες καὶ ὑμεῖς, ἥκετε σὺν
τοῖς ἄλλοις ἐστεφανωμένοι εἰς τὰς τάξεις. Οἱ μὲν δὴ 43
ἀμφὶ Κῦρον ἐν τούτοις ἦσαν· οἱ δ' Ἀσσύριοι καὶ δὴ ἠρι-
στηκότες ἐξῄεσάν τε θρασέως, καὶ παρετάττοντο ἐῤῥωμέ-
νως. Παρέταττε δὲ αὐτοὺς ὁ βασιλεὺς, ἐφ' ἅρματος
παρελαύνων, καὶ τοιάδε παρεκελεύετο·

Ἄνδρες Ἀσσύριοι, νῦν δεῖ ἄνδρας ἀγαθοὺς εἶναι. 44
Νῦν γὰρ περὶ ψυχῶν τῶν ὑμετέρων ὁ ἀγὼν, καὶ περὶ
γῆς, ἐν ᾗ ἔφυτε, καὶ περὶ οἴκων, ἐν οἷς ἐτράφητε, καὶ περὶ
γυναικῶν δὲ καὶ τέκνων, καὶ περὶ πάντων, ὧν πέπασθε
ἀγαθῶν. Νικήσαντες μὲν γὰρ, ἁπάντων τούτων ὑμεῖς,
ὥσπερ πρόσθεν, κύριοι ἔσεσθε· εἰ δὲ ἡττηθήσεσθε, εὖ
ἴστε, ὅτι παραδώσετε ταῦτα πάντα τοῖς πολεμίοις.
Ἅτε οὖν νίκης ἐρῶντες, μένοντες μάχεσθε. Μωρὸν γὰρ, 45

42. τῳ καὶ ἄλλῳ] Guelf. καί τῳ ἄλλῳ. deinde στολὴ eſt armatura, quam στολάδα bis in Anabaſi dixit.

ἂν δ' ἄρα] Guelf. ἢν δ' ἄρα: deinde ἡγεῖσθαι cum H. Stephano et Hutchinſono præferens Zeune Editionum primarum et Altorf. lectioni ἡγεῖσθε, poſt αὐτοῖς puncto ſuperiori appoſito ſententiam finiverat; alteram denuo a verbis καὶ ὅπως inchoavit, quæ arctiſſime cum illis ἀντιπαρακελευόμενοι—πολεμίους copulabat, et ad ὅπως—ἡττηθήσεσθε cum Camerario ὁρᾶτε vel ſimile verbum intelligebat. Weiſkio ſententia per verba καὶ ἀντιπαρακελευόμενοι continuari viſa eſt, ut καὶ ἀντιπ. ſignificet *adeo ut ipſi illos contra incitetis*, ideo punctum ſuſtulit; ſed ita mihi ὅπως ſubjunctivo modo rectius jungi videbatur.

ἐστεφανωμένοι] Guelf. σὺν τοῖς ἐστεφ. ἄλλοις εἰς.

43. καὶ δὴ] Cum Mureto ex Guelf. καὶ ἤδη ſcripſit Zeune, at ſupra eundem ducem iii. 1, 2. rectius contemſerat. καὶ δὴ eſt pro ἤδη poſitum. deinde αὐτοὺς αὐτὸς βασιλεὺς, ubi corrector articulum ὁ inſeruit.

ἐῤῥωμένως] Altorf. ἐῤῥωμένοι habet.

44. περὶ ψυχῶν—περὶ γῆς—γυναικῶν] Guelf. ὑπὲρ ter in locum alterius præpoſitionis ſubſtituit, et γυναικῶν τε καὶ περὶ τέκνων ſcriptum habet.

πέπασθε] Hoc pro vulgari κέκτησθε ex Codice Leidenſi apud Valckenarium ad Theocriti Adoniaz. p. 384. et margine Steph. cum Leonclavio recepit Zeune: eo quanquam poetico verbo utitur tamen Xenophon ſæpiuſcule etiam in Anabaſi.

45. Ἅτε οὖν] Juntina εἶτε, Aldina

τὸ, κρατεῖν βουλομένους, τὰ τυφλὰ τοῦ σώματος καὶ
ἄοπλα καὶ ἄχειρα ταῦτα ἐναντία τάττειν τοῖς πολε-
μίοις φεύγοντας. Μωρὸς δὲ καὶ, εἴ τις ζῆν βουλόμενος
φεύγειν ἐπιχειροίη· εἰδὼς, ὅτι οἱ μὲν νικῶντες σώζονται, οἱ
δὲ φεύγοντες ἀποθνήσκουσι μᾶλλον τῶν μενόντων. Μω-
ρὸς δὲ καὶ, εἴ τις χρημάτων ἐπιθυμῶν, ἧτταν προσίεται.
Τίς γὰρ οὐκ οἶδεν, ὅτι οἱ μὲν νικῶντες τά τε ἑαυτῶν σώ-
ζουσι, καὶ τὰ τῶν ἡττωμένων προσλαμβάνουσιν· οἱ δʼ
ἡττώμενοι ἅμα ἑαυτούς τε καὶ τὰ ἑαυτῶν πάντα ἀπο-
46 βάλλουσιν; Ὁ μὲν δὴ Ἀσσύριος ἐν τούτοις ἦν.
Ὁ δὲ Κυαξάρης πέμπων πρὸς τὸν Κῦρον ἔλεγεν, ὅτι
ἤδη καιρὸς εἴη, ἄγειν ἐπὶ τοὺς πολεμίους· εἰ γὰρ νῦν,
ἔφη, ἔτι ὀλίγοι εἰσὶν οἱ ἔξω τοῦ ἐρύματος, ἐν ᾧ ἂν προσίω-
μεν, πολλοὶ ἔσονται· μὴ οὖν ἀναμένωμεν, ἕως ἂν πλείους
ἡμῶν γένωνται, ἀλλʼ ἴωμεν, ἕως ἂν ἔτι οἰόμεθα εὐπετῶς
47 αὐτῶν κρατῆσαι. Ὁ δʼ αὖ Κῦρος ἀπεκρίνατο· Ὦ Κυα-
ξάρη, εἰ μὴ ὑπὲρ ἥμισυ αὐτῶν ἔσονται οἱ ἡττηθέντες, εὖ
ἴσθι, ὅτι ἡμᾶς μὲν ἐροῦσι, φοβουμένους τὸ πλῆθος, τοῖς
ὀλίγοις ἐπιχειρῆσαι· αὐτοὶ δὲ οὐ νομίσουσιν ἡττῆσθαι,

et Steph. οἷοι τε. Margo Steph. Altorf. et Guelf. οἵ τε, fed in Guelf. εἴτε fupra fcriptum legitur. ἅτε dedit Caftalio primus. Stephanus etiam οἵγε οὖν ferri poffe cenfebat.

καὶ ἄχειρα] Partes corporis ad pugnam et hoftem a corpore defendendum ineptas nominare voluit, ut Salluftius Jugurthini belli cap. 115. *nec quenquam decere, qui manus armaverit, ab inermis pedibus auxilium petere, in maximo metu nudum et cæcum corpus ad hoftes vertere.* Mihi tamen verba huic annotationi præfcripta difplicent. Fugientis enim tergum cœcum et nudum recte dici poffe videtur, minus commode manibus deftitutum.

εἰδὼς] Juntinum εἰ δὴ recepit Caftalio deleto fequenti ὅτι. Paulo antea ἐπιχειροῖ Altorf.

τῶν ἡττωμένων] Guelf. τῶν πολεμίων καὶ ἡττωμένων. Steph. τ. πολεμίων ἡττωμένων.

46. ἐν τούτοις] Stephanus λόγοις addi malebat, non fatis idonea de caufa.

εἴη] Ex Brodæi et Guelf. libro cum Stephano addidit Zeune: deinde ὀλίγοι ἔτι—προσίεμεν, fed προσίωμεν eft a manu correctoris, quod cum Stephano merito prætulit Zeune: poftea ἀναμείνωμεν Guelf. quod recepit idem Zeune.

ἕως ἂν ἔτι] Ita Guelf. repetita tamen poft εὐπετῶς vocula ἂν, quæ plane abfurde et contra numeri oratorii rationem vulgo poft κρατῆσαι pofita legitur. Male idem liber οἰώμεθα fcriptum habet. Altorf. εἰσὶν ἔξω τοῦ omiffo articulo.

47. νομίσουσιν] Ex Guelf. νομιοῦσιν

ἄλλης οὖν σοι μάχης δεήσει, ἐν ᾗ ἄμεινον ἂν ἴσως βου-
λεύσαιντο, ἢ νῦν βεβούλευνται, παραδόντες ἑαυτοὺς ἡμῖν
ταμιεύεσθαι, ὥσθ᾽, ὁπόσοις ἂν βουλώμεθα αὐτῶν, μά-
χεσθαι. Οἱ μὲν δὴ ἄγγελοι ταῦτα ἀκούσαντες ᾤχοντο. 48
Ἐν τούτῳ δ᾽ ἦλθε Χρυσάντας τε ὁ Πέρσης, καὶ ἄλ-
λοι τινὲς τῶν ὁμοτίμων, αὐτομόλους ἄγοντες. Καὶ ὁ
Κῦρος, ὥσπερ εἰκὸς, ἠρώτα τοὺς αὐτομόλους τὰ ἐκ τῶν
πολεμίων. Οἱ δ᾽ ἔλεγον, ὅτι ἐξίοιέν τε ἤδη σὺν τοῖς
ὅπλοις, καὶ παρατάττοι αὐτοὺς ὁ βασιλεὺς, ἔξω ὢν, καὶ
παρακελεύοιτο μὲν δὴ τοῖς ἀεὶ ἔξω οὖσι πολλά τε καὶ
ἰσχυρὰ, ὡς ἔφασαν λέγειν τοὺς ἀκούοντας. Ἔνθα δὴ ὁ 49
Χρυσάντας εἶπε· Τί δ᾽, ἔφη, ὦ Κῦρε, εἰ καὶ σὺ συγκα-
λέσας, ἕως ἔτι ἔξεστι, παρακελεύσαιο, εἰ ἄρα τι καὶ σὺ
ἀμείνους ποιήσαις τοὺς στρατιώτας; Καὶ ὁ Κῦρος εἶπεν· 50
Ὦ Χρυσάντα, μηδέν σε λυπούντων αἱ τοῦ Ἀσσυρίου πα-
ρακελεύσεις· οὐδεμία γὰρ οὕτως ἔσται καλὴ παραίνεσις,
ἥ τις τοὺς μὴ ὄντας ἀγαθοὺς αὐθήμερον ἀκούσαντας
ἀγαθοὺς ποιήσει· οὐκ ἂν οὖν τοξότας γε, εἰ μὴ ἐμπρο-

prætulit Zeune. deinde *ἄλλης οὖν συμμαχίας* Edd. primæ. *ἄλλης οὖν μάχης* Bodl. quod Philelphus expreſſit. Cum Stephano et Guelf. *ἀλλ᾽ ἄλλης σοι μ.* dedit Zeune. Equidem ex Altorfino *ἄλλης οὖν σοι μάχης* recepi, et vulgare *δεήσειεν*, *ᾗ* diſſolui, unde neceſſaria præpoſitio *ἐν* acceſſit ad pronomen *ᾗ*.

ἄμεινον ἂν] Ita Guelf. Vulgo erat *ἂν ἄμεινον*, multo minus numeroſe.

ταμιεύεσθαι] Eadem formula eſt in Anabaſi ii. 5, 3. Hipparchici 7, 11.

48. *ἐν τούτῳ*] Junt. *ἐν τούτοις*. Guelf. *ἐν τούτῳ δὲ ἧκε*. ſequens *τε* ante *καὶ* Steph. et Guelf. addiderunt omiſſum a ceteris libris: poſtea *ὥσπερ εἰκὸς* pro *ὡς εἰκὸς* ex Guelf. et Altorf. dedi.

αὐτοὺς ὁ] Guelf. *αὐτοὺς αὐτὸς ὁ β.*— *παρεκελεύετο μὲν ἤδη*.

ἔξω οὖσι] Leonclavii conjecturam *ἰοῦσι* Stephanus ſprevit, Welſius approbavit.

49. *Ἔνθα*] Ita Guelf. Vulgo erat ante Zeunianam *ἐνταῦθα εἶπεν ὁ Χρ.*

παρακελεύσαιο] Ita cum libro Gabr. Philelphi et Guelf. Stephani Ed. 2. Hutchinſ. et Zeuniana; ceteræ *παρακελεῦσαι*. In Altorf. *παρακέλευσαι* ſupra ultimam *ο* addito.

ἄρα τι] Ex Guelf. Altorf. et libro Philel. *τι* acceſſit. In Guelf. et Altorf. deinde eſt *ποιῆσαι*, ſed in Altorf. antea fuerat *ποιήσαις*.

50. *μηδέν σε*] In Altorf. *μηδέ σε*, ſed corrector ſupra *ν* adpoſuit.

οὕτως ἔσται] Guelf. Altorf. et liber Philelphi *ἔστιν οὕτω*, quæ mihi ſcriptura præplacet, quanquam Fiſcher ad Platonis Euthyphr. ſect. 15. p. 47. alteram probat, comparans locum ſupra i. 6, 12. Sententiam eandem tractat Salluſtius Catilinarii belli cap. 61.

σθεν τοῦτο μεμελετηκότες εἶεν· οὐδ' ἀκοντιστὰς, οὐδὲ
μὴν ἱππέας γε· οὐδὲ μὴν τά γε σώματα ἱκανοὺς πονεῖν,
51 ἢν μὴ πρόσθεν ἠσκηκότες ὦσι. Καὶ ὁ Χρυσάντας εἶπεν·
Ἀλλ' ἀρκεῖ τοι, ὦ Κῦρε, ἐὰν τὰς ψυχὰς αὐτῶν παρα-
κελευσάμενος ἀμείνους ποιήσῃς. Ἦ καὶ δύναιτ' ἂν,
ἔφη ὁ Κῦρος, εἷς λόγος ῥηθεὶς αὐθημερὸν αἰδοῦς μὲν ἐμ-
πλῆσαι τὰς ψυχὰς τῶν ἀκουσάντων, ἢ ἀπὸ τῶν αἰ-
σχρῶν κωλῦσαι, προτρέψαι δὲ ὡς χρὴ, ἐπαίνου μὲν
ἕνεκα πάντα μὲν πόνον, πάντα δὲ κίνδυνον ὑποδύε-
σθαι, λαβεῖν δ' ἐν ταῖς γνώμαις βεβαίως τοῦτο, ὡς
αἱρετώτερόν ἐστι μαχομένους ἀποθνήσκειν μᾶλλον, ἢ
52 φεύγοντας σωθῆναι; Ἆρ' οὐκ, ἔφη, εἰ μέλλουσι τοι-
αῦται διάνοιαι ἐγγενήσεσθαι ἀνθρώποις, καὶ ἔμμονοι
ἔσεσθαι, πρῶτον μὲν νόμους ὑπάρξαι δεῖ τοιούτους, δι'
ὧν τοῖς μὲν ἀγαθοῖς ἔντιμος καὶ ἐλευθέριος ὁ βίος

οὐδ' ἀκοντιστὰς] Ex Guelf. *οὐδὲ μὴν ἀκοντιστὰς, οὐδὲ μὴν ἱππέας, ἀλλ' οὔ γε μὴν τά γε σώματα* prætulit Zeune; ſed in libro ipſo *οὐδὲ μὴν ἱππεῖς*. deinde *ποεῖν* a correctore in *πονεῖν* mutatum, exſtare monet Fiſcher. Idem Altorf. *γε* poſt *ἱππέας* omittit. In Guelf. lectione mihi plura diſplicent, quam in vulgata, quam tamen ipſam omnino ſanam eſſe non puto.

σώματα] Philelphus *σώματα ἱκανὰ* vertit. Uſitatum magis erat *τοῖς σώμασι πονεῖν*; ita nemo potuiſſet in eam incidere opinionem, ut crederet *σώματα* eſſe h. l. ſervos; aut ſervorum deſcriptionem contineri verbis *τὰ σώματα ἱκανοὺς πονεῖν*.

ἢν μὴ] Junt. Ald. Iſingr. *εἰ μή*.

51. *ἀρκεῖ τοι*] Guelf. *ἀρκεῖ τι—ἢν—ἀμείνονας*. poſtrema forma eſt etiam in Altorf.

ἀκουσάντων] Altorf. *ἀκουόντων*. deinde *κωλύειν* in Guelf. ſed correctum.

ἐπαίνου] Ex Guelf. *ἐπαίνων ἕνεκα* dedit Zeune: *ἐπαίνου μὲν εἰς ἅπαντα* Altorf. poſtea *σώζεσθαι* habet Guelf.

52. *ἐγγενήσεσθαι*] Hanc librorum Brodæi ſcripturam cum Leonclavio et Hutchinſono prætuli alteri *ἐγγραφήσεσθαι*, quæ eſt in Edd. primis, utraque Stephaniana, Guelf. probata a Zeunio et Weiſkio.—Ex hac quidem ortum videtur *ἐντραφήσεσθαι* Altorfini libri, et in marginem Stephanianæ relatum ex verſione, credo, Philelphi, ubi eſt *coaleſcere in hominibus*. Scripturam *ἐγγραφήσεσθαι* defendunt eſſe exquiſitiorem, et dici eleganter de rebus et ſenſibus firmis et conſtantibus. Recte vero! At enim prius erat dicere, ſenſus hos animis hominum inſinuari debere; deinde vero omni ratione connitendum eſt, ut ibi quaſi coaleſcant cum naturalibus ſenſibus et cupiditatibus, neque unquam ex animo effluant. Hoc eſt *ἔμμονοι γίνονται*: cum quo ſi *ἐγγραφήσεσθαι* jungeretur, minor vis membro poſteriori ineſſet, et tropicæ orationi recta ſubjungeretur et ſimplex, quod rhetorica diſciplinà facere vetat. Accedit uſus ejuſdem verbi *ἐγγενέσθαι* ſectione 53. a Xenophonte adhibiti.

πρῶτον μὲν] Altorf. *μὲν* omittit, et ſic recte deinde *ἔπειτα διδασκάλους* ſequitur, ubi ex Guelf. *ἔπειτα δὲ* rectius ſcripſit Zeune.

παρασκευασθήσεται, τοῖς δὲ κακοῖς ταπεινός τε καὶ
ἀλγεινὸς καὶ ἀβίωτος ὁ αἰὼν ἐπανακείσεται; Ἔπειτα 53
δὲ διδασκάλους, οἶμαι, δεῖ καὶ ἄρχοντας ἐπὶ τούτοις
γενέσθαι, οἵτινες δείξουσί τε ὀρθῶς, καὶ διδάξουσι, καὶ
ἐθίσουσι ταῦτα δρᾷν, ἔστ' ἂν ἐγγένηται αὐτοῖς, τοὺς μὲν
ἀγαθοὺς καὶ εὐκλεεῖς εὐδαιμονεστάτους τῷ ὄντι νομίζειν,
τοὺς δὲ κακοὺς καὶ δυσκλεεῖς ἀθλιωτάτους ἁπάντων
ἡγεῖσθαι. Οὕτω γὰρ δεῖ διατεθῆναι τοὺς μέλλοντας
τοῦ ἀπὸ τῶν πολεμίων φόβου τὴν μάθησιν κρείττονα
παρέξεσθαι. Εἰ δέ τοι, ἰόντων εἰς μάχην σὺν ὅπλοις, 54
ἐν ᾧ πολλοὶ καὶ τῶν παλαιῶν μαθημάτων ἐξίστανται,
ἐν τούτῳ δυνήσεταί τις ἀποῤῥαψῳδήσας παραχρῆμα ἄν-
δρας πολεμικοὺς ποιῆσαι, πάντων ἂν ῥᾷστον εἴη, καὶ
μαθεῖν καὶ διδάξαι τὴν μεγίστην τῶν ἐν ἀνθρώποις ἀρε-
τήν. Ἐπεὶ ἔγωγ', ἔφη, οὐδ' ἂν τούτοις ἐπίστευον ἐμμό- 55
νοις ἔσεσθαι, οὓς νῦν ἔχοντες παρ' ἡμῖν αὐτοῖς ἠσκοῦμεν,
εἰ μὴ καὶ ὑμᾶς ἑώρων παρόντας, οἳ καὶ παραδείγματα
αὐτοῖς ἔσεσθε, οἵους χρὴ εἶναι, καὶ ὑποβάλλειν δυνή-

53. ἐθίσουσι] Ex Guelf. ἐθιοῦσι recepit Zeune, deinde ἔστ' ἂν in locum vulgaris ἕως ἂν; poftea Altorf. ἐγγίνηται habet.

εὐκλεεῖς] Ex Guelf. fi καὶ addere malueris, tum deinceps etiam καὶ ἀθλιωτάτους fcribendum fuerit, ubi ἁπάντων ut numerofius ex Guelf. vulgato πάντων fubftituit Zeune.

γὰρ δεῖ] Omiffum in Edd. primis, ut in Altorf. libro. δὲ addidit ex libro Gabriel. Stephanus, ex Guelf. Zeune.

μάθησιν] In Guelf. eft μάχην. Eft præcepta diligenti difciplina tradita, et diuturna exercitatione percepta factorum exemplis comprobare et exfequi, nec pati, ut timor hoftium et inftantis prælii fibi præcepta omnia fubito excutiat.

54. εἰ δέ τοι] Junt. et Guelf. τι, quod in Altorf. fuper rafura fcriptum eft. Ad ἰόντων intellige τῶν στρατιωτῶν.

ῥᾷστον] Hoc in margine Guelf. eft adfcriptum, in textu eft ἄριστον εἴη μαθεῖν.

55. Ἐπεὶ] Ita Guelf. cum Ifingr. *quoniam* Philelphus vertit. ἐπεὶ δ' eft in Juntina et Ald. ἐπειδὴ Stephanus dedit, quod Weifke retinuit; contra ἐπεὶ δ' quafi a Guelf. etiam comprobatum prætulit Zeune. οὐκ ἂν τούτοις Guelf.

ἐμμόνοις] Juntina, Altorf. et Guelf. ἐν μόνοις, fed in Guelf. correctum. deinde αὐτοῖς eft in Ald. Bodl. Gabr. et Guelf. libris, ceteri αὐτοὺς habent.

παρόντας] Junt. Ifingr. et margo Guelf. πάντας. fequens αὐτοῖς omittit Juntina, ex Guelf. vulgatum παράδειγμα correxi.

ὑποβάλλειν] Guelf. ὑποβαλεῖν, quod recepit Zeune. ἄν τι ἐπιλ. deinde Altorf.

σεσθε, ἥν τι ἐπιλανθάνωνται. Τοὺς δ' ἀπαιδεύτους παντάπασιν ἀρετῆς θαυμάζοιμ' ἄν, ἔφη, ὦ Χρυσάντα, εἴ τι πλέον ἂν ὠφελήσειε λόγος καλῶς ῥηθεὶς εἰς ἀνδραγαθίαν, ἢ τοὺς ἀπαιδεύτους μουσικῆς ᾆσμα καλῶς ᾀσθὲν εἰς μουσικήν.

Magno animo Perſæ impetum faciunt in Aſſyrios, qui, amiſſis ſuorum multis, in caſtra repelluntur.

56 Οἱ μὲν τοιαῦτα διελέγοντο. Ὁ δὲ Κυαξάρης πάλιν πέμπων ἔλεγεν, ὅτι ἐξαμαρτάνοι διατρίβων, καὶ οὐκ ἄγων ὡς τάχιστα ἐπὶ τοὺς πολεμίους. Καὶ ὁ Κῦρος ἀπεκρίνατο δὴ τότε τοῖς ἀγγέλοις· Ἀλλ' εὖ μὲν ἴστω, ἔφη, ὅτι οὔπω εἰσὶν ἔξω, ὅσους ἔδει· καὶ ταῦτα ἀπαγγέλλετε αὐτῷ ἐν ἅπασιν· ὅμως δὲ, ἐπεὶ ἐκείνῳ δοκεῖ,
57 ἄξω ἤδη. Ταῦτα εἰπὼν, καὶ προσευξάμενος τοῖς θεοῖς αὐτοῦ, ἐξῆγε τὸ στράτευμα. Ὡς δ' ἤρξατο ἄγειν [ἔτι] θᾶττον, ὁ μὲν ἡγεῖτο, οἱ δ' εἵποντο, εὐτάκτως μὲν, διὰ τὸ ἐπίστασθαι καὶ μεμελετηκέναι ἐν τάξει πορεύεσθαι· ἐῤῥωμένως δὲ, διὰ τὸ φιλονείκως ἔχειν πρὸς ἀλλήλους, καὶ διὰ τὸ τὰ σώματα ἐκπεπονῆσθαι, καὶ διὰ τὸ πάντας ἄρχοντας τοὺς πρωτοστάτας εἶναι· ἡδέως δὲ, διὰ τὸ

Χρυσάντα] Altorf. a prima manu Χρύσαντες habet ſcriptum.

μουσικῆς] Ita cum libris Philelphi, Camer. Guelf. Stephanus et Zeune ceterorum μουσικὸν correxerunt, in quo tamen μουσικῶν mihi latitare videbatur, cui ſi τῶν articulum addideris, rectius variabitur oratio, quam geminato vocabulo μουσική. Ita paulo ante ἀρετὴ eſt, quæ poſtea ἀνδραγαθία. deinde μάλα καλῶς ex libro Brodæi et Guelf. dedit Zeune.

56. τοιαῦτα] Guelf. ταῦτα—πέμπων πάλιν—ὡς τοὺς πολεμίους.

ὅσους ἔδει] Guelf. δεῖ. deinde ἀπάγγελλε Altorf. a prima manu ſcriptum habet.

57. θεοῖς αὐτοῦ] Ex Budenſi et Altorf. αὐτοῦ addidit Zeune, quod Camerarius, *illico*, Philelphus *ejus ſoli deos precatus* vertit.

θᾶττον] In Guelf. ἐπεὶ θᾶσσον ἡγεῖτο, ſed corrector ἐπεὶ mutavit in ἔτι, et poſt θᾶσσον inſeruit verba ὁ μέν. ceteri libri ἔτι θᾶττον habent, ἐπὶ θᾶττον dedit Weiſke, ἔτι incluſit Zeune. Altorf. ἔτι θᾶττον, ἡγεῖτο. Mihi Xenophon non de celeritate agminis loqui voluiſſe videtur ; nec tum demum Cyrus agmen ipſe duxit, cum gradum addere milites vellet ; ſed ſtatim ab initio præivit agmini ; quod eſt ἐπεὶ vel ὡς δ' ἤρξατο ἄγειν θᾶττον, ὁ μὲν ἡγεῖτο : *quam primum autem movere exercitum et educere cœpit Cyrus, ipſe præivit* : quam equidem lectionem unice probaverim.

ἐπίστασθαι] Ex Guelf. τε addidit Zeune.

πρωτοστάτας] Hanc aciem Lacedæmoniorum exponit noſter De Republica eorum cap. 11, 5. et Hipparchici 2, 6.

ἡδέως δὲ] Edd. primæ καὶ addunt. deinde ἐπίσταντο Guelf.

φρονίμως ἔχειν· ἠπίσταντο γὰρ, καὶ ἐκ πολλοῦ οὕτως ἐμεμαθήκεσαν, ἀσφαλέστατον εἶναι καὶ ῥᾷστον τὸ ὁμόσε ἰέναι τοῖς πολεμίοις, ἄλλως τε καὶ τοξόταις, καὶ ἀκοντισταῖς, καὶ ἱππεῦσιν.

Ἕως δ᾽ ἔτι ἔξω βελέων ἦσαν, παρηγγύα ὁ Κῦρος 58
σύνθημα, ΖΕΥΣ ΞΥΜΜΑΧΟΣ ΚΑΙ ΗΓΕΜΩΝ. Ἐπεὶ δὲ πάλιν ἧκε τὸ σύνθημα ἀνταποδιδόμενον, ἐξῆρχεν αὖ ὁ Κῦρος παιᾶνα τὸν νομιζόμενον· οἱ δὲ θεοσεβῶς πάντες συνεπήχησαν μεγάλῃ τῇ φωνῇ· ἐν τῷ τοιούτῳ γὰρ δὴ οἱ δεισιδαίμονες ἧττον τοὺς ἀνθρώπους φοβοῦνται.
Ἐπεὶ δ᾽ ὁ παιὰν ἐγένετο, ἅμα πορευόμενοι οἱ ὁμότιμοι 59
φαιδροὶ, καὶ πεπαιδευμένοι, παρορῶντες εἰς ἀλλήλους, ὀνομάζοντες παραστάτας, ἐπιστάτας, λέγοντες πολὺ τὸ,

τοξόταις] Tria hæc vocabulo cum vocabulo πολεμίοις jungenda ſunt.

58. ἔξω βελέων] Ita ex Guelf. et Altorf. pro βελῶν ἔξω dedit Zeune. Sed uterque Codex βελῶν dabat, contra βελέων Xenophontem ubique poſuiſſe, ut ἀνθέων, ὀρέων et ſimilia, Grammaticus neſcio quis apud Suidam in vocabulo ἀνθέων docet. Cf. Pierſon ad Mœrin p. 456. et Koen. ad Gregorium de Dial. p. 175.

ξύμμαχος] Ita cum Guelf. pro συμ. Zeune. deinde ἐπειδὴ πάλιν. De teſſera, ore et voce tradita, non ut apud Romanos, tabula, et ad imperatorem redeunte compara Anabaſin i. 8, 11.

παιᾶνα] Ante hanc vocem vulgo αὖ Διοσκούροις legitur ſcriptum. In Guelf. eſt αὖ ὁ Κῦρος, ſed in margine διοσκούροις adſcriptum eſt a correctore; Philelphi verſio αὖ ὁ Κῦρος Διοσκούροις expreſſit. Sed ex ſcriptura αὖθις ὁ Κῦρος ortam eſſe vitioſam alteram αὖ Διοσκούροις probabilis valde fuit jam olim Grammii opinio Hiſtoriæ deorum ex Xenophonte p. 79. Pæanem enim Græcos Enyalio et Apollini cantare ſolitos tradit Scholiaſtes Thucydidis ad 1, 50. et 4, 43. Dioſcurorum ea in re nullibi fit mentio. Quod igitur vocabulum Zeune et Weiſke ut ſuſpectum ſecluferant, equidem plane ejeci.

δεισιδαίμονες] Sunt religioſi homines et reverentia deorum pleni. Canticorum et pæanum vicem apud Lacedæmonios tibiarum ſonus gerebat; hodieque muſici modi fere apud omnes gentes in locum pæanum ſucceſſerunt.

59. φαιδροὶ] Edd. primæ, ut Philelphi liber et Altorf. φαιδροὶ, πεπαιδευμένοι, ubi φαιδροί τε καὶ ex libris ſuis correxit Brodæus. In Guelf. τε eſt ſine καὶ et deinde καὶ παρορῶντες εἰς ἀλλήλους, quod recepit Zeune in locum vulgati περιορῶντες: hoc quidem Philelphus expreſſit: *ac ſeſe invicem circumſpicientes:* Weiſke παρορῶντες ἀλλήλους edidit: in Altorf. καὶ περιορ. eſt. Mihi lectio Guelf. unice vera viſa eſt. Aliud enim παρορᾷν τινὰ, aliud παρορᾷν εἴς τινα. Infra viii. 1, 4. παρορᾷν πρὸς τὸ σημεῖον eſt. Sed qui ſunt οἱ πεπαιδευμένοι, de quibus interpretes tacent? Infra ſect. 70. recte eſt: ἔνθα δὴ ἔγνω τις ἂν τοὺς ὁμοτίμους καὶ πεπαιδευμένους ὡς δεῖ. ſed hoc in loco inter φαιδροὶ et παρορῶντες εἰς ἀλλήλους interpoſiti οἱ πεπαιδευμένοι mihi inepti et ſpurii videntur.

λέγοντες πολὺ] Junt. λέγοντες καὶ πολὺ ἄνδρες φίλοι. Ald. λέγ. πολὺ καὶ τὸ ἄγετε. Guelf. λέγοντες πολὺ ἄγετ᾽.

Ἄγετε ἄνδρες φίλοι, Ἄγετ' ἄνδρες ἀγαθοὶ, παρεκάλουν ἀλλήλους ἕπεσθαι. Οἱ δ' ὄπισθεν, αὐτῶν ἀκούσαντες, ἀντιπαρεκελεύοντο τοῖς πρώτοις ἡγεῖσθαι ἐῤῥωμένως. Ἦν δὲ μεστὸν τὸ στράτευμα τῷ Κύρῳ προθυμίας, φιλοτιμίας, ῥώμης, θάρσους, παρακελευσμοῦ, σωφροσύνης,
60 πειθοῦς· ὅπερ οἶμαι δεινότατον τοῖς ὑπεναντίοις. Τῶν δ' Ἀσσυρίων οἱ μὲν ἀπὸ τῶν ἐρυμάτων προμαχοῦντες, ὡς ἐγγὺς ἤδη προσεμίγνυε τὸ Περσικὸν πλῆθος, ἀνέβαινον ἐπὶ τὰ ἅρματα, καὶ ὑπεξῆγον πρὸς τὸ ἑαυτῶν πλῆθος· οἱ δὲ τοξόται, καὶ ἀκοντισταὶ, καὶ σφενδονῆται αὐτῶν
61 ἀφίεσαν τὰ βέλη πολὺ πρὶν ἐξικνεῖσθαι. Ὡς δ' ἐπιόντες οἱ Πέρσαι ἐπέβησαν τῶν ἀφιεμένων βελέων, ἐφθέγξατο δὴ ὁ Κῦρος· Ἄνδρες ἄριστοι, ἤδη θᾶττόν τις ἰὼν ἐπιδεικνύτω ἑαυτὸν καὶ παρεγγυάτω. Οἱ μὲν δὴ παρε-

οἱ δ' ὄπισθεν] Sunt οἱ ἐπιστάται, ut οἱ πρῶτοι deinde οἱ πρωτοστάται. Nescio igitur, quid in mentem venerit Camerario, ut παραστάτας mutatos vellet in προστάτας. deinde Altorf. φιλοτιμίας omittit.

ὑπεναντίοις] Ex libro Gabrielis ἐναντίοις recepit Steph. in editione posteriore.

60. ἐρυμάτων] Edd. primæ cum libro Philelphi, et margine Guelf. ἐρυμάτων vel ut Bodl. ῥυμάτων dabant: ἁρμάτων ex libris Gabrielis, Camer. Guelf. margine Bodl. probarunt Leoncl. Steph. Hutchinson et Zeune. In Altorfino verba μὲν ἀπὸ supra contextum scripta sunt. deinde προσεμίγνυον in Guelf. sed correctum; postea ἀνέβαινόν τε, quod recepit Zeune.

ὑπεξῆγον] Ita cum libris Brodæi Guelf. in cujus margine est vulgata ante Zeunium ἀνεχώρουν; quod verbum ex interpretatione nostræ lectionis ortum volebat vir doctus, ὑπεξ. interpretatus *sensim se subducebant*. Fugiunt igitur οἱ ἀπὸ τῶν ἁρμάτων προμαχοῦντες? Atqui nondum pugnabant, sed currus demum appropinquante Persarum exercitu ascendunt, ubi pugnaturi sunt. Igitur aliter oportet interpretari verbum ὑπεξάγειν, scilicet ex castris vallo munitis egredi. Quod si vero lectionem ἐρυμάτων de castellis interpreteris, tum vero recte fugientes illi castellorum πρόμαχοι currus ascendere et fuga se ad exercitum Assyriorum referre dicuntur. Et video etiam infra in exercitu Assyriorum vii. 1, 29. currus bellicos, statim ubi Abradatas cum curribus falcatis impetum facit, fugere, τὰ μὲν ἀναλαβόντα τοὺς παραιβάτας, τὰ δὲ καὶ ἀπολιπόντα. Igitur bellatores non curribus insistentes pugnabant, sed ubi se in fugam dare cogitabant, currum post aciem, ut videtur, stantem adscendebant. Cf. ad vi. 1, 30. Igitur sine dubitatione lectionem ἐρυμάτων alteri ἁρμάτων prætuli.

πολὺ πρὶν] Ita cum libris Brodæi Guelf. et Altorf. pro πολλῷ. paulo antea σφενδονηταὶ vulgatum ex Guelf. mutavit Zeune.

61. ἐπέβησαν] In Guelf. ἀπέβησαν τῶν ἀφειμένων, sed corrector fecit ἐπεβ. In Altorf. est ἐφιεμένων. Vulgatum antea βελῶν correxit Zeune.

δὴ ὁ Κῦρος] Guelf. et margo Steph. ἤδη ὁ Κ. sequens ἤδη omittit Altorf. qui postea ἐπιδεικνυέτω habet, quod est in Guelf. a correctoris manu.

Οἱ μὲν δὴ] Edd primæ cum Altorf. δὴ omittunt, sequens τοῦτο Guelf.

δίδοσαν τοῦτο· ὑπὸ δὲ προθυμίας καὶ μένους καὶ τοῦ σπεύδειν συμμῖξαι, δρόμου τινὲς ἤρξαντο· συνεφείπετο δὲ καὶ πᾶσα ἡ φάλαγξ δρόμῳ. Καὶ αὐτὸς δὲ ὁ Κῦρος, ἐπι- 62
λαθόμενος τοῦ βάδην, δρόμῳ ἡγεῖτο· καὶ ἅμα ἐφθέγγετο, Τίς ἐφέπεται; Τίς ἀγαθός; Τίς πρῶτος ἄνδρα καταβαλεῖ; Οἱ δὲ ἀκούσαντες, τὸ αὐτὸ τοῦτο ἐφθέγγοντο· καὶ διὰ πάντων δὴ, ὥσπερ παρηγγύα, οὕτως ἐχώρει, Τίς ἕψεται; Τίς ἀγαθός; Οἱ μὲν δὴ Πέρσαι οὕτως 63
ἔχοντες ὁμόσε ἐφέροντο· οἵ γε μὴν πολέμιοι οὐκέτι ἐδύναντο μένειν, ἀλλὰ στραφέντες ἔφευγον εἰς τὸ ἔρυμα. Οἱ δ' αὖ Πέρσαι κατὰ τὰς εἰσόδους ἐφεπόμενοι, ὠθου- 64
μένων αὐτῶν, πολλοὺς κατεστρώννυσαν· τοὺς δ' εἰς τὰς τάφρους ἐμπίπτοντας ἐπεισπηδῶντες ἐφόνευον, ἄνδρας ὁμοῦ καὶ ἵππους· ἔνια γὰρ τῶν ἁρμάτων εἰς τὰς τάφρους ἠναγκάσθη φεύγοντα συνεισπεσεῖν. Καὶ οἱ τῶν 65
Μήδων δὲ ἱππεῖς, ὁρῶντες ταῦτα, ἤλαυνον εἰς τοὺς ἵππους τῶν πολεμίων· οἱ δ' ἐνέκλιναν [καὶ τούτους]. Ἔνθα δὴ καὶ ἵππων διωγμὸς ἦν καὶ ἀνδρῶν, καὶ φόνος ἐξ ἀμ-

deinde ἦρξαν eſt in Altorf. το ab aliena manu ſupra ſcripto. In Guelf. a prima manu τινὸς ſcriptum fuit, quod corrector in τινὲς mutavit.

62. τοῦ βάδην] Intellige ſequens ἡγεῖσθαι.

ἐφέπεται] Bodl. Altorf. et margo Steph. ἕψεται, quod Philelphus expreſſit. deinde ex Guelf. τίς ἄνδρα πρῶτος dedit Zeune, ut poſtea ταὐτό.

καὶ διὰ πάντων δὴ] Altorf. καὶ διὰ πάντων δὲ quod probo: deinde ὥσπερ παρ. οὕτως ἐχώρει eſt etiam Xenophonteum: alibi tamen ὥσπερ καὶ—οὕτω καὶ dicere ſolet. Vide infra ad viii. 1, 8.

63. ἔρυμα] Ita liber Philelphi cum Guelferb. et Zonara: ceteri τὰ ἐρύματα habent, quæ ſunt loca munita, ut iv. 2, 5.

64. κατὰ] Guelf. κατά τε—ἐφεπόμενοι. Vulgo ante Zeunium erat ἑπόμενοι. Cum Guelf. facit Philelphi liber et Zonaras.

κατεστρώννυσαν] Ita cum Leonclavii poſtrema Editione Zonaras et Guelf. ceteri libri cum Bodl. et Philel. ἀπέκτειναν.

συνεισπεσεῖν] Guelf. ἐμπεσεῖν.

65. ἵππους τοὺς] Guelf. τοὺς ἱππέας τοὺς τῶν πολεμίων—ἐνέκλινον ſed corrector ἐνέκλιναν dedit. Philelphus *immittebant in hoſtium equites*, qui eos haud ſuſtinuerunt. τοὺς ἱππέας τῶν πολ. Zonaras, deinde ἐνέκλινον habet; Altorf. ἱππεῖς τοὺς τῶν πολεμίων. Muretus ἐξέκλιναν malebat. Contra Zeune eodem ſenſu apud Xenophontem in Ageſilai Encomio 1, 32. ἐγκλίνειν eſſe ait; recte! At quid fiet verbis καὶ τούτους? Nam ἐνέκλιναν dicitur forma paſſiva, ut in Encomio Ageſilai l. c. Ineptiſſime vero Index Zeunianus ex h. l. retulit ἐγκλίνειν τινὰ, *alicujus impetum non ſuſtinere, fugere*: Interim verba ſuſpecta ſeclusi.

66 φοτέρων. Οἱ δ' ἐντὸς τοῦ ἐρύματος τῶν Ἀσσυρίων, ἑστη-
κότες ἐπὶ τῆς κεφαλῆς τῆς τάφρου, τοξεύειν μὲν καὶ
ἀκοντίζειν εἰς τοὺς κατακαίνοντας οὔτε ἐφρόνουν, οὔτ'
ἐδύναντο, διά τε τὰ δεινὰ ὁράματα, καὶ διὰ τὸν φόβον.
Τάχα δὲ καὶ καταμαθόντες τῶν Περσῶν τινὰς διακεκο-
φότας πρὸς τὰς εἰσόδους τοῦ ἐρύματος, ἐτράποντο, καὶ
67 ἀπὸ τῶν κεφαλῶν ἔφευγον. Ἰδοῦσαι δὲ αἱ γυναῖκες
τῶν Ἀσσυρίων καὶ τῶν συμμάχων φυγὴν ἤδη καὶ ἐν τῷ
στρατοπέδῳ, ἀνέκραγον, καὶ ἔθεον ἐκπεπληγμέναι, αἱ
μὲν καὶ τὰ τέκνα ἔχουσαι, αἱ δὲ καὶ νεώτεραι καταῤῥη-
γνύμεναι τοὺς πέπλους, καὶ δρυπτόμεναι, καὶ ἱκετεύουσαι
πάντας, ὅτῳ ἐντυγχάνοιεν, μὴ φεύγειν καταλιπόντας
αὐτὰς, ἀλλ' ἀμῦναι καὶ τέκνοις καὶ ἑαυταῖς καὶ σφίσιν
68 αὐτοῖς. Ἔνθα δὴ καὶ αὐτοὶ οἱ βασιλεῖς σὺν τοῖς πιστο-
τάτοις στάντες ἐπὶ τὰς εἰσόδους, καὶ ἀναβάντες ἐπὶ τὰς
κεφαλὰς, καὶ αὐτοὶ ἐμάχοντο, καὶ τοῖς ἄλλοις παρε-
69 κελεύοντο. Ὡς δ' ἔγνω ὁ Κῦρος τὸ γιγνόμενον, δείσας,
μὴ, εἰ καὶ βιάσαιντο εἴσω, ὀλίγοι ὄντες ὑπὸ πολλῶν

66. κεφαλῆς τῆς τάφρου] *Aggerem juxta foſſam* interpretatur Index Zeunianus. κεφαλήν τινος εἶναι in ſuperiore loco ſtare et eminere ſupra aliquem eſt κατά. Vide ad Hellenicorum vii. 2, 8.

κατακαίνοντας] Hoc ex Guelf. pro ἀποκτείνοντας dedit Zeune: idem liber τε poſt διὰ omittit et ἢ ἀκοντίζειν habet: poſtea ταχὺ pro τάχα neſcio unde retulit margo Steph.

διακεκοφότας] Aldina διακεκυφότας. Sed in vulgata ſupple τὸ ἑαυτῶν στράτευμα φεῦγον.

ἀπὸ τῶν κεφαλῶν] Juntina ἐπί. Guelf. cum libro Philel. ἀπὸ τῶν κεφαλῶν τῶν ἔνδον.

67. φυγὴν ἤδη] Guelf. ἤδη φυγὴν—καὶ τέκνα. Etiam Altorf. καὶ τέκνα.

τοὺς πέπλους] Guelf. τε πέπλους—ἱκετεύουσι. Zonaras ἱκέτευον habet.

πάντας] Stephanus ex libris quibuſdam πάντα memorat. Cf. ad i. 6, 11.

καὶ τέκνοις] Ex Guelf. et Zonara καὶ αὐταῖς καὶ τέκνοις καὶ σφ. edidit Zeune.

68. οἱ βασιλεῖς] Præter Crœſum Aſſyriorum rex; qui ibi cecidit, ut noſter narrat iv. 6, 2. de cujus morte ſcriptum aliquid hoc in loco periiſſe ſuſpicatur Weiſke. Verum qui potuit vir doctus ponere Xenophontem altero illo in loco ex facto prorſus ignoto, cujus nullam ipſe mentionem fecerit, argumentari? Hoc quidem in loco nihil attinebat mortem regis commemorari; altero vero mors ſimul editur et in cauſa triſtitiæ publicæ ponitur, loco ſane commodiſſimo.

69. τὸ γιγνόμενον] Guelf. cum margine Steph. τὰ γιγνόμενα: deinde Guelf. μὴ καὶ εἰ βιάσαιντο. Philelphus καὶ non expreſſit.

σφαλεῖέν τι, παρηγγύησεν ἐπὶ πόδα ἀνάγειν ἔξω βελέων,
καὶ πείθεσθαι. Ἔνθα δὴ ἔγνω τις ἂν τοὺς ὁμοτίμους 70
καὶ πεπαιδευμένους ὡς δεῖ· ταχὺ μὲν γὰρ αὐτοὶ ἐπεί-
θοντο, ταχὺ δὲ καὶ τοῖς ἄλλοις παρήγγελλον. Ὡς δ'
ἔξω βελέων ἐγένοντο, ἔστησαν κατὰ χώραν πολὺ μᾶλλον
χοροῦ, ἀκριβῶς εἰδότες, ὅπου ἔδει ἕκαστον αὐτῶν γενέ-
σθαι.

ἐπὶ πόδα] Originem et rationem locutionis explicare conatus Weiſke fecit ut nihil intelligam. Recte tamen illud poſuit ἐπὶ πόδα eſſe facie hoſtibus obverſa retrogredi. Quod eſt referre pedem, cum in eodem veluti veſtigio pedem retro cedendo ponimus. Polybius ἀναχωρεῖν et ὑποχωρεῖν ἐπὶ πόδα dicere ſolet; cujus locum peſſime habitum a librariis ii. 68, 8. et in quo nuperus interpres ita lapſus eſt, ut miram differentiam inter ἐπὶ πόδα et ὑπὸ πόδα comminiſceretur, obiter hic emendatum ponere licebit: οὐ γὰρ ἀπολιπόντες αὐτοῖς ἀναχώρησιν, προσδεξάμενοι δ' ἀκεραίους ἅμα καὶ συνεστώσας τὰς σπείρας, εἰς τοῦτο δυσχρηστίας ἦλθον, ὥστε δι' αὐτῆς τοῦ λόφου κορυφῆς διαμάχεσθαι πρὸς τοὺς βιαζομένους. εὐθέως δὲ οἱ μὲν Ἰλλυριοὶ τὴν κατάστασιν ἐλάμβανον, οἱ δὲ περὶ τὸν Εὐκλείδην διὰ τὸ μὴ καταλείπεσθαι τόπον εἰς ἀναχώρησιν τὴν ἐπὶ πόδα καὶ μετάστασιν ἑαυτοῖς, τὸ λοιπὸν ὅσον ἐκ ποδὸς ἐπιέσθησαν τῷ βάρει τοῦ καθοπλισμοῦ καὶ τῆς συντάξεως, ἐξ οὗ ταχέως συνέβη τραπέντας αὐτοὺς ὀλεθρίῳ χρήσασθαι φυγῇ, κρημνώδη καὶ δύσβατον ἐχόντων ἐπὶ πολὺ τὴν ἀναχώρησιν τῶν τόπων. ubi nihil aut parum in verbis, multum vero in ordine eorum mutatum vides.

βελέων] Hic et paulo poſt vulgatum βελῶν correxit Zeune.

καὶ πείθεσθαι] Hæc frigere, recte monuit Weiſke, qui verbum πείθεσθαι vitioſum eſſe ſuſpicatus eſt. At ſequentia αὐτοὶ ἐπείθοντο καὶ τοῖς ἄλλοις παρήγγελλον verbum id deſiderare videntur, niſi ſunt et ipſa vitioſa.

70. καὶ πεπαιδευμένους] Hæc omiſſa in Guelf. corrector ſupplevit: deinde in eodem eſt ταχὺ δὲ τοῖς—παρήγγειλον. Etiam Altorf. ταχὺ δὲ τοῖς.

πολὺ μᾶλλον] Ita cum margine Steph. Guelf. et Altorf. pro πολλῷ ſcripſi; idem ſupra ſect. 60. in Guelf. repertum Zeunius velut exquiſitius receperat; hoc vero loco ſprevit.

ἕκαστον] Ex Guelf. et Brodæi libris αὐτῶν deinceps inſeruit Zeune; idem Stephanus dare voluit in Editione altera, ſed operæ αὐτῷ dederunt.

ΞΕΝΟΦΩΝΤΟΣ

ΚΥΡΟΥ ΠΑΙΔΕΙΑΣ Δ′.

CAP. I.

ΜΕΙΝΑΣ δὲ ὁ Κῦρος μέτριον χρόνον αὐτοῦ σὺν τῷ στρατεύματι, καὶ δηλώσας, ὅτι ἕτοιμοί εἰσι μάχεσθαι, εἴ τις ἐξέρχοιτο, ὡς δὴ οὐδεὶς ἀντεξῄει, ἀπήγαγεν, ὅσον ἐδόκει καλῶς ἔχειν, καὶ κατεστρατοπεδεύσατο. Φύλακας δὲ καταστησάμενος, καὶ σκοποὺς προπέμψας, στὰς εἰς τὸ μέσον συνεκάλεσε τοὺς ἑαυτοῦ στρατιώτας, καὶ ἔλεξε τοιάδε· Ἄνδρες Πέρσαι, πρῶτον μὲν τοὺς θεοὺς ἐγώ τε 2 ἐπαινῶ, ὅσον δύναμαι, καὶ ὑμεῖς δὲ πάντες, οἶμαι· νίκης τε γὰρ τετυχήκαμεν καὶ σωτηρίας. Τούτων μὲν οὖν χρὴ χαριστήρια, ὧν ἂν ἔχωμεν, τοῖς θεοῖς ἀποτελεῖν. Ἐγὼ δὲ σύμπαντας μὲν ὑμᾶς ἤδη ἐπαινῶ· (Τὸ γὰρ γεγενη-

Cyrus ob victoriam reportatam deos et milites honore afficit.

1. ὡς δὴ] Junt. Ald. ὡς δέ. Caftal. Bryl. Argent. Margo Steph. et Altorf. noftrum ὡς δὴ habent, quod Philelphus expreffit *tandem poftea-quam* vertens. Neutrum habet Steph. nec Guelf. ex quo ἀντεξῄει cum Zeunio dedi pro ἐξῄει fimplice. Idem liber paulo poftea ἐστρατοπεδεύσατο præfert.

Φύλακας δὲ] Ita ex Bodl. Guelf. Altorf. cum Mureto et Zeunio correxi vulgatum φυλακάς τε, cum quo στὰς non bene coire videtur: at Zeune φυλακὰς dedit: vide ad v. 1, 30. annotanda. Articulum ante μέσον in Guelf. corrector fupplevit.

2. ὑμεῖς δὲ] Ex Guelf. δὲ addidi cum Zeunio, fed idem præcedens τε eodem libro auctore omiferat. ἐπαινῶ eft *gratias ago habeoque*, ut in formula, quando ad cœnam vocatus renuit et ἐπαινεῖ.

ὧν ἂν] Guelf. ὧν ἂν ἀεὶ, quod expreffit etiam Philelphus et recepit Zeune; fed hoc quidem in loco ὧν ἂν νῦν præftaret.

μένον ἔργον σύμπασιν ὑμῖν καλὸν ἀποτετέλεσται) ὧν δ' ἕκαστος ἄξιος, ἐπειδὰν παρ' ὧν προσήκει πύθωμαι, τότε τὴν ἀξίαν ἑκάστῳ καὶ λόγῳ καὶ ἔργῳ πειράσομαι
3 ἀποδιδόναι. Τὸν δ' ἐμοῦ ἐγγύτατα ταξίαρχον Χρυσάνταν οὐδὲν παρ' ἄλλων δέομαι πυνθάνεσθαι, ἀλλ' αὐτὸς οἶδα, οἷος ἦν· τὰ μὲν γὰρ ἄλλα, ὅσαπερ, οἶμαι, καὶ πάντες ὑμεῖς, ἐποίει· ἐπεὶ δ' ἐγὼ παρηγγύησα ἐπανάγειν, καλέσας ὀνομαστὶ αὐτὸν, ἀνατεταμένος οὗτος τὴν μάχαιραν, ὡς παίσων πολέμιον, ὑπήκουσέ τε μου εὐθὺς, καὶ ἀφεὶς, ὃ ἔμελλε ποιεῖν, τὸ κελευόμενον ἔπραττεν· αὐτός τε γὰρ ἐπανῆγε, καὶ τοῖς ἄλλοις μάλα ἐπισπερχῶς παρηγγύα· ὥστ' ἔφθασεν ἔξω βελέων τὴν τάξιν ποιήσας, πρὶν τοὺς πολεμίους κατανοῆσαί τε, ὅτι ἀνεχωροῦμεν, καὶ τόξα ἐντείνασθαι, καὶ τὰ παλτὰ ἐπαφεῖναι· ὥστ' αὐτός τε ἀβλαβὴς, καὶ τοὺς ἑαυτοῦ ἄνδρας ἀβλα-
4 βεῖς διὰ τὸ πείθεσθαι παρέχεται. Ἄλλους δ', ἔφη, ὁρῶ τετρωμένους, περὶ ὧν ἐγὼ σκεψάμενος, ἐν ὁποίῳ χρόνῳ ἐτρώθησαν, τότε τὴν γνώμην περὶ αὐτῶν ἀποφανοῦ-

καὶ λόγῳ] Guelf. καὶ ἔργῳ καὶ λόγῳ. Idem ξύμπαντας, deinde πᾶσιν corrector in σύμπασιν in eodem mutavit.

3. ἐγγύτατα] Edd. veteres ἐγγυτάτω. Alterum cum Steph. Guelf. et Altorf. probavit Zeune.

ὅσαπερ] Junt. Isingr. ὅσαπερ καὶ ὑμεῖς—ἐποιεῖτε. Etiam in Guelf. erat ἐποιεῖτε et πάντες ὑμεῖς. quod posterius in locum vulgati ὑμεῖς πάντες substitui. Aldina ὅσαπερ ἐποίει καὶ ὑμεῖς πάντες οἶμαι. Ordinem verborum restituit Brodæus. Altorf. ὅπερ —ἐποίει, sed corrector ὅσαπερ ἐποιεῖτε supra scripsit.

ὀνομαστὶ] Guelf. αὐτὸν ὀνομαστί. deinde οὕτως malebat scribi Abresch. Dilucid. Thucyd. p. 77. At οὗτος respondet pronomini ἐγώ.

ἀνατεταμένος] Plutarchus in Quæst. Romanis p. 109. ed Reiskii, ubi h. l. respicit, καὶ τὴν κοπίδα διηρμένος, ἀκούσας τὸ ἀνακλητικὸν, ἀφῆκε τὸν ἄνδρα laudat.

τέ μου] Margo Steph. ἐμοὶ, quod Guelf. a prima manu habet, ἐμοῦ vero ab altera: Budensis μοι, Altorf. ὑπήκουσε ἐμοί.

ἐπανῆγε] Hoc ex Guelf. vulgato ἐπανήγαγε cum Fischero substitui. Philelphus etiam *recipiebat se*.

ὥστ'] Guelf. ἔστ' ἔφθασεν. Alii igitur libri ἕως scriptum habuerunt. deinde ex Guelf. ἀνεχωροῦμεν dedi suadente Fischero pro ἀναχωροῦμεν.

ἐπαφεῖναι] Ita cum Steph. et Guelf. Zeune: ἐπαφιέναι Edd. vett.

ἀβλαβὴς] Margo Steph. et Guelf. ἀποβλάβης, unde ἀπὸ βλάβης efficiebat Æmil. Portus. Nisi fuit ἀποβλαβὴς forma Ionica pro ἀβλαβὴς, ut intelligatur ἔστιν. deinde Guelf. τοὺς αὐτοῦ ἄνδρας.

μαι. Χρυσάνταν δὲ, ὡς καὶ ἐργάτην τῶν πολεμικῶν,
καὶ Φρόνιμον, καὶ ἄρχεσθαι ἱκανὸν καὶ ἄρχειν, χι-
λιαρχίᾳ μὲν ἤδη τιμῶ· ὅταν δὲ καὶ ἄλλο τι ἀγαθὸν ὁ
Θεὸς δῷ, οὐδὲ τότε ἐπιλήσομαι αὐτοῦ. Καὶ πάντας 5
δὲ ὑμᾶς βούλομαι, ἔφη, ὑπομνῆσαι· ἃ γὰρ νῦν εἴδετε
ἐν τῇ μάχῃ τῇδε, ταῦτα ἐνθυμούμενοι μήποτε παύ-
σησθε, ἵνα παρ' ὑμῖν αὐτοῖς ἀεὶ κρίνητε, πότερον ἡ
ἀρετὴ μᾶλλον, ἢ ἡ Φυγὴ σώζει τὰς ψυχὰς, καὶ πό-
τερον οἱ μάχεσθαι θέλοντες ῥᾷον ἀπαλλάττουσιν, ἢ οἱ
οὐκ ἐθέλοντες, καὶ ποίαν τινὰ ἡδονὴν τὸ νικᾷν παρέχει·
ταῦτα γὰρ νῦν ἄριστα κρίναιτ' ἂν, πεῖράν τε αὐτῶν
ἔχοντες, καὶ ἄρτι γεγενημένου τοῦ πράγματος. Καὶ 6
ταῦτα μὲν, ἔφη, ἀεὶ διανοούμενοι, βελτίους ἂν εἴητε· νῦν
δὲ, ὡς καὶ θεοφιλεῖς, καὶ ἀγαθοὶ, καὶ σώφρονες ἄνδρες,
δειπνοποιεῖσθε, καὶ σπονδὰς τοῖς θεοῖς ποιεῖσθε, καὶ
παιᾶνα ἐξάρχεσθε, καὶ ἅμα τὸ παραγγελλόμενον προ-
νοεῖτε·

Εἰπὼν δὲ ταῦτα, ἀναβὰς ἐπὶ τὸν ἵππον ἤλασε, καὶ 7
πρὸς Κυαξάρην ἦλθε· καὶ συνησθεὶς ἐκείνῳ κοινῇ, ὡς
εἰκὸς, καὶ ἰδὼν τἀκεῖ, καὶ ἐρόμενος, εἴ τι δέοιτο, ἀπή-

4. ὡς καὶ] Ex libris Brodæi, Guelf. et margine Steph. ὡς addidit Zeune: ſed in iis libris exſtat καὶ ὡς.

πολεμικῶν] E Guelf. et margine Steph. ἐν πολέμῳ prætulit Zeune.

δῷ] Guelf. διδῷ ὁ Θεός. ſequens οὐδὲ τότε ex Guelf. et Philelpho repoſuit Zeune in locum vulgati οὔτε τότε.

5. ὑμᾶς βούλομαι] Guelf. βούλομαι ὑμᾶς, numeroſius ut puto; deinde cum Juntina παύεσθε.

ἀεὶ κρίνητε] Vulgatum αἰεὶ mutavit Zeune.

κρίναιτ' ἂν] Guelf. ἄριστ' ἂν κρίναιτε, quod mollius et numeroſius ſonat.

6. ἀεὶ διαν.] Aldina αἰεί. ex Guelf. mutavit Zeune. Juntina omiſit cum Altorf.

ὡς καὶ] Guelf. καὶ omittit; deinde ποιεῖτε legi malebat Brodæus, ſed media verbi forma eſt etiam iii. 3, 40.

ἐξάρχεσθε] Ita cum Guelf. ſcripſi pro activo ἐξάρχετε, quod eſt *præite* pæanem. Idem liber παιᾶνας dat, et ἅμα a correctore eſt ſuppletum.

7. Εἰπὼν δὲ] Guelf. libri τε in δὲ mutavi ſuadente Zeunio; in reliquis libris omnibus conjunctiva deeſt particula; deinde ἐλθὼν cum Aldina Steph.

συνησθεὶς] Guelf. συγγινόμενος, vulgato in margine addito: κοινῇ eſt *invicem, inter ſe*, recte monente Weiſkio, et laudante iii. 2, 23. ubi eſt συμμαχία κοινή. Ita in Ariſtophanis Nubibus κοινῇ ξυνέβημεν dicitur.

εἴ τι δέοιτο] i. e. ὅτι δ. Guelf. male δεῖ habet, et deinde αὐτοῦ στράτευμα.

λαυνεν εἰς τὸ ἑαυτοῦ στράτευμα. Καὶ οἱ μὲν δὴ ἀμφὶ
Κῦρον δειπνοποιησάμενοι, καὶ φυλακὰς καταστησάμενοι,
ὡς ἔδει, ἐκοιμήθησαν.

De hostibus, qui nocte castra deseruerant, persequendis capitur consilium.

8 Οἱ δὲ Ἀσσύριοι, ἅτε καὶ τεθνηκότος τοῦ ἄρχοντος καὶ
σχεδὸν σὺν αὐτῷ τῶν βελτίστων, ἠθύμουν μὲν πάντες,
πολλοὶ δὲ καὶ ἀπεδίδρασκον αὐτῶν τῆς νυκτὸς ἐκ τοῦ
στρατοπέδου. Ὁρῶντες δὲ ταῦτα ὅ τε Κροῖσος καὶ οἱ
ἄλλοι σύμμαχοι αὐτῶν, πάντες ἠθύμουν· πάντα μὲν
γὰρ ἦν χαλεπά· ἀθυμίαν δὲ πᾶσι πλείστην παρεῖχεν,
ὅτι τὸ ἡγούμενον τῆς στρατιᾶς φῦλον διεφθάρθαι ἐδόκει
ταῖς γνώμαις. Οὕτω δὴ ἐκλείπουσι τὸ στρατόπεδον,
9 καὶ ἀπέρχονται τῆς νυκτός. Ὡς δ᾽ ἡμέρα ἐγένετο, καὶ
ἔρημον ἀνδρῶν ἐφάνη τὸ τῶν πολεμίων στρατόπεδον, εὐ-
θὺς διαβιβάζει ὁ Κῦρος τοὺς Πέρσας πρώτους· κατα-
λέλειπτο δὲ ὑπὸ τῶν πολεμίων πολλὰ μὲν πρόβατα,
πολλοὶ δὲ βόες, πολλαὶ δὲ ἅμαξαι, πολλῶν ἀγαθῶν
μεσταί· ἐκ δὲ τούτου διέβαινον ἤδη καὶ οἱ ἀμφὶ Κυαξά-
10 ρην Μῆδοι πάντες, καὶ ἠριστοποιοῦντο ἐνταῦθα. Ἐπεὶ
δὲ ἠρίστησαν, συνεκάλεσεν ὁ Κῦρος τοὺς ἑαυτοῦ ταξιάρ-

Denique verba ὡς ἔδει in margine Guelf. ſuppleta ſunt.

§. 8. Ἀσσύριοι, ἅτε] Ex Guelf. γε interſeruit cum Zeunio Weiſkius, quod mihi importunum videbatur eſſe; et in Codice ipſo ſcriptum eſt Ἀσσύριοί γε καὶ τεθν. ſed corrector ſuper γε adſcripſit ἅτε: unde vanitas emendationis Zeunianæ apparet. ἅτε cum Zonara omiſit Hutchinſon.

μὲν πάντες] Junt. Iſingr. μὲν, deinde ταῦτα omittit; τάδε eſt in Guelf.

πάντες ἠθύμουν] Edd. primæ πάντες omittunt; quod cum Steph. Leoncl. habent Guelf. et Zonaras. ἤλγουν eſt in eodem Zonara, quod et ego cum Zeunio præferrem vel ideo, quoniam πάντες ἠθύμουν præceſſit non longo abhinc intervallo, et ſtatim ἀθυμίαν ſequitur.

πᾶσι πλείστην παρ.] Guelf. πλείστην παρ. πᾶσι prætulit cum Zeunio Weiſke; idem liber deinde ordine vulgato φῦλον τῆς στρατιᾶς meliorem dedit.

διεφθάρθαι ἐδόκει] Margo Steph. διέφθαρτο retulit neſcio unde, quæ ipſa lectio eſt in Altorf. Articulum ante νυκτὸς ex Guelf. et Zonara addidit Zeune.

9. στρατόπεδον] Zonaras recte χαράκωμα dixit; caſtra enim munita erant; deinde βοῦς.

ἐκ δὲ τούτου] Ex Guelf. ἐκ τούτου δὲ prætulit Zeune, quod et mihi præplacet.

10. ἑαυτοῦ ταξιάρχους] Guelf. αὐτοῦ ταξιάρχας, referente Zeunio, ſed ταξιάρχους vulgatum inde appoſuerat Fiſcher.

χους, καὶ ἔλεξε τοιάδε· Οἷα μὲν δοκοῦμεν καὶ ὅσα
ἀγαθὰ, ὦ ἄνδρες, ἀφεῖναι, θεῶν ἡμῖν αὐτὰ διδόντων.
Νῦν γὰρ ὅτι μὲν οἱ πολέμιοι φοβούμενοι ἡμᾶς ἀποδε-
δράκασιν, αὐτοὶ ὁρᾶτε. Οἵτινες δὲ ἐν ἐρύματι ὄντες,
ἐκλιπόντες τοῦτο φεύγουσι, πῶς τούτους οἴεται ἄν τις
μεῖναι, ἰδόντας ἡμᾶς ἐν τῷ ἰσοπέδῳ; οἵτινες δὲ ἄπειροι
ἡμῶν ὄντες οὐχ ὑπέμειναν, πῶς νῦν γ' ἂν ὑπομείνειαν,
ἐπεὶ ἥττηνταί τε καὶ πολλὰ κακὰ ὑφ' ἡμῶν πεπόνθα-
σιν; Ὧν δὲ οἱ βέλτιστοι ἀπολώλασι, πῶς οἱ φαυλότε-
ροι ἐκείνων μάχεσθαι ἂν ἡμῖν ἐθέλοιεν; Καί τις εἶπε, 11
Τί οὖν οὐ διώκομεν ὡς τάχιστα, καταδήλων γε οὕτω τῶν
ἀγαθῶν ὄντων; Καὶ ὃς εἶπεν, Ὅτι ἵππων προσδεόμεθα·
οἱ μὲν γὰρ κράτιστοι τῶν πολεμίων, οὓς μάλιστα καιρὸς
ἦν ἢ λαβεῖν ἢ κατακαίνειν, οὗτοι ἐφ' ἵππων νέονται· οὓς
ἡμεῖς τρέπεσθαι μὲν σὺν θεοῖς ἱκανοὶ, διώκοντες δὲ αἱ-
ρεῖν οὐχ ἱκανοί. Τί οὖν, ἔφασαν, οὐκ ἐλθὼν Κυαξάρει 12
ταῦτα λέγεις; Καὶ ὃς εἶπε· Συνέπεσθέ τοίνυν μοι πάν-

τοιάδε] Ita Guelf. et Altorf. pro *τοιαῦτα* habent ſcriptum.

Οἷα μὲν] Aldinæ *οἷά μοι* ſervavit Stephanus: *qualia, ut mihi videtur, viri amiciſſimi, quantaque bona dimittimus* Philelphus. In Guelf. eſt *οἷα μὲν δοκοῦμεν καὶ ὅσα ἄνδρες ἀγαθὰ*, ubi corrector *ὦ* inſeruit. Eum verborum ordinem adſcivit Zeune. Brodæus ex alio exemplari *ἐφίενται* attulit, *hoſtes nempe*, quod Zeune errore calami ſcriptum eſſe putabat pro *ἀφίενται*: ſed *ἐφίενται* potius eſſet *permittunt*.

αὐτὰ διδόντων] Hoc ex Guelf. vulgato *ταῦτα* cum Zeunio prætuli.

ὅτι μὲν] Guelf. *μὲν* omiſit; deinde *οἵτε πολ.* Edd. veteres ante Stephanum. Verbum *φοβούμενοι* in Guelf. a correctore fuit additum.

οἴεται ἂν] Ex Guelf. *οἴοιτ' ἂν* dediſſe ſe poſuit Zeune: at in eo libro eſt: *πῶς ἄν τις τούτους οἴεται ἂν μεῖναι —ἡμῶν ἄπειροι.* unde potius ſcribendum cenſeo *πῶς ἄν τις τούτους οἴοιτ' ἂν μεῖναι.*

ὑπομείνειαν] Ita Altorf. teſte Fiſchero ad Welleri Gr. 2. p. 387. *ὑπομείναιεν* ex Guelf. dedit Zeune: vulgatum antea *ὑπομείνοιεν* revocavit Weiſke, qui vitioſum *ἀπαγγείλοι* ex iv. 5, 12. Zeunio oppoſuit. Sequens *ἥττηνταί τε* eſt ex Guelf. Vulgo *τε* eſt omiſſum. Juntina *ἡττῶνται* dedit.

φαυλότεροι] Margo Steph. *πονηρότατοι.* In Guelf. et libro Brodæi eſt *φαυλότατοι*, (*ignaviſſimi* Philelpho) margo *φαυλότεροι* præfert cum Bodl.

11. *κατακαίνειν*] Solus hoc Guelf. dedit pro *κατακτείνειν.* In Altorf. *ἦν* ab aliena manu adſcriptum legitur.

νέονται] Hoc ex libro Brodæi vulgato *ἔσονται* primus Leoncl. ſubſtituit. Mirum eſt libros reliquos omnes verbum Homericum ſpernere, niſi quod *οὗτοι αὐτῶν ἐφ' ἵππων ἔσονται* habet Guelf. ex quo *σὺν τοῖς θεοῖς* poſuit Zeune, et deinde *λέγεις ταῦτα.*

τες, ὡς εἰδῇ, ὅτι πᾶσιν ἡμῖν ταυτὰ δοκεῖ. Ἐκ τούτου εἵποντό τε πάντες, καὶ ἔλεγον, οἷα ἐπιτήδεια ἐδόκουν εἶναι, ὑπὲρ ὧν ἐδέοντο.

Rem impedire conatur Cyaxaris livor et ignavia: fed ab eo impetrat Cyrus, ut Medi, qui fponte velint, ipfum fequantur.

13 Καὶ ὁ Κυαξάρης ἅμα μὲν, ὅτι ἐκεῖνοι ἦρχον τοῦ λόγου, ὥσπερ ὑπεφθόνει· ἅμα δὲ ἴσως καλῶς ἐδόκει ἔχειν αὐτῷ, μὴ πάλιν κινδυνεύειν· (καὶ γὰρ αὐτός τε περὶ εὐθυμίαν ἐτύγχανεν ὢν, καὶ τῶν ἄλλων Μήδων ἑώρα πολλοὺς τὸ αὐτὸ [τοῦτο] ποιοῦντας) εἶπε δ᾽ οὖν ὧδε·
14 Ἀλλ᾽, ὦ Κῦρε, ὅτι μὲν μάλιστα ἀνθρώπων μελετᾶτε ὑμεῖς οἱ Πέρσαι, μηδὲ πρὸς μίαν ἡδονὴν ἀπλήστως διακεῖσθαι, καὶ ὁρῶν καὶ ἀκούων οἶδα· ἐμοὶ δὲ δοκεῖ, τῆς μεγίστης ἡδονῆς πολὺ μᾶλλον συμφέρειν ἐγκρατῆ εἶναι. Μείζω δὲ ἡδονὴν τί παρέχει ἀνθρώποις εὐτυχίας, ἢ νῦν
15 ἡμῖν παραγεγένηται; Ἣν μὲν τοίνυν, ἐπεὶ εὐτυχοῦμεν, σωφρόνως διαφυλάττωμεν αὐτὴν, ἴσως δυναίμεθ᾽ ἂν ἀκινδύνως εὐδαιμονοῦντες γηρᾶν· εἰ δ᾽ ἀπλήστως χρώμενοι ταύτῃ, ἄλλην καὶ ἄλλην πειρασόμεθα διώκειν,

12. εἰδῇ] Guelf. εἰδείη, quod etiam in Altorf. ab aliena manu fcriptum exftat. præcedens πάντες omifit Philelphus.

πᾶσιν ἡμῖν ταὐτὰ] Aldinæ ὑμῖν fervarunt Steph. et Hutchinf. ταὐτὰ vertit Philelphus et Camerarius. Vulgo eft ταῦτα.

13. ἦρχον] Ita Guelf. cum Junt. Ifingr. recte præferente Zeunio pro ἤρχοντο, quod effet primi *verba facere cœperant*. At ἦρχον eft primi *mentionem injicere et monere ea de re aufi erant*, ut apparet ex vi. 1, 6.

ὑπεφθόνει] Liber Budenfis cum Altorf. ὑπό τι ἐφθόνει, ex quo natum eft quod in margine Guelf. exftat ἱππότης. deinde ἔχειν ἐδόκει—πάλαι Guelf. fed correctum eft πάλιν.

αὐτός τε] Altorf. καὶ adjungit. Sequens τοῦτο feclufi, quippe a Philelpho et Guelf. omiffum.

14. Ἀλλ᾽ ὦ Κῦρε] Guelf. Ὦ Κῦρε, ἀλλ᾽ ὅτι μὲν τῶν ἄλλων μᾶλλον εὖ ἀνθρώπων μελ. Etiam Brodæi libri quidam ἀλλ᾽ ὅτι μὲν τῶν ἄλλων ἀνθρώπων μελ. *quod vos Perfæ uni omnium hominum maxime.*

μηδὲ πρὸς μίαν] i. e. πρὸς μηδεμίαν, ut Ald. et Steph. habent. Scripturam Juntinæ et Guelf. reftituit Zeune, comparans locum ii. 1, 21. οὐδὲ δι᾽ ἓν ἄλλο et in eodem libro c. 3. οὐδὲ παρ᾽ ἑνὸς ἄλλου. Altorfinus liber μηδὲ omifit, monente Fifchero ad Platonis Critonem p. 188. idem διακεῖσθε fcriptum habet cum Guelf.

πολὺ μᾶλλον] Margo Stephanianæ 2. cum Altorf. πολὺ μάλιστα dat.

15. σωφρόνως] Guelf. σοφῶς διαφυλάσσωμεν. fed in margine vulgata eft adfcripta.

γηρᾶν] Guelf. θηρᾶν αὐτήν. fed corrector γηρᾶν fecit.

ταύτῃ] Intellige ἡδονῇ, ad quam etiam præcedens αὐτὴν referri debet.

ὁρᾶτε, μὴ πάθωμεν, ἅπερ πολλοὺς μὲν λέγουσιν ἐν
θαλάττῃ πεπονθέναι, διὰ τὸ εὐτυχεῖν οὐκ ἐθέλοντας
παύσασθαι πλέοντας, ἕως ἂν ἀπόλωνται· πολλοὺς δὲ
νίκης τυχόντας, ἑτέρας ἐφιεμένους, καὶ τὴν πρόσθεν
ἀποβαλεῖν. Καὶ γὰρ εἰ μὲν οἱ πολέμιοι ἥττους ὄντες 16
ἡμῶν ἔφευγον, ἴσως ἂν καὶ διώκειν τοὺς ἥττους ἀσφαλῶς
εἶχε· νῦν δὲ κατανόησον, πόστῳ αὐτῶν μέρει πάντες
μαχεσάμενοι νενικήκαμεν· οἱ δ᾽ ἄλλοι ἄμαχοι εἰσίν·
οὓς εἰ μὲν μὴ ἀναγκάσοιμεν μάχεσθαι, ἀγνοοῦντες καὶ
ἡμᾶς καὶ ἑαυτοὺς, δι᾽ ἀμαθίαν καὶ μαλακίαν ἀπίασιν·
εἰ δὲ γνώσονται, ὅτι καὶ ἀπιόντες οὐδὲν ἧττον κινδυνεύουσιν
ἢ μένοντες, ὅπως μὴ ἀναγκάσομεν αὐτοὺς, καὶ εἰ μὴ βού-
λονται, ἀγαθοὺς γενέσθαι. Ἴσθι γὰρ, ὅτι οὐ σὺ 17
μᾶλλον τὰς ἐκείνων γυναῖκας καὶ παῖδας ἐπιθυμεῖς
λαβεῖν, ἢ ἐκεῖνοι σῶσαι. Ἐννόει δ᾽, ὅτι καὶ αἱ σύες,
ἐπειδὰν ὀφθῶσι, φεύγουσι καὶ πολλαὶ οὖσαι σὺν τοῖς
τέκνοις· ἐπειδὰν δέ τις αὐτῶν θηρᾷ τι τῶν τέκνων, οὐκ-
έτι φεύγει, οὐδ᾽ ἢν μία τύχῃ οὖσα, ἀλλ᾽ ἵεται ἐπὶ τὸν
λαμβάνειν πειρώμενον. Καὶ νῦν μὲν κατακλείσαντες 18

παύσασθαι] Vulgatum παύεσθαι mutavit Zeune ex Guelf. ubi eſt πλέοντας παύσασθαι, ἀπολέσθαι. quam ſcripturam etiam a Philelpho expreſſam et in margine Steph. et Leoncl. annotatam, recepit Zeune. Sed mihi ſic oratio pendere viſa eſt; quare veterem lectionem cum Weiſkio ſervavi.

16. ἥττους] *Numero minores.* Guelf. ἥσσους habet: deinde πόστῳ μέρει αὐτῶν, ſed ante raſuram πρὸς τῷ μέρει fuiſſe videtur. Brodæus πόσῳ αὐτῶν μέρει ex aliena conjectura memorat. Londinenſis Editio μαχησάμενοι habet.

ἄμαχοι] Suidas ex h. l. μὴ μαχόμενοι interpretatur.

ἀναγκάσοιμεν] Guelf. ἀναγκάσωμεν—ἀπιᾶσιν. Altorf. καὶ αὐτοὺς.

καὶ ἀπιόντες] Copulam cum Junt. omittit Guelf. deinde κινδυνεύσουσιν cum Philelpho Altorf.

ἀναγκάσομεν] Vulgatum ἀναγκάσωμεν correxi nullo quanquam libro addicente. Ita enim i. 3, 18. ὅπως οὖν μὴ ἀπολεῖ. et iv. 2, 39. ὅπως μὴ αἰσχροὶ μὲν φανούμεθα, ἀσθενεῖς δ᾽ ἐσόμεθα. Cf. etiam iii. 3, 42.

καὶ εἰ μὴ βούλονται] Guelf. καὶ μὴ βούλωνται ſed corrector εἰ inſeruit. Credo olim fuiſſe κἂν μὴ βούλωνται.

17. ἴσθι γὰρ] Guelf. ἴσθι δὲ—λαβεῖν ἐπιθυμεῖς. Altorf. μᾶλλον ἐκείνων.

πολλαὶ οὖσαι] Philelphi, Brodæi et Guelf. libri κἂν πολλαὶ ὦσι. Altorf. ἐννόει ὅτι—ἐπὰν ὀφθῶσιν, φεύγουσιν κἂν πολλαὶ ὦσιν. Altorf. αἱ ὗες habet.

ἐπειδὰν δὲ] Ex Guelf. ἐπειδὴ recepit Zeune. deinde ἂν—τύχοι Altorf.

18. κατακλείσαντες] Ita cum Guelf. Altorf. pro ἐπικατακλ.. ubi nulla eſt

ἑαυτοὺς εἰς ἔρυμα, παρέσχον ἡμῖν ταμιεύεσθαι, ὥστε ὁπόσοις ἐβουλόμεθα αὐτῶν μάχεσθαι· εἰ δ' ἐν εὐρυχωρίᾳ πρόσιμεν αὐτοῖς, καὶ μαθήσονται, χωρὶς γενόμενοι, οἱ μὲν κατὰ πρόσωπον ἡμῖν, ὥσπερ καὶ νῦν, ἐναντιοῦσθαι, οἱ δ' ἐκ πλαγίου, οἱ δὲ καὶ ὄπισθεν· ὅρα, μὴ πολλῶν ἑκάστῳ ἡμῶν καὶ ὀφθαλμῶν καὶ χειρῶν δεήσει. Πρὸς δ' ἔτι, ἔφη, οὐ βουλοίμην ἂν ἔγωγε νῦν, ὁρῶν Μήδους εὐθυμουμένους, ἐξαναστήσας ἀναγκάζειν κινδυνεύσοντας ἰέναι.

19 Καὶ ὁ Κῦρος ὑπολαβὼν εἶπεν. Ἀλλὰ μηδένα σύ γε
ἀναγκάσῃς, ἀλλὰ τοὺς ἐθέλοντάς μοι ἕπεσθαι δός·
καὶ ἴσως ἄν σοι καὶ τῶν σῶν φίλων τούτων ἥκοιμεν
ἑκάστῳ ἄγοντες, ἐφ' οἷς ἅπαντες εὐθυμήσεσθε. Τὸ
μὲν γὰρ πλῆθος ἡμεῖς γε τῶν πολεμίων οὐ διωξόμεθα·
(πῶς γὰρ ἂν καὶ καταλάβοιμεν;) ἢν δέ τι ἢ ἀπε-
σχισμένον τοῦ στρατεύματος λάβωμεν, ἤ τι ὑπολειπό-
20 μενον, ἥξομεν πρός σε ἄγοντες. Ἐννόει δ', ἔφη, ὅτι καὶ

additæ præpofitionis vis vel fignificatio.

προσίμεν] Edd. pr. cum Altorf. *προσίεμεν*. deinde *μαχήσονται* cum Guelf. pro *μαθήσονται* de qua lectione vide annotationem fequentem: eædem denique *ἡμῶν* pro *ἡμῖν* habent.

καὶ νῦν] Copulam cum Brodæo ex Guelf. addidit Zeune. In Guelf. locus ita fcriptus exftat: *νῦν ἀντίοις ἐξ ἐναντίου, οἱ δ' ἐκ πλαγίου.* quam fcripturam expreffit etiam Philelphus, qui cum eodem verba vulgo poft *πλαγίου* addita et a Zeunio Weifkioque fecluſa *καὶ ἄλλοι ἐκ τοῦ ἑτέρου πλαγίου* recte omifit. In Budenfi libro erat fcriptum *ὥσπερ νῦν ἐναντίοι ἵστασθαι.* unde appaiet, quid voluerit Altorf. ubi eft *ἐναντιοῖσθαι*, fed iota eft in litura fcriptum. Atque omnino fcriptura hujus loci olim duplex fuiffe videtur, altera quidem quæ nunc vulgatur: altera fuit *καὶ μαχήσονται χωρὶς γενόμενοι οἱ μὲν κατὰ πρόσωπον ἡμῖν, ὥσπερ καὶ νῦν, ἐναντίοι, οἱ δ' ἐκ πλαγίου, οἱ δὲ καὶ ὄπισθεν, ὅρα* etc.

δεήσοι] Guelf. *ἡμῶν χειρῶν δεήσει καὶ ὀφθαλμῶν προσέτι δ' οὐδ' ἂν ἐθέλοιμι ἐγὼ νῦν ὁρῶν.* Altorf. *βουλοίμην ἔγωγε.* Mihi lectio *δεήσει* vera videtur, ut in fimili formula *ὅπως μὴ* fectione 16. Infra c. 2. fect. 26. fimiliter erat *ὁρᾶτε ὅπως διασώσωμεν*, ubi *διασώσομεν* dedi. v. 2, 23. *σκεπτέον ὅπως μὴ ἐπικρατήσει* dedit Stephanus, ubi libri ceteri *ἐπικρατήσῃ* dant; et negat ibi Zeune *ὅπως μὴ* in fenfu *ne* indicativo jungi.

κινδυνεύσοντας] Edd. pr. *κινδυνεύοντας* correxit Stephanus addicente Guelf. et Altorf.

19. *μηδένα σύ γε*] Guelf. *σύ γε μηδένα—ἥκοιμεν ἑκάστῳ—ἅπαντες εὐθ.* ubi vulgo erat *ἑκάστῳ ἥκοιμεν—πάντες εὐθ.*

οὐ διωξ.] Ex Guelf. *οὐδὲ διωξ.* dedit Zeune; quod eft etiam in margine Steph. deinde *ἐὰν δέ τι* Altorf. *ἢ* ante *ἀπεσχισμένον* omifit cum Philel. Guelf. *λάβοιμεν* Edd. pr. *ἐπιλειπόμενον* Guelf. fed correctum.

ἡμεῖς, ἐπεὶ σὺ ἐδέου, ἤλθομεν, σοὶ χαριζόμενοι, μακρὰν
ὁδόν· καὶ σὺ οὖν ἡμῖν δίκαιος εἶ ἀντιχαρίζεσθαι, ἵνα
καὶ ἔχοντές τι οἴκαδε ἀφικώμεθα, καὶ μὴ εἰς τὸν σὸν
θησαυρὸν πάντες οἵδε ὁρῶμεν. Ἐνταῦθα δὴ ἔλεξεν ὁ 21
Κυαξάρης· Ἀλλ᾽ εἴγε μέντοι ἐθέλων τις ἕποιτο, καὶ
χάριν ἔγωγέ σοι εἰδείην ἄν. Σύμπεμψον τοίνυν μοι
τινὰ, ἔφη, τῶν ἀξιοπίστων τούτων, ὃς ἐρεῖ, ἃ ἂν σὺ ἐπι-
στείλῃς. Λαβὼν δὴ ἴθι, ἔφη, ὅντινα ἐθέλεις τουτωνί.
Ἔνθα δὴ ἐτύγχανεν ὁ Φήσας ποτὲ συγγενὴς αὐτοῦ εἶναι, 22
καὶ φιληθεὶς, παρών. Εὐθὺς οὖν ὁ Κῦρος εἶπεν, Ἀρ-
κεῖ, ἔφη, ἔμοιγε οὑτοσί. Οὗτος τοίνυν, ἔφη, σοὶ ἑπέσθω·
Καὶ, λέγε σὺ, ἔφη, τὸν θέλοντα ἰέναι μετὰ Κύρου.
Οὕτω δὴ λαβὼν τὸν ἄνδρα ἐξῄει. Ἐπεὶ δ᾽ ἐξῆλθεν, 23
εὐθὺς ὁ Κῦρος εἶπε· Νῦν δὴ σὺ δηλώσεις, εἰ ἀληθῆ
ἔλεγες, ὅτε ἔφης ἥδεσθαί με θεώμενος. Οὔκουν ἀπο-
λείψομαί γε σοῦ, ἔφη ὁ Μῆδος, εἰ τοῦτο λέγεις. Καὶ ὁ
Κῦρος εἶπεν, Οὐκοῦν, ἔφη, καὶ ἄλλοις προθύμως λέξεις;

20. *ἐπεὶ σὺ*] Ita Guelf. pro *ἐπειδὴ σύ*. deinde *πάντες οἵδε* ex eodem libro dedi. Vulgo enim *οἵδε* non legitur additum; quod neſcio quomodo in *ὧδε* mutandum cenſuerit Zeune.

21. *εἰδείην ἂν*] Guelf. *ἂν* omittit, deinde habet *μοι τινὰ ἔφη τῶν ἀξιοπίστων τούτων· ὅς—ἴθι ὅντινα ἐθέλεις τούτων*. Etiam Juntina alterum *ἔφη* omiſit. Ordinem verborum Guelf. recepit Zeune pro vulgari *τοίνυν μοι τῶν ἀξ. τούτων τινὰ, ὅς* etc.

Λαβὼν δὴ] Altorf. *δὴ* omiſſo *τουτωνὶ* dedit pro *τούτων*, et cum Guelf. *ἐθέλεις* pro *ἐθέλῃς*, quod requireret *ὅντιν᾽ ἄν*. Ceterum miror, quo modo hæc verba Cyaxari, præcedentia vero Cyro tribuere potuerit Weiſke; contra hæc ſunt Cyri, illa Cyaxaris.

22. *ἐτύγχανεν—παρών*] Edd. primæ *ἔτυχεν*. Guelf. *ἐτύγχανεν ὢν ὁ φήσας* ſed in margine *παρὼν* annotatur. Philelphus ſcriptum legit et expreſſit *ἔνθα δὴ ἐτύγχανε παρὼν ὁ φήσας—καὶ φιληθεὶς παρ᾽ αὐτοῦ*. quam lectionem retulit inde margo Steph. et Leoncl. quamque unice cum Fiſchero probandam eſſe cenſeo. In Altorf. eſt *ἐτύγχανεν ὢν ὁ φήσας*. ſed vocis *ὢν* litera *ν* eſt ſuper raſura.

ἀρκεῖ] Guelf. *ἀρκεῖ μοι ἔφη οὑτοσί. Οὗτος τοίνυν σοι ἑπέσθω*. ubi *ἔφη* poſt *τοίνυν* inſeruit corrector, ſed omiſit etiam Philelphus. Poſt *οὑτοσὶ* Aldina *καὶ* addit cum Stephanianis. Eſt Artabazus, de quo i. 4, 27.

λέγε σὺ] Pronomen Ald. Junt. Iſingr. omittunt, Philelphus expreſſit.

23. *εὐθὺς ὁ Κῦρος*] Guelf. *εὐθὺς* omiſit.

ὅτε ἔφης] Ita cum Brodæo Philelphi liber, Guelf. Bodl. Altorf. pro *ὅτι* Edd. primarum. *θεώμενος ἐμὲ* ex Guelf. dedit Zeune.

γε σοῦ, ἔφη] Ex Guelf. *γε* addidit Zeune. Ita eſt vii. 5, 73. *οὔκουν ἀδικίᾳ γε ἕξετε*. Ita etiam Altorf.

Καὶ ὁ Κῦρος εἶπεν] Hæc Guelf. omiſit, ſed corrector *καὶ ὁ Κῦρος* ſupple-

Κἀκεῖνος ἐπομόσας, Νὴ τὸν Δί', ἔφη, ἔστε γ' ἂν ποιήσω,
24 καὶ σὲ ἡδέως ἐμὲ θεᾶσθαι. Τότε δὴ ἐκπεμφθεὶς ὑπὸ τοῦ Κυαξάρους, τά τε ἄλλα προθύμως ἀπήγγελλε τοῖς Μήδοις, καὶ προσετίθει, ὅτι αὐτός γε οὐκ ἀπολείψοιτο ἀνδρὸς καλλίστου καὶ ἀρίστου, καὶ, τὸ μέγιστον, ἀπὸ θεῶν γεγονότος.

CAP. II.

Interim Hyrcaniorum legati de focietate cum Perfis ineunda veniunt: quos duces itineris fecutus Cyrus

ΠΡΑΤΤΟΝΤΟΣ δὲ ταῦτα τοῦ Κύρου, θείως πως ἀφικνοῦνται ἀπὸ Ὑρκανίων ἄγγελοι. Οἱ δὲ Ὑρκάνιοι ὅμοροι μὲν τῶν Ἀσσυρίων εἰσὶν, ἔθνος δ' οὐ πολύ· διὸ καὶ ὑπήκοοι τῶν Ἀσσυρίων ἦσαν· ἔφιπποι δὲ καὶ τότε ἐδόκουν εἶναι, καὶ νῦν ἔτι δοκοῦσι· διὸ καὶ ἐχρῶντο αὐτοῖς

vit; deinde idem liber *οὔκουν καὶ ἄλλους ἔφη, προθύμως ἐξάξεις.* quam fcripturam expreffit Philelphus, et ex fuis libris annotavit Brodæus. In margine Steph. et Leoncl. eft *λέγεις. οὐκοῦν καὶ ἄλλους, ἔφη, προθύμως ἐξάξεις.* Eandem lectionem ex Budenfi laudat libro Zeune, fed Altorf. vulgatam habet, quam ita tuetur contra Zeunium Weifke, ut alteram lectionem omni lepore carere, et a lectore fenfu Atticæ elegantiæ imbuto refpui debere affirmet. Neque enim confequens effe, ut qui alterum cum voluptate adfpiciat, alios evocet, excitet ad militandum. Ipfe vulgatum *ἄλλοις προθύμως λέξεις* interpretatur, ita ut dicat Artabazus ad ceteros *fe nolle a Cyro difcedere*, vel *ut nec alii Cyrum relinquant.* Priorem interpretationem ut fimpliciffimam, et verbis fectionis 24. convenientem *ὅτι αὐτὸς* etc. defendi poffe: fed alteram rei ipfi et confilio Cyri magis accommodatam ideoque præferendam effe. Vulgata mihi quidem difficilis nec fatis commoda videbatur, neutramque Weifkii interpretationem facilem aptamve cenfeo; faciliorem tamen priorem effe puto. Quodfi vero verba fequentis fectionis *τάτε ἄλλα προθύμως ἀπήγγελλε τοῖς Μήδοις* confidero et cum his *καὶ ἄλλοις προθύμως λέξεις* tanquam variationem comparo, non poffum non in eam inclinare fufpicionem, ut putem fcripfiffe Xenophontem *καὶ τἄλλα προθύμως λέξεις num mihi animi tui promtitudinem etiam in eo exhibebis, cum mandata ad cives tuos Cyaxaris perferes?*

Κἀκεῖνος ἐπομόσας] Guelf. *Ἐπομόσας οὖν ἐκεῖνος—ἕως ἂν—ἐμὲ ἡδέως θεάσασθαι.* Etiam margo Leoncl. 1. et Steph. *ἐπομόσας οὖν ἐκεῖνος* annotavit, deinde *ἔστε γ' ἄν.* Hoc ipfum *ἔστε γ' ἂν* vulgato *ἕως ἄν γε*, quod habet etiam Bodl. cum Altorfino, fubftituit Leoncl. in poftrema fua Editione.

24. *Τότε δὴ*] Ex Guelf. *καὶ* addidit Zeune: *ὅτε δὴ ἐκπ.* Altorf. *Κυαξάρου* Guelf. deinde *ἀπήγγειλε.*

αὐτός γε] Edd. primæ *αὐτός τε*: deinde Guelf. et Philelphi liber *καλλίστου καὶ ἀρίστου.* Altorf. *καὶ καλλίστου* omifit. Mihi ordo Guelf. libri folus placet præ vulgato *ἀρίστου καὶ καλλίστου*, eam etiam ob rationem, quod in formula folenni *καλὸς κἀγαθὸς* pulcritudinis prior ratio habetur.

1. *ταῦτα τοῦ Κ.*] Guelf. *τοῦ Κ. ταῦτα — πολλοί*: deinde *ἦσαν τῶν Ἀσσ.*

τότε] Deinceps *δὴ* ex Guelf. inferuit Zeune; idem Codex poftea *νῦν δοκοῦσιν εἶναι.* Altorf. *δὲ τότε ἐδόκουν* omiffo *καὶ* copula.

οἱ Ἀσσύριοι, ὥσπερ καὶ οἱ Λακεδαιμόνιοι τοῖς Σκιρίταις·
οὐδὲν φειδόμενοι αὐτῶν οὔτ᾽ ἐν πόνοις οὔτ᾽ ἐν κινδύνοις.
Καὶ δὴ καὶ τότε ὀπισθοφυλακεῖν αὐτοὺς ἐκέλευον ὡς
χιλίους ὄντας ἱππέας, ἵνα, εἴ τι ὄπισθεν δεινὸν εἴη,
ἐκεῖνοι πρὸ ἑαυτῶν τοῦτ᾽ ἔχοιεν. Οἱ δὲ Ὑρκάνιοι, ἅτε 2
μέλλοντες ὕστατοι πορεύεσθαι, καὶ τὰς ἁμάξας τὰς
ἑαυτῶν καὶ τοὺς οἰκέτας ὑστάτους εἶχον. Στρατεύονται
γὰρ δὴ οἱ κατὰ τὴν Ἀσίαν ἔχοντες οἱ πολλοὶ, μεθ᾽ ὧν-
περ καὶ οἰκοῦσι· καὶ τότε δὴ, ἐστρατεύοντο οἱ Ὑρκάνιοι
οὕτως. Ἐννοηθέντες δὲ οἷά τε πάσχουσιν ὑπὸ τῶν Ἀσ- 3
συρίων, καὶ ὅτι νῦν τεθναίη μὲν ὁ ἄρχων αὐτῶν, ἡττημέ-
νοι δ᾽ εἶεν, φόβος δὲ πολὺς εἴη ἐν τῷ στρατεύματι, οἱ δὲ
σύμμαχοι αὐτῶν ὡς ἀθύμως ἔχοιεν καὶ ἀπολείποιεν·
ταῦτα ἐνθυμουμένοις ἔδοξεν αὐτοῖς νῦν καλὸν εἶναι ἀπο-
στῆναι, εἰ θέλοιεν οἱ ἀμφὶ Κῦρον συνεπιθέσθαι. Καὶ
πέμπουσιν ἀγγέλους πρὸς Κῦρον· ἀπὸ γὰρ τῆς μάχης
τὸ τούτου ὄνομα μέγιστον ηὔξετο. Οἱ δὲ πεμφθέντες 4
λέγουσι Κύρῳ, ὅτι μισοῖεν τοὺς Ἀσσυρίους δικαίως, νῦν

cum ſuis omnibus et cum maxima parte Medorum proficiſcitur, Hyrcanioſque in fidem recipit.

Σκιρίταις] Edd. pr. Σκειρίταις cum Altorf. λόχος Σκιρίτης erat ex Arcadibus ſociis ſelectus, in comitatu regio, et in cornu ſiniſtro poſita pugnabat. Thucyd. vii. 67. Diodori xv. 63.

ἐκέλευον] Guelf. ἐκ. αὐτοὺς (ut Altorf.)—ἱππέας ὄντας, ὅπως—εἴη αὐτῶν.

εἴη] Ita ἴοι Edd. prim. corrigi juſſit Brodæus, atque ita Philel. Bodl. Guelf. Altorf. deinceps ἑαυτῶν τοῦτ᾽ cum Aldina Stephanus. Zonaras ſententiam reddidit ita: ἐκείνοις τοῦτ᾽ ἐπισκήψειε πρὸ αὐτῶν.

2. δὴ οἱ] Edd. pr. δὴ, Guelf. οἱ omittunt. deinceps καὶ ante οἰκοῦσι omittit Guelf. poſtea οὕτως οἱ Ὑρκ. Morem eundem Perſarum memorat Herodotus vii. 83. Curtius iv. 14, 11. Germanorum Tacitus Germ. vii. et viii.

3. ἡττημένοι] Guelf. ἡσσώμενοι.

εἴη ἐν] Margo Steph. et Guelf. φόβος δ᾽ ἐνείη, ſupra ſcripto πολὺς, quod recepit Zeune.

οἱ δὲ] Ita ex Guelf. Zeune pro οἵ τε. Sequens ὡς Altorf. omittit; deinceps ἐπιλείποιεν Welſius dedit.

αὐτοῖς νῦν] Ita Guelf. cum Steph. pro αὐτοῖς καὶ ὡς νῦν. deinceps idem συνέπεσθαι cum libro Brodæi.

τὸ τούτου] Guelf. τούτου—ηὔξητο, poſteriorem lectionem probante Fiſchero.

4. μισοῖεν] Ex Guelf. τε addidit Zeune: deinceps idem νῦν δὲ ex Guelf. edidit. Sequens βούλοιτο Guelf. corrector in βούλοιντο vulgare mutavit; illud habuit etiam Philelphus, Camerarii liber et Zonaras. ad βούλοιντο refertur lectio σφίσι vulgaris. Margo Leoncl. et Steph. cum Guelf. σφεῖς—ὑπάρχοιεν καὶ ἡγήσοιντο: Bodl. σφεῖς—ὑπάρξοιεν καὶ ἡγήσαιντο ut Altorf. In Guelf. σφίσιν ſupra ſcriptum eſt. Philelphus vulgare ὑπάρχοιεν expreſſit.

τε εἰ βούλοιτο ἰέναι ἐπ' αὐτοὺς, καὶ σφεῖς σύμμαχοι
ὑπάρξοιεν καὶ ἡγήσοιντο· ἅμα δὲ πρὸς τούτοις διηγοῦντο,
τὰ τῶν πολεμίων ὡς ἔχοι, οἷα δὴ ἐπαίρειν βουλόμενοι ὡς
5 μάλιστα στρατεύεσθαι αὐτόν. Καὶ ὁ Κῦρος ἐπήρετο
αὐτοὺς, Καὶ δοκεῖτε ἂν, ἔφη, ἡμᾶς ἔτι καταλαβεῖν αὐ-
τοὺς, πρὶν ἐν τοῖς ἐρύμασιν εἶναι; ἡμεῖς μὲν γὰρ, ἔφη,
μάλα συμφορὰν τοῦτο ἡγούμεθα εἶναι, ὅτι ἔλαθον ἡμᾶς
ἀποδράντες. Ταῦτα δὲ ἔλεγε, βουλόμενος αὐτοὺς ὡς
6 μέγιστον φρονεῖν ἐπὶ σφίσιν. Οἱ δὲ ἀπεκρίναντο, ὅτι,
κἂν αὔριον ἕωθεν εὔζωνοι πορεύοιντο, καταλήψοιντο· ὑπὸ
γὰρ τοῦ ὄχλου καὶ τῶν ἁμαξῶν σχολῇ πορεύεσθαι αὐ-
τούς· καὶ ἅμα, ἔφασαν, ἅτε τὴν προτεραίαν νύκτα
ἀγρυπνήσαντες, νῦν μικρὸν πορευθέντες ἐστρατοπέδευνται.
7 Καὶ ὁ Κῦρος ἔφη, Ἔχετε οὖν, ὧν λέγετε, πιστόν τι ἡμᾶς
διδάσκειν, ὡς ἀληθεύετε; Ὁμήρους γ', ἔφασαν, ἐθέ-
λομεν ἐλάσαντες αὐτίκα τῆς νυκτὸς ἀγαγεῖν· μόνον καὶ
σὺ ἡμῖν πιστὰ θεῶν πεποίησο, καὶ δεξιὰν δὸς, ἵνα φέ-
ρωμεν καὶ τοῖς ἄλλοις ταῦτα, ἅπερ ἂν αὐτοὶ λάβωμεν
8 παρὰ σοῦ. Ἐκ τούτου τὰ πιστὰ δίδωσιν αὐτοῖς, ἦ μὴν,
ἐὰν ἐμπεδώσωσιν, ἃ λέγουσιν, ὡς φίλοις καὶ πιστοῖς

ὡς ἔχοι] Altorf. ἔχοιεν. deinceps οἷα δὴ et ὡς ante μάλιστα Guelf. omittit; in Altorf. etiam verba οἷα δὴ infra sunt punctata. ὡς δὴ Junt. Isingr.

5. εἶναι ὅτι] Junt. Guelf. Philel. εἶναι omittunt: deinceps ὅτι καὶ ἦν Guelf. In Altorf. post καὶ aliena manus ἦν inseruit. Vulgo καὶ αὔριον ἕωθεν, εἰ εὔζωνοι.

6. προτεραίαν] Guelf. προτέραν omisso ἅτε. deinceps idem προσελθόντες; voluit προελθόντες. sequens verbum vulgari formæ ἐστρατοπεδεύκασι ex Guelf. substituit Zeune: in Altorf. ται super vulgari scriptum est.

7. διδάσκειν] Hoc quia durum Stephano videbatur, διδάσκον malebat, quod dedit Eton. et Lond. Editio. deinceps αὐτίκα ἐλάσαντες ex Guelf. dedit Zeune.

πιστὰ θεῶν πεποίησο] Ita cum Guelf. Zeune pro θεῶν τε πιστὰ ποίησον. Zonaras εἰ—θεῶν πιστὰ ποιήσαιτο. Altorf. θεῶν γε. deinceps τὰ αὐτὰ Guelf. ταὐτὰ dedit Zeune.

8. τὰ πιστὰ] Articulum Guelf. et Zonaras omittunt: sequens ἐμπεδώσωσιν ex Guelf. et Zonara vulgari ἐμπεδῶσι substituit Zeune; sic infra v. 1, 21. ἐμπεδώσω est sine varietate; ἂν etiam in Guelf. et Altorf. pro ἐὰν est.

λέγουσιν] Guelf. λέγωσιν probante Fischero: sequens χρήσεσθαι ex Philel. Guelf. Altorf. et Bodl. adscitum conjecerat jam olim Stephanus: postea καὶ μήτε ἔχειν τι Zonaras.

χρήσεσθαι αὐτοῖς, ὡς μήτε Περσῶν μήτε Μήδων μεῖον
ἔχειν παρ' αὐτῷ. Καὶ νῦν ἔτι ἰδεῖν ἐστιν Ὑρκανίους καὶ
πιστευομένους καὶ ἀρχὰς ἔχοντας, ὥσπερ καὶ Περσῶν
καὶ Μήδων οἳ ἂν δοκῶσιν ἄξιοι εἶναι.

Ἐπεὶ δ' ἐδείπνησαν, ἐξῆγε τὸ στράτευμα ἔτι φάους 9
ὄντος, καὶ τοὺς Ὑρκανίους περιμένειν ἐκέλευσεν, ἵνα ἅμα
ἴοιεν. Οἱ μὲν δὴ Πέρσαι πάντες, ὥσπερ εἰκὸς, εὐθὺς
ἔξω ἦσαν, καὶ Τιγράνης, ἔχων τὸ ἑαυτοῦ στράτευμα·
τῶν δὲ Μήδων ἐξῄεσαν οἱ μὲν, διὰ τὸ παιδὶ Κύρῳ ὄντι 10
παῖδες ὄντες φίλοι γενέσθαι· οἱ δὲ, διὰ τὸ ἐν θήραις
συγγενόμενοι ἀγασθῆναι αὐτοῦ τὸν τρόπον· οἱ δὲ, διὰ τὸ
χάριν εἰδέναι, ὅτι μέγαν αὐτοῖς φόβον ἀπεληλακέναι
ἐδόκει· οἱ δὲ, καὶ ἐλπίδας ἔχοντες, διὰ τὸ ἄνδρα φαίνε-
σθαι ἀγαθὸν, καὶ εὐτυχῆ καὶ μέγαν ἔτι ἰσχυρῶς ἔσε-
σθαι αὐτόν· οἱ δὲ, ὅτε ἐτρέφετο ἐν Μήδοις, εἴ τι ἀγαθὸν
τῳ συνέπραξεν, ἀντιχαρίζεσθαι ἐβούλοντο· (πολλοῖς δὲ
πολλὰ διὰ φιλανθρωπίαν παρὰ τοῦ πάππου ἀγαθὰ
διεπέπρακτο) πολλοὶ δ', ἐπεὶ καὶ τοὺς Ὑρκανίους εἶδον,

παρ' αὐτῷ] Guelf. ἑαυτοῦ. deinceps καὶ νῦν ἐστιν ἔτι ἰδεῖν Guelf. quod recepit Zeune: καὶ νῦν τε ἔτι Altorf. ſed punctis copulæ τε ſuppoſitis. Equidem cum Weiſkio νῦν δὲ probavi propter ſimiles locos i. 2, 16. vii. 1, 4. et multos alios.

νῦν ἔτι] Ex Guelf. νῦν ἐστιν ἔτι ἰδεῖν ſcripſit Zeune, cum antea νῦν δ' ἔτι ἰδεῖν ἐστιν legeretur. In Altorf. νῦν τε ἔτι legitur, ſed τε punctis ſuppoſitis damnatum eſt.

9. Ἐπεὶ δ'] Ita cum Guelf. Caſtalio. Vulgo ἐπειδὴ δὲ legitur. deinde φάους ὄντος, καὶ αὐτὸς καὶ τοὺς Ὑρκανίους μένειν ἅμα ἴοιεν Guelf. ſed margo γράφεται φωτὸς, deinde corrector fecit περιμένειν ἐκέλευσεν ἵνα ἅμα ἴοιεν. Etiam Zonaras φάους pro vulgato φωτὸς Zeunio approbaverat. In Altorf. eſt Ὑρκανούς.

Οἱ μὲν δὴ] Guelf. οἱ μὲν γὰρ Πέρσαι, ὥσπερ εἰκὸς, πάντες ἔξω—τὸ αὐτοῦ. Etiam Philelphus εὐθὺς omiſit. Zonaras ὁ Τιγράνης habet.

10. ὄντι] Guelf. ὄντι Κύρῳ.

χάριν εἰδέναι] Guelf. καὶ χάριν αὖ εἰδέναι. Alterum mihi ſufficeret καὶ vel αὖ additum.

δὲ, ὅτε] Ex Philelphi verſione et margine Steph. ὅτι interſeruit Zeune, inutilem particulam. deinde ſcripturam Philelphi, Guelf. et marg. Steph. recepimus cum Zeunio in locum vulgaris εἴ τινι ἀγαθὸν, Bodl. cum Altorf. εἴ τινι ἀγαθόν τι. poſtea ἔπραξεν,—ἠβούλοντο Guelf. poſteriorem formam recepit Zeune.

πολλοῖς δὲ] Hæc ita ſcripta legit et vertit Philelphus πολλοὶ δὲ ὅτι πολλὰ διὰ φιλ. αὐτοῦ παρὰ τοῦ πάππου etc. In Altorf. eſt διὰ τοῦ πάππου, vulgato παρὰ ſupra ſcripto.

ἐπεὶ καὶ] Ex Guelf. καὶ fuit addi-

καὶ λόγος διεδόθη ὡς ἡγήσοιντο ἐπὶ πολλὰ ἀγαθά,
11 ἐξῄεσαν καὶ τοῦ λαβεῖν τι ἕνεκα. Οὕτω δὴ καὶ οἱ Μῆδοι
σχεδὸν ἅπαντες ἐξῆλθον, πλὴν ὅσοι σὺν Κυαξάρει ἔτυ-
χον σκηνοῦντες· οὗτοι δὲ κατέμειναν, καὶ οἱ τούτων ὑπή-
κοοι. Οἱ δὲ ἄλλοι πάντες φαιδρῶς καὶ προθύμως
ἐξωρμῶντο, ἅτε οὐκ ἀνάγκῃ, ἀλλ' ἐθελούσιοι καὶ χάρι-
12 τος ἕνεκα ἐξιόντες. Ἐπεὶ δὲ ἔξω ἦσαν, πρῶτον μὲν πρὸς
τοὺς Μήδους ἐλθὼν ἐπῄνεσέ τε αὐτούς, καὶ ἐπηύξατο,
μάλιστα μὲν θεοὺς αὐτοῖς ἵλεως ὄντας ἡγεῖσθαι καὶ
σφίσιν, ἔπειτα δὲ καὶ αὐτὸς δυνηθῆναι χάριν αὐτοῖς ταύ-
της τῆς προθυμίας ἀποδοῦναι. Τέλος δ' οὖν εἶπεν, ὅτι
ἡγήσοιντο μὲν αὐτοῖς οἱ πεζοί, ἐκείνους δὲ ἕπεσθαι σὺν
τοῖς ἵπποις ἐκέλευσε· καὶ ὅπου ἂν ἢ ἀναπαύωνται, ἢ
ἐπίσχωσι τῆς πορείας, ἐνετείλατο αὐτοῖς πρὸς ἑαυτὸν
παρελαύνειν τινάς, ἵνα εἰδῶσι τὸ ἀεὶ καίριον.
13 Ἐκ τούτου ἡγεῖσθαι ἐκέλευσε τοὺς Ὑρκανίους. Καὶ
οἳ ἠρώτων, Τί δέ; οὐ γὰρ ἀναμένεις, ἔφασαν, τοὺς ὁμή-
ρους ἕως ἂν ἀγάγωμεν, ἵνα καὶ σὺ ἔχων τὰ πιστὰ παρ'

tum; idem cum Junt. ἐδόθη. in margine Steph. eſt διῆλθεν. denique λαβεῖν τι ἕνεκεν Juntina.

11. Οὕτω δὴ] Guelf. οὕτω δὴ ἐξῆλθον σχεδὸν ἅπαντες καὶ οἱ Μῆδοι. unde articulum οἱ recepit Zeune. Idem liber deinde Κυαξάρῃ—κατέμενον.

ἐξωρμῶντο] Guelf. cum Edd. pr. ἐξορμῶντο, deinde idem οὕνεκα.

12. Ἐπεὶ δὲ] Ita Guelf. pro ἐπειδὴ δέ. deinde ἐλθὼν ex Guelf. et Altorf. dedi pro ἐξελθὼν, quod corrector in Guelf. ſupplevit πρὸς omiſit Caſtalio.

ὄντας] Poſt ἡγεῖσθαι antea collocatum in ordinem redegit Brodæus, omiſit Guelf. qui δυνασθῆναι habet, a correctoris manu δυνηθῆναι.

Τέλος δ' οὖν] Guelf. οὖν omittit; et rectius abeſſe mihi videbatur.

ἐπίσχωσι] Guelf. ἐπιστήσωσι et prius ἢ a correctore fuit ſuppletum.

ἐνετείλατο] Ita cum libris Brodæi Guelf. et Leonclaviana poſtrema pro ἐκέλευσεν. deinde πρὸς αὐτὸν et τὸ δὴ καίριον.

13. Τί δέ; οὐ γὰρ] Ita cum Philelpho margo Steph. et Guelf. pro τί δὲ οὐκ, quod revocavit Weiſke; deinde Juntina et margo Guelf. ἀναμένεις ὡς ἐπηγγείλαντο, Budenſis ἀναμείνειεν ὡς ἐπηγγείλαντο. Duplex olim hujus loci ſcriptura fuiſſe videtur, altera quidem præter vulgatam quæ eſt in Altorfino, hæc: ἠρώτων, τί οὐκ ἀναμείνειεν, οὓς ἐπηγγείλαντο ὁμήρους ἕως ἂν ἀγάγωσιν.

ἵνα καὶ σὺ] Guelf. ἵνα ἔχων καὶ σύ. Sequens πάντες, quod minus idoneum huic loco eſſe viderat etiam Weiſke, ideoque in πάντως mutandum cenſuerat, liber Guelf. omiſit, annotante Fiſchero: quamobrem ſecluſi. Fortaſſe qui ſententiam non ſolum Cyri exercitum ſed hominum genus univerſum ſpectare putabant, verba ἐν ἄλλῳ οὐδενὶ ἢ poſt τὰ πιστὰ

ἡμῶν πορεύῃ; Καὶ τὸν ἀποκρίνασθαι λέγεται, Ἐννοῶ
γὰρ, φάναι, ὅτι ἔχομεν [πάντες] τὰ πιστὰ ἐν ταῖς ἡμε-
τέραις χερσίν. Οὕτω γὰρ δοκοῦμεν παρεσκευάσθαι,
ὡς, ἐὰν μὲν ἀληθεύητε, ἱκανοὶ εἶναι ὑμᾶς εὖ ποιεῖν· ἐὰν
δὲ ἐξαπατᾶτε, οὕτω νομίζομεν ἔχειν, ὡς οὐχ ἡμᾶς ἐφ'
ὑμῖν ἔσεσθαι, ἀλλὰ μᾶλλον, ἐὰν οἱ θεοὶ βούλωνται, ὑμᾶς
ἐφ' ἡμῖν γενέσθαι. Καὶ μέντοι, ἔφη, ὦ Ὑρκάνιοι, ἐπειδή-
περ φατὲ ὑστάτους πορεύεσθαι τοὺς ὑμετέρους, ἐπειδὰν
ἴδητε αὐτοὺς, σημαίνετε ἡμῖν, ὅτι οἱ ὑμέτεροί εἰσιν, ἵνα
φειδώμεθα αὐτῶν. Ἀκούσαντες ταῦτα οἱ Ὑρκάνιοι, 14
τὴν μὲν ὁδὸν ἡγοῦντο, ὥσπερ ἐκέλευε, τὴν δὲ ῥώμην τῆς
ψυχῆς ἐθαύμαζον· καὶ οὔτε τοὺς Ἀσσυρίους, οὔτε τοὺς
Λυδοὺς, οὔτε τοὺς συμμάχους αὐτῶν ἔτι ἐφοβοῦντο, ἀλλὰ,
μὴ παντάπασιν ὁ Κῦρος μικράν τινα ἑαυτῶν οἴοιτο ῥοπὴν
εἶναι καὶ παρόντων καὶ ἀπόντων.

Πορευομένων δὲ, ἐπεὶ νὺξ ἐπεγένετο, λέγεται φῶς τῷ 15
Κύρῳ καὶ τῷ στρατεύματι ἐκ τοῦ οὐρανοῦ προφανὲς γε-
νέσθαι, ὥστε πᾶσι φρίκην μὲν πρὸς τὸ θεῖον ἐγγίγνε-
σθαι, θάρσος δὲ πρὸς τοὺς πολεμίους. Ὡς δὲ εὔζωνοί

inseruerunt, quæ Brodæus ex libro vetere commemoravit.

ὡς ἐὰν μὲν] Guelf. hic et in sequentibus ἢν dat; idem ἐξαπατῆτε et ἐξαπατᾶτε ex correctione habet: ex eodem ὡς οὐχ ἡμᾶς posui pro ὡς μὴ ἡμᾶς: postea vulgatum ἐφ' ὑμῖν γενέσθαι—ἐφ' ἡμῖν γενήσεσθαι ex Guelf. mutavit Zeune; idem liber θεοὶ θέλωσιν habet cum Altorfino, in quo verba γενέσθαι—ἐφ' ἡμῖν ab aliena manu sunt suppleta. Mihi locus nondum persanatus esse videtur, et displicet inprimis varietas temporum conjunctioni ὡς adjecta.

ἐπειδήπερ] Guelf. ἐπείπερ ἔφατε. deinde ὑστάτους ἕπεσθαι cum Philelpho et margine Steph. quod recepit Zeune: postea Edd. pr. οἱ ἡμέτεροι· quod vitium correxit Brodæus.

14. Ἀκούσαντες] Ex Guelf. δὲ addidit Zeune, qui deinde ἐκέλευσε malebat scriptum esse. Idem in sequentibus vulgatum οὐχὶ τοὺς Ἀσσυρίους οὐδὲ τοὺς Λ. οὐδὲ ex Guelf. correxit, quanquam in eo libro sine articulo Lydi et Assyrii nominantur.

συμμάχους αὐτῶν] Ita pro ἑαυτῶν, quod Brodæum jam offendit, Guelf. cum Altorfino, sed idem deinde τινὰ αὐτῶν quod non sum ausus cum Zeunio recipere. In Guelf. ἔτι est a correctore suppletum. Aldina αὐτῶν τῶν ἔτι dederat. Pro παρόντων Guelf. et margo Steph. προσόντων.

15. ἐπεγένετο] Ita cum Guelf. Zeune pro ἐγένετο. deinde προφανῶς est in Altorfino, sed correctum: in eodem φρίκην est ab aliena manu suppletum. Guelf. πᾶσι μὲν φρίκην ἐγγίγνεσθαι πρὸς τὸ θεῖον.

Ὡς δὲ εὔζωνοι] Guelf. ὥστ' εὔζ. Vulgatum κνέφαϊ ut Ionicum ex Juntina et Guelf. fuit correctum a Zeunio.

τε καὶ ταχὺ ἐπορεύοντο, εἰκότως πολλήν τε ὁδὸν διήνυσαν,
καὶ ἅμα κνέφᾳ πλησίον γίγνονται τοῦ τῶν Ὑρκανίων
16 στρατεύματος. Ὡς δ' ἔγνωσαν οἱ ἄγγελοι, λέγουσι
τῷ Κύρῳ, ὅτι οὗτοί εἰσιν οἱ σφέτεροι· τῷ τε γὰρ ὑστάτους
εἶναι, γιγνώσκειν ἔφασαν καὶ τῷ πλήθει τῶν πυρῶν.
17 Ἐκ τούτου πέμπει τὸν ἕτερον αὐτῶν πρὸς αὐτοὺς, προστά-
ξας λέγειν, εἰ φίλοι εἰσὶν, ὡς τάχιστα ὑπαντᾷν τὰς
δεξιὰς ἀνατείναντας. Συμπέμπει δέ τινα καὶ τῶν σὺν
ἑαυτῷ, καὶ λέγειν ἐκέλευσε τοῖς Ὑρκανίοις, ὅτι, ὡς ἂν
ὁρῶσιν αὐτοὺς προσφερομένους, οὕτω καὶ αὐτοὶ ποιήσουσιν.
Οὕτω δὴ ὁ μὲν μένει τῶν ἀγγέλων παρὰ τῷ Κύρῳ, ὁ δὲ
προσελαύνει πρὸς τοὺς Ὑρκανίους.
18 Ἐν ᾧ δ' ἐσκόπει τοὺς Ὑρκανίους ὁ Κῦρος, ὅ τι ποιή-
σουσιν, ἐπέστησε τὸ στράτευμα· καὶ παρελαύνουσι πρὸς
αὐτὸν οἱ τῶν Μήδων προεστηκότες καὶ ὁ Τιγράνης, καὶ
ἐρωτῶσι, τί δεῖ ποιεῖν. Ὁ δὲ λέγει αὐτοῖς, ὅτι τοῦτ'
ἔστι τὸ πλησίον Ὑρκανίων στράτευμα, καὶ οἴχεται ὁ
ἕτερος τῶν ἀγγέλων πρὸς αὐτοὺς, καὶ τῶν ἡμετέρων τὶς
σὺν αὐτῷ, ἐροῦντες, εἰ φίλοι εἰσὶν, ὑπαντιάζειν τὰς δε-
ξιὰς ἀνατείναντας πάντας. Ἐὰν μὲν οὖν οὕτω ποιῶσι,

16. Ὡς δ' ἐγ.] Guelf. ὥστ' ἔγνωσαν οἱ ἄγγελοι καὶ τῷ Κύρῳ λέγουσιν. Forte hæc verior fuerit lectio, quæ languere mihi videbatur propter repetitam formam ὡς δέ; itaque maluiſſem ſcriptum: Ἅμα δ' ἔγνωσαν οἱ ἄγγελοι, καὶ λέγουσι τῷ Κύρῳ, ὅτι.

17. τὸν ἕτερον] Juntina τὸν ἑταῖρον αὐτῶν καὶ αὐτοὺς—ὑπαντᾷν. Aldina τῶν ἕτερον—ἀπαντᾷν; vitia correxit Brodæus. In Guelf. eſt τάξας, deinde a correctore ἀπαντᾷν.

τῶν σὺν] Aldina τῶν σὺν αὐτῷ. Junt. Iſingr. τῶν παρ' ἑαυτῷ. Vulgatum τινὰς ex verſione Philelphi mutavit Zeune, quoniam ſect. 18. ſequitur καὶ τῶν ἡμετέρων τις σὺν αὐτῷ in Guelf. et Philelphi verſione, ubi vulgo ante Zeunium erat τινές.

ποιήσουσιν] Guelf. ποιήσωσιν—Οὕτω δὲ ὁ ſed correctum οὕτω δὴ ὁ. Ex eodem articulum ante Cyri nomen inſeruit Zeune.

18. ἐπέστησε] In Guelf. eſt a prima manu ὁ δὲ προσελαύνει πρὸς τοὺς Ὑρκανίους ὅτι ποιήσουσιν τῷ στρατεύματι. παρελαύνουσι δὲ πρός. ſed corrector omiſſa ſupplevit et τὸ στράτευμα repoſuit. In margine Steph. et Leoncl. lectio refertur hæc: πρὸς τοὺς Ὑρκανίους. ὅτι ποιήσουσιν ἐπιστεῖλαι τῷ στρατεύματι. παρελαύνουσι δὲ πρὸς αὐτόν.

ἐρωτῶσι] Guelf. ἐπερωτῶσι: ex quo deinde ὅτι ante τοῦτ' eſt a Zeunio interſertum, et ὑπαντιάζειν receptum in locum vulgaris ὑπαντᾷν.

οὕτω ποιῶσι] Ita Junt. Iſingr. pro οὕτως ἴωσι. Guelf. ἢν—οὕτω ποιῶσι. *itaque ſi ita ad nos ierint, contra iti-*

δεξιοῦσθε τε αὐτοὺς, καθ' ὃν ἂν ᾖ ἕκαστος, καὶ ἅμα
θαῤῥύνετε· ἐὰν δὲ ὅπλα αἴρωνται, ἢ φεύγειν ἐπιχει-
ρῶσι, τούτων, ἔφη, [πρώτων] εὐθὺς πειρᾶσθε μηδένα
λιπεῖν. Ὁ μὲν τοιαῦτα παρήγγειλεν. Οἱ δὲ Ὑρκά- 19
νιοι, ἀκούσαντες τῶν ἀγγέλων, ἥσθησάν τε, καὶ ἀνα-
πηδήσαντες ἐπὶ τοὺς ἵππους παρῆσαν, τὰς δεξιὰς, ὥσπερ
εἴρητο, προτείνοντες· οἱ δὲ Μῆδοι καὶ οἱ Πέρσαι ἀντεδε-
ξιοῦντο τε αὐτοὺς καὶ ἐθάῤῥυνον. Ἐκ τούτου δὴ λέγει ὁ 20
Κῦρος, Ἡμεῖς μὲν δὴ, ὦ Ὑρκάνιοι, ἤδη ὑμῖν πιστεύομεν·
καὶ ὑμᾶς δὲ χρὴ πρὸς ἡμᾶς οὕτως ἔχειν. Τοῦτο δ',
ἔφη, ἡμῖν πρῶτον εἴπατε, ὁπόσον ἀπέχει ἐνθένδε, ἔνθα
αἱ ἀρχαί εἰσι τῶν πολεμίων, καὶ τὸ ἀθρόον αὐτῶν. Οἱ
δὲ ἀπεκρίναντο, ὅτι ὀλίγῳ πλέον ἢ παρασάγγην.

Ἐνταῦθα δὴ λέγει ὁ Κῦρος, Ἄγετε δὴ, ἔφη, ὦ ἄν- 21
δρες Πέρσαι καὶ Μῆδοι, καὶ ὑμεῖς, ὦ Ὑρκάνιοι, (ἤδη
γὰρ καὶ πρὸς ὑμᾶς ὡς συμμάχους καὶ κοινωνοὺς διαλέ-

Cyrus hostium aggrediendorum et per-

dem vos eos excipite, et ſimul ut quiſque venerit, bono ut animo ſint, hortamini. Ita Philelphus, qui verba græca ita fere ſcripta legiſſe videtur: ἐὰν μὲν οὖν οὕτω προσίωσι, ἀντιδεξιοῦσθε αὐτοὺς, καὶ καθὼς ἂν ἴῃ ἕκαστος, ἅμα θαρ. Et fateor mihi προσίωσι præ ποιῶσι placere.

δεξιοῦσθε τε] Ex Guelf. τε fuit additum a Zeunio; idem liber θαρσύνετε. In Altorf. eſt καὶ καθ' ὅν. Aldinæ ἴῃ expreſſit Philelphus.

ἐὰν δὲ] Guelf. ἢν δέ. deinde τούτων ἔφη εὐθὺ δεῖ πρῶτον πειρᾶσθαι μηδένα λιπεῖν. ſed corrector fecit εὐθύς. *horum continuo eſt enitendum nihil reliquum facere.* Philelphus, qui ſcriptum legit græce τούτων εὐθὺς δεῖ πειρᾶσθαι. Margo Steph. et Leoncl. poſuit lectionem εὐθὺς δεῖ πειρᾶσθαι. Altorf. πρῶτον δεῖ εὐθὺς πειρᾶσθε. Mihi πρώτων æque ac πρῶτον ſuſpectum erat; igitur ſecluſi, quod Philelphus plane non ſcriptum legit. Vulgatum λείπειν mutavit Zeune.

19. ἥσθησαν] *lætati ſunt plurimum —equis adſcenſis illico affuere.* Philelphus, qui ſcriptum videtur legiſſe: ἥσθησάν τε μάλιστα—παρῆσαν εὐθύς. poſterius εὐθὺς additum exſtat etiam in Zonaræ epitome.

εἴρητο] Juntina, Ald. Iſingr. εἴρηται, deinde Juntina, Iſingr. προτείναντες. Guelf. deinde καὶ Πέρσαι, omiſſo articulo, poſtea ἐθάρσυνον.

20. λέγει ὁ Κῦρος, ἡμεῖς] Guelf. ὁ Κῦρος λέγει, εἰ ἡμεῖς μὲν δή. Brodæus ex libris ſuis poſuit εἰ ὑμεῖς μέν. Juntina ὑμεῖς μὲν ὦ omiſſo δὴ, quod nec in Iſingr. eſt; in Aldina eſt pro eo δέ. Altorf. καὶ ἐκ τούτου δὴ, quod Philelphus expreſſit.

ἤδη ὑμῖν] In Guelf. hæc duo vocabula omiſſa ſunt, ſed ὑμῖν corrector ſupplevit. ἤδη propterea ſecluſit Zeune. Mihi contra δὴ repetitum diſplicebat.

πρῶτον] Guelf. ἡμῖν πρῶτον—πόσον. poſteriorem formam etiam Zonaras adhibuit. In verbis εἰσὶ τῶν deſinit liber Altorfinus uſque ad librum ſequentem interrupta ſerie orationis.

21. ὡς συμμάχους] Guelf. ὡς πρὸς συμμάχους καὶ κοινούς.

ſequendorum modum docet, quos oppreſſos, nullo reſiſtente, maxima clade afficit.

γομαι) εὖ χρὴ εἰδέναι, νῦν ὅτι ἐν τούτῳ ἐσμὲν, ἔνθα δὴ μαλακισάμενοι μὲν, πάντων ἂν τῶν χαλεπωτάτων τύχοιμεν· (ἴσασι γὰρ οἱ πολέμιοι, ἐφ' ἃ ἥκομεν) ἢν δὲ κατὰ τὸ καρτερὸν ἐμβαλόμενοι ἴωμεν ῥώμῃ καὶ θυμῷ ἐπὶ τοὺς πολεμίους, αὐτίκα μάλα ὄψεσθε ὥσπερ δούλων ἀποδιδρασκόντων καὶ εὑρημένων, τοὺς μὲν ἱκετεύοντας αὐτῶν, τοὺς δὲ φεύγοντας, τοὺς δ' οὐδὲ ταῦτα φρονεῖν δυναμένους. Ἡττημένοι γὰρ ὄψονταί τε ἡμᾶς, καὶ, οὔτε οἰόμενοι ἥξειν, οὔτε συντεταγμένοι, οὔτε μάχεσθαι πα-
22 ρεσκευασμένοι, κατειλημμένοι ἔσονται. Εἰ οὖν ἡδέως βουλοίμεθα καὶ δειπνῆσαι καὶ νυκτερεῦσαι καὶ βιοτεύειν τὸ ἀπὸ τοῦδε, μὴ δῶμεν αὐτοῖς σχολὴν μήτε βουλεύσασθαι, μήτε παρασκευάσασθαι μηδὲν ἀγαθὸν ἑαυτοῖς, μηδὲ γνῶναι πάμπαν, ὅτι ἄνθρωποί ἐσμεν· ἀλλὰ γέῤῥα καὶ κοπίδας καὶ σαγάρεις ἅπαντα καὶ πληγὰς ἥκειν
23 νομιζόντων. Καὶ ὑμεῖς μὲν, ἔφη, ὦ Ὑρκάνιοι, ὑμᾶς αὐτοὺς προπετάσαντες ἡμῶν, προπορεύεσθε ἔμπροσθεν, ὅπως τῶν ὑμετέρων ὅπλων ὁρωμένων λανθάνωμεν ὅτι πλεῖστον χρόνον. Ἐπειδὰν δ' ἐγὼ πρὸς τῷ στρατεύματι

ἐν τούτῳ] Guelf. et Philelphi liber ἐν τοιούτῳ ἔνθα δή. unde δὴ cum Zeunio adſcivi. Idem liber μὲν ἂν πάντων. Voluitne ἁπάντων dare?

κατὰ τὸ καρτερὸν] In Guelf. κατὰ a correctore fuit ſuppletum; ſed poetarum eſt τὸ καρτερὸν pro καρτερῶς, ut τὸ καλὸν pro καλῶς. Sequens ἐμβαλόμενοι mihi diſplicet pro magis uſitato ἐμβαλόντες poſitum. Quid ſi olim ſcriptum ἐμβάλωμεν ῥώμῃ καὶ θυμῷ τοῖς πολεμίοις ſuſpicer? ἐπὶ τοὺς πολεμίους poſtea fuit ſcriptum quam ἐμβαλόμενοι ἴωμεν factum fuerat.

καὶ εὑρημένων] Copulam Juntina, Philel. Guelf. omittunt.

οὐδὲ ταῦτα] Nec fugam cogitantes nec preces, ſed timore ſtupentes et mente dejectos.

Ἡττημένοι γὰρ] Cum Guelf. τε poſt ὄψονται repoſui, hoc ſenſu: *ſimul enim nos conſpicient atque ſe captos eſſe ſentient.* Scilicet deinde cum Philelpho καὶ εἰλημμένοι ſcriptum præfero, quam lectionem refert margo Steph. Leoncl.

22. βουλοίμεθα] Guelf. βουλόμεθα καὶ νυκτ. καὶ δειπνῆσαι—τούτοις σχολὴν—ἀγαθὸν—αὐτοῖς μηδέν. Philelphus verba μήτε παρασκευάσασθαι non expreſſit, deinde ἀλλ' ἅπαντα ἥκειν νομιζόντων diverſo ordine ſcripta legiſſe videtur. In Edd. primis erat γέῤῥα καὶ σαγάρεις ἅπαντα καὶ πληγάς. In Guelf. erat σαγάρεις πάντας. quod correctum. Mihi locus nondum ſatisfacit, et malim σαγάρεις καὶ πληγὰς πανταχόθεν ἥκειν νομιζόντων ſcriptum.

23. προπετάσαντες] Brodæi libri προσελάσαντες, Guelf. et margo Steph. προσπελάσαντες, *proximos hoſtibus voſ-*

γένωμαι τῶν πολεμίων, παρ' ἐμοὶ μὲν καταλείπετε
ἕκαστοι τάξιν ἱππέων, ὡς, ἐάν τι δέῃ, χρῶμαι μένων
παρὰ τὸ στρατόπεδον. Ὑμῶν δὲ οἱ μὲν ἄρχοντες καὶ οἱ 24
πρεσβύτεροι ἐν τάξει ἐλαύνετε ἀθρόοι, εἰ σωφρονεῖτε, ἵνα
μήποτε ἀθρόῳ τινὶ ἐντυχόντες ἀποβιασθῆτε· τοὺς δὲ
νεωτέρους ἐφίετε διώκειν· οὗτοι δὲ καινόντων· τοῦτο γὰρ
ἀσφαλέστατον νῦν ὡς ἐλαχίστους τῶν πολεμίων λιπεῖν.
Ἢν δὲ νικῶμεν, ἔφη, ὃ πολλοῖς δὴ κρατοῦσι τὴν τύχην 25
ἀνέτρεψε, φυλάξασθαι δεῖ τὸ ἐφ' ἁρπαγὴν τραπέσθαι·
ὡς ὁ τοῦτο ποιῶν οὐκέτι ἀνήρ ἐστιν, ἀλλὰ σκευοφόρος·
καὶ ἔξεστι τῷ βουλομένῳ ἤδη χρῆσθαι τούτῳ ὡς ἀνδρα-
πόδῳ. Ἐκεῖνο δὲ χρὴ γνῶναι, ὅτι οὐδέν ἐστι κερδαλεώ- 26
τερον τοῦ νικᾶν. Ὁ γὰρ κρατῶν ἅμα πάντα συνήρπακε,
καὶ τοὺς ἄνδρας, καὶ τὰς γυναῖκας, καὶ τὰ χρήματα,
καὶ πᾶσαν ἅμα τὴν χώραν. Πρὸς ταῦτα τοῦτο μόνον

met ipsos facientes Philelphus. deinde προπορεύεσθαι Aldina cum Guelf. sed in Guelf. correctum est; quamvis Zeune in Guelf. πορεύεσθε esse dicat.

καταλείπετε] Edd. pr. καταλίπετε. Guelf. τάξιν ἵππων (correctum ἱππέων) ἢ ἄν τι δέομαι ὡς χρῶμαι—στράτευμα, (sed correctum στρατόπεδον)—ἀθρόοι ἐλαύνετε, εἰ σωφρονεῖτε (correctum εἰς ὃ σωφρονεῖτε). Margo Steph. Leoncl. ἱππέων ἐάν τι δέωμαι, ὡς χρῶμαι. *quo ipse intra aciem manens iis utar, si quid opus fuerit* Philelphus.

24. εἰ σωφρονεῖτε] Edd. primæ εἰς ὃ φρονεῖτε. quod correxit Brodæus, qui ex libris suis apposuit μήποτε που ἀθρόῳ. Malim εἰ σωφρονεῖτε, μήπου ἀθρόῳ. deinde ἐντυγχάνοντες Juntina cum Guelf.

καινόντων] Budensis liber ἀποκτεινόντων; sequens λιπεῖν est ex Guelf. ductum pro λείπειν.

27. ἢν δὲ νικῶμεν] Vulgatum ἢν δὲ τὸ πολλοῖς δὴ συμβεβηκὸς κρατοῦσι, τὴν τύχην ἀνατρέψαι γίγνηται. Muretus ita corrigebat: ἢν δὲ, ὃ πολλοῖς ἤδη συμβεβηκὸς κρατοῦσι τὴν νίκην ἀνέτρεψε. Guelf. lectionem cum Zeunio restitui, nisi quod ἀνέστρεψε mutavi in ἀνέτρεψε. In libro ipso corrector tamen post λιπεῖν inseruit ἢν δὲ τὸ πολλοῖς σ. κρατοῦσι τὴν τύχην ἀνατρέψαι γίγνηται. Vulgatum retinuit Weiske, ita tamen ut Mureti ἤδη probaret. Zeunianam lectionem is ideo improbabat, quod Cyrus sine aliqua bene ominantis formula eo minus dixisset ἂν δὲ νικῶμεν, quia de victoria certus jam videri vellet, et Hyrcaniis ab initio eam spem dederat. Itaque ipse μὴ pro ἢν legendum esse suspicatur, *ne vero id eveniat nobis, quod multis victoria jam parta accidit, ut fortunam nostram evertamus.* At vero sententiam putaverim facilius eam procedere, si μὴ δὲ τὸ πολλοῖς ἤδη κρατοῦσι τὴν τύχην ἀνατρέψαι γίγνηται mecum scripseris.

ἤδη χρῆσθαι] Guelf. χρῆσθαι δή.

26. συνήρπακε] Junt. Isingr. Guelf. συνήρπασε. deinde ἅμα cum Philel. omittit; corrector tamen inseruit post χώραν.

πρὸς ταῦτα] i. e. propterea. Sed sequens τοῦτο mihi in hac vicinia molestum accidit.

ὁρᾶτε, ὅπως τὴν νίκην διασώσομεν· ἐν γὰρ ταύτῃ καὶ αὐτὸς ὁ ἁρπάζων ἔχεται. Καὶ τοῦτο ἅμα διώκοντες μέμνησθε, ἥκειν πάλιν ὡς ἐμὲ ἔτι φάους ὄντος· ὡς σκότους γενομένου οὐδένα ἔτι προσδεξόμεθα.

27 Ταῦτα εἰπὼν ἀπέπεμπεν εἰς τὰς τάξεις ἑκάστους, καὶ ἐκέλευεν ἅμα πορευομένους τοῖς ἑαυτοῦ ἕκαστον δεκαδάρχοις ταυτὰ σημαίνειν· (ἐν μετώπῳ γὰρ οἱ δεκάδαρχοι ἦσαν, ὥστε ἀκούειν) τοὺς δὲ δεκαδάρχους τῇ δεκάδι ἕκαστον κελεύειν παραγγέλλειν. Ἐκ τούτου προηγοῦντο μὲν οἱ Ὑρκάνιοι, αὐτὸς δὲ τὸ μέσον ἔχων σὺν τοῖς Πέρσαις ἐπορεύετο· τοὺς δὲ ἱππέας ἑκατέρωθεν, ὥσπερ εἰκὸς,
28 παρέταξε. Τῶν δὲ πολεμίων, ἐπεὶ φάος ἐγένετο, οἱ μὲν ἐθαύμαζον τὰ ὁρώμενα, οἱ δὲ ἐγίγνωσκον ἤδη· οἱ δ' ἤγγελλον, οἱ δ' ἐβόων, οἱ δ' ἔλυον ἵππους, οἱ δὲ συνεσκευάζοντο, οἱ δ' ἐῤῥίπτουν τὰ ὅπλα ἀπὸ τῶν ὑποζυγίων, οἱ δ' ὡπλίζοντο· οἱ δὲ ἀνεπήδων ἐπὶ τοὺς ἵππους, οἱ δὲ ἐχαλίνουν· οἱ δὲ τὰς γυναῖκας ἀνεβίβαζον ἐπὶ τὰ ὀχήματα· οἱ δὲ τὰ πλείστου ἄξια ἐλάμβανον, ὡς διασωσόμενοι, οἱ δὲ κατορύττοντες τὰ τοιαῦτα ἡλίσκοντο· οἱ δὲ πλεῖστοι εἰς φυγὴν ὥρμων. Οἴεσθαι δὲ χρὴ καὶ ἄλλα πολλά

διασώσομεν] Vulgatum διασώσωμεν ita auctore Fischero corrigere sum ausus. In Guelf. est διασωζοίμεθα. Cf. supra sect. 18.

ἐν γὰρ ταύτῃ] Juntina et Guelf. ἐὰν γὰρ κρατηθῇ. Weiskio ὁ ἁρπάζων est *qui prædari vult*, ἔχεται, *comprehenditur victoria ita, ut salvus sit*. Mihi dubia loci sententia manet.

φάους ὄντος] Guelf. ex correctione φωτὸς vulgatum habet.

27. ἐκέλευεν] Ita pro ἐκέλευσεν Guelf. deinde τοῖς αὑτοῦ Guelf. αὑτοῦ Steph. deinde ταὐτὰ pro ταῦτα ex Guelf. et Philelpho dedit Zeune; postea ἦσαν οἱ δεκαδ. Guelf.

τοὺς δὲ] Juntina et Guelf. δὲ omittunt; δεκάρχους Aldina.

Ἐκ τούτου] Ex Guelf. δὲ addidit Zeune; idem liber deinde cum Zonara ἱππεῖς habet.

τὸ μέσον ἔχων] Ex more Persarum, de quo Anabasis Cyri i. 8, 17. tradit.

28. ἐπεὶ φάος] Vulgatum σαφὲς est inter lineas Guelf. in textu est φάος ut in Zonara et margine Steph. φῶς in Bodl. et Budensi.

ὁρώμενα] In libris Brodæi, Bodl. Guelf. et Zonara est δρώμενα.

ἐπὶ τοὺς] Hæc omisit Guelf. deinde habet scriptum διασωζόμενοι—ἐς φυγήν.

χρὴ καὶ ἄλλα] Guelf. δεῖ πολλά τε καὶ παντοδαπὰ καὶ ἄλλα—ἀμαχητεὶ ἀπώλλυντο. unde vulgatum ἀπώλοντο correxit Zeune. Vulgo etiam ἀμαχητὶ erat, ἀμαχεὶ est in Zonara.

τε καὶ παντοδαπὰ ποιεῖν αὐτούς· πλὴν ἐμάχετο οὐδείς,
ἀλλ' ἀμαχητεὶ ἀπώλλυντο. Κροῖσος δὲ ὁ Λυδῶν βασι- 29
λεὺς, ὡς θέρος ἦν, τάς τε γυναῖκας ἐν ταῖς ἁρμαμάξαις
προαπεπέμψατο τῆς νυκτὸς, ὡς ἂν ῥᾷον πορεύοιντο κατὰ
τὸ ψύχος, καὶ αὐτὸς ἔχων τοὺς ἱππέας ἐπηκολούθει.
Καὶ τὸν Φρύγα ταὐτὰ φασὶ ποιῆσαι, τὸν τῆς παρ' Ἑλ- 30
λήσποντον ἄρχοντα Φρυγίας. Ὡς δὲ παρῆσθοντο τῶν

Ceterum locum inter pulcherrimos Xenophonteos qui mirati ſunt hucuſque, mirabuntur etiam magis perſpicacitatem Weiſkianæ criſeos, quam exempli cauſa totam adſcribam. *Minus bene compoſita eſt hæc narratio, quam quæ de priori pugna* iii. 3, 6. *ſeqq. legitur. Primum de ipſa Perſarum incurſione nihil dicitur.* (At enim vero tota oratio 21—26. Cyri denunciat Perſarum impetum: et verba ſunt multa quæ clariſſimum rei indicium habent, veluti *ἴσασιν οἱ πολέμιοι ἐφ' ἃ ἥκομεν.* deinde *ἢν κατὰ τὸ καρτερὸν ἐμβαλόμενοι ἴωμεν ἐπὶ τοὺς πολεμίους.* denique quid manifeſtius verbis illis *εἰ οὖν βουλόμεθα ἡδέως δειπνῆσαι καὶ νυκτερεῦσαι—μὴ δῶμεν αὐτοῖς σχολήν.* Vides enim Cyrum veſpere profectum cum exercitu ſect. 15. primo mane appropinquare caſtris hoſtium, *ἐπεὶ φάος ἐγένετο* ſect. 28. Dubitationem hoſtium et trepidationem cum luce inclareſcente auctam, quam denuntiaverat Cyrus ſectionis 21. verbis *ὄψονται τε ἡμᾶς καὶ οὔτε οἰόμενοι ἥξειν οὔτε συντεταγμένοι οὔτε μάχεσθαι παρεσκευασμένοι, ἔσονται εἰλημμένοι,* nunc feliciter rem gerente Cyro Xenophon diligentius atque eleganter expoſuit.) *Quodſi hoſtes eo modo, quo hic narratur, fugam ceperunt, antequam Cyrus impetum facere vellet, hoc ipſum videtur fuiſſe commemorandum.* (Solum Lydorum et Phrygum ducem noctu ante Cyri adventum fuga ſe ſubduxiſſe memoravit Xenophon.) *Deinde non ſatis apparet, cur tantum mirati quidam, non terrore percuſſi dicantur: præſertim cum ante dictum ſit ſect. 21. fore, ut quidam (præ terrore ac ſtupore) nec ſupplicare nec fugere poſſint. Sententia autem οἴεσθαι δὲ—αὐτοὺς omnium minime probari poteſt. Cum enim ea quæ inde ab initio paragraphi dicuntur, non neceſſaria (ſeu quod dicunt eſſentialia) ſint, verum διατυπώσεως ornamentum conſtituant, repugnans hac ſententia ſit oratio, ut illa omnia vere hiſtorica et neceſſaria videantur, ſed ſimul ſatis inepta et frigida. Sed quia facile apparet, illa ſpectare ad ornatum, ut pictura quadam lector delectetur, videtur auctor defeciſſe in artificio extremo, et inchoatum opus, quod non poſſet aut non vellet perficere, abjeciſſe.* In quibus pæne riſum mihi excuſſit mentio *διατυπώσεως* facta, in qua ea, quæ inde ab initio ſectionis 28. dicuntur, non vere hiſtorica et neceſſaria ſeu eſſentialia eſſe affirmantur, ſed ornamentum facere et veluti picturam exhibere, qua lector non erudiatur, ſed delectetur. Quid, obſecro te lector, dici poteſt vere hiſtoricum et neceſſarium in hiſtorici narratione, niſi hæc omnia, quæ Xenophon ſectione integra 28. narravit, et in verbis *οἴεσθαι δὲ χρὴ—αὐτοὺς* abrupit, ut ad ſummam rei *πλὴν ἐμάχετο οὐδεὶς*, cujus cauſa ſita erat in rebus antea narratis, perveniret, omnia ex natura rerum hominumque veluti tranſcripta eleganterque omnia expreſſa dici poſſunt?

29. *ἐν ταῖς*] Zonaras *σὺν ταῖς—προέπεμψε.* deinde *πορεύοιτο* cum Philelpho Guelf. poſtea *κατὰ ψύχος* cum Zonara Guelf. denique *ἱππεῖς* idem liber habet. in eodem *ἂν* poſt *ὡς* a correctore fuit inſertum.

30. *ταὐτὰ φασὶ*] Ita pro *ταῦτα* Stephani Editio poſterior et Hutchinſoniana. *τὰ αὐτὰ ταῦτα ποιῆσαι φασὶ* Philel. Guelf. margo Steph. *τὰ αὐτὰ ποιῆσαι φ.* Zonaras et Zeuniana.

φευγόντων καὶ καταλαμβανόντων ἑαυτοὺς, πυθόμενοι
31 τὸ γιγνόμενον, ἔφευγον δὴ καὶ αὐτοὶ ἀνὰ κράτος. Τὸν
δὲ τῶν Καππαδοκῶν βασιλέα καὶ τὸν τῶν Ἀραβίων, ἔτι
ἐγγὺς ὄντας καὶ ὑποστάντας ἀθωρακίστους κατακαί-
νουσιν οἱ Ὑρκάνιοι. Τὸ δὲ πλεῖστον ἦν τῶν ἀποθανόντων
Ἀσσυρίων καὶ Ἀραβίων· ἐν γὰρ τῇ ἑαυτῶν ὄντες χώρᾳ,
32 ἀσυντονώτατα πρὸς τὴν πορείαν εἶχον. Οἱ μὲν δὴ Μῆδοι
καὶ Ὑρκάνιοι, οἷα δὴ εἰκὸς κρατοῦντας, τοιαῦτα ἐποίουν
διώκοντες. Ὁ δὲ Κῦρος τοὺς παρ' ἑαυτῷ ἱππέας κατα-
λειφθέντας περιελαύνειν ἐκέλευσε τὸ στρατόπεδον, καὶ εἴ
τινας σὺν ὅπλοις ἐξιόντας ἴδοιεν, κατακαίνειν· τοῖς δ'
ὑπομένουσιν ἐκήρυξεν, ὁπόσοι τῶν πολεμίων στρατιωτῶν
ἦσαν ἱππεῖς, ἢ πελτασταὶ, ἢ τοξόται, ἀποφέρειν τὰ
ὅπλα συνδεδεμένα, τοὺς δὲ ἵππους ἐπὶ ταῖς σκηναῖς
καταλιπεῖν· ὅστις δὲ μὴ ταῦτα ποιήσοι αὐτίκα τῆς κε-
φαλῆς στερήσεσθαι· τὰς δὲ κοπίδας προχείρους ἔχοντες

ἑαυτοὺς, πυθόμενοι] Ex Guelf. et Zonara αὐτοὺς prætulit Zeune; πυθόμενοι eſt de quærentibus, quid rei gereretur, ſimul et de nuntio allato hoſtium advenientium.

ἀνὰ] Hoc ex Guelf. et margine Steph. ut exquiſitius prætuli vulgato κατά.

31. τὸν τῶν Ἀραβίων] Priorem articulum cum Brodæo addidit Stephanus, et ex Bodl. cum Hutchinſono Zeune. ſequens κατακαίνουσιν dederunt margo Steph. poſtrema Leonclavii Editio, Zonaras et Guelf. pro ἀποκτείνουσι.

Ἀσσυρίων] Budenſis liber Ἀσσύριον καὶ Ἀράβιον. Ad πλεῖστον intellige μέρος. deinde τῇ αὐτῶν Guelf.

ἀσυντονώτατα] Edd. primæ συντονώτατα cum Stephaniana priore dant; verum ex Philelpho, Gabriel. et Guelf. poſuit Leonclavius admonitus a Brodæo. συντομώτατα erat in Budenſi. σχολαίτατα quod margo utriuſque Editionis Stephanianæ oſtendit, e verſione Philelphi, ubi *lente admodum* exſtat, a Stephano confictum eſſe jam Leonclavius monuit.

32. οἷα δὴ] Aldina δὲ, Juntina omittit. ſequens κρατοῦντας pro κρατοῦντες ex Caſtal. Bryl. Argent. recepit Zeune. Eadem Juntina cum Guelf. ταῦτα ἐποίουν.

παρ' ἑαυτῷ] Zonaras σὺν αὐτῷ, deinde ἐκέλευε—ἴδοιεν ἐξιόντας κατακαίνειν Guelf. ubi Junt. Iſingr. ἀποκτένοιεν, Aldina et Steph. ἀποκτείνειν dant. Sed noſtrum κατακαίνειν ex margine Steph. recepit Leonclavius.

ἦσαν ἱππεῖς] Philelphus ἦσαν ἢ ἱππεῖς vertit: deinde καταλείπειν Guelf. ſed καταλιπεῖν correctum.

ποιήσοι] Vulgatum ποιήσῃ ex Guelf. damnavit etiam Fiſcher ad Weller. 2. p. 270. comparans vii. 5, 34. ὅπου ληφθεῖεν ὅπλα ἐν οἰκίᾳ, προηγόρευεν, ὡς πάντες οἱ ἔνδον ἀποθανοῖντο. ubi Codices quidam ληφθήσοιτο præferunt cum Fiſchero. Ita iii. 1, 3. εἴ τινα λήψοιτο, προηγόρευσεν ὅτι ὡς πολεμίῳ χρήσοιτο.

στερήσεσθαι] Ita ex eodem Guelf. dedi pro στερηθήσεσθαι. Zonaras στερεῖσθαι habet.

(οἱ ἱππεῖς,) ἐν τάξει περιέστησαν. Οἱ μὲν δὴ τὰ ὅπλα 33
ἔχοντες, ἐῤῥίπτουν ἀποφέροντες εἰς ἓν χωρίον ὅποι ἐκέ-
λευσε· καὶ ταῦτα μὲν, οἷς ἐπέταξεν, ἔκαιον.
Ὁ δὲ Κῦρος ἐνενόησεν, ὅτι ἦλθον μὲν οὔτε σῖτα οὔτε 34
ποτὰ ἔχοντες, ἄνευ δὲ τούτων οὔτε στρατεύεσθαι δυνατὸν,
οὔτ' ἄλλο ποιεῖν οὐδέν. Σκοπῶν δὲ, ὡς ἂν ταῦτα τά-
χιστα καὶ κάλλιστα γένοιτο, ἐνθυμεῖται, ὅτι ἀνάγκη
πᾶσι τοῖς στρατευομένοις ἐστὶν, εἶναί τινα, ὅτῳ καὶ σκη-
νῆς μελήσει, καὶ ὅπως τὰ ἐπιτήδεια παρεσκευασμένα
τοῖς στρατιώταις εἰσιοῦσιν ἔσται. Καὶ τοίνυν ἔγνω, ὅτι 35
τούτους εἰκὸς μάλιστα πάντων ἐν τῷ στρατοπέδῳ νῦν
κατειλῆφθαι ἂν ἦν, διὰ τὸ ἀμφὶ συσκευασίαν ἔχειν·
ἐκήρυξε δὴ, παρεῖναι πάντας τοὺς ἐπιτρόπους· εἰ δέ που

Cyrus per ſervos captivos parat commeatum et ſumma cura providet, ut ſocios in hoſtibus perſequendis jam occupatos ſibi devinciat.

τὰς δὲ κοπίδας—περιέστησαν] Vulgatum *περιΐστασαν* monente Fiſchero mutavi. In Aldina eſt *περίστασαν*. Ad loci integritatem aliquid deeſſe viderunt Leonclavius et Stephanus de medendi ratione valde inter ſe digladiati. Ille deeſſe putabat *οἱ μὲν οὖν ἱππεῖς περιήλαυνον τὸ στρατόπεδον, τὰς δὲ κοπίδας* etc. certe deeſſe *οἱ ἱππεῖς*. Contra Stephanus malebat legi *τὰς δὴ κοπίδας*, aut *οἱ μὲν οὖν τὰς κοπίδας*. Leonclavio Welſius et Hutchinſonus aſſenſi ſunt. Zeunius, qui locum ſanum eſſe defendebat, verborum ſtructuram ſubito mutatam eſſe credebat, verba ipſa longe diverſo ſenſu eſſe accipienda, quam vulgo factum ſit: *οἱ τὰς κοπίδας ἔχοντες* ſunt illi non equites, de quibus præceſſit mentio, ſed pedites Cyri, corona cingentes caſtra hoſtium ſtrictoſque gladios tenentes. Quo nihil ineptius poterat excogitari. Weiſkius vero de hoc loco quid ſentiret, non dixit. Fiſcherus monuit poſt verba *ἱππέας περιελαύνειν ἐκέλευσε* ſequi debuiſſe *τὰς δὲ κοπίδας προχείρους ἔχοντας ἐν τάξει περιστῆναι*. Sed Xenophontem variare orationem *ἀνακολουθίᾳ* maluiſſe poſt longiorem parentheſin. Mihi vero unice placet ratio Leonclaviana, quæ poſt *ἔχοντες* inſerit *οἱ ἱππεῖς*; itaque vocabula iſtæc addidi interim, dum quis meliorem afferat medicinam.

33. *ἐκέλευσε*] Guelf. *ἐκέλευε*: deinde Zonaras *καὶ ταῦτα οἱ τεταγμένοι κατέκαιον*.

34. *ἐνενόησεν, ὅτι*] Zonaras cum Philelpho *ἐννοήσας ὡς*. deinde vulgatum *οὔτε ἄλλο οὐδὲν ποιεῖν* ex Guelf. correxit Zeune. poſtea *ὅπως ἂν κάλλιστα καὶ τάχιστα ταῦτα*.

ἐστὶν, εἶναί τινα] Mihi *ἐστι, παρεῖναί τινα* magis placeret.

35. *ἔγνω*] Leonclavius *γνοὺς* vel *ὡς ἔγνω—ἔχειν, ἐκήρυττε δὴ* malebat ſcriptum. Itaque totum hoc membrum præcedenti ſectioni potius eſſet ſubjungendum.

τούτους] Pro *τοιούτους* dictum interpretatur Zeune. Pro *κατειλῆφθαι* Camerarius *καταλελεῖφθαι* legi malebat. Mihi vulgata placet, quacum *ἂν* junctum efficit hanc ſententiam: *captum iri in caſtris non erat vero diſſimile.* Contra *ἂν* cum *εἰκὸς ἦν* copulari vult Weiſke cum Zeunio. Libri Bodl. et Gabr. *ἦν* omittunt.

συσκευασίαν] Quod adhuc eſſent in vaſis colligendis occupati, nec tam ſubito aufugere ut ceteri potuiſſent. Sequens *ἐκήρυξε* pro *ἐκήρυττε* ex Guelf. recepit Zeune, deinde *τοὺς ἐπιτρόπους πάντας*.

μὴ εἴη ἐπίτροπος, τὸν πρεσβύτατον ἀπὸ σκηνῆς· τῷ δὲ ἀπειθοῦντι πάντα τὰ χαλεπὰ ἀνεῖπεν. Οἱ δὲ, ὁρῶντες
36 καὶ τοὺς δεσπότας πειθομένους, ταχὺ ἐπείθοντο. Ἐπεὶ δὲ παρεγένοντο, πρῶτον μὲν ἐκέλευσε καθίζεσθαι αὐτῶν ὅσοις ἐστὶ πλέον ἢ δυοῖν μηνῶν ἐν τῇ σκηνῇ τὰ ἐπιτήδεια. Ἐπεὶ δὲ τούτους εἶδεν, αὖθις ἐκέλευσεν, ὅσοις μηνὸς ἦν·
37 ἐν δὲ τούτῳ σχεδὸν σύμπαντες ἐκαθίζοντο. Ἐπεὶ δὲ ταῦτα ἔμαθεν, εἶπεν ὧδε αὐτοῖς, Ἄγετε νῦν, ἔφη, ὦ ἄνδρες, εἴ τινες ὑμῶν τὰ μὲν κακὰ μισεῖτε, ἀγαθοῦ δέ τινος παρ' ἡμῶν βούλοισθ' ἂν τυγχάνειν, ἐπιμελήθητε προθύμως, ὅπως διπλάσια ἐν τῇ σκηνῇ ἑκάστῃ σῖτα καὶ ποτὰ παρεσκευασμένα ᾖ τοῖς δεσπόταις καὶ τοῖς οἰκέταις, ἢ ἃ καθ' ἡμέραν ἐποιεῖτε· καὶ τἄλλα δὲ πάντα, ὁπόσα καλὴν δαῖτα παρέξει, ἕτοιμα ποιεῖτε· ὡς αὐτίκα μάλα παρέσονται, ὁπότεροι ἂν κρατῶσι, καὶ ἀξιώσουσιν ἔκπλεω ἔχειν πάντα τὰ ἐπιτήδεια. Εὖ οὖν ἴστε, ὅτι συμφέροι ἂν ὑμῖν, ἀμέμπτως δέχεσθαι τοὺς ἄνδρας.
38 Οἱ μὲν δὴ ταῦτα ἀκούσαντες, πολλῇ σπουδῇ τὰ παρηγγελμένα ἔπραττον. Ὁ δ' αὖ συγκαλέσας τοὺς ταξιάρχους ἔλεξε τοιάδε·

δεσπότας] Erant igitur ἐπίτροποι illi ſervi, qui mediaſtinorum vicibus in exercitu fungerentur et caſtris.

36. ἐκέλευσε] Guelf. ἐκέλευε—ὅσοις (bis)—δυοῖν μηνοῖν. unde ὅσοις recepit Zeune in locum vulgaris οἷς, præeunte Brodæo.

ἐν δὲ τούτῳ] Guelf. δὲ omittit; τούτοις Edd. primæ cum Philelpho. πάντες Junt. Iſingr. Guelf.

37. Ἄγετε νῦν] Ita cum Guelf. Zeune; ἄγετε τοίνυν cum Stephano Weiſke: λέγετε τοίνυν Juntina, ἄγε τοίνυν Aldina. *agite nunc* Philelphus.

εἴ τινες] Ita vulgatum οἵ τινες ex Guelf. correxit Zeune. deinde μαλακοῦ τινος libri Brodæi. βούλοισθ' ἂν eſt ex Guelf. pro βούλεσθε.

σῖτα καὶ] Ita cum Guelf. et Zonara Zeune pro σιτία. Compara ſect. 34. et 38. deinde Guelf. οἰκέταις καὶ τοῖς δεσπόταις. Zonaras laudavit hinc: ἄγετε ὦ ἄνδρες, ἔφη, διπλάσια ἐν ἑκάστῃ σκηνῇ σῖτα παρασκευάσατε, ἢ τοῖς δεσπόταις καὶ τοῖς οἰκέταις αὐτῶν καθ' ἡμέραν ἐποιεῖτε.

ὁπότεροι ἂν] Juntina, Stephaniana 2. et Guelf. ὁπότε ἄν, quod recepit Zeune: deinde ἀξιώσωσι Edd. pr. Philelphus et Guelf.

εὖ οὖν ἴστε] Ita cum Brodæi libris et Guelf. Zeune; antea erat ἴστε οὖν: ſequens συμφέροι eſt ex libris Bodl. et Gabr. ductum et receptum jam olim a Stephano in locum prioris συμφέρει.

38. ταξιάρχους] Guelf. in textu ἱππάρχους habet, vulgarem in margine.

Ἄνδρες φίλοι, γιγνώσκω μὲν, ὅτι νῦν ἔξεστιν ἡμῖν
προτέροις τῶν ἀπόντων συμμάχων ἀρίστου τυχεῖν, καὶ
τοῖς μάλα ἐσπουδασμένοις σίτοις καὶ ποτοῖς χρῆσθαι·
ἀλλ᾽ οὔ μοι δοκεῖ τοῦτ᾽ ἂν τὸ ἄριστον πλέον ὠφελῆσαι
ἡμᾶς, ἢ τὸ τῶν συμμάχων ἐπιμελεῖς φανῆναι, οὐδ᾽ ἂν
αὕτη ἡ εὐωχία ἰσχυροτέρους τοσοῦτον ποιῆσαι, ὅσον εἰ δυ-
ναίμεθα τοὺς συμμάχους προθύμους ποιεῖσθαι. Εἰ δὲ 39
τῶν νυνὶ διωκόντων καὶ κατακαινόντων τοὺς ἡμετέρους
πολεμίους, καὶ μαχομένων, εἴ τις ἐναντιοῦται, τούτων
δόξομεν οὕτως ἀμελεῖν, ὥστε, καὶ πρὶν εἰδέναι, ὅ τι
πράττουσιν, ἠριστηκότες φαίνεσθαι, ὅπως μὴ αἰσχροὶ
μὲν φανούμεθα, ἀσθενεῖς δ᾽ ἐσόμεθα, συμμάχων
ἀποροῦντες. Τὸ δὲ τῶν πονούντων καὶ κινδυνευόντων ἐπι-
μεληθῆναι, ὅπως εἰσιόντες τὰ ἐπιτήδεια ἕξουσιν, αὕτη ἂν
ἡμᾶς ἡ θοίνη πλείω εὐφράνειεν, ὡς ἐγώ φημι, ἢ τὸ
παραχρῆμα τῇ γαστρὶ χαρίσασθαι. Ἐννοήσατε δ᾽, 40
ἔφη, ὡς, εἰ μηδ᾽ ἐκείνους αἰσχυντέον ἦν, οὐδ᾽ ὣς ἡμῖν νῦν
προσήκει οὔτε πλησμονῆς πω, οὔτε μέθης· οὐ γάρ πω
διαπέπρακται ἡμῖν, ἃ βουλόμεθα, ἀλλ᾽ αὐτὰ πάντα
νῦν ἀκμάζει ἐπιμελείας δεόμενα. Ἔχομεν γὰρ ἐν τῷ

γιγνώσκω μὲν] Ita liber Gabrielis pro vulgato γιγνώσκομεν habet, quod ante Zeunium damnaverat etiam Stephanus. Sequens ἡμῖν eſt in Bodl. Guelf. et Edit. Caſtal. Bryl. ceteri libri et Edd. ὑμῖν dant.

τῶν ἀπόντων] Guelf. ἁπάντων τῶν—μάλιστα ἐσπουδασμένοις σίτοις. Ante Zeunium erat σιτίοις.

τοῦτ᾽ ἂν] Guelf. ἂν δοκεῖ τοῦτο—νῦν τὴν εὐωχίαν. ſed in litura νῦν τῇ εὐωχίᾳ reſcriptum eſt. Etiam margo Steph. νῦν τὴν εὐωχίαν refert.

τοσοῦτον] Ex libris Brodæi et Guelf. additum jam olim a Stephano; ſequens δυναίμεθα in Guelf. eſt a correctore; prius δυνάμεθα erat ſcriptum.

39. νυνὶ] Guelf. νῦν: deinde ἀποκτεινόντων Bodl.

ὅ τι πράττουσιν] In Guelf. eſt πῶς πρ. vulgato ſupra ſcripto.

πονούντων] Guelf. κινδυνευόντων καὶ πονούντων. deinde inſertum vulgo poſt ἐπιμεληθῆναι pronomen τινὰ cum libris Gabr. et Bodl. omiſi.

αὕτη ἂν] Guelf. ἂν omiſit.

40. δ᾽ ἔφη] Guelf. omiſſo δὲ habet ὡς εἰ μὴ ἐκείνους: ex eodem νῦν ante προσήκει acceſſit; idem poſtea cum Philel. Gabr. πω dedit pro ποτε, quod damnavit etiam Stephanus.

αὐτὰ πάντα] Guelf. αὖ πάντα. Philelphus ταῦτα πάντα expreſſit.

Ἔχομεν γὰρ] Ita Guelf. a correctoris manu, in textu enim eſt δέ; ſequens ἴσως Stephanus addidit ex libris Philelphi et Guelf. Poſtea male ποιήσαντες Guelf.

στρατοπέδῳ πολεμίους πολλαπλασίους ἡμῶν αὐτῶν, καὶ
τούτους λελυμένους· οὓς καὶ φυλάττεσθαι ἴσως ἔτι
προσήκει, καὶ φυλάττειν, ὅπως ὦσι καὶ οἱ ποιήσοντες
ἡμῖν τὰ ἐπιτήδεια. Ἔτι δ' οἱ ἱππεῖς ἡμῖν ἄπεισι, φρον-
τίδα παρέχοντες, ὅπου εἰσί· κἂν ἔλθωσιν, εἰ παραμε-
41 νοῦσιν. Ὥστε, ὦ ἄνδρες, νῦν μοι δοκεῖ τοιοῦτον σῖτον
προσφέρεσθαι δεῖν ἡμᾶς καὶ τοιοῦτον ποτὸν, ὁποῖόν τις
οἴεται μάλιστα σύμφορον εἶναι πρὸς τὸ μήτε ὕπνου, μήτε
42 ἀφροσύνης ἐμπίπλασθαι. Ἔτι δὲ καὶ χρήματα ἐγὼ
οἶδα ὅτι πολλὰ ἐν τῷ στρατοπέδῳ ἐστὶν, ὧν οὐκ ἀγνοῶ
ὅτι δυνατὸν ἡμῖν (κοινῶν αὐτῶν ὄντων τοῖς συγκατειλη-
φόσι) νοσφίσασθαι, ὁπόσα ἂν βουλώμεθα· ἀλλ' οὔ μοι
δοκεῖ τὸ λαβεῖν κερδαλεώτερον εἶναι τοῦ, δικαίους φαινο-
μένους ἐκείνοις, τούτῳ πειρᾶσθαι ἔτι μᾶλλον ποιεῖν αὐ-
43 τοὺς ἢ νῦν ἀσπάζεσθαι ἡμᾶς. Δοκεῖ δέ μοιγ', ἔφη,
καὶ τὸ νεῖμαι τὰ χρήματα, ἐπειδὰν ἔλθωσι, Μήδοις καὶ
Ὑρκανίοις καὶ Τιγράνῃ ἐπιτρέψαι· κἄν τι μεῖον ὑμῖν
δάσωνται, κέρδος ἡγήσασθαι· διὰ γὰρ τὰ κέρδη ἥδιον
44 ἡμῖν παραμενοῦσι. Τὸ μὲν γὰρ νῦν πλεονεκτῆσαι, ὀλι-
γοχρόνιον ἂν ἡμῖν τὸν πλοῦτον παράσχοι· τὸ δὲ, ταῦτα
προεμένους, ἐκεῖνα κτήσασθαι, ὅθεν ὁ πλοῦτος φύεται,

οἱ ἱππεῖς] Articulum *οἱ* Guelf. omiſit, et deinde *ἢ παραμένουσι* ſupra ſcriptum, quæ eſt lectio Edd. pr. poſtea *ἡμᾶς προφέρεσθαι δεῖν*; denique *ἄν τι συμφορώτατον εἴη*, quæ lectio etiam in margine Steph. exſtat, mihique magis placet.

41. *ἀφροσύνης*] Quæ potum nimium ſolet conſequi, ut ſomnus ſatietatem cibi. *ἐμπίμπλασθαι* in Guelf. eſt, ſed correctum.

42. *ἐγὼ οἶδα ὅτι*] His omiſſis Guelf. *πολλά ἐστιν ἐν τῷ στρ.*

οὐκ ἀγνοῶ] Junt. *ἀκούω*. Brodæi et Guelf. liber *καὶ οὐκ ἀγνοῶ*. In Guelf. ſequens *αὐτῶν* a correctore fuit ſuppletum.

συγκατειληφόσι] Guelf. *κατειληφόσι —ὁπόσα βουλόμεθα.*

ἐκείνοις] Junt. Ald. Iſingr. *φαινομένους, ἐκείνους* (Ald. *ἐκείνοις*) *τούτῳ*. Philelphus omiſſo *ἐκείνοις* expreſſit *αὐτοὺς τούτῳ πειρᾶσθαι ἔτι μᾶλλον ποιεῖν*, quæ ipſa eſt lectio Guelf. quam vulgari *τούτῳ πειρᾶσθαι ἔτι μᾶλλον αὐτοὺς* ſubſtitui verborum tamen ordine immutato.

43. *μοιγ', ἔφη*] Ex Guelf. *γε* additum; idem liber *καὶ ἤν τι—ἡγεῖσθαι· ἤδη γὰρ* ſed *διὰ* ſupra ſcripto. Sequens *ἡμῖν* corrector ſupplevit.

τοῦθ', ὡς ἐγὼ δοκῶ, ἀεννάοτερον ἡμῖν δύναιτ' ἂν τὸν ὄλ-
βον καὶ πᾶσι τοῖς ἡμετέροις παρέχειν. Οἶμαι δ', ἔφη, 45
καὶ οἴκοι ὑμᾶς τούτου ἕνεκεν ἀσκεῖν, καὶ γαστρὸς κρείτ-
τους εἶναι καὶ κερδέων ἀκαίρων, ἵν', εἴ ποτε δέοι, δυναί-
μεθα αὐτοῖς συμφόρως χρῆσθαι· ποῦ δ' ἂν ἐν μείζοσι
τῶν νῦν παρόντων ἐπιδειξαίμεθα τὴν παιδείαν, ἐγὼ μὲν
οὐχ ὁρῶ.
Ὁ μὲν οὕτως εἶπε· συνεῖπε δ' αὐτῷ Ὑστάσπας, ἀνὴρ 46
Πέρσης τῶν ὁμοτίμων, ὧδε. Δεινὸν γάρ τ' ἂν εἴη, ὦ
Κῦρε, εἰ ἐν θήρᾳ μὲν πολλάκις ἄσιτοι καρτεροῦμεν, ὅπως
θηρίον τι ὑποχείριον ποιησώμεθα, καὶ μάλα μικροῦ ἴσως
ἄξιον· ὄλβον δὲ ὅλον πειρώμενοι θηρᾶν, εἰ ἐμποδών τι
ποιησαίμεθα γενέσθαι ἡμῖν, ἃ τῶν μὲν κακῶν ἀνθρώ-
πων ἄρχει, τοῖς δ' ἀγαθοῖς πείθεται· οὐκ ἂν πρέποντα

44. τοῦθ' ὡς] Ita cum Aldina Steph. et Weiſke. Ex Guelf. τοῦτο ὡς dedit Zeune; τοῦτ' αὖθ' ὡς Junt.

ἀεννάοτερον] In libro Brodæi et Guelf. πλειότερον eſt: ſed in Guelf. vulgata ſupra ſcripta exſtat. Idem liber ſequens ὄλβον dedit pro πλοῦτον.

45. τούτου ἕνεκεν] Guelf. τούτου ἕνεκα, ſed rectius idem κερδέων ἀκαίρων ſubſtituit vulgato ἀκαίρων κερδῶν, et deinde εἴποτε pro ὁπότε.

ποῦ δ' ἂν ἐν] Hæc eſt lectio Philelphi, Stephani et Guelf. niſi quod in Guelf. eſt ἐπιδειξαίμεθ' ἄν. Aldinam ὅτῳ δ' ἂν ἐπὶ μείζοσι duriſſimam revocavit cum Zeunio Weiſke ad ὅτῳ intelligens τρόπῳ. Juntina ὅτῳ δ' ἐπὶ— ἐπιδειξόμεθα. Equidem ὅπου δ' ἂν malim.

46. Ὑστάσπας] Guelf. Ὑστάσπης recepit Zeune.

γὰρ τ' ἂν] Eſt pro γάρ τοι ἄν, ut μὲν τ' ἂν apud Atticos. deinde ποιησόμεθα malim ſcriptum.

ἐμποδών τι ποιησαίμεθα] Ad τι intellige κατά. Sed pro ποιησαίμεθα malim aliud verbum ſcriptum, quod paſſionem ſignificaret, quam patitur, qui cupiditatibus indulget, aut ab edendi bibendique et habendi lubidine imperari ſibi patitur.

οὐκ ἂν πρέποντα] Vulgo legitur πείθεται, οὐκ ἂν etc. ubi Leoncl. μὴ ante πρέποντα deeſſe ſuſpicabatur. Cui tam inhumane occurrit Zeunius, ut hanc ejus opinionem non ſolum temerariam et perineptam vocaret, ſed virum egregium et de Xenophonte multo magis meritum etiam ſomniaſſe diceret. Quo ipſo crimine ſatis oſtendit, nihil ſe in hujus loci ſententia ejuſque conjunctione grammatica vidiſſe. At enim vero manifeſtum et certum eſt ab initio δεινὸν γὰρ τ' ἂν εἴη uſque ad verba τοῖς δ' ἀγαθοῖς πείθεται eſſe argumentationem eam, quæ a minore procedit ad majus, et membrum poſterius orationis εἰ ὄλβον—θηρᾶν ποιησαίμεθα ab eodem initio contineri et regi. Contra in vulgari lectione membrum alterum a priore violenter divulſum adjungitur verbis οὐκ ἂν πρέποντα—ποιεῖν, atque ita omnis argumentationis vis plane evertitur et tollitur. Quod cum Weiſkius recte et acute ſenſiſſet, καὶ ante οὐκ ἂν inferendum eſſe ſuſpicatus eſt. Mihi οὔκουν πρέποντ' ἂν ἡμῖν ſcribendum videbatur. Interim diviſione ſententiarum locum adjuvare ſtudui.

47 ἡμῖν δοκοίημεν ποιεῖν. Ὁ μὲν Ὑστάσπας δὴ οὕτω συν-
εῖπεν· οἱ δ᾽ ἄλλοι πάντες ταῦτα συνῄνουν. Ὁ δὲ Κῦ-
ρος εἶπεν, Ἄγετε δὴ, ἔφη, ἐπειδὴ ὁμονοοῦμεν ταῦτα, πέμ-
ψατε ἀπὸ λόχου πέντε ἄνδρας ἕκαστος τῶν σπουδαιοτά-
των· οὗτοι δὲ περιϊόντες, οὓς μὲν ἂν ὁρῶσι πορσύνοντας
τὰ ἐπιτήδεια, ἐπαινούντων· οὓς δ᾽ ἂν ἀμελοῦντας, κο-
λαζόντων ἀφειδέστερον, ἢ ὡς δεσπόται. Οὗτοι μὲν δὴ
ταῦτα ἐποίουν.

CAP. III.

Persarum res equestris decernitur.

ΤΩΝ δὲ Μήδων τινὲς ἤδη οἱ μὲν, ἁμάξας προωρμη-
μένας καταλαβόντες καὶ ἀποστρέψαντες, προσήλαυνον
μεστὰς, ὧν ἐδεῖτο ἡ στρατιὰ, οἱ δὲ καὶ ἁρμαμάξας γυ-
ναικῶν τῶν βελτίστων τῶν μὲν γνησίων τῶν δὲ καὶ παλ-
λακίδων, διὰ τὸ κάλλος συμπεριαγομένων· καὶ ταύτας
2 εἰληφότες προσῆγον. Πάντες γὰρ ἔτι καὶ νῦν οἱ κατὰ
τὴν Ἀσίαν στρατευόμενοι, ἔχοντες τὰ πλείστου ἄξια,
στρατεύονται, λέγοντες, ὅτι μᾶλλον μάχοιντ᾽ ἂν, εἰ τὰ
φίλτατα παρείη· τούτοις γάρ φασιν ἀνάγκην εἶναι προ-
θύμως ἀλέξειν. Ἴσως μὲν οὖν οὕτως ἔχει· ἴσως δὲ καὶ
ποιοῦσιν αὐτὰ τῇ ἡδονῇ χαριζόμενοι.
3 Ὁ δὲ Κῦρος, θεωρῶν τὰ τῶν Μήδων ἔργα καὶ Ὑρκα-

47. Ὁ μὲν] Guelf. ὁ μὲν οὖν Ὑστάσπης οὕτως εἶπεν recepit Zeune: idem liber deinde ἄγε δὴ—ὁμοθυμοῦμεν, ſed corrector ὁμονοοῦμεν dedit.

πέντε ἄνδρας] Guelf. ἕκαστος πέντε ἄνδρας.

πορσύνοντας] procurantes et apparantes commeatum cibumque.

οὓς δ᾽ ἂν] Caſtalio primus ἂν omiſit, quod ex Edd. pr. et Guelf. revocavit Zeune.

1. καταλαβόντες] Ita pro καταλαμβάνοντες Guelf. deinde idem cum Juntina et Zonara δεῖται στρατιά.

καὶ παλλακίδων] Ita cum Stephano et Guelf. Zeuniana; ſed Edd. primæ καὶ ante γνησίων collocant.

καὶ ταύτας] Copulam Guelf. omiſit.

2. ἀλέξειν] Ita pro ἀλεξεῖν ex Guelf. Suſpicionem Xenophontis de Aſiaticorum lubidine ſequitur Ammianus extremo libro 23. *effuſius*, inquit, *plerique ſoluti in Venerem ægreque contenti multitudine pellicum pro opibus quiſque adſciſcunt matrimonia plura vel pauca.*

τῇ ἡδονῇ] Junt. Iſingr. τῇ omittunt.

3. θεωρῶν] Hoc pro ὁρῶν dedit

νίων, ὥσπερεὶ κατεμέμφετο καὶ ἑαυτὸν καὶ τοὺς σὺν
αὐτῷ, εἰ οἱ ἄλλοι ἂν τοῦτον τὸν χρόνον ἀκμάζειν τε μᾶλ-
λον ἑαυτῶν ἐδόκουν καὶ προσκτᾶσθαί τι, αὐτοὶ δ' ἐν ἀρ-
γοτέρᾳ χώρᾳ ὑποκαταμένειν. Καὶ γὰρ δὴ οἱ ἀπάγοντες
καὶ ἀποδεικνύντες Κύρῳ, ἃ ἦγον, πάλιν ἀπήλαυνον, με-
ταδιώκοντες τοὺς ἄλλους· ταῦτα γὰρ ἔφασαν σφίσι
προστετάχθαι ποιεῖν ὑπὸ τῶν ἀρχόντων. Δακνόμενος
δὴ ὁ Κῦρος ἐπὶ τούτοις, ταῦτα μὲν ὅμως κατεχώριζε·
συνεκάλει δὲ πάλιν τοὺς ταξιάρχους, καὶ στὰς, ὅπου
ἔμελλεν ἂν ἐξακούεσθαι τὰ λεγόμενα, εἶπε τάδε·

Ὅτι μὲν, ὦ ἄνδρες φίλοι, εἰ κατάσχοιμεν τὰ νῦν 4
προφαινόμενα, μεγάλα μὲν ἂν ἅπασι Πέρσαις ἀγαθὰ
γένοιτο, μέγιστα δ' ἂν εἰκότως ἡμῖν, δι' ὧν πράσσεται,
πάντες, οἶμαι, γιγνώσκομεν· ὅπως δ' ἂν αὐτῶν ἡμεῖς
κύριοι γενοίμεθα, μὴ αὐτάρκεις ὄντες κτήσασθαι αὐτὰ,
εἰ μὴ ἔσται οἰκεῖον ἱππικὸν Πέρσαις, τοῦτ' ἐγὼ οὐκέτι
ὁρῶ. Ἐννοεῖτε γὰρ δὴ, ἔφη, ἔχομεν ἡμεῖς οἱ Πέρσαι 5
ὅπλα, οἷς δοκοῦμεν τρέπεσθαι τοὺς πολεμίους ὁμόσε ἰόν-

Guelf. idem deinde *ὥσπερ—καὶ αὐτὸν—σὺν αὐτῷ*: unde *καὶ* recepit Zeune.

εἰ οἱ ἄλλοι] Junt. Isingr. *ὅτι εἰ οἱ ἄλλοι ἄν*. Sed *εἰ* abest ab Aldina; *ἂν* abesse malebat Stephanus, et auctoritate Bodl. omisit cum Hutchinsono Weiske; *ἀνὰ τοῦτον τὸν χρόνον* corrigebat Muretus. Equidem toleravi, suadente etiam Abreschio ad Thucyd. p. 716.

ὑποκαταμένειν] Guelf. *ὑπομένειν*. Alicubi *ἀργωδεστέρᾳ* scriptum annotavit Stephanus. Ceterum *ἀκμάζειν* vigorem corporis cum promtitudine animi et factorum significare, argumento sunt verba *ἐν ἀργοτέρᾳ χώρᾳ*, quæ dicta sunt ut supra *ἐν μισθοφόρου χώρᾳ εἶναι*, hoc sensu *si ipsi subsidere hic et ignavis accenseri malle videbimur.*

ἀπάγοντες] Copulam ex Guelf. subjunxit Zeune; idem liber *σφίσιν ἔφασαν τετάχθαι* (correctum *προστετ.*) habet, deinde *δακνόμενος δὲ—τὰ μὲν ὅμως.*

ἔμελλεν ἂν] Guelf. *αὐτοῦ ἔμελλον ἀκούσεσθαι τὰ βουλευόμενα, λέγει τάδε.* Etiam Philelphus *τὰ βουλευόμενα λέγει* expressit. Mihi *ἂν* hoc loco alienum videtur esse.

4. *τὰ νῦν*] Guelf. *νῦν* a correctore suppletum habet, ut deinde *πράσσετε* et *γιγνώσκετε* a secunda manu fuerunt emendata.

γενοίμεθα] Guelf. *γιγνοίμεθα—ἐγὼ οὐκέτι ὁρῶ.* Vulgo est *οὐκέτ' ἐγὼ ὁρῶ.*

5. *ἔχομεν*] Ante hoc verbum mihi colon ponendum videbatur aut *ὅτι* adjungendum: deinde vulgatus ordo verborum *τοὺς πολεμίους τρέπεσθαι* ex Guelf. fuit mutatus. Idem liber *ἰόντες* dat.

τας· καὶ δὴ τρεπόμενοι, ποίους ἢ ἱππέας, ἢ τοξότας, ἢ
πελταστὰς, ἢ ἀκοντιστὰς, ἄνευ ἵππων ὄντες δυναίμεθα
ἂν φεύγοντας ἢ λαβεῖν, ἢ κατακαίνειν; Τίνες δ' ἂν
φοβοῖντο ἡμᾶς προσιόντες κακουργεῖν ἢ τοξόται, ἢ ἀκον-
τισταὶ, ἢ ἱππεῖς, εὖ εἰδότες, ὅτι οὐδεὶς αὐτοῖς κίνδυνος,
ὑφ' ἡμῶν κακόν τι παθεῖν μᾶλλον, ἢ ὑπὸ τῶν πεφυκότων
6 δένδρων; Εἰ δ' οὕτω ταῦτα ἔχει, οὐκ εὔδηλον, ἔφη, ὅτι
οἱ νῦν παρόντες ἡμῖν ἱππεῖς νομίζουσι, ταῦτα πάντα ὑπο-
χείρια γιγνόμενα εἶναι ἑαυτῶν οὐχ ἧττον, ἢ ἡμέτερα;
7 Ἴσως δὲ, νὴ Δία, καὶ μᾶλλον. Νῦν μὲν οὖν οὕτω ταῦτα
ἔχει κατ' ἀνάγκην. Εἰ δὲ ἡμεῖς ἱππικὸν κτησαίμεθα,
μὴ χεῖρον τούτων, οὐ παντάπασιν ἡμῖν καταφανὲς, ὅτι
τούς τ' ἂν πολεμίους δυναίμεθα καὶ ἄνευ τούτων ποιεῖν,
ὅσαπερ νῦν σὺν τούτοις, τούτους τε ἔχοιμεν ἂν τότε με-
τριώτερον πρὸς ἡμᾶς φρονοῦντας; Ὁπότε γὰρ ἢ παρεῖ-
ναι ἢ ἀπεῖναι βούλοιντο, ἧττον ἂν ἡμῖν μέλοι, εἰ αὐτοὶ

καὶ δὴ τρεπόμενοι] Mihi καί τοι scribendum ex sententia loci videbatur; deinde δυνώμεθα Juntina habet; sequens κατακαίνειν ex margine Steph. recepit postrema Editio Leonclavii, ex Guelf. Zeuniana in locum vulgaris ἀποκτεῖναι; idem liber ἢ ante ἱππέας omisit.

κακουργεῖν] Margo Steph. et Guelf. κακοῦν; idem liber τι κακὸν præfert, referente Zeunio, τι omissum annotat Fischer.

πεφυκότων] Radicibus infixarum terræ et hærentibus sine motu arborum.

6. Εἰ δ' οὕτω ταῦτα] Ita cum Guelf. pro εἰ δὲ ταῦτα οὕτως scripsi euphoniæ causa; idem liber deinde ἔχει, εὔδηλον, ὅτι. Juntina etiam ἔφη omisit.

νομίζουσι] Guelf. νομίζουσι (supra scripto κομίζουσι) πάντα τὰ ὑποχείρια γιγνόμενα ἑαυτῶν εἶναι οὐχ ἧσσον ἢ ἡμέτερα. Etiam margo Steph. πάντα τὰ ὑποχ. refert; pro ἑαυτῶν Junt. Ald. Isingr. αὐτοῖς dant, et κομίζουσι antea Aldina. sed ἑαυτῶν εἶναι ex libris suis annotavit Brodæus. Lectionem libri Guelf. prætulit Zeune πάντα τὰ, contra ταῦτα πάντα revocavit Weiske. Quodsi olim in aliquo libro scriptum fuit κομίζουσι, ea lectio mihi cum ταῦτα πάντα melius coire videbatur, ita tamen ut post εἶναι insertum fuisse putem verbum νομίζουσι. Vulgatum denique ordinem οὐχ ἧττον ἑαυτῶν εἶναι cum Zeunio ex libro Guelf. mutavi.

7. μὴ χεῖρον] Guelf. μέχρι, sed correctum; deinde idem liber cum libris Brodæi et margine Steph. πᾶσιν ἡμῖν.

τούς τ' ἂν] Guelf. τούς τε πολεμίους δυνάμεθα καὶ ἄνευ τ. ποιεῖν, ὅσαπερ νῦν σὺν τούτοις. unde vulgatum δυναίμεθα ἄνευ—ἅπερ καὶ νῦν correxi. In Guelf. tamen τε est a correctore additum.

ἢ παρεῖναι ἢ] Guelf. παρεῖναι καὶ ἀπιέναι. Margo Steph. ἰέναι ἢ ἀπιέναι.

εἰ αὐτοὶ] Guelf. καὶ γὰρ, ut libri

ἄνευ τούτων ἀρκοίημεν ἡμῖν αὐτοῖς. Εἶεν. Ταῦτα μὲν 8
δή, οἶμαι, οὐδεὶς ἂν ἀντιγνωμονήσειε, μὴ οὐχὶ τὸ πᾶν
διαφέρειν, τῶν Περσῶν γενέσθαι οἰκεῖον ἱππικόν. Ἀλλ'
ἐκεῖνο ἴσως ἐννοεῖτε, πῶς ἂν τοῦτο γένοιτο. Ἆρ' οὖν σκε-
ψώμεθα, εἰ βουλοίμεθα καθιστάναι ἱππικόν, τί ἡμῖν
ὑπάρχει, καὶ τίνος ἐνδεῖ. Οὐκοῦν ἵπποι μὲν οὗτοι πολ- 9
λοὶ ἐν τῷ στρατοπέδῳ κατειλημμένοι, καὶ χαλινοί, οἷς
πείθονται, καὶ τἄλλα, ὅσα δεῖ ἵπποις ἔχουσι χρῆσθαι.
Ἀλλὰ μὴν καὶ οἷς γε δεῖ ἄνδρα ἱππέα χρῆσθαι ἔχο-
μεν, θώρακας μέν, ἐρύματα τῶν σωμάτων, παλτὰ δέ,
οἷς καὶ μεθιέντες καὶ ἔχοντες χρώμεθ' ἄν. Τί δὴ τὸ 10
λοιπόν; Δηλονότι ἀνδρῶν δεῖ. Οὐκοῦν τοῦτο μάλιστα
ἔχομεν; οὐδὲν γὰρ οὕτως ἡμέτερόν ἐστιν, ὡς ἡμεῖς ἡμῖν
αὐτοῖς. Ἀλλ' ἐρεῖ τις ἴσως, ὅτι οὐκ ἐπιστάμεθα. Μὰ
Δί'· οὐδὲ γὰρ τούτων τῶν ἐπισταμένων νῦν, πρὶν μαθεῖν,
οὐδεὶς ἠπίστατο. Ἀλλ' εἴποι ἄν τις, ὅτι παῖδες ὄντες 11
ἐμάνθανον. Καὶ πότερα παῖδές εἰσι φρονιμώτεροι, ὥστε
μαθεῖν τὰ φραζόμενα καὶ δεικνύμενα, ἢ ἄνδρες; πότε-

Brodæi et margo Steph. unde καὶ γὰρ αὐτοὶ effecit Weiſke.

ἀρκοίημεν] Hoc pro ἀρκοῖμεν dedit Guelf.

8. Εἶεν] Hoc verbum Juntina et Iſingr. omiſit; et poteſt abeſſe non incommode. deinde οἴομαι omiſſo ſequente ἂν Guelf. poſtea γενέσθαι τῶν Περσῶν.

ἴσως] Hoc in margine Guelf. eſt ſcriptum; deinde idem liber γένοιτο ἄν. σκεψώμεθα εἰ.

Ἆρ' οὖν] Qui ſupra ii. 2, 18. ἆρα οὖν dederunt, hic ἆρ' οὖν omnes reliquerant Interpretes.

καθιστάναι] Ita Guelf. miror vulgatum καθιστάναι huc uſque fuiſſe toleratum.

ὑπάρχει] Vulgatum ὑπάρξει, quod inter lineas ſcriptum eſt etiam in Guelf. ex eodem libro, Philelphi verſione et margine Iſingr. correxit Zeune, quanquam obnitente Fiſchero ad Weller. 2. p. 263. et comparante i. 6, 12. διήσονται pro δέονται.

9. ἵπποις] Hoc ex margine Steph. et Guelf. vulgato ἵππους recte ſubſtituit Weiſke; in Codice vulgatum corrector addidit. Verbo χρῆσθαι Edd. pr. γε adjungunt.

χρώμεθ' ἄν] Guelf. omiſit ἄν.

10. Τί δὴ] In Guelf. corrector δεῖ adſcripſit: deinde poſt ἔχομεν pro puncto ſuperiore ſignum interrogationis poſui, quod orationi Cyri ceteræ melius convenire videbatur.

ἐπιστάμεθα] Intellige τὴν ἱππικήν; ſequentia verba μὰ Δία ex libris Brodæi, quibuſcum facit Guelf. addidit Stephanus.

τούτων τῶν] Ex Guelf. τούτων cum Zeunio inſerui: ex eodem libro vulgatum καὶ πότερον οἱ παῖδες—ἢ οἱ ἄνδρες correxi. In ſequenti enim membro ad πότεροι articulus erat neceſſarius, hic vero minus. Sic iterum eſt ὅτῃ οὔτε παισὶν οὔτε ἄλλοις ἀνδράσιν.

ροι δὲ, ἃ ἂν μάθωσιν, ἱκανώτεροι τοῖς σώμασιν ἐκπονεῖν,
12 οἱ παῖδες ἢ οἱ ἄνδρες; Ἀλλὰ μὴν σχολή γε ἡμῖν μανθάνειν, ὅση οὔτε παισὶν οὔτε ἄλλοις ἀνδράσιν· οὔτε γὰρ τοξεύειν ἡμῖν μαθητέον, ὥσπερ τοῖς παισί· προεπιστάμεθα γὰρ τοῦτο· οὔτε μὴν ἀκοντίζειν· ἐπιστάμεθα γὰρ καὶ τοῦτο· ἀλλ' οὐδὲ μὴν, ὥσπερ τοῖς ἄλλοις ἀνδράσι, τοῖς μὲν γεωργίαι ἀσχολίαν παρέχουσι, τοῖς δὲ τέχναι, τοῖς δὲ ἄλλα οἰκεῖα· ἡμῖν δὲ στρατεύεσθαι οὐ μόνον σχολὴ,
13 ἀλλὰ καὶ ἀνάγκη. Ἀλλὰ μὴν οὐχ ὥσπερ ἄλλα πολλὰ τῶν πολεμικῶν, χαλεπὰ μὲν, χρήσιμα δέ· ἱππικὴ δὲ οὐκ ἐν ὁδῷ μὲν ἡδίων, ἢ αὐτοὺς τοῖν ποδοῖν πορεύεσθαι; ἐν δὲ σπουδῇ οὐχ ἡδὺ ταχὺ μὲν φίλῳ παραγενέσθαι, εἰ δέοι, ταχὺ δὲ, εἴτε ἄνδρα εἴτε θῆρα δέοι διώκεσθαι, καταλαβεῖν; Ἐκεῖνο δὲ οὐχὶ εὐπετὲς, τὸ, ὅ τι ἂν δέῃ ὅπλον φέρειν, τὸν ἵππον τοῦτο συμφέρειν; οὐκ-
14 οῦν ταὐτό γ' ἐστὶν ἔχειν τε καὶ φέρειν. Ὅ γε μὴν μάλιστ' ἄν τις φοβηθείη, μὴ, εἰ δεήσει ἐφ' ἵππου κινδυνεύειν πρότερον ἡμᾶς, πρὶν ἀκριβοῦν τὸ ἔργον τοῦτο, κἄπειτα μήτε πεζοὶ ἔτι ὦμεν μήτε πω ἱππεῖς ἱκανοὶ, ἀλλ' οὐδὲ τοῦτο ἀμήχανον· ὅπου γὰρ ἂν βουλώμεθα, ἐξέσται

11. *ἃ ἂν*] Ita Guelf. et Philelphus. vulgatum *ἐὰν* revocavit Weiſke. deinde *σώματι* Guelf.

12. *καὶ τοῦτο*] Zeunio ſuadente *καὶ* huc revocavi, quod vulgo poſt *ὥσπερ* poſitum in Guelf. deeſt plane. Philelphus eodem ordine *καὶ* vertit.

οὐδὲ μὴν] Intellige *ἀσχολίαν παρέχουσιν ἡμῖν*.

13. *Ἀλλὰ μὴν οὐχ*] Modum dicendi ellipticum eſſe ait Zeune pro *ἀλλὰ μὴν οὐχ οὕτως ἡ ἱππική ἐστιν*. Mihi locus vitioſus eſſe et medela egere videbatur, quam tamen afferre non poſſum.

αὐτοὺς τοῖν] Guelf. *αὐτοῖν*, ſupra ſcripto vulgato. deinde *δέοιτο διώκοντα* Edd. pr. *δέοι διώκοντα* Steph. *διώκοντα* in Guelf. etiam corrector dedit.

οὐχὶ] Hoc pro *οὐκ* ex Guelf. dedit Zeune. *εὐπετὲς* eſt *commodum, commoditatem præbens*.

τὸν ἵππον] Guelf. *τὸ δ' ἵππον*. deinde vulgatum *ἔχειν τε καὶ συμφέρειν* ex margine Stephani et Guelf. correxit Zeune. Sed poſterior hæc ſententia obſcurior et minus ſalſa viſa eſt etiam Weiſkio, qui ſenſum ſe hunc eruiſſe dubitanter ponit: *perinde eſſe ſive quis ipſe arma ferat ſive ferenda imponat equo, modo ſecum ſeu ad manum habeat.* Sed totus locus non eſt dignus reliqua Xenophontis facilitate.

14. *μάλιστα*] Guelf. *γε* adjungit, idem deinde *ἡμᾶς πρότερον—τοῦτο ἔργον*.

μήτε πω] Hoc vulgato *μήθ'* ſubſtituit ex Guelf. Zeune.

ἀμήχανον] Huic rei facile eſt me-

ἡμῖν πεζοῖς εὐθὺς μάχεσθαι· οὐδὲν γὰρ τῶν πεζικῶν
ἀπομαθησόμεθα, ἱππεύειν μανθάνοντες. Κῦρος μὲν 15
οὕτως εἶπε· Χρυσάντας δὲ, συναγορεύων αὐτῷ, ὧδε ἔλε-
ξεν·

Ἀλλ᾽ ἐγὼ μὲν, ἔφη, οὕτως ἐπιθυμῶ ἱππεύειν μαθεῖν,
ὡς νομίζω, ἢν ἱππεὺς γένωμαι, ἄνθρωπος πτηνὸς γενέ-
σθαι. Νῦν μὲν γὰρ ἔγωγε ἀγαπῶ, ἤν γ᾽, ἐξ ἴσου τῳ 16
θεῖν ὁρμηθεὶς ἀνθρώπῳ, μόνον τῇ κεφαλῇ προσχῶ, ἄν
τε, θηρίον παραθέον ἰδὼν, δυνηθῶ διατεινάμενος φθά-
σαι, ὥστε ἀκοντίσαι ἢ τοξεῦσαι, πρὶν πάνυ πρόσω αὐτὸ
γενέσθαι. Ἢν δὲ ἱππεὺς γένωμαι, δυνήσομαι μὲν ἄν-
δρα ἐξ ὄψεως μήκους καθαιρεῖν· δυνήσομαι δὲ, θηρία
διώκων, τὰ μὲν ἐκ χειρὸς παίειν καταλαμβάνων, τὰ δὲ
ἀκοντίζειν ὥσπερ ἑστηκότα· καὶ γὰρ, ἐὰν ἀμφότερα τα-
χέα ᾖ, ὅμως δὲ πλησίον γίγνηται ἀλλήλων, ὥσπερ τὰ
ἑστηκότα ἔσται. Ὃ δὲ δὴ μάλιστα δοκῶ ζῶον, ἔφη, 17

deri vel providere: deinde pro πεζικῶν margo Steph. πολεμικῶν habet.

μανθάνοντες] Ex Guelf. hoc vulgato μαθόντες cum Fischero prætuli.

15. ἢν ἱππεὺς] Ita pro ἐὰν Guelf.

πτηνὸς] Duriusculum est quod ex Platonis Reipublicæ libro 5. apposuerunt interpretes πτεροῦν χρὴ παιδία ὄντα εὐθὺς, ἵν᾽, ἄν τι δέῃ, πετόμενοι ἀποφεύγωσι. Πῶς λέγεις; ἔφη· ἐπὶ τοὺς ἵππους, ἦν δ᾽ ἐγὼ, ἀναβιβαστέον ὡς νεωτάτους καὶ διδαξομένους ἱππεύειν etc.

γενέσθαι] Hoc vulgato ἔσεσθαι ex libris Brodæi et Guelf. substituit Zeune; equidem ἂν additum malim, ut futuri ἔσεσθαι vicem possit sustinere.

16. ἀγαπῶ, ἤν γ᾽] Ita cum Juntina liber Guelf. Aldina et Steph. ἀγαπῴην, deinde προσχών. Muretus ἀγαπῴην ἢν πρόσχω corrigebat. ἀνθρώπων dat Guelf.

ἄν τε θηρίον] Libri Guelf. κἂν θηρίον recepit cum Zeunio Weiske. sequens διατεινάμενος pro præsenti tempore libro eidem debetur; postea πόρρω margo Steph.

καθαιρεῖν] Est *consequi et superare*; opponitur enim τῷ ἐξ ἴσου ὁρμηθέντι. Compara Abresch. ad Æschylum tom. ii. p. 42.

ἀκοντίζειν] Ita cum Philelpho Guelf. ἀκοντίζων revocavit Weiske.

ἐὰν ἀμφότερα] Guelf. ἂν ἀμφ. deinde ὅμως δ᾽ ἀπλησία γίγνηται Aldina, ὅμως δὲ πλησία γίγνεται Guelf. Aldinæ γίγνηται cum Stephano Weiske, Juntinæ γένηται Zeune prætulit. Mihi Leonclavii conjectura ὅμως εἰ πλησίον γίνεται unice placet, quanquam inutilis visa Zeunio. *duo enim*, inquit, *corpora, quanquam celeritate æqualia, si tamen consequantur se et vicina sibi fuerint facta, stare videbuntur*. Nunc video etiam Philelphum dedisse: *tamen ubi propius invicem fiant*: καὶ ἐὰν est pro εἰ καὶ, *etsi*, ut apparet ex sequente ὅμως; deinde si ὅμως δὲ verum esset, tum ἀμφότερα μὲν præcedere debebat.

17. Ὃ δὲ δὴ] Guelf. δὴ omittit; Bodl. et Budensis ὧ δὲ δή. idem Budensis deinde sect. 18. οὐκοῦν omittit. Budæi conjecturam ἐγὼ δὲ δὴ recepit Hutchinson. Pro δι᾽ ὃ dictum interpretantur Zeune et Weiske. Mihi

ἐζηλωκέναι ἱπποκενταύρους, εἰ ἐγένοντο, ὥστε προβουλεύεσθαι μὲν ἀνθρώπου φρονήσει, ταῖς δὲ χερσὶ τὸ δέον παλαμᾶσθαι, ἵππου δὲ τάχος ἔχειν καὶ ἰσχὺν, ὥστε τὸ μὲν φεῦγον αἱρεῖν, τὸ δὲ ὑπομένον ἀνατρέπειν· οὐκοῦν πάντα κἀγὼ ταῦτα, ἱππεὺς γενόμενος, συγκομίζομαι
18 πρὸς ἐμαυτόν. Προνοεῖν μέν γε ἕξω πάντα τῇ ἀνθρωπίνῃ γνώμῃ, ταῖς δὲ χερσὶν ὁπλοφορήσω, διώξομαι δὲ τῷ ἵππῳ, τὸν δ᾽ ἐναντίον ἀνατρέψω τῇ τοῦ ἵππου ῥώμῃ. Ἀλλ᾽ οὐ συμπεφυκὼς δεδήσομαι, ὥσπερ οἱ ἱπποκένταυ-
19 ροι· οὐκοῦν τοῦτό γε κρεῖττον, ἢ συμπεφυκέναι. Τοὺς μὲν γὰρ ἱπποκενταύρους οἶμαι ἔγωγε πολλοῖς μὲν ἀπορεῖν τῶν ἀνθρώποις εὑρημένων ἀγαθῶν ὅπως δεῖ χρῆσθαι, πολλῶν δὲ τῶν ἵπποις πεφυκότων ἡδέων πῶς [αὐ-
20 τῶν] χρὴ ἀπολαύειν. Ἐγὼ δὲ, ἢν ἱππεύειν μάθω, ὅταν μὲν ἐπὶ τοῦ ἵππου γένωμαι, τὰ τοῦ ἱπποκενταύρου δήπουθεν διαπράξομαι· ὅταν δὲ καταβῶ, δειπνήσω, καὶ ἀμφιέσομαι, καὶ καθευδήσω, ὥσπερ οἱ ἄλλοι ἄνθρωποι· ὥστε τί ἄλλο ἢ διαιρετὸς ἱπποκένταυρος καὶ πάλιν

ea ratio ineptior videtur quam altera, quam ipſe ſecutus ſum, ut ζῶον ad ὅ pertineat, et in apodoſi nil ſupplendum ſit. Verum in Zeuniana ratione διὰ primum deeſt, in apodoſi vero πάντα ταῦτα refertur ad ὅ ſatis dure.

ζῶον, ἔφη] Guelf. ζῶν ἔφη, in margine ζῶον pro varietate annotato. margo Steph. ζῶον, ἔφη. unde vulgatum ordinem ἔφη, ζῶον mutavi.

εἰ ἐγένοντο] Intellige τοιοῦτοι; ita recte ὥστε ſequetur, quod in vulgari interpunctione, ubi poſt ἐγένοντο ſuperius punctum adeſt, unde pendeat, interpretes non dixerunt.

οὐκοῦν πάντα] Vulgo majore diſtinctione hæc a præcedentibus ſeparata ſectionem 18. exordiebantur, quæ tamen apodoſin ſententiæ totius continent; ita tamen ut, quod fieri ſolet poſt longiorem parentheſin, verba initio non accurate reſpondeant. Ceterum Guelf. ταῦτα πάντα καὶ ἐγὼ habet ſcriptum.

συγκομίζομαι] Stephanus συγκομίσομαι præferebat, me aſſentiente.

18. μέν γε] Mihi ſententia γὰρ poſtulare videbatur; τῇ ἀνθρωπίνῃ, omiſſo intermedio ἐμῇ, quod eſt in Edd. pr. et Bodl. cum Philelpho Guelf. πάντα τῇ ἐμῇ ἀνθρ. dedit Stephanus.

δὲ τῷ] Guelf. δὲ omiſit; deinde τὸν ἀντίον ubi corrector δὲ inſeruit. ἀνατρέψω idem dedit in locum vulgaris ἀνατρέψομαι.

19. πεφυκότων ἡδέων] Ita cum Guelf. Zeune; vulgo ordo invertitur verborum; deinde αὐτῶν ut inutile et moleſtum ſecluſi, et comma poſt ἡδέων ſuſtuli. Ceterum vulgatum πολλοῖς δὲ τῶν Hutchinſon auctoritate Editionum quarundam, quas tamen non nominavit, primus correxit.

20. δήπουθεν] Ita cum Guelf. Zeune pro δήπου.

σύνθετος γίγνομαι; Ἔτι δ', ἔφη, καὶ τοῖσδε πλεονεκ- 21
τήσω τοῦ ἱπποκενταύρου· ὁ μὲν γὰρ δυοῖν ὀφθαλμοῖν
προεωρᾶτο, καὶ δυοῖν ὤτοιν ἤκουεν· ἐγὼ δὲ τέτταρσι μὲν
ὀφθαλμοῖς τεκμαροῦμαι, τέτταρσι δὲ ὠσὶ προαισθήσο-
μαι· πολλὰ γάρ φασιν ἀνθρώποις καὶ ἵππον τοῖς ὀφ-
θαλμοῖς προορῶντα δηλοῦν, πολλὰ δὲ τοῖς ὠσὶ προα-
κούοντα σημαίνειν. Ἐμὲ μὲν οὖν, ἔφη, γράφε τῶν ἱπ-
πεύειν ὑπερεπιθυμούντων. Νὴ Δί', ἔφασαν οἱ ἄλλοι
πάντες, καὶ ἡμᾶς γε. Ἐκ τούτου δὴ ὁ Κῦρος λέγει· 22
Τί οὖν; ἔφη, ἐπεὶ σφόδρα ἡμῖν ταῦτα δοκεῖ, εἰ καὶ νόμον
ἡμῖν αὐτοῖς ποιησαίμεθα, αἰσχρὸν εἶναι, οἷς ἂν ἵππους
ἐγὼ πορίσω, ἄν τις φανῇ πεζῇ ἡμῶν πορευόμενος, ἐάν τε
πολλὴν, ἐάν τε ὀλίγην ὁδὸν δέῃ διελθεῖν; ἵνα καὶ παν-
τάπασιν ἱπποκενταύρους οἴωνται ἡμᾶς οἱ ἄνθρωποι εἶναι.
Ὁ μὲν οὕτως ἐπήρετο· οἱ δὲ πάντες συνεπήνεσαν· ὥστε 23
ἔτι καὶ νῦν ἐξ ἐκείνου οὕτω χρῶνται Πέρσαι, καὶ οὐδεὶς ἂν
τῶν καλῶν κἀγαθῶν ἑκὼν ὀφθείη Περσῶν οὐδαμοῦ πε-
ζὸς ἰών. Οἱ μὲν δὴ ἐν τούτοις τοῖς λόγοις ἦσαν.

γίγνομαι] Æmilii Porti *γίγνωμαι* nemo facile admirabitur.

21. *τοῖσδε*] Ita liber Philelphi et Guelf. pro *τόδε*; margo Steph. *τῷδε* refert.

τεκμαροῦμαι] Guelf. *τεκμηροῦμαι—ὠσὶν αἰσθήσομαι.*

φασὶν ἀνθρώποις] Guelf. *φασὶ καὶ ἵππον ἀνθρώπου τοῖς ὀφθ.—ὠσὶν ἀκούοντα.* Juntina *φασὶν ἀνθρώπου καὶ ἵππον.* sed Caftal. et Bryl. *ἀνθρώπῳ.* Aldina, Philel. et Stephanus noftram lectionem dederunt.

μὲν οὖν] Guelf. *οὖν* omifit; fequens *ὑπερεπιθυμούντων* pro fimplice *ἐπιθυμ.* dedit liber Philelphi cum margine Stephani et Guelf.

Νὴ Δί', *ἔφασαν*] Ex Guelf. *νὴ τὸν Δί', ἔφησαν* dedit Zeune.

22. *ὁ Κῦρος λέγει*] Vulgatum *ἔφη ὁ Κῦρος* propter fequens *ἔφη* merito ex Guelf. correxit Zeune.

ἡμῖν ταῦτα] Guelf. *δοκεῖ ταῦτα* recepit Zeune: *πᾶσιν ἡμῖν* expreffit Philelphus. deinde *ἦ καὶ* Guelf. *num etiam* Philelphus

ποιησαίμεθα] Ita libri Brodæi, Philelphi et Guelf. pro *πορισαίμεθα*, quod inter lineas etiam in Guelf. fcriptum exftat.

ἄν τις] Guelf. *ἤν τις—ἤν τε—ἤν τε—ἡμᾶς οἴωνται.*

23. *συνεπήνεσαν*] Margo Steph. Leoncl. *συνήνεσαν.*

χρῶνται] Scilicet *τῷ νόμῳ.* Ceterum *οὕτω* poft Πέρσαι cum Guelf. collocavit Zeune. Idem liber deinde *οὐδαμῇ.*

CAP. IV.

Captivi ut contineantur sub imperio, dimittuntur liberi.

ἩΝΙΚΑ δ᾽ ἦν ἔξω μέσου ἡμέρας, προσήλαυνον οἱ Μῆδοι ἱππεῖς καὶ οἱ Ὑρκάνιοι, ἵππους τε ἄγοντες αἰχμαλώτους καὶ ἄνδρας· ὅσοι γὰρ τὰ ὅπλα παρεδίδοσαν, οὐκ
2 ἀπέκτεινον. Ἐπεὶ δὲ προσήλασαν, πρῶτον μὲν αὐτῶν ἐπυνθάνετο ὁ Κῦρος, εἰ σῶοι πάντες εἶεν αὐτῷ· ἐπεὶ δὲ τοῦτ᾽ ἔφασαν, ἐκ τούτου ἠρώτα, ὅ τι ἔπραξαν. Οἱ δὲ διηγοῦντο, ἅπερ ἐποίησαν, καὶ ὡς ἀνδρείως ἕκαστα,
3 ἐμεγαληγόρουν. Ὁ δὲ διήκουε πάντα ἡδέως, ὅσα ἐβούλοντο λέγειν· ἔπειτα δὲ καὶ ἐπῄνεσεν αὐτοὺς οὕτως· Ἀλλὰ καὶ δῆλοί τοι, ἔφη, ἐστὲ, ὡς ἄνδρες ἀγαθοὶ ἐγένεσθε· καὶ γὰρ μείζους φαίνεσθε, καὶ καλλίους, καὶ
4 γοργότεροι, ἢ πρόσθεν, ἰδεῖν. Ἐκ δὲ τούτου ἐπυνθάνετο ἤδη αὐτῶν, καὶ ὁπόσην ὁδὸν διήλασαν, καὶ εἰ οἰκοῖτο ἡ χώρα. Οἱ δ᾽ ἔλεγον, ὅτι καὶ πολλὴν διελάσειαν, καὶ πᾶσα οἰκοῖτο ἡ χώρα, καὶ μεστὴ εἴη καὶ οἰῶν, καὶ αἰγῶν, καὶ βοῶν, καὶ ἵππων, καὶ σίτου, καὶ πάντων ἀγαθῶν. Δυοῖν ἂν, ἔφη, ἐπιμελητέον ἡμῖν εἴη, ὅπως τε κρείττους ἐσόμεθα τῶν ἐχόντων αὐτὰ, καὶ ὅπως αὐτοὶ

1. *μέσου ἡμέρας*] Edd. pr. *μέσον* margo Steph. cum Guelf. *δ᾽ ἔξω μέσου ἡμέρα ἐγένετο.* libri Brodæi *ἐγένετο ἔξω μέσον ἡμέρα.* Zonaras *ἤδη δὲ ὑπερμεσούσης ἡμέρας* dixit.

οἱ Ὑρκάνιοι] Articulum omiſit Guelf. et deinde *κατέκαινον* pro vulgato *ἀπέκτεινον* dedit.

2. *σῶοι πάντες εἶεν αὐτῷ*] Guelf. *σωθεῖεν πάντες αὐτῶν—τί ἔπραξαν—ἅ τ᾽ ἐποίησαν.*

3. *διήκουε πάντα ἡδέως*] Guelf. libri lectionem *διηκούετο ἡδέως πάντων ὅσα ἠβ.* recepit cum Zeunio Weiſke. Media forma verbi in hoc tempore mihi inaudita eſt, nec convenit, quod comparabat Zeune, Atticum *ἀκούσομαι* futurum tempus. Videtur *διήκουέ τε* fuiſſe, quod mutarunt, qui in altero membro *καὶ* ex more non ſequi ſed *δὲ* videbant.

δῆλοί τοι] Ex Guelf. *τοι* additum, idem liber *ὅτι ἄνδρες.*

4. *ἐπυνθάνετο ἤδη*] Edd. pr. *ἤδη* omittunt, ex libris Brodæi, cum quo facit Guelf. addidit Stephanus: deinde *ὁπόσην* pro *πόσην* dedit Guelf.

οἰκοῖτο] Editio Bryl. et Halenſis *οἰκεῖτο.* ſequens *διελάσειαν* pro Edd. pr. *δὴ ἐλάσειαν* dederunt libri Brodæi, Bodl. Guelf.

καὶ οἰῶν] Guelf. cum Philelpho *εἴη ὑῶν*, omiſſa copula.

5. *Δυοῖν ἂν*] Eſt *ἂν* pro *οὖν* dictum, ut in *ὥρα ἂν εἴη*, de quo ad i. 4, 13.

ἐχόντων αὐτὰ] Guelf. *αὐτὰ ἐχόντων—οὗτοι μενοῦσιν—πολὺ ἄξιον.* unde *μενοῦσιν* in locum vulgaris *μένωσιν* fuit

μενοῦσιν· οἰκουμένη μὲν γὰρ χώρα πολλοῦ ἄξιον κτῆμα·
ἐρήμη δ' ἀνθρώπων οὖσα, ἐρήμη καὶ τῶν ἀγαθῶν γί-
γνεται. Τοὺς μὲν οὖν ἀμυνομένους οἶδα, ἔφη, ὅτι ἀπεκ- 6
τείνατε, ὀρθῶς ποιοῦντες· τοῦτο γὰρ μάλιστα σώζει τὴν
νίκην· τοὺς δὲ παραδιδόντας [τὰ ὅπλα] αἰχμαλώτους
ἠγάγετε· οὓς εἰ ἀφείημεν, τοῦτ' αὖ σύμφορον ἂν, ὡς ἐγώ
φημι, ποιήσαιμεν. Πρῶτον μὲν γὰρ νῦν οὐκ ἂν φυλάτ- 7
τεσθαι οὐδὲ φυλάττειν τούτους ἡμᾶς δέοι, οὐδ' αὖ σιτο-
ποιεῖν τούτοις· (οὐ γὰρ λιμῷ γε δήπου ἀποκτενοῦμεν αὐ-
τοὺς) ἔπειτα δὲ [καὶ] τούτους ἀφέντες, πλείοσιν αἰχ-
μαλώτοις χρησόμεθα. Ἐὰν γὰρ κρατῶμεν τῆς χώρας, 8
ἅπαντες ἡμῖν οἱ ἐν αὐτῇ οἰκοῦντες, αἰχμάλωτοι ἔσονται·
μᾶλλον δὲ τούτους ζῶντας ἰδόντες καὶ ἀφεθέντας μενοῦ-
σιν οἱ ἄλλοι, καὶ πείθεσθαι αἱρήσονται μᾶλλον ἢ μά-
χεσθαι. Ἐγὼ μὲν οὖν οὕτω γιγνώσκω· εἰ δ' ἄλλο τις
ὁρᾷ ἄμεινον, λεγέτω. Οἱ δὲ ἀκούσαντες συνῄνουν ταῦτα 9
ποιεῖν. Οὕτω δὴ ὁ Κῦρος καλέσας τοὺς αἰχμαλώτους
λέγει τάδε· Ἄνδρες, ἔφη, νῦν τε, ὅτι ἐπείθεσθε, τὰς 10

ut a Stephano ex libris Brodæi ſubſtituſum.

6. οἶδα, ἔφη] Guelf. ἔφη, οἶδα, κατεκαίνετε. quod recepit Zeune.

[τὰ ὅπλα]] Hæc verba ſcripta in libro ſuo expreſſit Philelphus et addenda cenſuit Leonclavius, cui paruit Welſius et Hutchinſonus, ἑαυτοὺς contra addebat Stephanus.

ἠγάγετε] Ita cum Philelpho Guelf. vulgo eſt ἐλάβετε, quod defendit Zeune.

ἀφείημεν] Ita pro ἀφίεμεν Guelf. cum Philelpho, qui ejuſdem libri τοῦτ' αὐτὸ expreſſit, quod et mihi probatur.

7. τούτους ἡμᾶς] Ordinem invertit Guelf. ſequens οὐδ' αὖ pro οὐδ' ἂν ex Philelphi verſione, Caſtal. Bryl. et Argent. dedit Zeune.

τούτοις] Ita cum Zeuniana libri Brodæi et Bodl. pro τούτους Edd. pr.

οὐ γὰρ] Guelf. οὐ γὰρ δὴ λιμῷ γε δήπου κατακαινοῦμεν—ἔπειτα δὲ τούτους. unde κατακανοῦμεν dedit Zeune, qui libri ejuſdem οὐ γὰρ δὴ ſuſpicatur poſitum eſſe pro οὐ γάρ τοι. Equidem ejuſdem auctoritate confiſus καὶ ſecluſi.

8. Ἐὰν] Guelf. Ἢν—πάντες ἡμῖν. ex eodem eſt ſequens ἐν αὐτῇ pro ἐν ταύτῃ receptum.

μενοῦσιν οἱ ἄλλοι] Ita cum Guelf. pro μενοῦσι καὶ οἱ ἄλλοι ſcripſi.

ἄλλο τις] Ita cum Aldina et Bodl. Hutchinſon et Weiſke. ἄλλος τις Junt. Iſingr. Philelphus et Steph. ἄλλος τις—ἀμείνονα Guelf. ἄλλα τὶς ἀμείνονα libri Brodæi. Vulgatum ἄλλος τις ὁρᾷ ἄμεινον defendebat Zeune comparato loco Anabaſeos iii. 2, 25. εἰ μὲν οὖν ἄλλος τις βέλτιον ὁρᾷ.

9. τάδε] Guelf. τοιάδε cum Philelpho. deinde ἐπίθεσθε malebat ſcriptum Stephanus: poſtea pro κακὸν ἔσται Zonaras καινὸν ἔσται ſcriptum

ψυχὰς περιεποιήσασθε· τοῦ τε λοιποῦ, ἢν οὕτω ποιῆτε,
οὐδ᾽ ὁτιοῦν κακὸν ἔσται ὑμῖν ἀλλ᾽, ἢ οὐχ ὁ αὐτὸς ἄρξει
ὑμῶν, ὅσπερ καὶ πρότερον· οἰκήσετε δὲ τὰς αὐτὰς οἰ-
κίας, καὶ χώραν τὴν αὐτὴν ἐργάσεσθε, καὶ γυναιξὶ ταῖς
αὐταῖς συνοικήσετε, καὶ παίδων τῶν ὑμετέρων ἄρξετε,
11 ὥσπερ νῦν. Ἡμῖν μέντοι οὐ μαχεῖσθε, οὐδὲ ἄλλῳ οὐ-
δενί· ἡνίκα δ᾽ ἄν τις ὑμᾶς ἀδικῇ, ἡμεῖς ὑπὲρ ὑμῶν μα-
χούμεθα· Ὅπως δὲ μηδ᾽ ἐπαγγέλλῃ μηδεὶς ὑμῖν στρα-
τεύειν, τὰ ὅπλα πρὸς ἡμᾶς κομίσατε· καὶ τοῖς μὲν κο-
μίζουσιν ἔσται εἰρήνη, καὶ ἃ λέγομεν, ἀδόλως· ὁπόσοι δ᾽
ἂν τὰ πολεμικὰ μὴ ἀποτίθωνται ὅπλα, ἐπὶ τούτους
12 ἡμεῖς καὶ δὴ στρατευσόμεθα. Ἐὰν δέ τις ὑμῶν, καὶ
ἰὼν ὡς ἡμᾶς εὐνοϊκῶς καὶ πράττων τι καὶ διδάσκων
φαίνηται, τοῦτον ἡμεῖς ὡς εὐεργέτην καὶ φίλον, οὐχ ὡς
δοῦλον, περιέψομεν. Ταῦτ᾽ οὖν, ἔφη, αὐτοί τε ἴστε, καὶ
13 τοῖς ἄλλοις διαγγέλλετε. Ἂν δ᾽ ἄρα, ἔφη, ὑμῶν βου-
λομένων ταῦτα, μὴ πείθωνταί τινες, ἐπὶ τούτους ἡμᾶς
ἄγετε, ὅπως ὑμεῖς ἐκείνων, μὴ ἐκεῖνοι ὑμῶν ἄρχωσιν. Ὁ

olim legiſſe videtur. Ita enim ſententiam loci retulit: *ἓν γάρ τι καινὸν ἔσται ὑμῖν, ὅτι οὐχ ὁ αὐτὸς ὑμῶν ἄρξει —πρότερον. τὰ δ᾽ ἄλλα τὰ αὐτὰ ἔσται πάντα ὑμῖν.*

10. *ὅσπερ καὶ*] Male Philel. liber, Guelf. Caſtal. Bryl. Argent. Hutchinſoniana Editio *ὥσπερ καί.* Cf. ii. 3, 11. et viii. 6, 7.

συνοικήσετε] Juntina, Iſingr. *συνοικήσεσθε.*

11. *οὐδενί· ἡνίκα δ᾽ ἄν τις*] Margo Steph. *οὐδενί· ἡνίκα δ᾽ ἄν τις.* Guelf. *οὐδὲ ἄλλῳ· ἡνίκα δ᾽ ἄν τις ὑμᾶς ἀδικῇ.* unde vulgatum *οὐδενί· ἂν δὲ καὶ ἄλλος ὑμᾶς* correxi.

δὲ μηδ᾽] Edd. pr. *δὲ* omittunt: *δὲ μὴ* Caſtal. Bryl. Argent. Noſtrum ex Bodl. et Philelpho dedit primus Hutchinſon. In Guelf. eſt *ὡς δ᾽ ἐπαγγελθῇ τις ἡμῖν στρατιά.* in quo ſcriptura *ὅπως δὲ μηδ᾽ ἐπαγγελθῇ τις ὑμῖν στρατιὰ* latere videtur.

εἰρήνη] Philelphus *εἰρήνη τε καὶ ἄλλα ἃ λέγομεν* ſcriptum in Codice ſuo vertit.

ἀποτίθωνται] Libri Brodæi, Philelphi et Guelf. *ἀποφέρωσι*, inter lineas Guelf. *ἀναφέρωσι.*

καὶ δὴ] Edd. pr. *καὶ δεῖ.* quod correxit Brodæus, *καὶ ἤδη* malebat ſcriptum Mure.us, *καὶ ἡμεῖς δὴ* Weiſke. *καὶ δὴ* eſt pro *ἤδη*, ſolenne Xenophonti.

12. *Ἐὰν*] Guelf. *Ἂν.* deinde *φανῆται* Edd. pr.

περιέψομεν] Ita Philelphus cum Bodl. etiam legit ſcriptum, *fovebimus* vertens. *περιόψοιμεν* Guelf. cum Edd. pr. *περιέψοιμεν* Stephanus dedit, magis tamen et ipſe noſtram lectionem probans.

13. *Ἂν δ᾽ ἄρα*] Guelf. *Ἢν δ᾽ ἄρα— ἡμῶν βουλ.* etiam Stephanus *ἡμῶν β.* dedit.

ὑμεῖς ἐκείνων] Ita Philel. Caſtal.

μὲν δὴ ταῦτ' εἶπεν· οἱ δὲ προσεκύνησάν τε καὶ ταῦτα ἔφασαν ποιήσειν.

CAP. V.

ΕΠΕΙ δὲ ἐκεῖνοι ᾤχοντο, ὁ Κῦρος εἶπεν· Ὥρα δὴ, ὦ Μῆδοί τε καὶ Ἀρμένιοι, δειπνεῖν πᾶσιν ἡμῖν· παρεσκεύασται δὲ ὑμῖν τὰ ἐπιτήδεια, ὡς ἡμεῖς βέλτιστα ἠδυνάμεθα. Ἀλλ' ἴτε, καὶ ἡμῖν πέμπετε τοῦ πεποιημένου σίτου τὸν ἥμισυν· ἱκανὸς δὲ ἀμφοτέροις πεποίηται· ὄψον δὲ μὴ πέμπετε, μηδὲ πιεῖν· ἱκανὰ γὰρ ἔχομεν παρ' ἡμῖν αὐτοῖς παρεσκευασμένα. Καὶ ὑμεῖς δὲ, ἔφη, ὦ Ὑρκά- 2
νιοι, διάγετε αὐτοὺς ἐπὶ τὰς σκηνὰς, τοὺς μὲν ἄρχοντας ἐπὶ τὰς μεγίστας, (γιγνώσκετε δὲ) τοὺς δ' ἄλλους ὡς ἂν δοκῇ κάλλιστα ἔχειν· καὶ αὐτοὶ δὲ δειπνεῖτε, ὅπουπερ ἥδιστον ὑμῖν· σῶαι μὲν γὰρ ὑμῖν καὶ ἀκέραιοι αἱ σκηναί· παρεσκεύασται δὲ καὶ ἐνθάδε, ὥσπερ καὶ τούτοις. Τοῦτο δ' ἴστε ἀμφότεροι, ὅτι τὰ μὲν ἔξω ὑμῖν ἡμεῖς νυκ- 3
τοφυλακήσομεν, τὰ δ' ἐν ταῖς σκηναῖς αὐτοὶ ὁρᾶτε, καὶ τὰ ὅπλα εὖ τίθεσθε· οἱ γὰρ ἐν ταῖς σκηναῖς οὔπω

Cœna sumitur et castra custodiuntur.

Bryl. Argent. margo Steph. pro ἡμεῖς—ἡμῶν. Guelf. ὑμεῖς ἐκείνων μὴ ὑμεῖς ὑπ' ἐκείνων ἄρχησθε. ubi latere suspicor ἄρχητε, quod vulgari lectioni ἄρχωσι substitutum malim.

μὲν δὴ] Ex Guelf. δὴ additum: deinde Guelf. cum Philelpho et margine Steph. προσεκύνουν τε καὶ ὑπισχνοῦντο ταῦτα ποιήσειν.

1. Μῆδοί τε] Ex Zonara τε addidit Zeune: deinde πᾶσιν ὑμῖν Guelf. cum Philelphi libro. postea ὦ βέλτιστοι inepte cum Zonara Guelf. sed ex eodem Zonara vulgatum ἐδυνάμεθα correxit Zeune.

πεποιημένου] Guelf. πεπονημένου· ex eodem vulgatum τὸ ἥμισυ correxit Zeune. deinde ἱκανὸν—παρεσκευασμένον Guelf.

2. δ' ἔφη] Guelf. cum Zonara δὲ ὦ Ὑρκάνιοι, ἔφη. deinde διάγετε cum libris Gabrielis Bodl. Guelf. margo Stephanianæ, quod recte præferebat Stephanus vulgato διαγάγετε.

ὅπουπερ] Ita pro ὅπου Guelf. et libri Brodæi. Verba σῶαι μὲν γὰρ ὑμῖν in Edd. pr. omissa primus restituit Brodæus. καὶ γὰρ ἀκέραιοι dedit Stephanus omissis prioribus et in marginem rejectis, quæ exstant in Guelf. Philel. Budensi, et Zonara. καὶ αἱ σκηναὶ Guelf.

καὶ ἐνθάδε] Philelphus ὑμῖν ἐνθάδε scriptum vertit; rectius.

3. Τοῦτο δ'] Guelf. καὶ τοῦτο δέ. deinde τὰ ὅπλα ἐντίθεσθε correctum in Guelf. quæ erat vulgaris ante Zeunium lectio, qui veram ex Philelphi libro, Castal. Bodl. et Guelf. restituit.

οὔπω] Ita cum Philel. Castal. Brodæi libris Steph. οὕτω Edd. pr. οὗτοι Guelf.

4 φίλοι ἡμῖν. Οἱ μὲν δὴ Μῆδοι καὶ οἱ ἀμφὶ Τιγράνην
ἐλοῦντο, καὶ ἱμάτια (ἦν γὰρ παρεσκευασμένα) μεταλα-
βόντες ἐδείπνουν· καὶ οἱ ἵπποι αὐτοῖς εἶχον τὰ ἐπιτήδεια·
καὶ τοῖς Πέρσαις διέπεμπον τῶν ἄρτων ἑκάστοις τοὺς
ἡμίσεις· ὄψον δὲ οὐκ ἔπεμπον οὐδὲ οἶνον, οἰόμενοι ἔχειν
τοὺς ἀμφὶ Κῦρον, ὅτι ἔφη ἄφθονα ταῦτα ἔχειν. Ὁ δὲ
Κῦρος [ταῦτα] ἔλεγεν ὄψον μὲν τὸν λιμὸν, πιεῖν δ' ἀπὸ
5 τοῦ παραῤῥέοντος ποταμοῦ. Ὁ μὲν οὖν Κῦρος δειπνίσας
τοὺς Πέρσας, ἐπεὶ συνεσκότασε, κατὰ πεμπάδας καὶ
κατὰ δεκάδας πολλοὺς αὐτῶν διέπεμψε· καὶ ἐκέλευσε
κύκλῳ τοῦ στρατοπέδου κρυπτεύειν, νομίζων ἅμα μὲν
φυλακὴν ἔσεσθαι, ἐάν τις ἔξωθεν προσίῃ, ἅμα δὲ, ἐάν
τις ἔξω χρήματα φέρων ἀποδιδράσκῃ, ἁλώσεσθαι αὐ-
τόν· καὶ ἐγένετο οὕτως· πολλοὶ μὲν γὰρ ἀπεδίδρασκον,
6 πολλοὶ δὲ ἑάλωσαν. Ὁ δὲ Κῦρος τὰ μὲν χρήματα τοὺς
λαβόντας εἴα ἔχειν, τοὺς δὲ ἀνθρώπους ἐκέλευσεν ἀπο-
σφάξαι· ὥστε τοῦ λοιποῦ οὐδὲ βουλόμενος ἂν εὗρες ῥᾳ-

4. ἐλοῦντο] Bodl. et Guelf. ἐλούοντο. deinde verba ἦν γὰρ παρεσκευασμένα post ἐλοῦντο vulgo collocata, quasi balinea arte fuerint parata, cum liceret in fluvio vicino lavari, recte retraxit Weiske. Vestes enim puras unde sumserint in castris milites, lectoris intererat scire.

ἵπποι αὐτοῖς] Ita pro αὐτῶν ex Guelf. Zeune. deinde δὲ ἔπεμπον idem liber omisso ἑκάστοις.

[ταῦτα] ἔλεγεν] Guelf. ταῦτα omittit, quod mihi etiam melius abesse videbatur; igitur seclusi; sed præterea deest, quod τῷ πιεῖν respondeat vocabulum, ut τὸν λιμὸν respondet τῷ ὄψον; itaque πιεῖν δὲ τὸ ἀπὸ—ποταμοῦ ὕδωρ a Xenophonte scriptum fuisse suspicor.

5. δειπνίσας] Male Junt. Guelf. δειπνήσας. deinde συνεστηκότας εἶδε liber Brodæi et Guelf. sed συνεσκότασε est *contenebravit.* ante id verbum vulgo ἐπειδὴ legitur, quod ex Guelf. correxi.

διέπεμψε] Ita Guelf. cum Zonara pro διέπεμπε. paulo ante margo Leoncl. πεντάδας et πεμπτάδας refert.

τοῦ στρατοπέδου] Ex Guelf. τὸ στρατόπεδον retulit et κρύπτειν vulgatum pro κρύπτεσθαι interpretatus est Zeune, simul Zonaræ locum comparans: ὁ δὲ Κῦρος πολλοὺς τῶν Περσῶν διέπεμψε κύκλῳ τηρεῖν τὸ στρατόπεδον etc. unde τηρεῖν hoc loco olim fuisse lectum suspicari possis. Sed verum κρυπτεύειν ex Guelf. annotavit Fischer, corrector tamen in vulgatum κρύπτειν mutavit.

ἐάν τις] Guelf. bis ἄν τις habet; deinde ἔξω φέρων χρ. ἀποδιδράσκει. postea προσίοι Edd. pr.

πολλοὶ] Anaphoram esse ita intelligendam monuit Weiske, ut quicunque fuga elabi conati fuerint, omnes capti sint.

6. ἐκέλευσεν] Ordinem inversum ex Guelf. ἀποσφάξαι ἐκ. recepit Zeune. idem liber deinde εὕρετο dat.

δίως τὸν νύκτωρ πορευόμενον. Οἱ μὲν δὴ Πέρσαι οὕτω 7
διῆγον· οἱ δὲ Μῆδοι καὶ ἔπινον, καὶ εὐωχοῦντο, καὶ ηὐ-
λοῦντο, καὶ πάσης εὐθυμίας ἐνεπίμπλαντο· πολλὰ γὰρ
καὶ τοιαῦτα ἑάλω, ὥστε μὴ ἀπορεῖν ἔργου τοὺς ἐγρηγο-
ρότας.

Ὁ δὲ Κυαξάρης, ὁ τῶν Μήδων βασιλεὺς, τὴν μὲν νύκ- 8
τα, ἐν ᾗ ἐξῆλθεν ὁ Κῦρος, αὐτός [τε] ἐμεθύσκετο μεθ'
ὧνπερ ἐσκήνου, ὡς ἐπ' εὐτυχίᾳ, καὶ τοὺς ἄλλους δὲ Μή-
δους ᾤετο παρεῖναι ἐν τῷ στρατοπέδῳ, πλὴν ὀλίγων,
ἀκούων θόρυβον πολύν· οἱ γὰρ οἰκέται τῶν Μήδων, ἅτε
τῶν δεσποτῶν ἀπεληλυθότων, ἀνειμένως καὶ ἔπινον καὶ
ἐθορύβουν, ἄλλως τε καὶ ἐκ τοῦ Ἀσσυρίου στρατεύματος
καὶ οἶνόν καὶ ἄλλα πολλὰ τοιαῦτα εἰληφότες. Ἐπεὶ 9
δὲ ἡμέρα ἐγένετο, καὶ ἐπὶ θύρας οὐδεὶς ἧκε, πλὴν οἵπερ
καὶ συνεδείπνουν, καὶ τὸ στρατόπεδον κενὸν ἤκουεν εἶναι
τῶν Μήδων καὶ τῶν ἱππέων, ἑώρα δ', ἐπεὶ ἐξῆλθεν, οὕ-
τως ἔχοντα· ἐνταῦθα δὴ ἐβριμοῦτό τε τῷ Κύρῳ καὶ τοῖς
Μήδοις, τῷ καταλιπόντας αὐτὸν ἔρημον οἴχεσθαι· καὶ
εὐθὺς, ὥσπερ λέγεται ὠμὸς εἶναι καὶ ἀγνώμων, κελεύει
τῶν παρόντων τινὰ, λαβόντα τοὺς παρ' ἑαυτῷ ἱππέας,

Cyaxares, cognito ſuorum diſceſſu iratus, mittit, qui confeſtim illos redire jubeat: ſed Cyrus nuntium retinere ſtudet.

7. καὶ ἔπινον] Guelf. ἔπινον καὶ ἥδοντο καὶ πάσης. corrector poſt ἥδοντο inſeruit καὶ ηὐλοῦντο. Etiam margo Steph. ἔπινον καὶ ἥδοντο καὶ πάσης refert neſcio unde. Junt. Iſingr. ἐπιθυμίας dant.

τοιαῦτα] Guelf. τὰ τοιαῦτα ἧλω. ſed margo ἑάλω dat, quam formam Thomas Atticam eſſe negat.

ἔργου] Libri Brodæi et Guelf. ἔργῳ, *ut non deeſſet, quo ſe oblectarent.*

8. ἐν ᾗ] In Guelf. corrector ἐν addidit, deinde τε poſt αὐτὸς, poſtea μεθ' ὧνπερ ἐσκήνου in vulgatum μεθ' ὧν παρεσκήνου mutavit, quod equidem correxi.

ὡς ἐπ'] Junt. οὕτως ἐπ'. deinde ὡς ᾤετο Edd. pr. præter Caſtal.

ἀπεληλυθότων] Guelf. ἀπελθόντων ἀνειμένως ἔπινον—καὶ ἄλλα πολλὰ εἰληφότες, omiſſo τοιαῦτα, quod nemo deſideret.

9. θύρας] Male Guelf. θύραις—καὶ στρατόπεδον ἤκουε κενὸν εἶναι. deinde margo Leoncl. 3. ἵππων annotavit. Καὶ ante συνεδείπνουν omiſit Philelphus.

ἑώρα δ', ἐπεὶ] Juntina δὲ omiſit; καὶ ἑώρα Guelf. ex quo ἐπειδὴ dedit Zeune.

τῷ καταλιπόντας] Aldina τὸ dedit.

λέγεται εἶναι] Muretus ἦν ſcriptum malebat; εἶναι eſſe ſenſu perfecti poſitum monuit Zeune: deinde καὶ ante ἀγνώμων corrector demum addidit in Guelf. ubi poſtea legitur τῶν παρόντων κελεύει—τοὺς ἑαυτοῦ.

πορεύεσθαι ὡς τάχιστα πρὸς τὸ ἀμφὶ Κῦρον στράτευμα,
10 καὶ λέγειν τάδε· Ὤμην μὲν ἔγωγε, οὐδ' ἄν σε, ὦ Κῦρε,
οὕτως ἀπρονοήτως περὶ ἐμοῦ βουλεύεσθαι· εἰ δὲ Κῦρος
οὕτω γιγνώσκοι, οὐκ ἂν ὑμᾶς γε, ὦ Μῆδοι, ἐθελῆσαι
οὕτως ἔρημον ἐμὲ καταλιπεῖν. Καὶ νῦν, ἐὰν μὲν Κῦ-
ρος βούληται· εἰ δὲ μὴ, ὑμεῖς γε τὴν ταχίστην πάρ-
11 εστε. Ταῦτα δὴ ἐπέστελλεν. Ὁ δὲ τασσόμενος πο-
ρεύεσθαι ἔφη, Καὶ πῶς, ὦ δέσποτα, ἐγὼ εὑρήσω ἐκεί-
νους; Πῶς δὲ Κῦρος, ἔφη, καὶ οἱ σὺν αὐτῷ, ἐφ' οὓς ἐπο-
ρεύοντο; Ὅτι νὴ Δί', ἔφη, ἀκούω ἀφεστηκότας τῶν πολε-
μίων Ὑρκανίους τινὰς, καὶ ἐλθόντας δεῦρο, οἴχεσθαι
12 ἡγουμένους αὐτῶν. Ἀκούσας ταῦτα ὁ Κυαξάρης, πολὺ
μᾶλλον ἔτι τῷ Κύρῳ ὠργίζετο, τῷ μηδ' εἰπεῖν αὐτῷ ταῦ-
τα· καὶ πολλῇ σπουδῇ μᾶλλον ἔπεμπεν ἐπὶ τοὺς Μή-
δους, ὡς ψιλώσων αὐτόν· καὶ ἰσχυρότερον ἔτι ἢ πρόσθεν
τοῖς Μήδοις ἀπειλῶν ἀπεκάλει· καὶ τῷ πεμπομένῳ δὲ
ἠπείλει, εἰ μὴ ἰσχυρῶς ταῦτα ἀπαγγέλλοι.
13 Ὁ μὲν δὴ πεμπόμενος ἐπορεύετο, ἔχων τοὺς ἑαυτοῦ
ἱππέας ὡς ἑκατόν· ἀνιώμενος, ὅτι οὐκ ἐπορεύθη καὶ αὐ-

10. περὶ ἐμοῦ] Guelf. περὶ ἐμοῦ οὕτως ἀπρ. βουλεῦσαι: idem deinde γε post ὑμᾶς et ὑμεῖς omittit.

ἐὰν μὲν] Guelf. ἂν μὲν ὁ Κῦρος βούληται. dehinc intellige καλῶς ἔχει. Ellipsis seu aposiopesis in hoc casu Græcis solennis.

11. ταῦτα δὴ] Ex Guelf. δὴ addidit Zeune.

Πῶς δὲ] Intellige εὗρον. Liber Brodæi et Guelf. ὅπη δέ. *in eo illorum solo, a lversus quos et Cyrus* etc. Philelphus vertit. ἔφη omittit Junt.

Ὅτι νὴ] Ideo quæsivi, quoniam audio etc.

ἡγουμένους αὐτῶν] Gabriel. αὐτῷ legi maluit, quod verum puto. Hyrcani ducebant Cyrum contra hostes, a quibus ipsi discessionem fecerant.

12. Ἀκούσας] Ex Guelf. δὲ addidit Zeune.

τῷ μηδ' εἰπεῖν] Ita ex Guelf. Zeune. τὸ est in Bodl. Vulgo articulus deest, sed Brodæus τῷ vel τὸ addendum censuit, ut Gabriel. Sic sect. 9. est ἐβριμοῦτο τῷ Κύρῳ—τῷ καταλιπόντας αὐτὸν ἔρημον οἴχεσθαι.

τοῖς Μήδοις] Ex Guelf. αὐτοῖς τοῖς M. dedit Zeune, et deinde ἐπεκάλει cum Ald. Junt. Guelf. *accusabat* est in versione Philelphi: ἀπεκάλει, quod Leonclavius in notis sec. conjecerat, est in Bodl.

ἠπείλει] Hoc pro ἠπείλησεν ex Guelf. dedit Zeune. sequens ἀπαγγέλλοι est ex Guelf. ductum et annotatum a Fischero. Vulgatum ἀπαγγείλοι nihili est.

13. ὅτι οὐκ ἐπορεύθη καὶ αὐτὸς] Ita Guelf. vulgo ante Zeunianam erat καὶ αὐτὸς οὐκ ἐπορεύθη. Margo Steph. οὐ καὶ αὐτὸς τότε ἐπορεύθη.

τὸς μετὰ τοῦ Κύρου. Ἐν δὲ τῇ ὁδῷ πορευόμενοι, δια-
σχιζόμενοι τρίβῳ τινὶ, ἐπλανῶντο· καὶ οὐ πρόσθεν ἀφί-
κοντο ἐπὶ τὸ Φίλιον στράτευμα, πρὶν ἐντυχόντες ἀποχω-
ροῦσι τισὶ τῶν Ἀσσυρίων, ἠνάγκασαν αὐτοὺς ἡγεῖσθαι·
καὶ οὕτω δὴ ἀφικνοῦνται, τὰ πυρὰ κατιδόντες, ἀμφὶ μέ-
ῥει, ὦ γύναι· καλὸν μὲν γὰρ καὶ ἀγαθὸν ἀκούομεν καὶ τὸν σὸν ἄνδρα εἶναι· νῦν μέντοι ἐξαιροῦμεν ἀνδρί σε εὖ ἴσθι ὅτι οὔτε τὸ εἶδος ἐκείνου χείρονι, οὔτε τὴν γνώμην, οὔτε τὴν δύναμιν· ἀλλ', ὡς ἡμεῖς γε νομίζομεν, εἴ τις καὶ ἄλλος ἀνὴρ, καὶ ὁ Κῦρος ἄξιός ἐστι θαυμάζεσθαι, οὗ σὺ ἔσῃ τὸ ἀπὸ τοῦδε· ὡς οὖν τοῦτο ἤκουσεν ἡ γυνὴ, περικατεῤῥήξατό τε τὸν ἄνωθεν πέπλον, καὶ ἀνωδύρατο· συνανεβόησαν δὲ αὐτῇ καὶ αἱ δμωαί. Ἐν τούτῳ δ' 7
ἐφάνη μὲν αὐτῆς τὸ πλεῖστον μέρος τοῦ προσώπου, ἐφάνη δὲ ἡ δέρη καὶ αἱ χεῖρες· καὶ εὖ ἴσθι, ἔφη, ὦ Κῦρε, ὡς ἐμοί τε ἔδοξε καὶ τοῖς ἄλλοις πᾶσι τοῖς ἰδοῦσι, μήπω φῦναι μηδὲ γενέσθαι γυναῖκα ἀπὸ θνητῶν τοιαύτην ἐν τῇ Ἀσίᾳ· ἀλλὰ πάντως, ἔφη, καὶ σὺ θεάσῃ αὐτήν. Καὶ ὁ Κῦρος ἔφη, Ναὶ μὰ Δία, πολύ γε ἧττον, εἰ τοιαύτη 8

ἐνταῦθα] Junt. ἤδη addit.

[τῇ ῥώμῃ] Recte omittunt libri Philel. Bodl. Guelf. Deinceps τῇ ante εὐσχ. omittit Guelf.

ἑστηκυῖα] Hoc est a correctoris manu in Guelf. a prima est ἐσχηκυῖα.

καταστάζοντα] Guelf. ut Philelphi versio στάζοντα—κατὰ τοὺς πόδας.

6. γεραίτερος] Liber Budensis γεραίτατος, quod Camerarius vertit.

θάῤῥει] Guelf. θάρσει.

σε εὖ] σε, ἔφη, εὖ Junt.

δύναμιν] Liber Brodæi et Guelf. ἧττω ἔχοντι addunt ex scholio nata. Sed Guelf. præterea οὔτε δύναμιν. *Vigorem virilem Cyri* interpretatur Weiske.

καὶ ὁ Κῦρος] Articulum hic et deinceps ante ἀπὸ τοῦδε omittit Guelf. postea ὡς οὖν τούτου Guelf. sed correctum: denique περικατεῤῥήξατό γε Edd. pr.

πέπλον] Vide annotationem ad iii. 1, 13.

7. αὐτῆς] Omittit Guelf. et liber Philel.

ἐμοί τε] Zeune ex Guelf. ἔμοι γε—ἅπασι dedit: paulo antea ἔφη Guelf. cum Juntina omisit.

γυναῖκα—τοιαύτην] Guelf. γυναῖκα omittit. Margo Steph. γυνὴ—τοιαύτη. Scilicet in Guelf. est a prima manu τοιαύτη, sed correctum τοιαύτην. Utraque lectio bene habet. φῦναι est *natam esse*, γενέσθαι, *fuisse, extitisse*.

θεάσῃ] Philel. liber et Guelf. θέασαι.

8. πολύ γε ἧττον] Scilicet θεάσομαι. Plutarchus de Curiositate h. l. respiciens: οὐκοῦν ἔφη, διὰ τοῦτο μᾶλ-

ἐστιν, οἵαν σὺ λέγεις. Τί δαί; ἔφη ὁ νεανίσκος. Ὅτι, ἔφη, εἰ νυνὶ, σοῦ ἀκούσας, ὅτι καλή ἐστιν, ἐλθεῖν πεισθήσομαι θεασόμενος, οὐ πάνυ μοι σχολῆς οὔσης, δέδοικα, μὴ πολὺ θᾶττον ἐκείνη με αὖθις ἀναπείσῃ καὶ πάλιν ἐλθεῖν θεασόμενον· ἐκ δὲ τούτου ἴσως ἂν ἀμελή-
9 σας, ὧν με δεῖ πράττειν, καθοίμην ἐκείνην θεώμενος.

Καὶ ὁ νεανίσκος ἀναγελάσας εἶπεν· Οἴει γὰρ, ἔφη, ὦ Κῦρε, ἱκανὸν εἶναι κάλλος ἀνθρώπου ἀναγκάζειν τὸν μὴ βουλόμενον πράττειν παρὰ τὸ βέλτιστον; Εἰ μέντοι
10 τοῦτο, ἔφη, οὕτως ἐπεφύκει, πάντας ἂν ἠνάγκαζεν ὁμοίως. Ὁρᾷς, ἔφη, τὸ πῦρ, ὡς πάντας ὁμοίως καίει; (πέφυκε γὰρ τοιοῦτον) τῶν δὲ καλῶν, τῶν μὲν ἐρῶσι, τῶν δ᾽ οὔ· καὶ ἄλλος γε ἄλλου. Ἐθελούσιον γὰρ, ἔφη, ἐστὶ, καὶ ἐρᾷ ἕκαστος, ὧν ἂν βούληται. Αὐτίκα δὲ οὐκ ἐρᾷ ἀδελφὸς ἀδελφῆς, ἄλλος δὲ ταύτης· οὐδὲ πατὴρ θυγα-
11 τρὸς, ἄλλος δὲ ταύτης. Καὶ γὰρ φόβος καὶ νόμος ἱκανὸς ἔρωτα κωλύειν. Εἰ δέ γ᾽, ἔφη, νόμος τεθείη, μὴ ἐσθίοντας μὴ πεινῆν, καὶ μὴ πίνοντας μὴ διψῆν, μηδὲ ῥιγοῦν τοῦ χειμῶνος, μηδὲ θάλπεσθαι τοῦ θέρους,

λον αὐτῆς ἀφικτέον. εἰ γὰρ ὑπό σου πεισθεὶς ἀφικόμην πρὸς αὐτὴν, ἴσως ἄν με πάλιν ἀναπείσειεν αὐτὴ καὶ μὴ σχολάζοντα φοιτᾷν θεᾶσθαί τι καὶ παρακαθῆσθαι προέμενον πολλὰ τῶν σπουδῆς ἀξίων.

τί δαί] Guelf. τί δ᾽. Brodæus τί δὴ corrigebat.

εἰ νυνὶ] Ita liber Philelphi et Guelf. vulgo καὶ νῦν σοῦ—εἰ πεισθήσομαι ἐλθεῖν.

οὐ πάνυ] Guelf. οὐδὲ πάνυ.

ἐκείνη με] Guelf. omittit με. Plutarchus αὐτὴ pro αὖθις legiſſe h. l. videtur, idem etiam verba οὐ πάνυ μοι σχολῆς οὔσης in altero colo poſt θεασόμενον poſita reperiſſe videtur. Certe alteram utram lectionem reſpicit additum θᾶττον.

9. ἀνθρώπου] Bryl. Iſingr. ἀνθρώπων. deinceps βουλόμενον ποιεῖν τὸν μὴ βουλόμενον ποιεῖν Guelf. ſed margo in locum prioris βουλ. ſubſtituit ἀναγκάζειν.

τοῦτο, ἔφη] Guelf. ἔφη τοῦτο.

10. Ὁρᾷς] Ita pro ὅρα liber Philelphi; Bodl. et Guelf. deinde τοιοῦτο. τῶν καλῶν Guelf. ſed corrector τοιοῦτον fecit et δὲ inſeruit.

ἐρᾷ] Hoc in Guelf. verbum corrector addidit.

Αὐτίκα δὲ] Guelf. αὐτίκ᾽ ἔφη. Certe δὲ importunum eſt; malim igitur δὴ ejus in loco reponere. Contrarium apud Perſas et Ægyptios in moribus receptum fuiſſe contra Xenophontem monuit Brodæus.

φόβος καὶ νόμος] i. e. φόβος τοῦ νόμου, aut νόμος καὶ ὁ τοῦ νόμου φόβος.

11. τοῦ θέρους] Ante Caſtal. τῷ τοῦ θ. erat; quod correxit Brodæus.

οὐδεὶς ἂν νόμος δυνηθείη διαπράξασθαι ἀνθρώπους ταῦτα πείθεσθαι· πεφύκασι γὰρ ὑπὸ τούτων κρατεῖσθαι. Τὸ δ' ἐρᾶν ἐθελούσιόν ἐστιν· ἕκαστος γοῦν τῶν καθ' αὑτὸν ἐρᾷ, ὥσπερ ἱματίων καὶ ὑποδημάτων. Πῶς 12
οὖν, ἔφη ὁ Κῦρος, εἰ ἐθελούσιόν ἐστι τὸ ἐρασθῆναι, οὐ καὶ παύσασθαί ἐστιν, ὅταν τις βούληται; Ἀλλ' ἐγὼ, ἔφη, ἑώρακα καὶ κλαίοντας ὑπὸ λύπης δι' ἔρωτα, καὶ δουλεύοντάς γε τοῖς ἐρωμένοις· καὶ μάλα κακὸν νομίζοντας, πρίν γε ἐρᾶν, τὸ δουλεύειν, καὶ διδόντας γε πολλὰ, ὧν οὐ βέλτιον αὐτοῖς στέρεσθαι· καὶ εὐχομένους ὥσπερ καί τινος ἄλλης νόσου ἀπαλλαγῆναι, καὶ οὐ δυναμένους μέντοι ἀπαλλάττεσθαι, ἀλλὰ δεδεμένους ἰσχυροτέρᾳ τινὶ ἀνάγκῃ, ἢ εἰ σιδήρῳ ἐδέδεντο. Παρέχουσι γοῦν ἑαυτοὺς τοῖς ἐρωμένοις πολλὰ καὶ εἰκῆ ὑπηρετοῦντας· καὶ μέντοι οὐδ' ἀποδιδράσκειν ἐπιχειροῦσι, τοιαῦτα κακὰ ἔχοντες, ἀλλὰ καὶ φυλάττουσι τοὺς ἐρωμένους, μή ποι ἀποδρῶσι.

Καὶ ὁ νεανίσκος εἶπε πρὸς ταῦτα· Ποιοῦσι γὰρ, ἔφη, 13
ταῦτα· εἰσὶ μέντοι οἱ τοιοῦτοι, ἔφη, μοχθηροί· διόπερ, οἶμαι, καὶ εὔχονται μὲν ἀεὶ, ὡς ἄθλιοι ὄντες, ἀποθανεῖν· μυρίων δ' οὐσῶν μηχανῶν ἀπαλλαγῆς τοῦ βίου, οὐκ ἀπαλλάττονται. Οἱ αὐτοὶ δέ γε οὗτοι καὶ κλέπ-

διαπράξασθαι] Guelf. —ξεσθαι ταῦτα π. ἀνθρ. deinde ὑπ' αὐτῶν κρατεῖσθαι Juntina, Isingr. Bryl.

γοῦν] Guelf. γὰρ supra scr. οὖν.

12. ἐρασθῆναι] Liber Brodæi ἐρᾶσθαι οὐκ ἂν παύσασθαι.

πρίν γε] Guelf. γε omittit.

ὧν οὐ βέλτιον] i. e. ὧν οὐ στ. βέλτιον. Guelf. διδόντας γε ὧν πολλῶν οὐ β. sed margo διδ. γε πολλὰ, οὗ β. αὐτοῖς, ut in Juntina, ubi post βέλτιον additur ἦν. Brodæus ὧν οὐ βέλτ. correxit. Weiske Guelf. lectionem interpretatur de coitu, ἐκείνου, i. e. ἀντὶ ἐκείνου, οὗ βέλτ. non inepte!

ἄλλης] Guelf. ἀλ. τινὸς, ut Philel. sequens τινὶ omittit Guelf. et Philelphus. postea εἰ ἐν σιδήρῳ Guelf. et Philel.

ὑπηρετοῦντας] Ita cum Steph. Guelf. pro —οῦντες.

οὐδ' ἀποδ.] Junt. οὐκ ἐκδιδ. Ald. οὐκ ἀποδ. correxit Brodæus. Sequens ποι pro που dedit liber Brod. et Guelf. cum Philelpho.

13. διόπερ] Ita Brodæi liber pro ὅπερ Junt. Isingr.

ὡς ἄθλιοι] ὡς omittit Junt. Isingr. addidit Brodæus. αἰεὶ Guelf.

οἱ αὐτοὶ] Bryl. Isingr. αὐτοὶ omittit; sequens ἔφη abest Philel. Junt. Guelf.

τειν ἐπιχειροῦσι, καὶ οὐκ ἀπέχονται τῶν ἀλλοτρίων·
ἀλλ' ἐπειδάν τι ἁρπάσωσιν ἢ κλέψωσιν, ὁρᾷς, ἔφη, ὅτι
σὺ πρῶτος, ὡς οὐκ ἀναγκαῖον τὸ κλέπτειν, αἰτιᾷ τὸν
κλέπτοντα, καὶ ἁρπάζοντα, καὶ οὐ συγγιγνώσκεις,
14 ἀλλὰ κολάζεις. Οὕτω μέντοι, ἔφη, καὶ οἱ καλοὶ οὐκ
ἀναγκάζουσιν ἐρᾷν ἑαυτῶν, οὐδὲ ἐφίεσθαι ἀνθρώπους,
ὧν μὴ δεῖ· ἀλλὰ τὰ μοχθηρὰ ἀνθρώπια πασῶν, οἶμαι,
τῶν ἐπιθυμιῶν ἀκρατῆ ἐστι, κἄπειτα ἔρωτα αἰτιῶνται·
οἱ δέ γε καλοὶ κἀγαθοὶ, ἐπιθυμοῦντες καὶ χρυσίου καὶ
ἵππων ἀγαθῶν καὶ γυναικῶν καλῶν, ὅμως ἁπάντων
τούτων ῥᾳδίως δύνανται ἀπέχεσθαι, ὥστε μὴ ἅπτεσθαι
15 αὐτῶν παρὰ τὸ δίκαιον. Ἔγωγ' οὖν, ἔφη, ταύτην ἑωρα-
κὼς, καὶ πάνυ μοι καλῆς δοξάσης εἶναι, ὅμως παρά σοί
εἰμι, καὶ ἱππεύω, καὶ τἄλλα τὰ ἐμοὶ προσήκοντα ἀπο-
16 τελῶ. Ναὶ μὰ Δί', ἔφη ὁ Κῦρος· ἴσως γὰρ θᾶττον
ἀπῆλθες, ἢ ἐν ὅσῳ χρόνῳ ὁ ἔρως πέφυκε συσκευάζεσθαι
ἄνθρωπον. Καὶ πυρὸς γάρ τοί ἐστι θίγοντα μὴ εὐθὺς
καίεσθαι, καὶ τὰ ξύλα οὐκ εὐθὺς ἀναλάμπει· ὅμως δὲ
ἔγωγε οὔτε πυρὸς ἑκὼν εἶναι ἅπτομαι, οὔτε τοὺς καλοὺς
ἐσορῶ. Οὐδὲ γέ σοι συμβουλεύω, ἔφη, ὦ Ἀράσπα, ἐν
τοῖς καλοῖς ἐᾷν τὴν ὄψιν ἐνδιατρίβειν· ὡς τὸ μὲν πῦρ
τοὺς ἁπτομένους καίει, οἱ δὲ καλοὶ καὶ τοὺς ἄποθεν

ὡς οὐκ] Guelf. ὅτι οὐκ. Dicit ἀναγκαῖον, quod vim cogendi a natura insitum habet.

14. οἱ καλοὶ] Guelf. οἱ καλοὶ καί.

ἐπιθυμιῶν] Articulum τῶν ex Guelf. addidit Zeune.

ἔρωτα] Ex Philelphi libro et Guelf. Ἔρωτας dedit Zeune.

οἱ δέ γε] Ex Guelf. γε addidit Z. sequens ῥᾳδίως omittit Guelf.

15. μοὶ καλῆς] Guelf. κ. δοξάσης μοι. in Juntina εἶναι excidit.

ὅμως] Ex Guelf. et Philel. καὶ adjunxit Zeune.

τὰ ἐμοὶ] Guelf. τὰ παρὰ σοὶ, ut libri Brodæi: sed corrector post τἄλλα τὰ inseruit μοι.

16. γὰρ] Guelf. omittit, ut deinde ὁ ante ἔρως. Sequens συσκευάζεσθαι est *corripere et auferre*, ut monet Camerarius, rara significatione. In Guelf. a prima manu simplex σκευάζεσθαι est. deinde ἐπιθίγοντα Junt. Isingr. Bryl. correxit Brodæus.

οὔτε πυρὸς] In Guelf. οὐ πυρὸς a prima manu erat; idem deinde εἰσορῶ.

οὐδέ γε σοι] Junt. γε omittit, et deinceps ἐᾶν. Postea διατρίβειν Guelf. et Ἀράσπη.

ἁπτομένους] Plutarchus apud Stobæum Tit. 64. ἁψαμένους habet. I-

θεωμένους ὑφάπτουσιν, ὥστε αἴθεσθαι τῷ ἔρωτι. Θάῤ- 17
ῥει, ἔφη, ὦ Κῦρε, οὐδὲ, ἢν μηδέποτε παύσωμαι θεώμε-
νος, οὐ μὴ κρατηθῶ, ὥστε ποιεῖν τι, ὧν μὴ χρὴ ποιεῖν.
Κάλλιστα, ἔφη, λέγεις· φύλαττε τοίνυν, ἔφη, ὥσπερ σε
κελεύω, καὶ ἐπιμελοῦ αὐτῆς· ἴσως γὰρ ἂν καὶ πάνυ
ἡμῖν ἐν καιρῷ τι γένοιτο αὕτη ἡ γυνή. Τότε μὲν δὴ ταῦ- 18
τα εἰπόντες διελύθησαν.

Ὁ δὲ νεανίσκος, ἅμα μὲν ὁρῶν ὑπερκαλλῆ τὴν γυ-
ναῖκα, ἅμα δὲ αἰσθανόμενος τὴν καλοκἀγαθίαν αὐτῆς,
ἅμα δὲ θεραπεύων αὐτὴν, καὶ οἰόμενος χαρίζεσθαι αὐτῇ,
ἅμα δὲ αἰσθανόμενος οὐκ ἀχάριστον οὖσαν, ἀλλ' ἀντε-
πιμελουμένην διὰ τῶν αὐτῆς οἰκετῶν, ὡς καὶ εἰσιόντι εἴη
αὐτῷ τὰ δέοντα, καὶ, εἴ ποτε ἀσθενήσειεν, ὡς μηδενὸς
ἂν δέοιτο· ἐκ πάντων τούτων ἡλίσκετο ἔρωτι, καὶ ἴσως
οὐδὲν θαυμαστὸν ἔπασχε. Καὶ ταῦτα μὲν δὴ οὕτως
ἐπράττετο.

Βουλόμενος δὲ ὁ Κῦρος ἐθελοντὰς μένειν μεθ' ἑαυτοῦ 19
τούς τε Μήδους καὶ τοὺς συμμάχους, συνεκάλεσε πάντας
τοὺς ἐπικαιρίους· ἐπεὶ δὲ συνῆλθον, ἔλεξε τοιάδε· Ἄν- 20
δρες Μῆδοι, καὶ πάντες οἱ παρόντες, ἐγὼ ὑμᾶς οἶδα σα-

Cyrus de bello persequendo certus explorat Medo-

dem hujus loci meminit Sympoſ. Quæſt. v. 7. monente Ruhnkenio ad Memor. I. 3, 13.

ὑφάπτουσιν] Guelf. γε addit: ὥστε ibi corrector poſt γε inſeruit.

17. θάῤῥει, ἔφη] Edd. pr. ἔφη omittunt.

οὐδὲ, ἢν] Guelf. οὐδ' ἐὰν μηδέποτε. Edd. veteres μηδεπώποτε dant.

οὐ μὴ] Guelf. οὐ μήν. deinde ἔφη poſt τοίνυν omiſit Juntina. ἐπιμέλου poſtea malebat Fiſcher.

καὶ πάνυ] Copulam et ſequens τι omittit Guelf. Infra vi. 1, 38. εἰ γὰρ γένοιτο, ὅτι ἐγὼ σοὶ ἐν καιρῷ ἂν γενοίμην αὖ χρήσιμος. Sed Fiſcher ex Guelf. ἴσως γὰρ πάνυ retulit. De lectione ipſa vide ad vi. 1, 38.

18. ὑπερκαλλῆ] Margo Steph. et Guelf. καλήν.

αἰσθανόμενος] Ita Guelf. et Philel. pro αἰσθόμενος.

αὐτῷ] Omittit Guelf. cujus margo et Junt. habent εἰ οἷόν τε, εἴη αὐτῷ. Brodæi liber εἰσιόντι τε εἴη αὐτῷ. In Guelf. pro ἀντεπιμελουμένην a prima manu ſcriptum eſt ſimplex ἐπιμελουμένην.

ἂν δέοιτο] Junt. ἂν omittit. Sequens τούτων in Guelf. corrector addidit.

19. ἐθελοντὰς] Edd. Caſtal. Bryl. Welſiana, Hutchinſ. et liber Guelf. ἐθέλοντας præbent.

ἐπικαιρίους] Ita recte Steph. correxit ſcripturam Edd. pr. ἐπικαίρους et docuit intelligi *homines rebus agendis et conficiendis negotiis idoneos*; *dici eos latine poſſe opportunos*: et Camerarius vertit h. l. *quos opportunum eſſet convenire convocatos.*

S 2

rum et ſociorum voluntatem, utrum ſecum manere velint: qui omnes haud dubitanter reſpondent, ſe ab eo non eſſe diſceſſuros.

φῶς, ὅτι οὔτε χρημάτων δεόμενοι σὺν ἐμοὶ ἐξήλθετε, οὔτε
Κυαξάρει νομίζοντες τοῦτο ὑπηρετεῖν· ἀλλ' ἐμοὶ βουλόμε-
νοι τοῦτο χαρίζεσθαι, καὶ ἐμὲ τιμῶντες, καὶ νυκτοπορεῖν
21 καὶ κινδυνεύειν σὺν ἐμοὶ ἠθελήσατε. Καὶ χάριν τούτων
ἐγὼ ὑμῖν ἔχω μὲν, εἴ γε μὴ ἀδικῶ, ἀποδιδόναι δὲ οὔπω
ἀξίαν δύναμιν ἔχειν μοι δοκῶ. Καὶ τοῦτο μὲν οὐκ αἰ-
σχύνομαι λέγων· τὸ δὲ, Ἢν μένητε παρ' ἐμοὶ, ἀποδώσω,
εὖ ἴστε, ὅτι τοῦτο αἰσχυνοίμην ἂν εἰπεῖν· νομίζοιμι γὰρ
ἐμαυτὸν ἐοικέναι λέγοντι ταῦτα ἕνεκα τοῦ ὑμᾶς ἐθέλειν
μᾶλλον παρ' ἐμοὶ καταμένειν· ἀντὶ δὲ τούτου τάδε λέγω·
ἐγὼ γὰρ ὑμῖν, κἂν ἤδη ἀπίητε Κυαξάρει πειθόμενοι,
ὅμως, ἤν τι ἀγαθὸν πράξω, πειράσομαι οὕτω ποιεῖν,
22 ὥστε καὶ ὑμᾶς ἐμὲ ἐπαινεῖν. Οὐ γὰρ δὴ αὐτός γε
ἄπειμι· ἀλλὰ καὶ Ὑρκανίοις τοὺς ὅρκους καὶ τὰς δε-
ξιὰς, ἃς ἔδωκα, ἐμπεδώσω, καὶ οὔποτε τούτους προδι-
δοὺς ἁλώσομαι· καὶ τῷ νῦν διδόντι Γωβρύᾳ καὶ τείχη
ἡμῖν καὶ χώραν καὶ δύναμιν, πειράσομαι ποιεῖν μήποτε

20. *βουλόμενοι τοῦτο*] Malim *τοῦτο* abeſſet: contra Guelf. ſequens *καὶ* ante *νυκτοπορεῖν* omittit.

21. *εἴ γε μὴ*] Ita cum libris Gabrielis Stephanus. *ἔχω εἴ γε μὴ* omiſſo *μὲν* Juntina, ceteræ Edd. *γε* omiſerunt.

τὸ δὲ, Ἢν] Guelf. *τὸ δ' ἐὰν*, qui ſequentia verba *ὅτι τοῦτο* poſt *εὖ ἴστε* omiſit, quæ ſi abeſſent, nemo deſideraret.

νομίζοιμι] Guelf. *νομίζω γὰρ ἑαυτὸν*, vulgata ſupra ſcripta. deinde *λέγοντι ὅτι ταῦτα ἕνεκα τοῦ*. ſed *ὅτι* punctis ſuppoſitis damnatur, et in margine poſt *ταῦτα* inſeritur *τούτου*. Aldina cum priore Steph. Editione *λέγοντα* dat; deinde *ταῦτα τούτου ἕνεκα τοῦ* ante Hutchinſonum legebatur, qui ex Bodl. cum quo Guelf. facit, auctoritate proſcripſit *τούτου*. Poſtea *μᾶλλον ἐθέλειν* Guelf.

ἐγὼ γὰρ] Zeune *γὰρ videlicet* interpretatur; quo non opus eſt. Simpliciter copulat orationem, et cauſam continet, cur Cyrus id dicere voluerit. deinde *ὅπως ἂν ἀγαθόν τι* Guelf. ſed corrector *ὅμως* dedit; poſtea *καὶ ἐμὲ ὑμᾶς*. Juntina *καὶ* omiſit. Aldina *ἐμέ*.

22. *Ὑρκανίοις τοὺς*] Ita ex Guelf. Zeune ſcripſit: *Ὑρκανίοις, οἷς τ. ὅρ. καὶ τὰς δ.* cum Steph. Gabrielis libri, et Bodl. cum ante eum legeretur *Ὑρκανίους, οἷς τοὺς—δεξιὰς ἔδωκα.* Abreſchius Lect. Ariſtænet. p. 273. *Ὑρκανίους* tolerari poſſe cenſebat, ſi *τούτους* abeſſet.

καὶ τῷ νῦν] In Guelf. eſt *καὶ τῷ νῦν διδόντι Γωβρίᾳ καὶ τείχη ἡμῖν καὶ χώραν.* Ante Zeunium erat *καὶ τῷ μὲν νῦν ταῦτα διδόντα ἡμῖν Γωβρύᾳ καὶ τείχη καὶ χώραν.* ſed *μὲν* recte ille ſecluſit: nec *ταῦτα* Philelphus expreſſit. Weiſkio neceſſarium viſum eſt *ταῦτα* mutare in *ταυτὰ*, quod interpretatur *ὅρκους καὶ δεξιάς*.

μήποτε] Guelf. truncatum *μὴ* præbet.

μεταμελῆσαι τῆς πρὸς ἐμὲ ὁδοῦ. Καὶ τὸ μέγιστον δὴ, 23
τῶν θεῶν οὕτω διδόντων περιφανῶς ἀγαθὰ, καὶ φοβοί-
μην ἂν αὐτοὺς καὶ αἰσχυνοίμην, ἀπολιπὼν ταῦτα, εἰκῆ
ἀπελθεῖν. Ἐγὼ μὲν οὖν, ἔφη, οὕτω ποιήσω· ὑμεῖς δὲ
ὅπως γιγνώσκετε, οὕτω καὶ ποιεῖτε, καὶ ἐμοὶ εἴπατε, ὅ
τι ἂν ὑμῖν δόξῃ. Ὁ μὲν οὕτως εἶπε· 24
Πρῶτος δὲ, ὁ φήσας ποτὲ συγγενὴς τοῦ Κύρου εἶναι,
πρὸς ταῦτα ἔλεξεν· Ἀλλ' ἐγὼ μὲν, ἔφη, ὦ βασιλεῦ·
βασιλεὺς μὲν γὰρ ἔμοιγε δοκεῖς σὺ φύσει πεφυκέναι,
οὐδὲν ἧττον, ἢ ὁ ἐν τῷ σμήνει φυόμενος τῶν μελιττῶν
ἡγεμών. Ἐκείνῳ τε γὰρ ἀεὶ αἱ μέλιτται ἑκοῦσαι πεί-
θονται· ὅπου δ' ἂν μένῃ, [καὶ] οὐδὲ μία ἐντεῦθεν ἀπέρ-
χεται· ἢν δέ που ἐξίῃ, οὐδὲ μία αὐτοῦ ἀπολείπεται·
οὕτω δεινός τις αὐταῖς ἔρως τοῦ ἄρχεσθαι ὑπ' ἐκείνου
ἐγγίγνεται· καὶ πρός σε δέ μοι δοκοῦσι παραπλησίως 25

23. τῶν θεῶν οὕτω δ. περιφ.] Hic eſt ordo in Guelf. vulgatus vero: οὕτω περιφ. τῶν θεῶν διδ. ἀγαθά. ſed Guelf. τῶν articulum ante θεῶν omiſit, et deinde κᾀκεῖ ἀπελθεῖν ſed corrector εἰκῆ dedit.

μὲν οὖν] Guelf. ἐγὼ μὲν οὕτως, ἔφη, omiſſo οὖν, ut Philelphus.

ὅπως γιγνώσκετε] Junt. Iſingr. ὅπως καὶ γινώσκητε. Ald. ὅπως γιγνώσκητε. Bodl. ὅπως γινώσκηται. Bryl. prior γινώσκετε dedit, quod ipſum Stephanus reſtitui voluit ejuſque admonitu reduxit Hutchinſon. ὅπως γιγνώσκητε eſſe in Guelf. ait Zeune, ſed ὅπως γιγνώσκετε, quod etiam Philel. expreſſit, ex eo attulit Fiſcher. Miror γιγνώσκητε a Weiſkio etiam retentum; nam Zeunium perverſa quædam philoſophandi ratio fefellit adeo, ut locum Platonis Euthyphr. c. 12. ἀλλ' οὐκ ἔχω ἔγωγε, ὅπως εἴπω ὃ νοῶ poneret, quaſi vulgatæ lectionis tutamen in eo reperiſſet. Commodius uti poterat ſcriptura Guelf. infra ſect. 26. οἱ μὲν οὖν ἄλλοι ὅπως ποιήσωσιν, αὐτοὶ ἐροῦσιν, ubi Edd. rectius ποιήσουσιν habent.

δόξῃ] Pro δοκῇ ex Juntina recepit Zeune.

24. πρὸς ταῦτα ἔλεξεν] Brevius Guelf. et liber Philelphi εἶπε. Perſonam hominis recordaberis ex i. 4, 27.

μὲν, ἔφη] Qui orationem affectu animi amabili ſubito turbatam et abruptam non animadverterunt Leonclavius et Æmil. Portus, variis eam modis fulcire vel interpolare conati ſunt; quorum opiniones referre operæ non eſt pretium.

μὲν γὰρ] Guelf. μὲν et deinde σὺ omiſit.

ἐκείνῳ τε] In Guelf. ἀεὶ ab aliena manu inſertum legitur; vulgo erat αἰεὶ ante Zeunium, qui poſt ἑκοῦσαι ex eo libro μὲν inſeruit. Mihi τε poſt ἐκείνῳ diſplicet. Weiſke reſpondere ei putabat ſequens καὶ πρός σε.

ὅπου δ' ἂν] Guelf. ὅπου δ' ἐὰν, et ſequens καὶ omiſit, quod interim ſecluſi: poſtea ἐὰν δέ που—ἔρως αὐταῖς Guelf.

ἐγγίγνεται] Budenſis liber συγγεγένηται.

πως οἱ ἄνθρωποι οὗτοι διακεῖσθαι. Καὶ γὰρ εἰς Πέρσας ὅτε παρ' ἡμῶν ἀπήεις, τίς Μήδων ἢ νέος ἢ γέρων σοῦ ἀπελείφθη, τοῦ μή σοι ἀκολουθεῖν, ἕως ὅτε Ἀστυάγης ἡμᾶς ἀπέστρεψεν; Ἐπεὶ δὲ ἐκ Περσῶν βοηθὸς ἡμῖν ὡρμήθης, σχεδὸν αὖ ὁρῶμεν τοὺς φίλους σου πάντας ἐθελουσίους συνεπομένους. Ὅτε δ' αὖ τῆς δεῦρο στρατείας ἐπεθύμησας, πάντες σοι Μῆδοι ἑκόντες ἠκολούθησαν.
26 Νῦν δ' αὖ οὕτως ἔχομεν, ὡς σύν σοι μὲν ὅμως καὶ ἐν τῇ πολεμίᾳ ὄντες, θαῤῥοῦμεν, ἄνευ δὲ σοῦ καὶ οἴκαδε ἀπιέναι φοβούμεθα· οἱ μὲν οὖν ἄλλοι ὅπως ποιήσουσιν, αὐτοὶ ἐροῦσιν· ἐγὼ δέ, ὦ Κῦρε, καὶ ὧν ἐγὼ κρατῶ, καὶ μενοῦμεν παρά σοι, καὶ ὁρῶντές σε ἀνεξόμεθα, καὶ καρτερήσομεν ὑπὸ σοῦ εὐεργετούμενοι.

27 Ἐπὶ τούτῳ ἔλεξεν ὁ Τιγράνης ὧδε· Σύ, ἔφη, ὦ Κῦρε, μή τι θαυμάσῃς, ἂν ἐγὼ σιωπῶ· ἡ γὰρ ἐμὴ ψυχή,

25. οὗτοι] Guelf. οὕτω. Philelphus οὗτοι non reddidit.

ἀπήεις] Ita Guelf. etiam ex correctione, ubi antea ἀπίης erat scriptum.

τοῦ μή σοι] Guelf. τὸ μή σοι—εἰς ὅτε. sed corrector inter versus ἕως ὅτε posuit. Brodæi libri ὥστε ὅτε exhibent et deinde ἀπέπεμψεν; sed ἀπέστρεψεν vim affectui faciam magis designat.

ἐπεὶ] Guelf. ἐπειδή. deinceps Budensis libri ἑωρῶμεν recepit Leoncl. Editio altera, et mihi etiam ea scriptura præplacet.

πάντες σοὶ] Guelf. πάντες οἱ.

26. νῦν δ' αὖ οὕτως] Guelf. νῦν γ' αὕτως, sed corrector νῦν δ' αὕτως dedit.

σύν σοι] Guelf. σὺν μέν σοι, quod recepit Zeune. sed σοι cum sequente ὅμως male coit. Pro ὅμως Brodæi libri et Guelf. ὁμοίως, sed in Guelf. corrector ὅμως inseruit, quod servavi, quanquam ὁμοίως Weiske revocatum ita interpretatur: *nam et in reliquis expeditionibus, quarum ante mentio facta, spem omnem in Cyro posuerant.* Vulgatum ὅμως supervacaneum censet, et certe loco non commodo ante καὶ—ὄντες positum illi videtur. Breviter ut dicam ὅμως καὶ est pro καίπερ dictum; aut si hoc spernis, licebit locum Anabaseos iii. 1, 10. comparare: φοβούμενοι δὲ τὴν ὁδὸν καὶ ἄκοντες ὅμως οἱ πολλοὶ δι' αἰσχύνην καὶ ἀλλήλων καὶ Κύρου συνηκολούθησαν.

ἀνεξόμεθα] Guelf. ἀνθεξόμεθα ut paulo antea ποιήσουσιν. Ironiam loci sensit et de ea admonuit Weiske. ὁρῶντες σε ἀνεξ. verba respiciunt ad Artabazi factum, qui Cyri aspectu satiari non poterat, i. 4, 27. seqq.

27. ἐπὶ τούτῳ] Guelf. et Philel. ordinem et scripturam sprevit Weiske, revocata antiqua ἐπὶ τούτοις ὁ T. ἔλεξεν. iidem duo libri deinde μήποτε θαυμάσῃς.

σιωπῶ] Ita ex Guelf. pro σιγῶ Zeune: *Si hucusque tacui* vel *tacebam.*

ἡ ἐμὴ ψυχὴ] Hanc scripturam expressit Philelphus et Camerarius, non vulgarem ἡ γάρ μοι. Isingr. ἡ γάρ μου habet: ἡ γὰρ ψυχὴ Bodl. et Guelf. sed corrector in Guelf. μοι inseruit. Eleganter Tigranes animum totum Cyro devotum pendere ab ejus impe-

ἔφη, οὐχ ὡς βουλεύσουσα παρεσκεύασται, ἀλλ᾽ ὡς
ποιήσουσα, ὅ τι ἂν παραγγέλλῃς. Ὁ δὲ Ὑρκάνιος 28
εἶπεν· Ἀλλ᾽ ἐγὼ μὲν, ὦ Μῆδοι, εἰ νῦν ἀπέλθοιτε, δαί-
μονος ἂν φαίην τὴν βούλησιν εἶναι, τὸ μὴ ἐᾶσαι ὑμᾶς
μέγα εὐδαίμονας γενέσθαι· ἀνθρωπίνη δὲ γνώμη τίς ἂν
ἢ φευγόντων τῶν πολεμίων ἀποτρέποιτο, ἢ ὅπλα παρα-
διδόντων οὐκ ἂν λαμβάνοι, ἢ ἑαυτοὺς διδόντων καὶ τὰ
ἑαυτῶν οὐκ ἂν δέχοιτο; ἄλλως τε καὶ τοῦ ἡγεμόνος ἡμῖν
ὄντος τοιούτου, ὃς ἐμοὶ δοκεῖ (ὡς ὄμνυμι ὑμῖν πάντας τοὺς
θεοὺς) εὖ ποιῶν ἡμᾶς μᾶλλον ἥδεσθαι, ἢ ἑαυτὸν πλου-
τίζων. Ἐπὶ τούτῳ πάντες οἱ Μῆδοι τοιαῦτα ἔλεγον, 29
Σὺ, ὦ Κῦρε, καὶ ἐξήγαγες ἡμᾶς, καὶ, οἴκαδε ὅταν ἀπιέ-
ναι καιρός σοι δοκῇ εἶναι, σύν σοι ἡμᾶς ἀπάγαγε. Ὁ
δὲ Κῦρος ἀκούσας ταῦτα ἐπεύξατο, Ἀλλ᾽ ὦ Ζεῦ μέγι-
στε, αἰτοῦμαί σε, δός μοι τοὺς ἐμὲ τιμῶντας νικῆσαι εὖ
ποιοῦντα. Ἐκ τούτου ἐκέλευσε τοὺς μὲν ἄλλους, φύ- 30
λακας καταστήσαντας, ἀμφ᾽ αὐτοὺς ἤδη ἔχειν, τοὺς δὲ

rio ait, nec ulla conſultatione indigere.

28. ἀπέλθοιτε] Guelf. ἀπέλθητε. ſequens ἐπιβουλὴν pro vulgari βούλησιν idem cum libris Philelphi et Brodæi dedit.

τίς ἂν ἢ] Libri ſui ſcripturam ἀνθρωπίνη δὲ γνώμη τις ἂν ἦν ἡ φευγ. ita expreſſit Camerarius: *humana autem ſententia quænam obſecro ut fugientibus hoſtibus avertatur:* ubi vides ineptum Codicis ἦν ἡ non redditum fuiſſe a viro egregio, ſed potius τίς ἂν ἢ. Miror viros doctos non vidiſſe Camerarium libri ſui varietatem ideo annotaſſe, ut vulgatum ἀνθρωπίνη γνώμη falſum eſſe moneret. *Quæ enim humana prudentia* dictum eſt leniter pro *quis enim homo prudens.*

τῶν πολεμίων] Articulum ex Guelf. recte addidit Zeune: idem liber deinde cum Philelpho διδόντων pro παραδιδόντων repetito dedit: pejus denique ἀναδέχοιτο pro ἂν δέχ. eſt in Juntina.

ἡμῖν ὄντος] Guelf. ὑμῖν ὄντος, cum Philelpho, qui deinde etiam ὑμᾶς expreſſit, quod refert margo Steph. 2.

29. τοιαῦτα ἔλεγον] Ex Guelf. et Philelpho τάδε annotavit Zeune, ſed τοιάδ᾽ ex Guelf. appoſuit Fiſcher.

καὶ ἐξήγαγες] Copulam ex Guelf. et Philelpho cum Zeunio inſerui: iidem libri deinde σοι et εἶναι omittunt, et ἄγε pro ἀπάγαγε dant. Sed ἀνάγειν, hoc eſt *reducere*, priori ἐξάγειν congruit.

ἀκούσας ταῦτα] Hoc ordine cum Guelf. Zeune; minus euphoniæ ſtudioſus Weiſke vulgatum ταῦτα ἀκούσας retinuit.

δός μοι] Guelf. omiſſo μοι poſt νικῆσαι inſerit με, quam lectionem retulit etiam margo Steph.

30. φύλακας] Vide mihi interpretum inconſtantiam. Qui ſupra iii. 3, 33. et iv. 1, 1. φυλακὰς ſcripſerat Zeune, idem hic ſubito mutatus φύλακας dedit, ubi Stephanus φυλακὰς

Πέρσας διαλαβεῖν τὰς σκηνὰς, τοῖς μὲν ἱππεῦσι τὰς τούτοις πρεπούσας, τοῖς δὲ πεζοῖς τὰς τούτοις ἀρκούσας· καὶ οὕτω καταστήσασθαι, ὅπως ποιοῦντες οἱ ἐν ταῖς σκηναῖς ἅπαντες τὰ δέοντα φέρωσιν εἰς τὰς τάξεις τοῖς Πέρσαις, καὶ τοὺς ἵππους τεθεραπευμένους παρέχωσι, Πέρσαις δὲ μηδὲν ἄλλο ᾖ ἔργον, ἢ τὰ πρὸς τὸν πόλεμον ἐκπονεῖν. Ταύτην μὲν οὖν οὕτω τὴν ἡμέραν διήγαγον·

CAP. II.

Cyrus proficiſcitur ad Gobryam: hic ſe et ſua omnia tradit Cyro.

ΠΡΩΙ δ' ἀναστάντες ἐπορεύοντο πρὸς τὸν Γωβρύαν, Κῦρος μὲν ἐφ' ἵππῳ, καὶ οἱ Περσῶν ἱππεῖς, γεγενημένοι ἀμφὶ τοὺς δισχιλίους· οἱ δὲ τὰ τούτων γέρρα καὶ τὰς κοπίδας ἔχοντες ἐπὶ τούτοις εἵποντο, ἴσοι ὄντες τὸν ἀριθ-

prodidit, qui duobus illis locis alteram formam probaverat. Ita iterum infra c. 3. ſect. 51. ubi Weiſkius etiam φύλακας dedit, qui tribus locis antea formam alteram ediderat. Uſum Xenophonteum ſi ſpectaveris, occurret καθίστασθαι ἐργάτας et δασμοφόρους infra vii. 6, 79. Supra iv. 5, 46. eſt ἱππέας καταστῆσαι ἐπὶ τοὺς ἵππους pro ἀναβιβάζειν ſect. 50. ſic iv. 5, 58. ἄρχοντα καθιστάναι, et iv. 3, 8. ἱππικὸν καθιστάναι. In Anabaſi iii. 2, 2. ſine varietate eſt προφύλακας καταστήσαντες, ſed vi. 3, 21. φυλακὰς ποιησάμενοι ἐκάθευδον. In Œcon. xii. 14. eſt ἐπιμελητὰς καθιστάναι. In Hipparchico i. 9. ἱππέας καθιστάναι; ſed ix. 3. eſt εἰ ἱππέας ξένους καταστήσαιντο. De Reditibus v. 1. eſt εἰρηνοφύλακας καθιστάναι; denique in Republica Athenienſium iii. 4. eſt τριήραρχοι καθίστανται et φύλακας δεσμωτῶν καταστῆσαι. Quamvis vero in libro de Republica Laced. ii. 2. et alibi ſit αἱ ἀρχαὶ καθίστανται pro ἄρχοντες, ſæpius tamen et rectius mihi καθιστάναι φύλακας dictum videtur pro *facere*, *conſtituere*, *creare*, uſu formæ activæ et mediæ promiſcuo: contra καθιστάναι de re dictum ſignificat plerumque *ordinare*, *corrigere* vel *reſtituere*. Itaque φύλακας ubique ſcripſi. In Hiſtor. Gr. iii. 2, 14. eſt tamen ἱκανὰς φυλακὰς καταστήσαντες.

καταστήσαντας] Ita cum libris Brodæi et Guelf. Steph. et Zeune. μεταστήσαντας, etiam μεταστήσοντας Edd. pr. deinde Guelf. καταστήσεσθαι præbet.

ἅπαντες τὰ] Guelf. πάντες τά. Philelphus πάντα reddidit. Camerarius etiam πάντα reddidit et cum καταστήσασθαι copulavit. Mihi etiam πάντα præplacet comparanti locum ſimillimum ſupra ii. 1, 22. προσέταξε τοῖς ὑπηρέταις ἑκάστοις τῶν στρατιωτῶν ἱκανῶς ὧν ἐδέοντο πάντα πεποιημένα παρασχεῖν. deinde ἵππους τεθραμμένους neſcio unde margo Steph. retulit.

ᾖ ἔργον ἢ] Edd. pr. ᾖ omittunt et in Guelf. corrector delevit. deinde τὸν ante πόλεμον recte ex Guelf. inſeruit Zeune. Ita viii. 1, 23. τὰ περὶ τοὺς θεοὺς ἐκπονεῖν. et ſupra ii. 1, 21. ἀσκεῖν τὰ ἀμφὶ τὸν πόλεμον.

μὲν οὖν] Ex Guelf. οὖν inſeruit Zeune: idem liber διῆγον τὴν ἡμέραν.

1. τὸν Γωβρύαν] Articulum cum Zonara omittit Guelf. deinde ἐφ' ἵππου Guelf. ἔφιππος Zonaras.

ἀμφὶ τοὺς] Guelf. εἰς δισχιλίους cum Philelpho et Zonara, quod recepit Zeune.

μόν. Καὶ ἡ ἄλλη δὲ στρατιὰ τεταγμένη ἐπορεύετο.
Ἕκαστον δὲ ἐκέλευσε τοῖς καινοῖς ἑαυτῶν θεράπουσιν
εἰπεῖν, ὅτι, ὅστις ἂν αὐτῶν ἢ τῶν ὀπισθοφυλάκων φαίνη-
ται ὄπισθεν, ἢ τοῦ μετώπου πρόσθεν ἴῃ, ἢ κατὰ πλάγια
ἔξω τῶν ἐν τάξει ὄντων ἁλίσκηται, κολασθήσεται. Δευ- 2
τεραῖοι δὲ ἀμφὶ δείλην γίγνονται πρὸς τῷ Γωβρύου χω-
ρίῳ, καὶ ὁρῶσιν ὑπερίσχυρόν τε τὸ ἔρυμα, καὶ ἐπὶ τῶν
τειχῶν πάντα παρεσκευασμένα, ὡς ἂν κράτιστα ἀπο-
μάχοιτο· καὶ βοῦς δὲ πολλοὺς καὶ πάμπολλα πρό-
βατα ὑπὸ τὰ ἐρυμνὰ προσηγμένα ἑώρων. Πέμψας δὲ 3
ὁ Γωβρύας πρὸς τὸν Κῦρον ἐκέλευσε περιελάσαντα ἰδεῖν,
ᾗ ἡ πρόσοδος εὐπετεστάτη, εἴσω δὲ πέμψαι πρὸς ἑαυτὸν
τῶν πιστῶν τινάς, οἵτινες αὐτῷ τὰ ἔνδον ἰδόντες ἀπαγγε-
λοῦσιν. Οὕτω δὴ ὁ Κῦρος αὐτὸς μὲν τῷ ὄντι βουλόμενος 4

ἄλλη δὲ] Lectionem Guelf. dedi pro ἄλλη δὴ — ἐπορεύετο τεταγμένη. Etiam Zeune δὲ posuit; antiquum δὴ revocavit Weiſke.

θεράπουσιν] Ita ex correctione Guelf. a manu prima θεραπεύουσι habet.

ἴῃ] Ita margo Steph. εἴη Guelf. unde recte inſeruit Zeune; ſed iterum ſprevit Weiſke, quamvis manifeſtum eſſe videatur Xenophontem variare voluiſſe orationem. Præcedit enim φαίνηται, ſequitur ἁλίσκηται; quod poſtremum verbum ſi duobus colis ſufficere poſtremis poſſit, primum etiam ſeu tertium idem adſciſcere et ſuo φαίνηται carere poterat.

ἐν τάξει] Ex Guelf. articulum τῇ interſeruit Zeune.

2. Γωβρύου] Juntina et Zonaras Γωβρύα. deinde ex Guelf. vulgatum ἀπομάχοιντο correxi.

ἐρυμνὰ] Stephanus neſcio unde acceptum ἐρύματα edidit.

3. πρὸς τὸν Κ.] Sequor cum Zeunio librum Guelf. et Philelphi; vulgo eſt ὁ Γωβρύας ἐκέλ. τὸν Κῦρον περιελάσαντα. deinde εἰ ἡ πρόσοδος Edd. pr. et Guelf. veram ex Budenſi dedit ſecunda Stephani Editio; quæ poſtea οἵτινες αὐτῷ dedit pro vulgato Edd. pr. Bodl. et Guelf. αὐτῶν ex correctione Leoncl. cum quo ſenſit Muretus, Philelphus et Camerarius.

4. τῷ ὄντι] Mihi hæc verba locum alienum occupaſſe videbantur. Fuit fortaſſe olim ſcriptum εἰ τῷ ὄντι οὐχ αἱρέσιμον εἴη τὸ τεῖχος. Eſt etiam alterum vitii indicium, quod non latuit Weiſkium. Si enim recte habent verba εἴ πῃ εἴη αἱρέσιμον τὸ τεῖχος, tum ſequentia male habent: contrarium enim non dicunt, ſed idem: ἢ ψευδὴς φ. ὁ Γωβρύας. Scilicet ſi revera locus capi arte poterat, tum mendax reperiebatur Gobryas. Camerarius igitur animadverſo vitio vertit: *plane volens perſpicere an alicubi illa mœnia expugnari poſſent et mendax Gobryas reperiretur*. Scriptum igitur legit aut voluit καὶ ψευδής. Quod remedium eſſet facillimum, niſi verba τῷ ὄντι curanda ſupereſſent. Weiſke omnem loci difficultatem tollere conatus eſt ἢ mutato in εἰ; itaque locum vertebat: *re vera Cyrus videre volebat an aliqua ex parte urbs capi poſſet, ſi forte Gobryas fallaciter ageret*. Verum hanc conditionem et cauſam Xenophon ſi ſignificare ſimul voluiſſet, oratione nimis brevi adeoque obſcura uſus eſſet.

ἰδεῖν, εἴ πῃ εἴη αἱρέσιμον τὸ τεῖχος, ἢ ψευδὴς φαίνοιτο ὁ
Γωβρύας, περιήλαυνε πάντοθεν, ἑώρα τε ἰσχυρότερα
πάντα ἢ προσελθεῖν· οὓς δ᾽ ἔπεμψε πρὸς Γωβρύαν,
ἀπήγγελλον τῷ Κύρῳ, ὅτι τοσαῦτα εἴη ἔνδον ἀγαθὰ,
ὅσα ἐπ᾽ ἀνθρώπων γενεὰν, ὡς σφίσι δοκεῖν, μὴ ἂν ἐπι-
5 λείπειν τοὺς ἔνδον ὄντας. Ὁ μὲν δὴ Κῦρος ἐν φροντίδι
ἦν, ὅ τί ποτε εἴη ταῦτα· ὁ δὲ Γωβρύας αὐτός τε ἐξῄει
πρὸς αὐτὸν, καὶ τοὺς ἔνδοθεν πάντας ἐξῆγε, φέροντας
οἶνον, ἄλφιτα, ἄλευρα, ἄλλους δὲ ἐλαύνοντας βοῦς, αἶ-
γας, οἶς, σῦς, καὶ εἴ τι βρωτὸν, πάντα ἱκανὰ προσῆγον,
ὡς δειπνῆσαι καλῶς ἅπασαν τὴν σὺν Κύρῳ στρατιάν.
6 Οἱ μὲν δὴ ἐπὶ τούτῳ ταχθέντες διῄρουν τε ταῦτα καὶ διη-

εἴ πῃ] Guelf. cum Aldina, εἴ που. deinde γένοιτο pro φαίνοιτο margo Steph. poſtea καὶ ἑώρα πάντοθεν ἢ προσῆλθεν. Juntina, Iſingr. reliquæ Edd cum Guelf. πάντοθεν ἑώρα τε. In Guelf. eſt etiam ἢ προσῆλθεν. Camerarius *quam cum acceſſiſſet* vertens lectionem ἢ προσῆλθεν aliamque ἢ πρόσωθεν annotavit. In margine Steph. ἢ προεῖπεν et ἢ πόῤῥωθεν relatum eſt.

γενεὰν] Ita cum Stephani altera Editione Guelf. et Bodl. γενεὰς Edd. pr. Budenſis liber γενεᾶς præbet.

ὡς σφίσι] Junt. Iſingr. ὥς σφιν. deinde ἐκ λιπεῖν Guelf.

5. αὐτός τε] Mihi adverbium temporis aliquod deeſſe hic videbatur.

φέροντας] Propter ſequens ἄλλους δὲ Leoncl. malebat ἄλλους μὲν h. l. inſerere; at ſimiliter infra vi. 3, 9. eſt προεληλυθότες ἐπὶ χιλὸν, οἱ δ᾽ ἐπὶ ξύλα, ubi Leonclavium οἱ μὲν inſerentem ſequuntur Stephanus, Hutchinſonus, Weltius. Cf. Fiſcheri Animadv. ad Platonis Cratylum Partic. VIII. p. 10.

ἄλφιτα] Ita Junt. Iſingr. unde vocabulum in ſequentibus Edd. omiſſum reſtitui voluit etiam Muretus. In Guelferb. corrector in margine addidit. Philelphus οἶνον καὶ ἄλευρα vertit.

βοῦς, αἶγας] Hic ordo eſt in verſione Philel. Guelferb. et margine Steph. et Leoncl. Vulgarem βοῦς καὶ ὗς, ὄϊας, αἶγας propter incommodum καὶ et formam ὄϊας a Mœri damnatam, mutavit Zeune, a quo monoſyllabum οἶς accepit. In margine enim Steph. ὄϊς—καὶ ὅ τι βρωτόν. In Guelf. ὄεις. Dicitur Attice εἴ τι pro ὅ τι. deinceps προσῆγεν Juntina. Poſtea καλῶς a Philelpho etiam omiſſum, corrector Guelf. margini addidit; in Codice eodem πᾶσαν eſt.

6. διῄρουν τε—καὶ διηκονοῦντο] Ita vulgatum διῃροῦντό τε—καὶ ἐδειπνοποιοῦντο admonitu doctiſſimi viri Fiſcheri mutare ſum auſus. Libri quidem Brodæi διηκονοῦντο ſubminiſtrarunt, quam varietatem, quamvis a Brodæo verbo διῃροῦντο appoſitam, recte ad alterum verbum H. Stephanus retulit. Cum totus exercitus cœnam capere dicatur a Xenophonte, inepte ſtatim exciperentur οἱ ἐπὶ τούτῳ ταχθέντες: nec ad cœnam militibus imperio Cyri ſed carnibus, vino et pane opus erat. Deinde ſi cœnam ſumebat vel exercitus omnis, vel ſelecti a Cyro milites imperio quaſi parebant cœnantes, ſufficiebat verbum δειπνοποιεῖσθαι; nec ſanus quiſquam quæſiviſſet, num ſibi ipſi quiſque carnes diviſerant an potius a miniſtris diviſas in portiones et appoſitas comedebant. Poſtremo lectio διηκονοῦντο ſatis manifeſtum vitii indicium præbet.

κονοῦντο· ὁ δὲ Γωβρύας, ἐπεὶ πάντες αὐτῷ οἱ ἄνδρες ἔξω
ἦσαν, εἰσιέναι τὸν Κῦρον ἐκέλευσε, ὅπως νομίζοι ἀσφαλέ-
στατα. Προεισπέμψας οὖν ὁ Κῦρος προσκόπους καὶ
δύναμιν, καὶ αὐτὸς οὕτως εἰσῄει. Ἐπεὶ δὲ εἰσῆλθεν
ἀναπεπταμένας ἔχων τὰς πύλας, παρεκάλει πάντας
τοὺς φίλους καὶ ἄρχοντας τῶν μεθ᾽ ἑαυτοῦ. Ἐπεὶ δὲ 7
ἔνδον ἦσαν, ἐκφέρων ὁ Γωβρύας φιάλας χρυσᾶς, καὶ
πρόχους, καὶ κάλπιδας, καὶ κόσμον παντοῖον, καὶ δα-
ρεικοὺς ἀμέτρους τινὰς, καὶ πάντα καλὰ, καὶ τέλος τὴν
θυγατέρα, δεινόν τι κάλλος καὶ μέγεθος, πενθικῶς δὲ
ἔχουσαν τοῦ ἀδελφοῦ τεθνηκότος, ἐξάγων, τάδε εἶπεν·
Ὦ Κῦρε, ἐγώ σοι τὰ μὲν χρήματα ταῦτα δίδωμι, τὴν δὲ
θυγατέρα ταύτην ἐπιτρέπω διαθέσθαι, ὅπως ἂν σὺ
βούλῃ· ἱκετεύομεν δὲ, ἐγὼ μὲν καὶ πρόσθεν τοῦ υἱοῦ,
αὕτη δὲ νῦν τοῦ ἀδελφοῦ τιμωρὸν γενέσθαι σε.

Ὁ δὲ Κῦρος πρὸς ταῦτα εἶπεν· Ἀλλ᾽ ἐγώ σοι μὲν καὶ 8
τότε ὑπεσχόμην, ἀψευδοῦντός σου, τιμωρήσειν εἰς δύνα-

πάντες αὐτῷ] Hic ordo Guelf. ubi tamen eſt αὐτῶν, correctum αὐτοῦ.

Κῦρον ἐκέλευσεν—νομίζοι] Ita Guelf. Vulgo ἐκέλευσε poſt εἰσιέναι collocatum legitur. Juntina ἐκέλευε habet; νομίζει Steph. dedit. ἀσφαλέστατον deinceps in Guelf. eſt.

καὶ αὐτὸς] Omiſſa copula Guelferb. εἰσῆλθον (correctum εἰσῆλθεν) τὰς πύλας ἔχων, παρ. τοὺς φ. πάντας.

7. Ἐπεὶ δὲ] Guelf. ἐπειδὴ δὲ, quod recepit Zeune: ex eodem et Leidenſi apud Oudendorpium ad Thomam M. πρόχους ſubſtituit vulgari προχόους.

δαρεικοὺς] In Guelf. erat antea δαρεικάς. Ex Eckhelio Doctrina numorum veterum p. i. vol. iii. admonet Weiſke daricum Muſei Cæſarei Vindobonenſis eſſe auri puriſſimi, admixta tantum parte 24. alieni metalli; fuiſſe daricos etiam argenteos, et valuiſſe pro pondere drachmas 20. Atticas ſecundum decuplam auri ad argentum rationem. Ceterum recte Muretus ad h. l. *Itane, quæſo, Daricos? At Darici illis temporibus nulli erant. Tale igitur eſt, quale illud Virgilii 6. Æneid. Portuſque quære Velinos.*

καὶ πάντα καλὰ] Guelf. πάντα καλὰ πολλὰ, τέλος. Philelphus *omnia valde perpulchra*: videtur igitur πάντα πάνυ καλὰ legiſſe in libro ſuo. Mihi locus deſiderare videtur aut potius poſtulare καὶ πάντα τὰ καλὰ, id eſt καὶ εἴ τι καλὸν εἶχεν, ut erat antea καὶ εἴ τι βρωτόν. Zeune malebat πάνυ καλὰ πολλὰ ex Guelf. lectione efficere.

δεινόν τι] Ita recte Guelf. Philel. verſio et margo Leoncl. et Steph. pro vulgari δεινὸν ἄρα: ex iiſdem libris ἐξάγων pro vulgari ἐξαγαγὼν ductum eſt.

τάδε] Guelf. cum Philel. et marg. Steph. ὧδε: et ſequens ἐγώ σοι, ὦ K. iidem libri dederunt pro ὦ K. ἐγώ σοι. deinceps δωροῦμαι pro δίδωμι habent.

8. καὶ τότε] Edd. primæ καὶ ταῦ-

μιν· νῦν δὲ, ὅτε σε ἀληθεύοντα ὁρῶ ἤδη, ὀφείλω τὴν ὑπό-
σχεσιν· καὶ ταύτῃ ὑπισχνοῦμαι τὰ αὐτὰ ταῦτα σὺν
θεοῖς ποιήσειν. Καὶ τὰ μὲν χρήματα ταῦτα, ἔφη, ἐγὼ
μὲν δέχομαι, δίδωμι δ' αὐτὰ τῇ παιδὶ ταύτῃ, καὶ ἐκεί-
νῳ, ὃς ἂν γήμῃ αὐτήν. Ἓν δὲ δῶρον ἄπειμι ἔχων παρὰ
σοῦ, ἀνθ' οὗ ἐγὼ οὐδ' ἂν τὰ ἐν Βαβυλῶνι, ἐν ᾗ πλεῖστά
ἐστιν, οὐδὲ τὰ πανταχοῦ [ἀντὶ τούτου, οὗ σύ μοι δεδώρη-
9 σαι] ἥδιον ἂν ἔχων ἀπέλθοιμι. Καὶ ὁ Γωβρύας, θαυ-
μάσας, τί ποτε τοῦτο εἴη, καὶ ὑποπτεύσας, μὴ τὴν θυ-
γατέρα λέγοι, οὕτως ἤρετο· Καὶ τί τοῦτ' ἐστὶν, ἔφη, ὦ
Κῦρε; Καὶ ὁ Κῦρος ἀπεκρίνατο, Ὅτι, ἔφη, ὦ Γωβρύα,
πολλοὺς μὲν οἴομαι εἶναι ἀνθρώπους, οἳ οὔτε ἀσεβεῖν ἂν
θέλοιεν οὔτε ἀδικεῖν, οὔτε ἂν ψεύδοιντο ἑκόντες εἶναι· διὰ
δὲ τὸ μηδένα αὐτοῖς ἠθεληκέναι προέσθαι μήτε χρήματα
πολλὰ μήτε τυραννίδα μήτε τείχη ἐρυμνὰ μήτε τέκνα
ἀξιέραστα, ἀποθνήσκουσι πρότερον, πρὶν δῆλοι γενέσθαι,
10 οἷοι ἦσαν· ἐμοὶ δὲ σὺ νυνὶ καὶ τείχη ἐρυμνὰ καὶ πλοῦτον
παντοδαπὸν καὶ δύναμιν τὴν σὴν καὶ θυγατέρα ἀξιόκτη-
τον ἐγχειρίσας, πεποίηκάς με δῆλον γενέσθαι πᾶσιν ἀν-
θρώποις, ὅτι οὔτ' ἂν ἀσεβεῖν περὶ ξένους ἐθέλοιμι οὔτ' ἂν

τα. Philelphus utrumque legiſſe videtur.

ὅτι σε] In Guelf. eſt ὅτι ὁρῶ ὀφείλων τήν. ſed verba ὅτι ὁρῶ in raſura ſcripta ſunt, et videtur antea fuiſſe σε ἐρῶ. Corrector in margine σε ἀληθεύοντα atque ἤδη addidit: ultimam denique in ὀφείλων literam raſura fere delerat. Poſſit alicui ὅτι σε ἀληθεύοντα ὁρῶ, ὀφείλω τὴν ὑπόσχεσιν præplacere.

καὶ ταύτῃ] Huic filiæ tuæ. ſequentia τὰ αὐτὰ Juntina omiſit.

ἐγὼ μὲν δέχομαι] Vulgo erat χρήματα, ἔφη, ἐγὼ ταῦτα δέχομαι. Zeune quaſi ex Guelf. et Philelpho dedit χρ. ἔφη, ἐγὼ μὲν δέχ. omiſſo ταῦτα, quod Weiſke poſt ἐγὼ μὲν collocavit. Sed in Guelf. eſt, teſte Fiſchero, ea ſcriptura, quam dedi, et deinde κἀκείνῳ.

οὗ ἐγὼ] Guelf. ἐγὼ omittit; deinde pro ἐν ᾗ margo Steph. dat εἰ ἐκεῖ. In Guelf. eſt βαβυλῶνι ἐκεῖ πλεῖστα, vulgata in margine adſcripta.

[ἀντὶ τούτου — δεδώρησαι] Secluſi verba, quæ mihi non ſolum verborum ſtructuram et compoſitionem mirifice impedire, ſed etiam repetere inepte antea breviter dicta videntur.

9. τί ποτε τοῦτο] Guelf. θαυμάσας τε τί τοῦτ' εἴη. deinde λέγει Ald. Junt. Iſingr.

Ὅτι, ἔφη] Deinceps ἐγὼ ex Guelf. et Philel. inſeruit Zeune: poſtea οἶμαι ἀνθρώπους omiſſo εἶναι Guelf.

πολλὰ] Junt. Iſingr. μεγάλα poſtea δῆλοι γίγνεσθαι Guelf.

10. νυνὶ] Ex Guelf. pro νῦν recepit Zeune; idem liber deinde ἐγχειρήσας —θέλοιμι—χρημάτων ἕνεκα.

ἀδικεῖν χρημάτων ἕνεκεν, οὔτε συνθήκας ἂν ψευδοίμην
ἑκὼν εἶναι. Τοῦτ' οὖν ἐγώ σοι, εὖ ἴσθι, ἕως ἂν ἀνὴρ 11
δίκαιος ὦ, καὶ δοκῶν εἶναι τοιοῦτος ἐπαινῶμαι ὑπ' ἀν-
θρώπων, οὔποτ' ἐπιλήσομαι· ἀλλὰ πειράσομαί σε ἀν-
τιτιμῆσαι πᾶσι τοῖς καλοῖς. Καὶ ἀνδρὸς δ', ἔφη, τῇ
θυγατρὶ μὴ φοβοῦ ὡς ἀπορήσεις ἀξίου ταύτης· πολλοὶ 12
γὰρ καὶ ἀγαθοὶ φίλοι εἰσὶν ἐμοί· ὧν ὅστις γαμεῖ αὐ-
τήν, εἰ μέντοι χρήματα ἕξει τοσαῦτα, ὅσα δίδως, ἢ καὶ
ἄλλα πολλαπλάσια τούτων, οὐκ ἂν ἔχοιμι εἰπεῖν· σὺ
μέντοι εὖ ἴσθι, ὅτι εἰσί τινες αὐτῶν, οἳ, ὧν μὲν σὺ δίδως
χρημάτων, οὐδὲ μικρὸν τούτων ἕνεκά σε μᾶλλον θαυμά-
σουσιν· ἐμὲ δὲ ζηλοῦσι νυνὶ, καὶ εὔχονται πᾶσι θεοῖς
γενέσθαι ποτὲ καὶ ἑαυτοὺς ἐπιδεῖξαι, ὡς πιστοὶ μέν εἰσιν
οὐδὲν ἧττον ἐμοῦ τοῖς φίλοις, τοῖς δὲ πολεμίοις ὡς οὔποτ'
ἂν ὑφεῖντο ζῶντες, εἰ μή τις θεὸς βλάπτοι· ἀντὶ δ' ἀρε-
τῆς καὶ δόξης ἀγαθῆς ὅτι οὐδ' ἂν τὰ Σύρων πρὸς τοῖς
σοῖς καὶ Ἀσσυρίων πάντα προέλοιντο· τοιούτους ἴσθι
ἄνδρας ἐνταῦθα καθημένους. Καὶ ὁ Γωβρύας εἶπε γε- 13

ἂν ψευδοίμην] Hoc ordine cum Guelf. Zeune; reliquæ Edd. invertunt.

11. Τοῦτ' οὖν] Margo Guelf. τούτων annotat, quod Philelphus vertit. τοῦτον Caſtal. Bryl. deinde σοι cum Philelpho Guelf. omiſit. Brodæus συ legi voluit.

ἕως ἂν] Ex Guelf. ἂν cum Zeunio et Fiſchero adſcivi. deinde κἀγαθοὶ Guelf.

12. ὧν ὅστις—αὐτὴν] Guelf. φίλοι εἰσὶν, ὧν τις γαμεῖ ταύτην; ſed corrector ἐμοὶ addidit. Etiam Philelphus τις reddidit. Sequens εἰ μέντοι vitioſum ſenſit etiam Weiſke cum propter ſequens μέντοι tum propter ſententiam. Igitur cum eo εἰ μὲν χρήματα malim.

χρήματα ἕξει] Guelf. χρήμαθ' ἥξει.

σὺ μέντοι] Ita Cyrus eleganter et humane ſignificat Gobryæ apud ſe ſuoſque virtutis gloriæque pretium multo eſſe majus quam omnium omnino divitiarum.

ἐπιδεῖξαι] Guelf. ἐπιδείξασθαι, omiſſis verbis ποτὲ καὶ ἑαυτοὺς, ſed corrector καὶ ἑαυτοὺς in margine addidit. Philelphus ποτὲ ἐπιδείξασθαι reddidit. Mihi ſcriptura γενέσθαι ποτὲ ἐπιδείξασθαι præplacet. ſenſus enim verborum καὶ ἑαυτοὺς elegantius redditur in ſequentibus οὐδὲν ἧττον ἐμοῦ. Attamen ἑαυτοὺς ἐπιδεῖξαι eſt dictum pro ἐπιδείξασθαι ſimplice.

ὡς οὔποτ'] Ita cum Guelf. Philel. et margine Steph. Zeune: ceteræ Edd. οὐδέποτ' omiſſo ἂν, Weiſkiana ὡς οὐδέποτ' ἂν dedit. Sequens τις ante θεὸς ex Philel. et Guelf. acceſſit; denique Edd. pr. περιέλοιντο correxit Brodæus.

τοιούτους ἴσθι] Ita cum Juntina ſcripſi pro τοιούτους ἄνδρας εὖ ἴσθι. Aldina eandem dedit lectionem, ſed εὖ ἴσθι poſt ἄνδρας etiam addidit.

13. εἶπε γελάσας] Ita Guelf. pro vulgato ante Zeunium ἐπιγελάσας,

λάσας, Πρὸς τῶν θεῶν, ἔφη, ὦ Κῦρε, δεῖξόν δή μοι, ποῦ
οὗτοί εἰσιν, ἵνα σε τούτων τινὰ αἰτήσωμαι παῖδά μοι γε-
νέσθαι. Ἀμέλει, ἔφη, οὐδὲν ἐμοῦ σε δεήσει πυνθάνε-
σθαι, ἀλλ' ἢν σὺν ἡμῖν ἕπῃ, αὐτὸς σὺ ἕξεις καὶ ἄλλῳ
δεικνύναι αὐτῶν ἕκαστον.

Gobryas in castra invitatus Persarum cœnam admiratur.

14 Τοσαῦτα δ' εἰπὼν, δεξιάν τ' ἔλαβε τοῦ Γωβρύα, καὶ
ἀναστὰς ἐξῄει, καὶ τοὺς σὺν αὐτῷ πάντας ἐξήγαγε· καὶ
πολλὰ δεομένου τοῦ Γωβρύα ἔνδον δειπνεῖν, οὐκ ἠθέλησεν·
ἀλλ' ἐν τῷ στρατοπέδῳ ἐδείπνει, καὶ τὸν Γωβρύαν σύν-
15 δειπνον παρέλαβεν. Ἐπὶ στιβάδος δὲ κατακλιθεὶς
ἤρετο αὐτὸν ὧδε· Εἰπέ μοι, ἔφη, ὦ Γωβρύα, πότερον οἴει
σοὶ εἶναι πλείω ἢ ἡμῶν ἑκάστῳ στρώματα; Καὶ ὃς εἶ-
πεν, Ὑμῖν νὴ τὸν Δί' εὖ οἶδ' ὅτι, ἔφη, καὶ στρώματα
πλείω ἐστὶ καὶ κλίναι, καὶ οἰκία γε πολὺ μείζων ἡ
ὑμετέρα τῆς ἐμῆς· οἵ γε οἰκίᾳ μὲν χρῆσθε γῇ τε καὶ οὐ-
ρανῷ, κλίναι δ' ὑμῖν εἰσιν, ὁπόσαι γένοιντ' ἂν εὐναὶ ἐπὶ
γῆς· στρώματα δὲ νομίζετε, οὐχ ὁπόσα πρόβατα φύει
ἔρια, ἀλλ' ὁπόσα φρύγανα ὄρη τε καὶ πεδία ἀνίησι.
16 Τὸ μὲν δὴ πρῶτον συνδειπνῶν αὐτοῖς ὁ Γωβρύας καὶ ὁρῶν

quod corrector in Codice annotavit, ex quo articulus etiam τῶν ante θεῶν accessit. idem liber ὦ ante Κῦρε omisit, sed δὴ ante μοι addidit. Ceterum quod Gobryas subridet, nec admiratione virtutis abreptus stupet aut in lacrimas effunditur, Weiske caussam ejus rei commentus refert ad paternum Gobryæ amorem, qui Cyrum pudore suspicetur impedire, quo minus se statim virginis maritum futurum profiteatur.

Ἀμέλει, ἔφη] Guelf. et Philelphi lectionem καὶ ὁ Κῦρος εἶπεν; deinde Guelf. οὐδὲν δεήσοι—ἀλλ' ἂν σὺ ἡμῖν.

14. Τοσαῦτα δ'] Guelf. cum Philel. τοσαῦτ' εἰπὼν, δεξιάν τε λαβών. deinde idem liber Guelf. cum margine Steph. μεθ' αὐτοῦ ἐξῆγεν ἅπαντας.

παρέλαβεν] In Junt. et Ald. sequebantur verba μέγιστον δ'—παρατίθεσθαι huc ex sectione 19. quæ alienum in locum immigrasse ante Stephanum admonuit Brodæus; atque adeo in Bryl. et Isingr. Edd. verba spuria omissa sunt. Ibi vero sequitur καὶ ἐπὶ στιβάδος. Aldina ἐπὶ στιβάδος δὲ dedit. Quod posui, ex Philel. Bodl. et Guelf. duxit Zeune; postea κατακλινεὶς præbet Guelf.

15. οἴει σοὶ εἶναι] Ita ex Guelf. Zeune, ante quem erat οἴει εἶναί σοι πλείω ἢ ἡμῶν ἑκάστῳ.

νὴ τὸν Δί'] Guelf. νὴ διὰ εὖ οἶδ' ὅτι, ἔφη, καὶ στρώματα unde ἔφη post ὅτι inserui; indidem καὶ supplevi, quod etiam Philelphus reddidit.

πολὺ μείζων] Hoc ex Guelf. pro πολλῷ dedit Zeune. deinde idem liber εὐναὶ γένοιντ' ἂν—ὅσα πρόβατα—ἀλλ' ὅσα ὄρη τε. sed corrector φρύγανα addidit.

16. Τὸ μὲν δὴ] Ita cum Philel. et Guelf. libro correxi vulgatum Τότε

τὴν φαυλότητα τῶν παρατιθεμένων βρωμάτων, πολὺ
σφᾶς ἐνόμιζεν ἐλευθεριωτέρους εἶναι αὐτῶν· ἐπεὶ δὲ κα- 17
τενόησε τὴν μετριότητα τῶν συσσίτων· (ἐπ' οὐδενὶ γὰρ
βρώματι οὐδὲ πόματι Πέρσης ἀνὴρ τῶν πεπαιδευμένων
οὔτ' ἂν ὄμμασιν ἐκπεπληγμένος καταφανὴς γένοιτο οὔτε
ἁρπαγῇ οὔτε τῷ νῷ, μὴ οὐχὶ προνοεῖν, ἅπερ ἂν καὶ μὴ
ἐν σίτῳ ὤν· ἀλλ' ὥσπερ οἱ ἱππικοὶ, διὰ τὸ μὴ ταράσ-
σεσθαι ἐπὶ τῶν ἵππων, δύνανται ἅμα ἱππεύοντες καὶ
ὁρᾶν καὶ ἀκούειν καὶ λέγειν τὸ δέον, οὕτω καὶ ἐκεῖνοι ἐν
τῷ σίτῳ οἴονται δεῖν φρόνιμοι καὶ μέτριοι φαίνεσθαι·
τὸ δὲ κεκινῆσθαι ὑπὸ τῶν βρωμάτων καὶ τῆς πόσεως,
πάνυ αὐτοῖς κυνικὸν καὶ θηριῶδες δοκεῖ εἶναι·) ἐνενόησε 18
δὲ αὐτῶν, καὶ ὡς ἐπηρώτων ἀλλήλους τοιαῦτα, οἷα ἐρω-
τηθῆναι ἥδιον ἦν, ἢ μή, καὶ ὡς ἔσκωπτον, οἷα σκωφθῆ-
ναι ἥδιον ἦν, ἢ μή· ἅ τε ἔπαιζον ὡς πολὺ μὲν ὕβρεως
ἀπῆν, πολὺ δὲ τοῦ αἰσχρόν τι ποιεῖν, πολὺ δὲ τοῦ χαλε-
παίνεσθαι πρὸς ἀλλήλους. Μέγιστον δ' αὐτῷ ἔδοξεν 19

μὲν δή; eosdem duces in sequentibus corrigendis secutus est mecum Zeune, ubi vulgo legitur: πρῶτον ὁ Γωβρύας συνδειπνῶν αὐτοῖς, ὁρῶν τὴν φ.

εἶναι αὐτῶν] Ita cum Guelf. Zeune pro αὐτῶν εἶναι. In Guelf. tamen a prima manu scriptum ἐλευθερωτέρους legitur.

17. συσσίτων] Hoc ex Mureti correctione pro σίτων dedit Zeune, eamque scripturam postulat causa, quam statim edit Xenophon.

οὔτ' ἂν ὄμμασιν] Hoc melius sonat ex lectione Guelf. quam vulgatum ante Zeunium οὔτε ὄμ. ἄν. sed idem liber ἐμπεπληγμένος, male.

τῷ νῷ] Vulgatum οὔτε νόῳ ex Guelf. correxit Zeune; ex eodem et libris Brodæi προσκοπεῖν prætulit deinde; ante μὴ οὐχὶ intellige ὥστε. Si καταφανὴς γίνεται ὄμμασι καὶ ἁρπαγῇ est *oculis et raptu seu occupatione ciborum prodere nimiam edendi cupiditatem*, quid tum erit τῷ νῷ κατ. γίνεσθαι? Mihi hic olim τῇ φωνῇ scriptum fuisse videbatur.

μὴ ἐν σίτῳ ὢν] Guelf. ἐπὶ σίτῳ ὢν, sed corrector μὴ supplevit.

κυνικὸν] In Guelf. ὑϊκὸν supra scriptum est, συϊκὸν ex suis libris annotavit Brodæus, quod reddidit etiam Philelphus. deinde ἐδόκει εἶναι: ἐνόησε δὲ Guelf.

18. ἐνενόησε] Zeune περὶ supplet ad αὐτῶν, quod mihi durum videtur.

ἦν] Omissum primo loco in Guelf. seclusit Zeune; deinde καὶ ὡς ἔπαιζον Juntina Ald. Isingr.

πολὺ δὲ—ποιεῖν] Mihi hæc suspecta sunt. Quid enim ad jocos convivii pertinet commemoratio facti turpis? An αἰσχρόν τι ποιεῖν indicium continet indignationis in homine jocum non ferente? At ita post χαλεπαίνεσθαι, quod est minus, collocari debuit.

19. αὐτῷ] Edd. pr. αὐτῶν Brodæus correxit. deinde lectio Philel. et Guelf. στρατιᾷ melior videbatur Stephano; vulgatam Zeune defendens

εἶναι, τὸ ἐν στρατείᾳ ὄντας τῶν εἰς τὸν αὐτὸν κίνδυνον ἐμβαινόντων μηδενὸς οἴεσθαι δεῖν πλείω παρατίθεσθαι, ἀλλὰ τοῦτο νομίζειν μεγίστην εὐωχίαν εἶναι, τοὺς συμμάχεσθαι μέλλοντας ὅτι βελτίστους παρασκευάζειν.

20 Ἡνίκα δὲ ὁ Γωβρύας ὡς εἰς οἶκον ἀπιὼν ἀνίστατο, εἰπεῖν λέγεται· Οὐκέτι θαυμάζω, ὦ Κῦρε, εἰ ἐκπώματα μὲν καὶ ἱμάτια καὶ χρυσίον ἡμεῖς ὑμῶν πλείονα κεκτήμεθα, αὐτοὶ δ' ἐλάττονος ὑμῶν ἄξιοί ἐσμεν. Ἡμεῖς μὲν γὰρ ἐπιμελούμεθα, ὅπως ἡμῖν ταῦτα ὡς πλεῖστα ἔσται, ὑμεῖς δέ μοι δοκεῖτε ἐπιμέλεσθαι, ὅπως αὐτοὶ ὡς κράτιστοι ἔσεσθε.

21 Ὁ μὲν ταῦτα εἶπεν· ὁ δὲ Κῦρος, Ἄγ', ἔφη, ὦ Γωβρύα, ὅπως πρωῒ παρέσῃ ἔχων τοὺς ἱππέας ἐξωπλισμένους, ἵνα καὶ τὴν δύναμίν σου ἴδωμεν, καὶ ἅμα διὰ τῆς σῆς χώρας ἄγῃς ἡμᾶς, ὡς ἂν εἰδῶμεν, ἅ τε δεῖ φίλια καὶ πολέμια ἡμᾶς νομίζειν.

22 Τότε μὲν δὴ ταῦτα εἰπόντες ἀπῆλθον ἑκάτερος ἐπὶ τὰ προσήκοντα.

Cyrus a Gobrya et Hyrcanio exquirit, quæ nova sociorum auxilia

Ἐπεὶ δὲ ἡμέρα ἐγένετο, παρῆν ὁ Γωβρύας, ἔχων τοὺς ἱππέας, καὶ ἡγεῖτο. Ὁ δὲ Κῦρος, ὥσπερ προσήκει ἀν-

interpretatur: *qui expeditioni præsunt.* At hoc est στρατηγίᾳ. Weiske *qui expeditionem suscepissent* vertit vulgatam, et verba sic jungit: ὄντας ἐν στρατείᾳ οἴεσθαι μηδενὸς τῶν—ἐμβ. δεῖν παρατ. πλείω. At si μηδενὸς παρατίθεσθαι πλείω est *sibi nihilo plura esse apponenda*, profecto ἑαυτοῖς addendum est. Leonclavius qui μηδενὶ malebat, cetera ita lecta prætulisse videtur τὸ ἐν στρατείᾳ ὄντων καὶ εἰς τὸν αὐτὸν κίνδυνον ἐμβαινόντων μηδενὶ οἴεσθαι δεῖν πλείω παρατίθεσθαι. Quam etiam rationem prætulerim.

μεγίστην] Philel. et Guelf. ἡδίστην deinde Guelf. τοὺς μάχεσθαι, sed correctum.

20. ὁ Γωβρύας] Articulum omisit Guelf. ex quo deinceps ὡς supplevi; ἀπιὼν vim futuri habet.

πλείονα] Guelf. ἐκπόματα—πλέονα.

μὲν γὰρ] Ex Guelf. μὲν accessit. idem cum margine Steph. βέλτιστοι pro ὡς κράτιστοι dat. Pro ἐπιμελεῖσθαι dedi formam, quam Guelf. a prima scriptam habet manu.

21. Ἄγ'] Juntina omisit; deinde παρέσει malebat Zeune; postea ταῦτ' εἶπεν Guelf.

καὶ τὴν δύναμιν] Copulam omisit Guelf. quem si sequaris, tum eodem duce deinde scribendum erit, ἄξεις ἡμᾶς, ὅπως ἄν. Etiam Philelphus ἄξεις reddidit; Edd. pr. ἄξῃς habent, ἄγῃς dedit Steph.

καὶ πολέμια] Edd. pr. ἢ πολέμια; sequens ἡμᾶς omisit Guelf.

22. μὲν δὴ] Guelf. δὴ omisso ἑκάτεροι, quod Aldina etiam et Philel. præferunt.

τοὺς ἱππέας] Articulum omisit Guelf. qui deinde ὡς προσήκει præbet.

δρὶ ἄρχοντι, οὐ μόνον τῷ πορεύεσθαι τὴν ὁδὸν προσεῖχε
τὸν νοῦν, ἀλλ' ἅμα προϊὼν ἐπεσκοπεῖτο, εἴ τι δυνατὸν εἴη
τοὺς μὲν πολεμίους ἀσθενεστέρους ποιεῖν, αὐτοὺς δὲ ἰσχυ-
ροτέρους. Καλέσας οὖν τὸν Ὑρκάνιον καὶ τὸν Γωβρύαν, 23
(τούτους γὰρ ἐνόμιζεν εἰδέναι μάλιστα, ὧν αὐτὸς ᾤετο
δεῖσθαι μαθεῖν) Ἐγώ τοι, ἔφη, ἄνδρες φίλοι, οἴομαι,
σὺν ὑμῖν ὡς πιστοῖς βουλευόμενος περὶ τοῦ πολέμου
τοῦδε, οὐκ ἂν ἐξαμαρτάνειν· ὁρῶ γὰρ ὅτι ὑμῖν ἔτι μᾶλ-
λον ἢ ἐμοὶ σκεπτέον, ὅπως ὁ Ἀσσύριος ἡμῶν μὴ ἐπικρα-
τήσῃ. Ἐμοὶ μὲν γάρ, ἔφη, τῶνδε ἀποσφαλέντι ἐστὶν
ἴσως καὶ ἄλλη ἀποστροφή· ὑμῖν δέ, εἰ οὗτος ἐπικρατή-
σει, ὁρῶ ἅπαντα τὰ ὄντα ἀλλότρια γιγνόμενα. Καὶ 24
γὰρ ἐμοὶ μὲν πολέμιός ἐστιν, οὐκ ἐμὲ μισῶν, ἀλλ' οἰό-
μενος, ἀσύμφορον εἶναι αὐτῷ, μεγάλους εἶναι ἡμᾶς· καὶ
στρατεύει διὰ τοῦτο ἐφ' ἡμᾶς· ὑμᾶς δὲ καὶ μισεῖ, ἀδικεῖ-
σθαι νομίζων ὑφ' ὑμῶν. Πρὸς ταῦτα ἀπεκρίναντο ἀμφό-
τεροι κατὰ ταυτά, περαίνειν, ὅ τι μέλλει, ὡς ταῦτα εἰδόσι
σφίσι καὶ μέλον αὐτοῖς ἰσχυρῶς, ὅπῃ τὰ νῦν παρόντα
ἀποβήσοιτο.

possit adsciscere; et, si via propter Babylonem ducat, non refugiendum, sed nunc maxime illuc iter dirigendum esse, docet.

ἅμα προϊὼν] Junt. omisso ἅμα habet προσιὼν—ἐσκοπεῖτο. Guelf. πρωϊὼν, sed correctum προσιών.

εἴ τι] Guelf. τι et mox μὲν male omisit. postea idem cum Juntina αὐτοὺς δὲ ἰσχυρ. sed a prima manu Guelf. ἢ αὐτοὺς ἰσχυροτέρους habet.

23. εἰδέναι μάλιστα] Hoc ordine Guelf. et Philel. μάλιστα εἰδέναι ante Zeunium legebatur: sed in Guelf. prima manus εἶναι scripserat.

δεῖσθαι μαθεῖν] Ad μαθεῖν intelligo ὥστε. Ante ἄνδρες ex Guelf. ὦ addidit Zeune. idem liber deinde οἶμαι σὺν ὑμῖν ἂν ὡς.

ὁρῶ γὰρ ὅτι] Ita ex Guelf. scripsi, cum antea esset ὁρῶ γὰρ ὑμῖν ἔτι—σκεπτέον ὄν. sed corrector ex ὅτι, quod Aldina etiam præbet, fecit ἔτι. Etiam margo Steph. ὂν apposita stellula notavit.

ἐπικρατήσει] Ita cum Stephano dedi pro ἐπικρατήσῃ. Vide ad iv. 1, 18.

ὁρῶ ἅπαντα] Guelf. ὁρῶ ἅμα πάντα; deinde οἰόμενος ἀσύμφορον ἑαυτῷ μεγάλους εἶναι ἡμᾶς. quam scripturam recepit Zeune. Verum ita ὂν vel simile verbum deesse puto.

24. στρατεύει] Juntinum ἐστράτευσε δὲ corrector in Guelf. inseruit, idem cum Philelpho et Aldina ἀδ. νομίζων dedit pro καὶ ἀδ. νομίζει.

κατὰ ταυτὰ] Ita cum Camerarii libro Zeune pro καὶ τὰ αὐτά; Etiam Gabriel. *una voce* vertit; Camerarius *pariter* posuit: margo Stephan. κατὰ ταῦτα, *propterea* Philelphi versio.

ὅ τι μέλλει] Ita cum Budensi libro Zeune dedit pro ὅτι μέλλει. Cum Stephani altera et Bodl. ὅτι μέλλοι dedit Hutchinson. ὅτι μέλει Guelf. et Philel. Intellige περαίνειν ad μέλλει.

καὶ μέλον] Ita Edd. pr. Budensis et

25 Ἐνταῦθα δὴ ἤρχετο ὧδε, Λέξατε δή μοι, ἔφη, ἡμᾶς
μόνους ἐνόμιζε πολεμικῶς ἔχειν ὁ Ἀσσύριος πρὸς ἑαυτόν·
ἢ ἐπίστασθε, καὶ ἄλλον τινὰ αὐτῷ πολέμιον; Ναὶ μὰ
Δί', ἔφη ὁ Ὑρκάνιος, πολεμιώτατοι μέν εἰσιν αὐτῷ Κα-
δούσιοι, ἔθνος μάλα πολὺ καὶ ἄλκιμον· Σάκαι γε μὴν
ὅμοροι ἡμῖν, οἳ πολλὰ κακὰ πεπόνθασιν ὑπὸ τοῦ Ἀσ-
συρίου· ἐπειρᾶτο γὰρ καὶ ἐκείνους, ὥσπερ καὶ ἡμᾶς,
26 καταστρέψασθαι. Οὐκοῦν, ἔφη, οἴεσθ' ἂν νῦν αὐτοὺς
ἀμφοτέρους ἡδέως ἂν ἐπιβῆναι σὺν ἡμῖν τῷ Ἀσσυρίῳ;
Ἔφασαν, καὶ σφόδρ' ἂν εἴ πῃ γε δύναιντο συμμίξαι.
Τί δ', ἐν μέσῳ, ἔφη, ἐστὶ τοῦ συμμίξαι; Ἀσσύριοι,
27 ἔφασαν, τὸ αὐτὸ ἔθνος, δι' οὗπερ νῦν πορεύῃ. Ἐπεὶ δὲ
ταῦτα ἤκουσεν ὁ Κῦρος, Τί γάρ, ἔφη, ὦ Γωβρύα; οὐ σὺ
τοῦ νεανίσκου τούτου, ὃς νῦν εἰς τὴν βασιλείαν καθέστη-

Guelf. αὐτοῖς dedit Stephanus, qui μέλοι legi voluit. Vulgata si vera est, trajectione verborum satis dura ita est explicanda: ὡς μέλον ἰσχυρῶς καὶ σφίσιν αὐτοῖς (i. e. ἑαυτοῖς) ταῦτα εἰδόσιν, ὅπῃ etc. Sensus est: *sese enim ipsos jam diu anxios expectare quo res sit evasura.* Ita Anab. vi. 4, 20. est: καὶ σχεδόν τι πᾶσα ἡ στρατιὰ, διὰ τὸ μέλειν πᾶσιν, ἐκυκλοῦντο περὶ τὰ ἱερά. ubi Weiske μέλλειν scribi voluit, ut μέλλον h. l. ut μέλλει μοι sit, *mihi longum est*: infra v. 5, 37. πᾶσι γὰρ ἔμελεν ὅ τι ἐκ τούτων ἔσοιτο. ubi vulgo ἔμελλεν editum defendit Weiske, quia ad ἔμελεν desiderari censebat ἰσχυρῶς vel simile adverbium.

τὰ νῦν παρόντα] Hæc in margine Guelf. corrector adscripsit; in textu est τὸ μέλλον, et supra scriptum deinde ἀποβήσεται, quæ est lectio Juntinæ.

25. ἤρχετο] Guelf. ἤρξατο; ex eodem Philel. et Aldina sequens δὴ accessit.

ἡμᾶς μόνους ἐνόμιζε] Juntina et Steph. μόνους ἐνόμιζε, Budensis liber μόνους ἐνομίζετο; contra νομίζει μόνους cum Ald. Philel. et Guelf. Zeune dedit: omnes vero libri ὑμᾶς habent, quod in tam recentem Hyrcaniorum inprimis vero Gobryæ transitum convenire non videtur, ut acute vidit Weiske, cujus correctionem ἡμᾶς adscivi.

πολεμικῶς ἔχειν] Juntina πολεμίζειν dat. sequens τινὰ in Edd. pr. deest.

μάλα πολὺ] Guelf. μάλα omittit; sed τι post πολὺ addit cum Philelpho, qui μὲν πολὺ reddidisse videtur.

πολλὰ κακὰ] Guelf. κακὰ πολλὰ—κἀκείνους. Artaxerxis expeditionem in Cadusios susceptam describit Plutarchus c. 24.

δυσκαταστατώτερον· οὗ ἕνεκα ἥ τε σιωπὴ ἀσκητέα, καὶ
44 ἡ τάξις διαφυλακτέα. Τὰς δὲ νυκτερινὰς, ἔφη, φυλα-
κὰς, ὅταν μέλλητε νυκτὸς ἀναστήσεσθαι, ἀεὶ χρὴ ὡς
βραχυτάτας καὶ ὡς πλείστας ποιεῖσθαι, ὡς μηδένα ἡ
ἐν τῇ φυλακῇ ἀγρυπνία, πολλὴ οὖσα, λυμαίνηται ἐν τῇ
πορείᾳ· ἡνίκα δ' ἂν ὥρα ᾖ πορεύεσθαι, σημανεῖ τῷ κέ-
45 ρατι. Ὑμεῖς δὲ ἔχοντες, ἃ δεῖ ἕκαστον, πάρεστε εἰς τὴν
ἐπὶ Βαβυλῶνος ὁδόν· ὁ δὲ ὁρμώμενος, ἀεὶ τῷ κατ' οὐρὰν
παρεγγυάτω ἕπεσθαι.

46 Ἐκ τούτου δὴ ᾤχοντο ἐπὶ τὰς σκηνὰς, καὶ ἅμα ἀπιόν-
τες διελέγοντο πρὸς ἀλλήλους, ὡς μνημονικὸς ὁ Κῦρος,
47 ὁπόσοις συνέταττε, πῶς ὀνομάζων ἐνετέλλετο. Ὁ δὲ
Κῦρος ἐπιμελείᾳ τοῦτο ἐποίει· πάνυ γὰρ αὐτῷ θαυμα-
στὸν ἐδόκει εἶναι, εἰ οἱ μὲν βάναυσοι ἴσασι τῆς ἑαυτοῦ

Quibus de causis Cyrus militum duces nominatim appellarit.

ἵστασθαι, accidere ad aures, fcriptum a Xenophonte, fufpicor πράττεσθαι omnium tollendum effe, quippe ortum ex varietate lectionis ταράττεσθαι pro ταραχθῆναι.

οὗ ἕνεκα] Guelf. οὕνεκα, fed corrector οὗ addidit. τοὔνεκα ex libris fuis laudavit Brodæus, οὗ εἵνεκα Altorf. deinde φυλακτέα Guelf.

44. ἔφη] Guelf. cum Altorf. omiffo ἔφη habet ἀναστήσεσθαι, quod vulgato ἐξαναστ. prætuli, quia præpofitio hic nullam vim fignificationemve habet. Sequens ἀεὶ pro αἰεὶ ex Guelf. adfcivit Zeune, quod tamen in Codice eft a correctore additum.

ὡς πλείστας] Guelf. ὡς omifit: poft μηδένα Juntina καὶ inferit cum Altorf.

ὡς—λυμαίνηται] Edd. pr. lectio λυμανεῖται eft a correctore in Guelf. adfcripta, et a Zeunio Weifkioque revocata. Equidem Stephanum cum Guelf. fequi malui. Exemplum a Zeunio allatum e Platonis Republ. iv. p. 420. particulæ ὡς futuro indicativi junctæ plane alienum eft, nec ipfe aptius novi.

σημανεῖ] Hoc auctore Guelf. prætuli vulgato σημαίνει. Sic deinde fect. 52. eft ἐσήμηνε τῷ κέρατι, intellige ὁ σαλπιστής.

45. ἕκαστον] Guelf. Altorf. et Philel. ἕκαστοι, quod mihi præplacet. deinde Βαβυλῶνα Guelf.

παρεγγυάτω ἕπεσθαι] Lectionem ineptiffimam Juntinæ, Budenfis et Altorf. ἐγγυτάτω ἑπέσθω revocavit tamen Zeune. Aldinam παρεγγυάτω ἕπεσθαι δή. Ἐκ τούτου ᾤχοντο primus correxit Brodæus, δὴ expungens, quod Stephanus rectius poft τούτου fequentis fectionis tranflocavit. Juntina pro eo οὖν dedit cum Altorfino libro. Silentium imperatur, ne milites colloquiis indulgeant per noctem atque ita forte diftrahantur a fe ; quod tali cavetur παρεγγυήματι.

46. μνημονικὸς] Guelf. μνημονικῶς. Sequens ὁπόσοις difficultatem habet, et dictum effe debet pro ἐκείνοις ὁπόσους. Infolentia cafus fecit ut Camerarius et Leonclavius ὁπόσοις συνέταττε verterent : *fi quid cum aliquibus effet conftituendum.* At eo fenfu συντάττεσθαι medium adhibuit nofter in Anabafi vii. 1, 35.

47. ἐπιμελείᾳ] Latine *ftudio* fic dicitur. deinde πάνυ δὲ Juntina. poftea ἐδόκει θαυμαστὸν Guelf.

τῆς ἑαυτοῦ] Guelf. cum Stephano ita, pro Edd. pr. αὐτῶν. corrector in Guelf. ἑαυτῶν appofuit.

τέχνης ἕκαστος τῶν ἐργαλείων τὰ ὀνόματα, καὶ ὁ ἰατρὸς
δὲ οἶδε καὶ τῶν ὀργάνων καὶ τῶν φαρμάκων, οἷς χρῆται,
πάντων τὰ ὀνόματα· ὁ δὲ στρατηγὸς οὕτως ἠλίθιος
ἔσοιτο, ὥστε οὐκ εἴσεται τῶν ὑφ' ἑαυτῷ ἡγεμόνων τὰ ὀνό-
ματα, οἷς ἀνάγκη ἐστὶν αὐτῷ ὀργάνοις χρῆσθαι, καὶ
ὅταν προκαταλαβεῖν τι βούληται, καὶ ὅταν φυλάξαι,
καὶ ὅταν θαῤῥῦναι, καὶ ὅταν φοβῆσαι. Καὶ ὅταν τι-
μῆσαι δέ ποτέ τινα βούλοιτο, πρέπον αὐτῷ ἐδόκει εἶναι
ὀνομαστὶ προσαγορεύειν. Ἐδόκουν δὲ αὐτῷ οἱ γιγνώ- 48
σκεσθαι δοκοῦντες ὑπὸ τοῦ ἄρχοντος καὶ τοῦ καλόν τι
ποιοῦντες ὁρᾶσθαι μᾶλλον ὀρέγεσθαι, καὶ τοῦ αἰσχρόν
τι ποιεῖν μᾶλλον προθυμεῖσθαι ἀπέχεσθαι. Ἠλίθιον 49
δὲ καὶ τοῦτο αὐτῷ ἐδόκει εἶναι, τὸ, ὁπότε βούλοιτό τι
πραχθῆναι, οὕτω προστάττειν, ὥσπερ ἐν οἴκῳ ἔνιοι προσ-
τάττουσι δεσπόται, Ἴτω τις ἐφ' ὕδωρ, Ξύλα τις σχισά-
τω· οὕτω γὰρ προσταττομένων, εἰς ἀλλήλους τε ὁρᾶν 50

καὶ ὁ ἰατρὸς] Articulum ex Guelf. et Altorf. addidi cum Zeunio. deinde ὁ καὶ στρατηγὸς vertit Philelphus et dedit Leonclaviana poſtrema cum Welſiana.

οὐκ εἴσεται] Guelf. εἴσοιτο, Edd. pr. ἴσεται.

ἑαυτῷ] Vulgatum αὑτὸν ex Guelf. mutavi, ubi corrector ἑαυτὸν dedit. Qui ſupra τῶν ὑφ' αὑτῷ ἀρχόντων ii. 1, 22. dedit Weiſke, cum miror hic αὑτὸν ſine nota tranſmiſiſſe. αὑτῷ hic eſt in Altorfino.

ἡγεμόνων] Hoc vocabulum non legiſſe videntur, qui ex hoc loco retulerunt Cyrum tenuiſſe omnium ſuorum militum nomina, Plinius, Quinctilianus et Valerius Maximus. Cf. Mureti V. L. iii. 1.

αὐτῷ] Guelf. αὑτοῖς. deinde καταλαβεῖν Guelf. cum margine Steph. corrector προκαταλ. dedit. poſtea φυλάξειν Guelf. θρασύναι Altorf.

καὶ ὅταν τιμῆσαι] Cum Brodæo hanc Aldinæ, Philelphi et Steph. lectionem prætuli Juntinæ et Altorf. καὶ πρὸς τὸ τιμῆσαι δὲ, ὁπότε τινὰ βούλοιτο. In Guelf. eadem hæc lectio adeſt, ſed in litura ſcripta. idem deinde τὸ πρέπον dat, et ὀνόματι, ſed corrector ὀνομαστὶ fecit. Altorf. εὐδοκεῖ εἶναι habet. Sententiam ipſam ex Homeri Iliade xii. 68. et Ciceronis Orat. pro Muræna c. 36. illuſtrant viri docti.

48. ποιοῦντες] Altorf. ποιοῦντος, quam ſcripturam ex Edd. quibuſdam memorat Hutchinſon. Idem Altorf. etiam τοῦ καλὸν ποιοῦντος habet; et deinde verba μᾶλλον ὀρέγεσθαι omittit.

49. δὲ καὶ τοῦτο] Ex Steph. Bodl. Guelf. καὶ acceſſit. τοῦτ' ἐδόκει εἶναι αὐτῷ—βούλοιτο ὅτι πραχθῆναι Guelf.

οὕτω] Juntina omiſit, αὐτῷ Altorf. deinde ὡς καὶ ἐν Junt. ὥσπερ καὶ ἐν Altorf. poſtea δεσπόται προστάττουσι.

50. προσταττομένων] In Guelf. a prima manu fuit ſimplex ταττομένων, deinde eſt in eodem libro ἀλλήλους τε ὁρᾶν πάντες τε ἐδόκουν. Edd. pr. et Juntina τε omittunt.

ἅπαντες ἐδόκουν αὐτῷ, καὶ οὐδεὶς περαίνειν τὸ προσταχθέν· καὶ πάντες ἐν αἰτίᾳ εἶναι, καὶ οὐδεὶς τῇ αἰτίᾳ οὔτε αἰσχύνεσθαι, οὔτε φοβεῖσθαι ὁμοίως, διὰ τὸ σὺν πολλοῖς αἰτίαν ἔχειν· διὰ ταῦτα δὴ πάντας ὠνόμαζεν αὐτὸς, ὅτῳ τι προστάττοι.

Cyri cura et sollertia in itinere instituto conficiendo.

51 Καὶ ὁ Κῦρος μὲν δὴ οὕτω περὶ τούτων ἐγίγνωσκεν.
Οἱ δὲ στρατιῶται τότε μὲν δειπνήσαντες, καὶ φύλα-
κας καταστησάμενοι, καὶ συσκευασάμενοι πάντα, ἃ
52 ἔδει, ἐκοιμήθησαν. Ἡνίκα δ' ἦν ἐν μέσῳ νυκτῶν, ἐσή-
μηνε τῷ κέρατι. Κῦρος δ', εἰπὼν τῷ Χρυσάντα, ὅτι
ἐπὶ τῇ ὁδῷ ἐπιμένοι δὴ ἐν τῷ πρόσθεν τοῦ στρατεύματος,
ἐξῄει λαβὼν τοὺς ἀμφ' αὐτὸν ὑπηρέτας· βραχεῖ δὲ χρό-
νῳ ὕστερον παρῆν Χρυσάντας, ἄγων τοὺς θωρακοφόρους.
53 Τούτῳ μὲν οὖν ὁ Κῦρος δοὺς τοὺς ἡγεμόνας τῆς ὁδοῦ, πο-
ρεύεσθαι ἐκέλευεν ἡσύχως, ἕως ἄγγελος ἔλθοι, ὅτι πάν-

ὁμοίως] Cum Philelpho et Camerario ad sequentia retulit Zeune: *propterea quod omnium culpa eadem est.* Weiske ad comparationem cum servis retulit, suo tamen loco motam particulam hanc censens. Cum Stephano ὅμως maluerunt Welsius et Hutchinson, quod et ipse præfero; quanquam abesse omnino malim vocabulum, cui in priore membro simile non respondet.

δὴ πάντας] Ita Guelf. pro αὐτὸς πάντας ὠνόμ.

ὅτῳ τι] Ita Juntina, Philel. Budensis, Guelf. a secunda manu, et Altorf. ὁπότε προστάττοι. Sed Philelphus etiam πάντα vertit, quod Weiske vulgato πάντας præferebat, recte.

51. οὕτω περὶ] Guelf. περὶ τούτων οὕτως ἐγίγνωσκεν, quem ordinem sequitur Zeune. Altorf. καὶ Κῦρος μὲν habet.

φύλακας] Castal. Philel. Guelf. et margo Steph. φυλακάς: vide ad v. 1, 30.

52. μέσῳ] Altorf. μέσων. Formam dicendi refert Zeune ad vigilias nocturnas, in quas nox dividi soleret, unde πρώτη νὺξ sæpe dicatur. Vulgatum ἐσήμαινε ex Guelf. mutavit Zeune.

εἰπὼν] Ex Guelf. Zeune εἶπε— στρατεύματος· ἐξῄει δὲ λαβὼν dedit, quo fit oratio dissoluta, quam ipsam ideo venustam esse vir doctus censebat.

ἐπὶ τῇ ὁδῷ] Guelf. cum margine Steph. ἐπὶ τῇ ἕω: in quo quid lateat, nondum excogitavi. deinde Guelf. βραχὺ a prima manu habet.

παρῆν—ἄγων] Guelf. χρ. παρῆν. Altorf. ἔχων cum Juntina.

53. μὲν οὖν] Philel. et Guelf. οὖν omittunt, ut deinde τοὺς Steph. et Guelf. δοὺς Aldina.

ἔλθοι] Guelf. ἔλθῃ. Est ἡσύχως lento gradu, ut demonstrat oppositum θᾶττον ἄγε sect. 54. sed Altorf. ἥσυχον habet.

ὅτι πάντες] Ita Junt. et Altorf. quam lectionem reddidit etiam Gabr. et Camerar. οὐ γάρ πω ἐν ὁδῷ πάντες ἦσαν Ald. Philel. Bodl. Guelf. quam sequitur cum Zeunio Weiske. Utramque Stephanus ita volebat conjungi ἔλθοι, ὅτι πάντες ἐν ὁδῷ εἴησαν· οὐ γάρ πω ἐν ὁδῷ πάντες ἦσαν.

τες ἐν ὁδῷ· αὐτὸς δὲ ἑστηκὼς ἐν τῷ αὐτῷ τὸν μὲν προσ-
ιόντα προὔπεμπετο ἐν τάξει, ἐπὶ δὲ τὸν ὑστερίζοντα
ἔπεμπε καλῶν. Ἐπεὶ δὲ πάντες ἐν ὁδῷ ἦσαν, πρὸς μὲν 54
Χρυσάνταν ἱππέας ἔπεμψεν, ἐροῦντας, ὅτι ἐν ὁδῷ ἤδη
πάντες· ἄγε δὴ οὖν θᾶσσον. Αὐτὸς δὲ παρελαύνων τὸν 55
ἵππον εἰς τὸ πρόσθεν ἥσυχος, κατεθεᾶτο τὰς τάξεις·
καὶ οὓς μὲν ἴδοι εὐτάκτως καὶ σιωπῇ ἰόντας, προσελαύ-
νων αὐτοῖς, τίνες τε εἶεν, ἤρετο, καὶ ἐπεὶ πύθοιτο, ἐπῄνει·
εἰ δέ τινας θορυβουμένους αἴσθοιτο, τὸ αἴτιον τούτου σκο-
πῶν, κατασβεννύναι τὴν ταραχὴν ἐπειρᾶτο.

Ἓν μόνον παραλέλειπται τῆς ἐν νυκτὶ ἐπιμελείας αὐ- 56
τοῦ, ὅτι πρὸ παντὸς τοῦ στρατεύματος πεζοὺς εὐζώνους οὐ
πολλοὺς προὔπεμπεν, ἐφορωμένους ὑπὸ Χρυσάντα, καὶ

ἐν τῷ αὐτῷ] Margo Steph. Philel. et Guelf. ἐν τῇ ὁδῷ, ex glossa. προὐπέμπετο dimittebat et progredi jubebat: προπέμπειν est deducere.

54. ἤδη] Philel. Junt. Altorf. ἦσαν. Libri Brodæi ἦσαν ἤδη πάντες. Ad rectam orationem subito transit ab obliqua Xenophon, ut faciat narrationem gratiorem.

δὴ οὖν] Altorf. οὖν omittit; οὖν ἤδη Guelf.

55. ἥσυχος] Stephanus ἡσύχως malebat. deinde αὐτοὺς ex correctione Altorf. τίνες τε εἶεν ἤρετο Guelf. cum margine Steph. quod prætuli vulgato οἵ τινες εἶεν, ἠρώτα. Postea αἰσθάνοιτο Junt. et Altorf. iidem cum Aldino libro τὸν αἴτιον. Pro ταραχὴν est in Altorf. ἀρχήν.

56. παραλέλειπται] Juntina παραλέλοιπτο, Ald. et ceteræ παραλέλειπτο. Budensis nostrum habet. Altorf. ἓν παραλέλειπται, sed corrector παραλείπεται dedit, quod ex Guelf. Bodl. et margine Steph. recepit cum Zeunio Weiske. In Guelf. corrector ἓν μὲν οὐ παραλείπεται dedit. Philelphus *relinquebatur* vertit, παραλέλειπτο legens; non rectius cum Hutchinsono vertit Zeune: *Unum modo curæ ejus nocturnæ exemplum exponendum restat.* Quæ significatio in παραλείπεται non magis locum habet quam in plusquamperfecto tempore. In παραλέλειπται sententia inest ea, quam Muretus sic reddidit: *exposita jam a se esse omnia, quæ Cyrus in illo nocturno itinere caute ac prudenter fecerit:* unum modo prætermissum, quod statim subjicit de expeditis illis, quos præmiserit ad explorandam viam.

στρατεύματος] Ita cum margine Steph. et Guelf. scripsi pro στρατοπέδου, quanquam στράτευμα glossam esse censebat Zeune. Verum στρατόπεδον de ipso exercitu tum demum commode et recte dici posse puto, cum est in castris collocatus; verum in itinere locum ista permutatio non videtur habere posse.

ἐφορωμένους—αὐτὸν] In Guelf. ἐφορῶντας correctum fuit, et deinde ὑπακουστοῦντες, quod est a prima manu scriptum, in ὑπακουστοῦντας mutatum: in margine annotatur ὠτακουστοῦντες, supra scripto ὠτακουστοῦντας, quod cum Edd. pr. dat Altorf. Verborum ἐφορ.—αὐτὸν sensum ita reddidit Camerarius: *qucs spectaret Chrysantas, quique hunc vicissim.* In nocte, etiam a luna plena illustrata, non adeo longe poterant ab agmine procedere speculatores, si spectare usque et respicere debebant Chrysantam; adeoque magnus eorum in

ἐφορῶντας αὐτὸν, ὡς ὠτακουστοῦντες, καὶ εἴ πως ἄλλως δύναιντο αἰσθάνεσθαι, σημαίνοιεν τῷ Χρυσάντᾳ, ὅ τι καιρὸς δοκοίη εἶναι· ἄρχων δὲ καὶ ἐπὶ τούτοις ἦν, ὃς καὶ τούτους ἐκόσμει, καὶ τὸ μὲν ἄξιον λόγου ἐσήμαινε, τὸ δὲ
57 μὴ οὐκ ἠνώχλει λέγων. Τὴν μὲν δὴ νύκτα οὕτως ἐπορεύοντο· ἐπεὶ δὲ ἡμέρα ἐγένετο, τοὺς μὲν τῶν Καδουσίων ἱππέας, ὅτι αὐτῶν καὶ οἱ πεζοὶ ἔσχατοι ἐπορεύοντο, παρὰ τούτοις κατέλιπεν, ὡς μηδ᾽ οὗτοι ψιλοὶ ἱππέων ἴοιεν· τοὺς δ᾽ ἄλλους εἰς τὸ πρόσθεν παρελαύνειν ἐκέλευσεν, ὅτι καὶ οἱ πολέμιοι ἐν τῷ πρόσθεν ἦσαν· ὅπως, εἴ τι που ἐναντιοῖτο αὐτῷ, ἀπαντῴη ἔχων τὴν ἰσχὺν ἐν τάξει καὶ μάχοιτο· εἴ τέ τι που φεῦγον ὀφθείη, ὅπως ἐξ ἑτοιμοτά-
58 του διώκοιεν. Ἦσαν δὲ αὐτῷ ἀεὶ τεταγμένοι, οὕς τε διώκειν δέοι, καὶ οὓς παρ᾽ αὐτῷ μένειν· πᾶσαν δὲ τὴν

exploranda via uſus eſſe non poterat. τὰ πρόσω ἐφορᾷν dicuntur ſpeculatores vi. 3, 5. ſed vi. 3, 27. jubentur milites ἐφορᾷν τοὺς καθ᾽ αὐτὸν id eſt reſpicere. Videant viri docti, quæ poſſit ſententia commodior ex verbis iſtis extundi.

δύναιντο] Juntina δύναται: deinde poſt αἰσθάνεσθαι vulgo additum τι cum Guelf. et Zeunio omiſi.

ἐπὶ τούτοις ἦν] Philel. cum Budenſi et Alt. ἐπὶ τούτων εἷς ἦν. Brodæi liber ἐπὶ τούτοις εἷς ἦν. Margo Steph. ἐπὶ τούτῳ εἷς ἦν. Ante Zeunium erat ἐπιτάττων εἷς ἦν, qui cum Mureto et Hutchinſono ſcripturam Bodl. et Guelf. exhibuit.

καὶ τὸ μὲν] Ita cum Guelf. Zeune; καὶ τὸ ἄξιον μὲν revocavit Weiſke.

57. ἐπορεύοντο] Altorf. ἐπορεύετο cum Philelpho. deinde ἐγένετο, τῶν μὲν Καδ. ἐπορεύοντο ἔσχατοι Guelf.

κατέλιπεν] Altorf. κατέλειπεν—ἱππέων εἶεν. Etiam Juntina εἶεν dedit. poſtea ἐκέλευεν Guelf.

εἴ τι που] Guelf. cum Edd. pr. εἴ τε που. ſed εἴ τι που vertit Philelphus, qui et in reliquis facit cum Guelf. quem ſequor cum Philelpho et margine Steph. Nam Edd. ceteræ omnes dant εἴ τι που ἐναντίον αὐτῷ ὑπαντῴη, ὑφ᾽ αὐτῷ ἔχων ἐν τάξει τὴν ἰσχὺν μάχοιτο. ubi inepte ἐναντίον ὑπαντῴη dicitur, etiamſi ἐναντίον pro πολέμιον dictum interpreteris: deinde ὑφ᾽ αὐτῷ ἔχων τὴν ἰσχὺν eſſe deberet *in vicino et quaſi ſub manu habens*: ſed hæc eorum ſignificatio eſſe non poteſt; eaque tamen eſſet ab hoc loco aliena et ſuperflua: nam res vertitur in eo ut ἡ ἰσχὺς ſit ἐν τάξει. Contra equites, qui accerſiti demum a Cyro advenerant, ad inſequendum hoſtem parati eſſe debebant. Nullus igitur locus verbis ὑφ᾽ αὐτῷ relinqui videtur.

διώκοιεν] ſc. οἱ ἱππεῖς, equites accerſiti et præcedentes. Ita cum Edd. pr. et Altorf. pro διώκοι ſcripſi. Ceterum Edd. pr. φεύγων; et in Guelf. τι corrector poſt εἴ τε inſeruit.

58. τεταγμένοι] Deinceps vulgo inſerta verba εἰ δέοι διωγμοῦ, cum jam ſermo ſit de hoſte inſequendo, velut inutilia et inepte repetita, cum Philel. et Guelf. omiſi. Stephano jam ſuſpecta ſecluſit Zeune.

παρ᾽ αὐτῷ] Vulgatum ἑαυτῷ Guelf. in αὐτῷ mutat; mihi etiam id incommodum videbatur. Sequens λυ-

τάξιν λυθῆναι οὐδέποτε εἴα. Κῦρος μὲν δὴ οὕτως ἦγε τὸ 59
στράτευμα· οὐ μέντοι αὐτός γε μιᾷ χώρᾳ ἐχρῆτο, ἀλλ' ἄλλοτε ἀλλαχῆ περιελαύνων ἐφεώρα τε καὶ ἐπεμελεῖτο, εἴ του δέοιντο. Οἱ μὲν δὴ ἀμφὶ Κῦρον οὕτως ἐπορεύοντο.

CAP. IV.

Gadatas a perfido vulneratus servatur a Cyro.

ΕΚ δὲ τοῦ Γαδάτα ἱππικοῦ τῶν δυνατῶν τις ἀνδρῶν, ἐπεὶ ἑώρα αὐτὸν ἀφεστηκότα ἀπὸ τοῦ Ἀσσυρίου, ἐνόμισεν, ὅτι, εἴ τι οὗτος πάθοι, αὐτὸς ἂν λαβεῖν παρὰ τοῦ Ἀσσυρίου πάντα τὰ Γαδάτα· οὕτω δὴ πέμπει τινὰ τῶν ἑαυτοῦ πιστῶν πρὸς τὸν Ἀσσύριον, καὶ κελεύει τὸν ἰόντα, εἰ καταλάβοι ἤδη ἐν τῇ Γαδάτα χώρᾳ τὸ Ἀσσύριον στράτευμα, λέγειν τῷ Ἀσσυρίῳ, ὅτι, εἰ βούλοιτο ἐνεδρεῦσαι, λαβεῖν ἂν τὸν Γαδάταν καὶ τοὺς σὺν αὐτῷ. Δη- 2
λοῦν δὲ ἐνετέλλετο, ὅσην τε εἶχε δύναμιν ὁ Γαδάτας, καὶ ὅτι Κῦρος οὐ συνείπετο αὐτῷ· καὶ τὴν ὁδὸν, ᾗ μέλλοι προσιέναι, ἐδήλωσε. Προσεπέστειλε δὲ καὶ τοῖς αὐτοῦ οἰκέταις, ὡς πιστεύοιτο μᾶλλον, καὶ τὸ τεῖχος, ὃ ἐτύγχανεν αὐτὸς ἔχων ἐν τῇ Γαδάτα χώρᾳ, παραδοῦναι τῷ Ἀσσυρίῳ, καὶ τὰ ἐνόντα· ἥξειν δὲ καὶ αὐτὸς ἔφη, εἰ μὲν δύναιτο, ἀποκτείνας Γαδάταν, εἰ δὲ μὴ, ὡς σὺν τῷ Ἀσ-

θῆναι in χυθῆναι mutavit Juntina, quod in Guelf. etiam corrector adscripsit.

59. ἀλλαχῆ] Juntina cum Altorf. ἄλλη μάχη. deinde ἀφεώρα Guelf.

1. δυνατῶν] Margo Steph. cum Guelf. δυναστῶν: deinde ἀνὴρ Altorf.

ὅτι, εἴ τι] Ita ex Edd. pr. Guelf. et Altorf. Zeune; antea ὅτι aberat: deinde ἂν post αὐτὸς omisit Altorf.

τὰ Γαδάτα] Guelf. a prima manu τὰ ἀγαθὰ habet, ut Philel. et margo Steph.

λαβεῖν ἂν τὸν] Ex Guelf. vulgatum λάβοι ἂν mutavit Zeune: sed in Guelf. corrector ἂν addidit; idem liber cum Altorf. τὸν omittit.

καὶ τοὺς] Juntina cum Altorf. καὶ τοὺς ἄλλους τούς.

2. δύναμιν ὁ Γ.] Guelf. ὁ Γ. δύναμιν. deinde συνέποιτο Edd. pr. quod corrector in Guelf. dedit.

μέλλοι] Guelf. ἐδήλωσεν, ᾗ προσιέναι μέλλοι. Vulgatum μέλλει Zeune defendebat exemplo præcedentis εἶχε. Postea προσαπέστειλε Edd. pr. sequens καὶ omittit Guelf.

αὑτοῦ] Ita cum Stephano Weiske; αὐτοῦ cum Edd. pr. et Guelf. Zeune: ἑαυτοῦ οἰκέτας Altorf.

Γαδάτα—παραδοῦναι] Guelf. Γαδάτου. Juntina cum Altorf. δοῦναι. deinde αὐτὸς ἔφασκεν Guelf.

3 συρίῳ τολοιπὸν ἐσόμενος. Ἐπεὶ δὲ ὁ ἐπὶ ταῦτα ταχθεὶς, ἐλαύνων ὡς δυνατὸν ἦν τάχιστα, ἀφικνεῖται πρὸς τὸν Ἀσσύριον, καὶ ἐδήλωσεν, ἐφ' ἃ ἥκοι· ἀκούσας ἐκεῖνος τό τε χωρίον εὐθὺς καταλαμβάνει, καὶ, πολλὴν ἵππον ἔχων
4 καὶ ἅρματα, ἐνήδρευεν ἐν κώμαις ἀθρόαις. Ὁ δὲ Γαδάτας, ὡς ἐγγὺς ἦν τούτων τῶν κωμῶν, πέμπει τινὰς προερευνησομένους. Ὁ δὲ Ἀσσύριος, ὡς ἔγνω προσιόντας τοὺς διερευνητὰς, φεύγειν κελεύει ἅρματα ἐξαναστάντα δύο ἢ τρία καὶ ἵππους ὀλίγους, ὡς δὴ φοβηθέντας καὶ ὀλίγους ὄντας. Οἱ δὲ προδιερευνηταὶ ὡς εἶδον ταῦτα, αὐτοί τε ἐδίωκον, καὶ τῷ Γαδάτᾳ κατέσειον. Καὶ ὃς ἐξαπατηθεὶς διώκει ἀνὰ κράτος. Οἱ δὲ Ἀσσύριοι, ὡς ἐδόκει ἁλώσιμος εἶναι ὁ Γαδάτας, εὐθέως ἀνίστανται
5 ἐκ τῆς ἐνέδρας. Καὶ οἱ μὲν ἀμφὶ Γαδάταν ἰδόντες, ὥσπερ εἰκὸς, ἔφευγον· οἱ δ' αὖ, ὥσπερ εἰκὸς, ἐδίωκον. Καὶ ἐν τούτῳ ὁ ἐπιβουλεύων τῷ Γαδάτᾳ παίει αὐτὸν, καὶ καιρίας μὲν πληγῆς ἁμαρτάνει, τύπτει δὲ αὐτὸν εἰς τὸν ὦμον, καὶ τιτρώσκει. Ποιήσας δὲ τοῦτο, ἐξίσταται, ὡς σὺν τοῖς διώκουσι γένοιτο· ἐπεὶ δὲ ἐγνώσθη, ὃς ἦν,

3. καταλαμβάνει] Guelf. Philel. et margo Steph. παρέλαβε, quod verum puto: respondet enim præcedenti παραδοῦναι.

4. προερευν.] Ex Guelf. et margine Steph. προδιερευν. recepit Zeune.

διερευνητὰς] Ita cum Philel. Guelf. margine Steph. et Leidensi apud Oudendorpium ad Thomam p. 363. pro διερευνήσοντας scripsit Zeune. In Altorf. est Ὡς δὲ ἔγνω ὁ Ἀσσύριος—Γαδάτῃ.

καὶ ὀλίγους ὄντας] In tanta vicinia verborum καὶ ἵππους ὀλίγους vix locum hæc suum hic obtinere posse videntur. Quod si tamen tolerentur, repetendum erit ὡς, ut sit καὶ ὡς ὀλ. ὄντας. Vitium sentiens Stephanus ἅτε καὶ ὀλ. ὄντας, aut adjectivum aliquod insertum ante καὶ malebat. In Guelf. a prima manu est scriptum ἡδέως δὲ φοβηθέντας.

προδιερευνηταὶ] Ita cum Guelf. et Leidensi. προερ. Junt. et Altorf. διερευ. Ald. et Steph.

εὐθέως] Non vertit Philelpho, et in Guelf. corrector addidit.

5. αὖ ὥσπερ] Guelf. αὖ, ὡς. Mihi repetitum ὥσπερ εἰκὸς displicet: quamquam simplicitatis speciem forte quibusdam ita præbere videbitur.

ἐξίσταται] Ita cum Philel. margine Steph. et Guelf. Zeune pro ἐξανίσταται. Zonaras ἀποχωρεῖ posuit. Est potius *secedit*.

ὡς σὺν] Philel. margo Steph. Guelf. libri Brodæi ἕως σὺν—ἐγένετο·

ἐγνώσθη] Ab Assyriis. Guelf. deinde ὡς ἦν a prima manu habet.

ὁμοῦ δὴ σὺν τοῖς Ἀσσυρίοις προθύμως ἐκτείνων τὸν ἵππον [σὺν τῷ βασιλεῖ] ἐδίωκεν. Ἐνταῦθα δὴ ἡλίσκοντο 6
μὲν δηλονότι οἱ βραδυτάτους ἔχοντες τοὺς ἵππους ὑπὸ τῶν ταχίστων· ἤδη δὲ μάλα πάντες πιεζόμενοι, διὰ τὸ κατατετρύσθαι ὑπὸ τῆς πορείας, οἱ τοῦ Γαδάτα ἱππεῖς καθορῶσι τὸν Κῦρον προσιόντα σὺν τῷ στρατεύματι· δοκεῖν δὴ χρὴ ἀσμένως καὶ [ἡδέως] ὥσπερ εἰς λιμένα ἐκ χειμῶνος προσφέρεσθαι αὐτούς. Ὁ δὲ Κῦρος τὸ μὲν 7
πρῶτον ἐθαύμασεν· ὡς δ' ἔγνω τὸ πρᾶγμα, ἔστε μὲν πάντες ἀντίοι ἤλαυνον, ἀντίος καὶ αὐτὸς ἦγεν ἐν τάξει τὴν στρατιάν· ὡς δὲ γνόντες οἱ πολέμιοι τὸ ὄν, ἐτράποντο εἰς φυγήν, ἐνταῦθα δὴ ὁ Κῦρος ἐκέλευσε διώκειν τοὺς πρὸς τοῦτο τεταγμένους, αὐτὸς δὲ σὺν τοῖς ἄλλοις εἵπετο, ὡς

σὺν τοῖς Ἀσσυρίοις] Articulum ex Guelf. inſeruit Zeune. Edd. pr. et Altorf. ὁμοῦ δὴ ὁ Ἀσσύριος. quæ varietas mihi indicium veteris ulceris includere videtur, quod nemo interpretum tetigit. Quid enim? Perfidus ille ubi ſe perſequentium numero adjunxerat, ἐδίωκεν ὁμοῦ δὴ σὺν τοῖς Ἀσσυρίοις. Hoc abunde ſatiſque ad rem ſignificandam. Cur igitur additur σὺν τῷ βασιλεῖ? Rex ducebat iſtos Aſſyrios, qui Gadatam perſequebantur: igitur qui ad Aſſyrios tranſibat, ad regem is tranſibat. Secluſi interim verba mihi ſuſpecta: niſi quis lectionem ὁμοῦ δὴ ὁ Ἀσσύριος defendere et ad Gadatam referre velit.

6. ἔχοντες τοὺς ἵππους] Ita cum Guelf. Zeune pro βραδ. ἵππους ἔχοντες. In Altorf. μὲν abeſt: quod equidem non deſideraſſem.

ἤδη δὲ] Ita Philel. Gabr. Brodæi libri, Bodl. Guelf. ἦσαν δὲ μάλα—ἱππεῖς. καθορῶσι δέ. Edd. pr. et Altorf. τοῦ Γαδάτα οἱ ἱππεῖς Edd. pr. articulum οἱ omiſit Altorf.

κατατετρύσθαι] Edd. pr. et Guelf. κατατάττεσθαι, margo κατατετρύεσθαι. Budenſis et Altorf. κατατετρῶσθαι. Brodæus ex libris ſuis κατατετρύχθαι appoſuit, quod item Bodl. dat, et arripuit cum Zeunio Weiſke, a κατατρύνω vel κατατρύχω derivandum. Stephanus tamen jam olim κατατετρύσθαι legi voluit, quod ipſum paululum vitiatum exſtat in Guelf. contra ac retulit Zeune. Idque ſine dubitatione recepi. In Edd. primarum lectione κατατετάσθαι latere videtur.

δοκεῖν δὴ] Ita pro δοκεῖν δὲ ſcripſi auctore libro Altorfino, qui ſequens etiam ἡδέως omittit; igitur ſecluſi. λιμένα eſt ex Brodæi libris Philel. et Guelf. λιμένας Edd. pr. cum Altorfino. Præpoſitionem ἐκ ante χειμῶνος omiſit Guelf.

7. ἐθαύμασεν] Caſtal. ἐθαύμαζεν. deinde ὡς pro ἕως poſitum, dant libri Bodl. Guelf. et margo Steph. poſtea iidem libri πάντες ἐναντίοι ἤλαυνον, ἐναντίος omiſſo μὲν quod Leonclaviana altera lectioni illi receptæ addidit ex vulgata.

ἦγεν ἐν τάξει] Guelf. ἐν τάξει ἦγεν—ἐνταῦθα Κῦρος διώκειν ἐκέλευσεν.

ἐτράποντο] Egregiam lectionem pro ἐτράπησαν debes Altorfino. Nulla pugna cum Cyri exercitu præceſſit, nec victi ceſſerunt, ſed ſponte ſua fugam ceperunt. Ita eſt ſimplex ἐτράποντο Anabaſ. v. 4, 24. et φυγῇ ἄλλος ἄλλῃ ἐτράπετο iv. 8, 19.

εἵπετο, ὡς] Hoc ordine Guelf. vulgo αὐτὸς δὲ εἵπετο. Eſt autem ὡς pro ἕως *quousque*, dictum.

8 ᾤετο συμφέρειν. Ἔνθα δὴ καὶ ἅρματα ἡλίσκετο, ἔνια
μὲν καὶ ἐκπιπτόντων τῶν ἡνιόχων, τῶν μὲν ἐν τῇ ἀνα-
στροφῇ, τῶν δὲ καὶ ἄλλως· ἔνια δὲ καὶ περιτεμνόμενα
ὑπὸ τῶν ἱππέων ἡλίσκετο. Καὶ ἀποκτείνουσι δὲ ἄλλους
9 τε πολλοὺς, καὶ τὸν παίσαντα τὸν Γαδάταν. Τῶν μέν-
τοι πεζῶν Ἀσσυρίων, οἳ ἔτυχον τὸ Γαδάτα χωρίον πολιορ-
κοῦντες, οἱ μὲν εἰς τὸ τεῖχος κατέφυγον τὸ ἀπὸ Γαδάτα
ἀποστὰν, οἱ δὲ, φθάσαντες εἰς πόλιν τινὰ τοῦ Ἀσσυρίου
μεγάλην· ἔνθα καὶ αὐτὸς σὺν τοῖς ἅρμασι καὶ τοῖς ἵπ-
ποις κατέφυγεν ὁ Ἀσσύριος.

10 Κῦρος μὲν δὴ, διαπραξάμενος ταῦτα, ἐπαναχωρεῖ εἰς
τὴν Γαδάτα χώραν· καὶ προστάξας, οἷς ἔδει, ἀμφὶ τὰ
αἰχμάλωτα ἔχειν, εὐθὺς ἐπορεύετο, ὡς ἐπισκέψοιτο τὸν
Γαδάταν, πῶς ἔχοι ἐκ τοῦ τραύματος. Πορευομένῳ δ᾽
αὐτῷ ἤδη ὁ Γαδάτας ἐπιδεδεμένος τὸ τραῦμα ἀπήντα.
Ἰδὼν δὲ ὁ Κῦρος αὐτὸν ἥσθη τε καὶ εἶπεν· Ἐγὼ δὲ πρός
σε, ἔφη, ἐπισκεψόμενος, πῶς ἔχοις, ἐπορευόμην. Ἐγὼ
11 δέ γ᾽, ἔφη ὁ Γαδάτας, ναὶ μὰ τοὺς θεοὺς, σὲ ἐπανα-
θεασόμενος ἦϊα, ὁποῖός τίς ποτε φαίνῃ ἰδεῖν ὁ τοιαύτην

8. Ἔνθα] Guelf. Ἐνταῦθα—ἡλίσκοντο. ex eodem δὲ poſt ἀποκτείνουσι acceſſit. deinde articulum τὸν ante Γαδάταν omittit cum Altorfino.

9. οἱ μὲν εἰς] Juntina cum Altorf. οἱ πλεῖστοι αὐτῶν οἱ μὲν εἰς. deinde κατέφευγον—Γαδάτου ἀποστάν.

φθάσαντες] Intellige κατέφυγον. deinde τῶν Ἀσσυρίων Junt. τῶν Ἀσσυρίου Altorf. poſtea τοῖς ἵπποις καὶ τοῖς ἅρμασι Philel. et Guelf.

κατέφυγεν] Ita cum Philel. Juntina et Zonaras: ceteri libri κατέφευγεν.

10. ἐπαναχωρεῖ] Juntina ἐπανεχώρει. deinde Γαδάτου Guelf.

οἷς ἔδει] Hæc Altorf. omiſit.

ἐπισκέψοιτο] Ita ex Guelf. pro ἐπισκέψαιτο ſcripſit Zeune, quanquam eam varietatem a Fiſchero annotatam non reperi.

πῶς ἔχοι] Ita cum Guelf. ſcripſi pro ὅπως ἔχει. idem liber ἤδη poſt ἐπιδεδεμένος ponit.

ἀπήντα] Ex Guelf. et Philel. ἀπαντᾷ adſcivit Zeune: deinde αὐτὸν ὁ Κῦρ. Guelf.

Ἐγὼ δὲ] Steph. dedit ἐγὼ πρός σε ἦϊα ἐπισκεψόμενος, πῶς ἔχεις. In Guelf. ἐγὼ δὲ πρὸς σὲ ἦϊα eſt. Aldina ἐγὼ δέ σε ἐπαναθεασόμενος ἐπισκεψόμενος, πῶς ἔχεις, ἐπορ. Juntinam lectionem, cum qua facit Altorf. liber, dedit Zeune, niſi quod ὅπως ex Guelf. adſcivit. Equidem πῶς ἔχοι ſcripſi pro ἔχει, ut ſupra feci.

11. ἐγὼ δέ γ᾽, ἔφη] Ita ex Guelf. pro ἐγὼ δὲ, εἶπεν cum Zeunio ſcripſi. Deinde ὅστις φαίνῃ minus eleganter Philel. cum Guelf.

ψυχὴν ἔχων· ὅστις οὔτ' οἶδ' ἔγωγε, ὅ τι ἐμοῦ δεόμενος,
οὔτε μὴν ὑποσχόμενός γέ μοι ταῦτα πράξειν, οὔτε μὴν εὖ
πεπονθὼς ὑπ' ἐμοῦ (εἴς γε τὸ ἴδιον) οὐδ' ὁτιοῦν, ἀλλ' ὅτι
τοὺς φίλους ἔδοξά σοί τι ὀνῆσαι, οὕτως ἐμοὶ προθύμως
ἐβοήθησας, ὡς νῦν τὸ μὲν ἐπ' ἐμοὶ οἴχομαι, τὸ δ' ἐπὶ
σοὶ σέσωσμαι. Οὐ μὰ τοὺς θεοὺς, ὦ Κῦρε, εἰ ἦν, οἷος 12
ἔφυν ἐξ ἀρχῆς, καὶ ἐπαιδοποιησάμην, οὐκ οἶδα, εἰ ἐκτη-
σάμην παῖδα ποτ' ἂν τοιοῦτον περὶ ἐμέ· ἐπεὶ ἄλλους τε
οἶδα παῖδας, καὶ τοῦτον τὸν νῦν Ἀσσυρίων βασιλέα,
πολὺ πλείω ἤδη τὸν αὑτοῦ πατέρα ἀνιάσαντα, ἢ σε [νῦν]
δύναται ἀνιᾷν. Καὶ ὁ Κῦρος πρὸς ταῦτα εἶπεν ὧδε· 13
Ὦ Γαδάτα, ἦ πολὺ μεῖζον παρεὶς θαῦμα, ἐμὲ νῦν θαυ-
μάζεις. Καὶ τί δὴ τοῦτ' ἐστίν; ἔφη ὁ Γαδάτας. Ὅτι
τοσοῦτοι μὲν, ἔφη, Περσῶν ἐσπούδασαν περί σε, τοσοῦτοι
δὲ Μήδων, τοσοῦτοι δὲ Ὑρκανίων· πάντες δὲ οἱ παρόντες
Ἀρμενίων καὶ Σακῶν καὶ Καδουσίων. Καὶ ὁ Γαδάτας 14
ἐπεύξατο, Ἀλλ' ὦ Ζεῦ, ἔφη, καὶ τούτοις πολλὰ ἀγαθὰ
δοῖεν οἱ θεοὶ, καὶ πλεῖστα τῷ αἰτίῳ τοῦ καὶ τούτους τοι-
ούτους εἶναι. Ὅπως μέντοι, οὓς ἐπαινεῖς, τούτους, ὦ

οἶδ' ἔγωγε] Ex Guelf. hoc quam ἐγὼ malui cum Zeunio; deinde vulgatum νῦν μου ex Altorf. correxi. Juntina etiam νῦν omifit: et Guelf. ἐμοῦ præbet.

οὔτε μὴν εὖ] Guelf. μὴν omifit; In loco fimili iv. 3, 12. eft οὔτε γὰρ—οὔτε μὴν,—ἀλλ' οὐδὲ μὴν, fed iv. 5, 26. οὔτε ἔρημον κατελίπομεν—οὐδὲ μὴν ἀποχωροῦντές γε—οἰόμεθα. ubi οὔτε μὴν ἀποχ. fcribendum effe putabam. Deinde dat ἔδοξά σοι—οὕτω μοι. unde ordinem vulgarem σοὶ ἔδοξά τι mutavi. εἴς τε τὸ ἴδιον Altorf. et deinde τὸ μὲν ἐν ἐμοί. Ceterum Prifcianus p. 1210. ed. Putfchii hæc ex libro Cyropædiæ quarto pofuit: καὶ νῦν τὸ μὲν ἐπὶ ἐμοὶ οἴχῃ, καὶ τόδε εἰ ποιῶ σέσωσμαι αἰσίως. quæ ex hoc loco derivata mirifque modis vitiata effe, manifeftum eft.

12. ὦ Κῦρε] Hæc corrector in Guelf. fupplevit omiffa: deinde οὐκ οἶδ' ἂν εἰ—παῖδα τοιοῦτον dat idem liber.

ἄλλους τε] Juntina et Altorf. omiffo τε habent πλείω δή. quod præfero. Guelf. τοῦτον νῦν τὸν Ἀσσύριον Guelf. fed correctum Ἀσσυρίων. Sequens νῦν, utpote a Guelf. omiffum, feclufi: nec id ad præcedens ἤδη referri putes: nam illud fpurium eft, et pater Affyrii regis mortuus erat. δύνανται eft etiam in Guelf. σε δύναται νῦν ἄν. Altorf.

13. ἔφη ὁ Γ.] Ex libris fuis ἔφη omiffum ab Edd. pr. fupplevit primus Brodæus. deinde ordinem vulgarem Περσῶν, ἔφη, ex Guelf. mutavit Zeune.

14. Ὅπως μέντοι] Vulgo additum Καὶ ante ὅπως cum Guelf. et Philel. omifi. deinde ξενίσομεν malim. Margo Steph. ξενίσωμαι præbet.

Κῦρε, καὶ ξενίσωμεν καλῶς, δέχου τάδε ξένια, οἷα ἐγὼ δύναμαι· ἅμα δὲ προσῆγε πάμπολλα, ὥστε καὶ θύειν τὸν βουλόμενον, καὶ ξενίζεσθαι πᾶν τὸ στράτευμα ἀξίως τῶν καλῶς πεποιημένων καὶ καλῶς συμβάντων.

Cadusii temere versus Babylona excurrunt, et, amisso duce, magnam contrahunt cladem.

15 Ὁ δὲ Καδούσιος ὠπισθοφυλάκει, καὶ οὐ μετέσχε τῆς διώξεως· βουλόμενος δὲ καὶ αὐτὸς λαμπρόν τι ποιῆσαι, οὔτε ἀνακοινωσάμενος οὔτε εἰπὼν οὐδὲν τῷ Κύρῳ, καταθεῖ τὴν πρὸς Βαβυλῶνα χώραν. Διεσπαρμένοις δὲ τοῖς ἵπποις αὐτοῦ ἀπιὼν ὁ Ἀσσύριος ἐκ τῆς ἑαυτοῦ πόλεως, οὗ δὴ κατέφυγε, συντυγχάνει μάλα δὴ συντεταγμένον
16 ἔχων τὸ ἑαυτοῦ στράτευμα. Ὡς δ' ἔγνω μόνους ὄντας τοὺς Καδουσίους, ἐπιτίθεται, καὶ τόν τε ἄρχοντα τῶν Καδουσίων ἀποκτείνει, καὶ ἄλλους πολλούς· καὶ ἵππους δὲ πολλοὺς λαμβάνει τῶν Καδουσίων, καὶ ἣν ἄγοντες λείαν ἐτύγχανον, ἀφαιρεῖται. Καὶ ὁ μὲν Ἀσσύριος διώξας, ἄχρις οὗ ἀσφαλὲς ᾤετο εἶναι, ἀπετράπετο· οἱ δὲ Καδούσιοι ἐσώζοντο πρὸς τὸ στρατόπεδον ἀμφὶ δείλην
17 οἱ πρῶτοι. Κῦρος δὲ ὡς ᾔσθετο τὸ γεγονὸς, ὑπήντα τε τοῖς Καδουσίοις, καὶ ὅντινα ἴδοι τετρωμένον, ἀναλαμβά-

καλῶς] Libri Brodæi, Guelf. et margo Steph. καὶ ἄλλως: præterea alia varietas καὶ ἄλλους exſtat in margine Steph.

τάδε ξένια] Sic cum Guelf. Philel. et margine Steph. dedi pro τά.

πάμπολλα] Intellige aut ξένια aut πρόβατα vel varii generis animalia. Verum deinde θύειν diſtinguitur a ξενίζεσθαι: itaque non ſola pecora intelligenda eſſe videntur: niſi ξενίζεσθαι cœnam ſine ſacrificio ſignificat. Supra v. 3, 2. ἐξένισεν ἡμᾶς πολλοῖς ἀγαθοῖς ὁ Γωβρύας. ut adeo commode hic intelligere πάμπολλα ἀγαθὰ liceat. In Altorf. eſt παντα πάμπολλα.

13. οὔτε εἰπὼν οὐδὲν] Guelf. οὔτε οὐδὲν εἰπών. rectius deinde καταθεῖ pro vulgato κατέθει cum Philelpho et Zonara dedit idem liber, et Altorf. ex correctione.

ἀπιὼν] Brodæus ἐπιὼν annotavit, quod vertit Philel.

οὗ δὴ] Guelf. cum Zonara δὴ omittit, hic quidem male; commode poteſt deinde abeſſe poſt μάλα, ut abeſt ab iiſdem libris.

16. ὄντας] Ita libri Brodæi, Guelf. Altorf. margo Steph. εἶναι recoxit Weiſke.

ἵππους δὲ πολλοὺς] Guelf. Philel. margo Steph. ἵππους τινὰς, ſolus Guelf. δὲ omittit. deinde μέχρις οὗ Junt.

ἐσώζοντο πρὸς] Interpretatur Zonaras: οἱ ἐσώζοντο—περὶ δείλην ἦλθον εἰς τὸ στρατόπεδον.

17. ὑπήντα] Guelf. ἀπήντα. ſequens τε Altorf. omittit.

νων τοῦτον μὲν ὡς Γαδάταν ἀπέπεμπεν, ὅπως θεραπεύ-
σεται· τοὺς δ᾽ ἄλλους συγκατεσκήνου, καὶ ὅπως τὰ
ἐπιτήδεια ἕξουσι συνεπεμελεῖτο, παραλαμβάνων Περσῶν
τῶν ὁμοτίμων συνεπιμελητάς· ἐν γὰρ τοῖς τοιούτοις οἱ
ἀγαθοὶ συνεπιπονεῖν ἐθέλουσι. Καὶ ἀνιώμενος μέντοι 18
αὐτὸς ἰσχυρῶς δῆλος ἦν· ὡς καὶ τῶν ἄλλων δειπνούντων,
ἡνίκα ἤδη ὥρα ἦν, Κῦρος ἔτι σὺν τοῖς ὑπηρέταις καὶ τοῖς
ἰατροῖς οὐδένα ἑκὼν ἀτημέλητον παρέλειπεν, ἀλλ᾽ ἢ αὐ-
τόπτης ἐφεώρα, ἢ, εἰ μὴ αὐτὸς ἐξανύτοι, πέμπων φανε-
ρὸς ἦν τοὺς θεραπεύσοντας.
Καὶ τότε μὲν οὕτως ἐκοιμήθησαν· ἅμα δὲ τῇ ἡμέρᾳ 19

ἀπέπεμπεν] Guelf. et margo Steph. ἔπεμπεν: deinde ὡς margo Steph.

θεραπεύσεται] Pro θεραπευθήσεται dictum effeci ex Guelf. ſcriptura θεραπεύσοιτο, quam habet etiam margo Steph. pro vulgata θεραπεύοιτο. Sequens ἕξουσι eidem Guelf. et libris Brodæi debetur pro ἔχοιεν.

συγκατεσκήνου] Si συγκατασκηνοῦν eſt *omnes ſimul recipere in tabernacula vel tentoria*, tum vereor, ut male conſultum fuerit curæ infirmorum: quodſi voluit dicere Xenoph. *aſſignatum et diſtributum tabernaculis Perſarum certum Caduſiorum ex fuga redeuntium numerum fuiſſe*, tum dativus caſus addi debuiſſe videtur. Sed in uſu præpoſitionis σὺν nimis liberalis fuit hoc in loco Librarius. Ita enim συνεπεμελεῖτο eſt pro ſimplice ἐπεμελεῖτο, cum ſequatur παραλαμβάνων συνεπιμελητὰς, quanquam Altorf. ἐπιμελητὰς ſimplex habet. Deinde συνεπιπονεῖν Suidas in ſimplex ἐπιπονεῖν mutat, quanquam in eo ἔτι πονεῖν ſcriptum exſtat.

Περσῶν τῶν ὁμοτ.] Hoc ordine Guelf. Philel. et Altorf. vulgo τῶν ὁμοτ. Περσῶν.

συνεπιπονεῖν ἐθέλουσι] Cum Suida et Philelpho Guelf. ἐπιπονεῖν: ſed corrector συνεπ. fecit. Sic in Republ. Lacedæm. ii. 5. ἀσιτήσαντας ἐπιπονῆσαι eſt *labori juſto adjicere ultro, quod poſtulare nemo poſſit.* Iterum Hellenicorum vi. 1, 4. p. 339. ὅταν ἐπιπονήσαντες ἀγαθόν τι πράξωσιν οἱ στρατιῶται. Vulgo deinceps hic ſequebantur verba καὶ ἀνεῖν, quæ ſcilicet ex Suida in vocabulo ἀνεῖν inſeruit Zeune: in Guelf. legitur καὶ ἀνεῖν ἐθέλουσι. Vir doctus in Obſerv. Miſcell. Belg. vol. v. p. 96. Suidæ lectionem in ἐθέλουσι καὶ ἄνειν mutari voluit. De ſignificatione verbi is non plus extricavit quam Zeune. Mihi appendicula videtur ſpuria, et ex ſequentibus culpa librarii orta. Quare cum reliquis libris iterum ſuſtuli, quæ nullo modo hic tolerari poſſe pronunciavit ſummus vir, Valckenaer ad Herodotum p. 520.

18. αὐτὸς] Omittit cum Philel. Guelf. et poteſt abeſſe: deinde ὃς καὶ ex Guelf. appoſuit Zeune, non item Fiſcher. poſtea idem liber ἤδη omittit, non inepte.

παρέλειπεν] Ita ex Altorf. vulgatum παρέλιπεν correxi; Guelf. κατέλειπεν, non κατέλιπεν quod inde refert Zeune, qui ἐξανύσοι deinde ex eo libro dedit cum Weiſkio.

θεραπεύσοντας] Ita cum Juntina Zeune. vulgatum θεραπεύοντας recoxit Weiſke. θεράποντας refert margo Steph.

19. τῇ ἡμέρᾳ] Articulum Juntina omittit. deinde vulgatum πάντας ex Guelf. mutavit Zeune.

Cyrus Cadufios humaniter monet et meliora edocet, fimulque cum novo eorum duce hoftes ulcifcitur.

κηρύξας συνιέναι τῶν μὲν ἄλλων τοὺς ἄρχοντας, τοὺς δὲ Καδουσίους ἅπαντας, ἔλεξε τοιάδε·

Ἄνδρες σύμμαχοι, ἀνθρώπινον τὸ γεγενημένον πάθος. Τὸ γὰρ ἁμαρτάνειν ἀνθρώπους ὄντας, οὐδὲν, οἶμαι, θαυμαστόν. Ἄξιοι μέντοι γε ἐσμὲν τοῦ γεγενημένου πράγματος τούτου ἀπολαῦσαί τι ἀγαθὸν, τὸ μαθεῖν, μήποτε διασπᾶν ἀπὸ τοῦ ὅλου δύναμιν ἀσθενεστέραν τῆς τῶν πολεμίων δυνάμεως. Καὶ οὐχὶ τοῦτ', ἔφη, λέγω, ὡς οὐ δεῖ ποτε καὶ ἐλάσσονι ἔτι μορίῳ ἰέναι, ὅπου ἂν δέῃ, ἢ νῦν ὁ Καδούσιος ᾤχετο· ἀλλ' ἤν τις κοινωσάμενος ὁρμᾶται τῷ ἱκανῷ βοηθῆσαι, ἔστι μὲν ἀπατηθῆναι, ἔστι δὲ τῷ ὑπομένοντι, ἐξαπατήσαντι τοὺς πολεμίους, ἄλλοσε τρέψαι ἀπὸ τῶν ἐξεληλυθότων· ἔστι δὲ, ἄλλα παρέχοντα πράγματα τοῖς πολεμίοις, τοῖς φίλοις ἀσφάλειαν παρέ-

ἀνθρώπινον τὸ] Vulgo interfertum *μὲν* cum Guelf. omifi. defendit, fed inepte, Zeune. Damnavit etiam ftellula appofita Steph. et Leoncl. ut fequens *πάθος*, quod in Guelf. corrector addidit.

πράγματος τούτου] Hoc ordine Guelf. vulgo invertitur; idem *οἴομαι* habet. Altorfinus liber *ἄξιον μέντοι γε ἡμῖν τοῦ γεγενημένου τ. πρ. ἀπολαῦσαι.* unde vulgatum *ἄξιοι γε μέντοι* correxi. Scio *ὅταν γε μὴν* dici; fed *γε μέντοι* nondum reperiffe memini. Nec inepte *ἄξιον ἡμῖν* dicitur. Sic enim in Anabafi ii. 3, 25. *ὡς οὐκ ἄξιον εἴη βασιλεῖ.* Vulgata fimilis eft dictioni illi *δίκαιός εἰμι εἰπεῖν* et fimilibus.

20. *καὶ οὐχὶ*] Ita Juntina, Altorf. Steph. Negationem Aldina omifit. *καὶ οὐ* eft in Guelf.

ὡς οὐ δεῖ] Guelf. correctoris manu *ὡς οὐ δὴ* fcriptum habet, Aldina *οὐδ' εἴ.* Juntina *οὐχὶ δὴ* ut Altorf. in quo fequitur: *καὶ εἴτι ἐλάσσονι—ἰέναι ὁπότ' ἂν δέῃ.* Etiam Juntina *ὁπόταν* dat; Guelf. *ἰέναι που ἂν δέῃ.* Ad *μορίῳ* intellige *ἅμα* vel *σὺν*, ut infra vi. 1, 23.

ἀλλ' ἢν] Guelf. *ἀλλ' ἐάν.* deinde *κινούμενος* habet cum Edd. pr. et Altorf. quod Brodæus in *κοινούμενος* mutari juffit; quod ex Bodl. cum Stephano probavit Zeune. *κοινωνούμενος* dedit Ifingr. cum libris Gabr. Veram lectionem reddidit etiam Philelphus. Equidem cum Mureto tempus mutavi.

ἔστι μὲν ἀπατηθῆναι] *Poteft interdum aberrare et excidere aufis, qui hofti imprudenti infidiari cogitabat. At vero, fi ita acciderit, poteft tamen auxilium exercitus, qui remanfit, fperare.* Hoc eft: *ἔστι δὲ τῷ ὑπομένοντι ἐξαπατήσαντι—παρέχειν.* Contra Weifke putavit per anaphoram *τοῦ ἔστι* diverfos modos enumerari, quibus parva manus a robore exercitus fejuncta fine periculo fuo hoftibus damnum inferre poffit. Itaque omnes interpretes fenfu loci aberraffe affirmavit, et locum ipfum mancum pronunciavit. Brodæus etiam erravit, qui ad *τῷ ἱκανῷ* intelligendum cenfebat effe *μορίῳ.*

ἐξαπατήσαντι] Liber Brodæi *ἐξαρτάσαντι.* Sequens *ἐξαρτήσεται* Philelphus vertit *fed augebitur viribus:* forte *ἐξαυξήσεται* legens.

χειν. Καὶ οὕτω μὲν οὐδ' ὁ χωρὶς ὢν ἀπέσται, ἀλλ'
ἐξαρτήσεται τῆς ἰσχύος· ὁ δὲ ἀπεληλυθὼς μὴ ἀνακοι-
νωσάμενος, ὅπου ἂν ᾖ, οὐδέν τι διάφορον πάσχει, ἢ εἰ μό-
νος ἐστρατεύετο. Ἀλλ' ἀντὶ μὲν τούτου, ἔφη, ἢν θεὸς 21
θέλῃ, ἀμυνούμεθα τοὺς πολεμίους οὐκ εἰς μακράν.
Ἀλλ' ἐπειδὰν τάχιστα ἀριστήσητε, ἄξω ὑμᾶς ἐγὼ, ἔνθα
τὸ πρᾶγμα ἐγένετο· καὶ ἅμα μὲν θάψομεν τοὺς τελευ-
τήσαντας, ἅμα δὲ δείξομεν τοῖς πολεμίοις, ἔνθα κρα-
τῆσαι νομίζουσιν, ἐνταῦθα ἄλλους αὐτῶν κρείττους, ἢν
θεὸς θέλῃ· [καὶ ὅπως γε μηδὲ τὸ χωρίον ἡδέως ὁρῶσιν,
ἔνθα κατέκαινον ἡμῶν τοὺς συμμάχους·] ἢν δὲ μὴ ἀντε-
πεξίωσι, καύσομεν αὐτῶν τὰς κώμας, καὶ δῃώσομεν τὴν
χώραν· ἵνα μὴ, ἃ ἡμᾶς ἐποίησαν ὁρῶντες, εὐφραίνωνται,
ἀλλὰ τὰ ἑαυτῶν κακὰ θεώμενοι ἀνιῶνται. Οἱ μὲν οὖν 22

οὐδ' ὁ χωρὶς] Guelf. male οὐδὲ χωρίς. Sed idem deinde veram lectionem pro vulgari ἀπελθὼν dedit. Ita præceſſit τῶν ἐξεληλυθότων.

ὅπου ἂν ᾖ] Guelf. ὅπου ἂν εἴη habet ſed a correctore in margine addita; et poſſunt abeſſe. Deinde οὐδὲν διάφορον Guelf. οὐδέν τι διάφορόν τι Altorf.

21. ἢν θεὸς] Guelf. ἐὰν θεός. ſequens τάχιστα omiſit Altorf.

ἄξω—ἐγὼ] Guelf. ἕξω omiſſo ἐγὼ; ſed corrector ἄξω dedit.

νομίζουσιν] Guelf. a prima manu habet νομίσουσιν. deinde κρείττονας Juntina.

καὶ ὅπως—συμμάχους] Intelligunt ποιήσομεν aut ſimile verbum ante hæc. Weiſke addit: *ut verba habent*. In libris nihil varietatis reperitur, niſi quod ἡδέως in Juntina deeſt, et ἀπέκτεινον in Guelf. pro κατέκαινον. Mihi locus hic valde perturbatus a librariis eſſe videtur, et verba præſcripta, partim vitioſa ab initio, ſuo loco mota fuerunt. Rem geſtam cum verborum ordine percenſeamus. Quæ ſunt illa mala, quibus affecerant Aſſyrii Caduſios, quorumque adſpectu delectari potuiſſent? Cadavera mortuorum Caduſiorum in campo relicta. Hæc igitur ſepulturus et ſublaturus ex oculis hoſtium egreditur Cyrus cum ſuis, ſimulque hoſtibus pugnandi occaſionem offert. Quam niſi detrectarent, Cyrus ſe ſuperiorem fore confidebat. Hæc uſque ad ἢν θεὸς θέλῃ bene habent in græcis. Sequitur nunc oratio turbata, ut rerum ordo demonſtrabit. Quodſi enim hoſtes ad pugnam provocati exire noluerint, tum regionem ſe devaſtaturum et pagos incenſurum denunciat Cyrus, ne mortuorum Caduſiorum in campo relictorum aſpectu non modo non delectentur, ſed ipſius etiam loci, ubi Caduſios interfecerant, viſu angantur et doleant. Igitur verba præſcripta ſuam demum vim habebunt et exſerent, ſi poſtremo loco collocentur hoc fere ordine: κρείττους, ἢν θεὸς θέλῃ· ἢν δὲ μὴ ἀντεπεξίωσι, καύσομεν—ἀνιῶνται, καὶ ὅπως γε μηδὲ—τοὺς συμμάχους. Interim ſecluſi, quæ hic poſita lectorem turbare poſſunt.

ἢν δὲ μὴ] Guelf. ἐὰν δὲ μή. Sequens καύσομεν et δῃώσομεν ex Edd. Bryl. et Caſtal. et Codice Bodl. recepit Zeune pro καύσωμεν, δῃώσωμεν.

ἵνα μὴ—εὐφραίνωνται] De his ſententiam antea dixi.

ἄλλοι, ἔφη, ἀριστᾶτε ἰόντες· ὑμεῖς δὲ, ὦ Καδούσιοι,
πρῶτον μὲν ἀπελθόντες ἄρχοντα ὑμῶν αὐτῶν ἕλεσθε,
ἧπερ ὑμῖν νόμος, ὅστις ὑμῶν ἐπιμελήσεται σὺν τοῖς θεοῖς
καὶ σὺν ἡμῖν, ἤν τι προσδέησθε· ἐπειδὰν δὲ ἕλησθε καὶ
23 ἀριστήσητε, πέμψατε πρὸς ἐμὲ τὸν αἱρεθέντα. Οἱ μὲν
δὴ ταῦτα ἔπραξαν· ὁ δὲ Κῦρος, ἐπεὶ ἐξήγαγε τὸ στρά-
τευμα, κατέστησεν εἰς τάξιν τὸν ᾑρημένον ὑπὸ τῶν Κα-
δουσίων, καὶ ἐκέλευσε πλησίον αὐτοῦ ἄγειν τὴν τάξιν,
ὅπως, ἔφη, ἢν δυνώμεθα, ἀναθαῤῥύνωμεν τοὺς ἄνδρας.
Οὕτω δὴ ἐπορεύοντο· καὶ ἐλθόντες ἔθαπτον μὲν τοὺς
Καδουσίους, ἐδῄουν δὲ τὴν χώραν. Ποιήσαντες δὲ ταῦτα,
ἀπῆλθον, τὰ ἐπιτήδεια ἐκ τῆς πολεμίας ἔχοντες, πάλιν
εἰς τὴν Γαδάτα.
24 Ἐννοήσας δ', ὅτι οἱ πρὸς αὐτὸν ἀφεστηκότες, ὄντες
πλησίον Βαβυλῶνος, κακῶς πείσονται, ἂν μὴ αὐτὸς ἀεὶ
παρῇ, οὕτως, ὅσους τε τῶν πολεμίων, ἀφίῃ, καὶ τούτους
ἐκέλευε λέγειν τῷ Ἀσσυρίῳ, καὶ αὐτὸς κήρυκα ἔπεμψε
πρὸς αὐτὸν, λέγοντα ταῦτα, ὅτι ἕτοιμος εἴη τοὺς ἐργαζο-
μένους τὴν γῆν ἐᾷν, καὶ μὴ ἀδικεῖν, εἰ καὶ ἐκεῖνος βού-
λοιτο ἐᾷν ἐργάζεσθαι τοὺς τῶν πρὸς αὐτὸν ἀφεστηκότων
25 ἐργάτας. Καίτοι, ἔφη, σὺ μὲν, ἢν καὶ δύνῃ κωλύειν,

Pactum conventum de parcendo agricolis.

22. σὺν ἡμῖν] Zeuniana σὺν ὑμῖν habet. deinde ἄν τι προσδεήσεσθε. Guelf. Juntina προσδέησθε· καὶ ἀριστήσαντες πέμψατε. Altorf. προσδέησθε καὶ ἀριστήσητε. Guelf. poſtea πρός με.

23. ἐπεὶ ἐξηγ.] Ita cum Guelf. ſcripſi pro ἐπειδή. eodem et Philelpho auctore copulam καὶ vulgo ante κατέστησεν poſitam, retraxit Zeune; idem ἂν δυνώμεθα ex Guelf. dedit.

ἔθαπτον μὲν] Guelf. μὲν male omiſit. Verba τὰ ἐπιτήδεια—ἔχοντες demonſtrant curam, qua agrum Gadatæ omnem et ditionem integram atque illæſam ſervare ſtuduit Cyrus.

24. ἂν μὴ—ἀεὶ] Juntina cum Altorf. ἢν μὴ omiſſo ἀεί. Ald. αἰεὶ dedit cum Steph. et Leoncl.

ἀφίῃ] Mihi tempus et forma movent ſuſpicionem vitii. ἀφίει malim equidem. deinde ἐκέλευσε ex Guelf. dedit Zeune ob ſequens ἔπεμψε. Sed Weiſke ἐκέλευε interpretatur de *re ſæpius facta et continuata*, ἔπεμψε de *ſemel facta*.

λέγοντα] Guelf. ταῦτα λέγων. Altorf. omiſit ταῦτα.

ἕτοιμος εἴη] Hoc ordine Guelf. ante Zeunium erat ἕτοιμος εἴη ἐᾷν τοὺς etc. quam ſcripturam revocavit Weiſke.

εἰ καὶ] Juntina καὶ omiſit: deinde πρὸς ἑαυτὸν Guelf.

25. ἢν καὶ] Guelf. ἂν καὶ—τινὰς κωλύεις.—ἐστι χώρα—πολλήν σοι χώραν omiſſo ante σοι vulgari ἄν.

ὀλίγους τινὰς κωλύσεις· (ὀλίγη γάρ ἐστι γῆ ἡ τῶν πρὸς ἐμὲ ἀφεστηκότων) ἐγὼ δὲ πολλὴν ἄν σοι γῆν ἐῴην ἐνεργὸν εἶναι. Εἰς δὲ τὴν τοῦ καρποῦ κομιδὴν, ἢν μὲν πόλεμος ᾖ, ὁ ἐπικρατῶν, οἶμαι, καρπώσεται· ἢν δὲ εἰρήνη γένηται, δῆλον, ἔφη, ὅτι σύ. Ἢν μέντοι τις ἢ τῶν ἐμῶν ὅπλα ἀνταίρηταί σοι, ἢ τῶν σῶν ἐμοὶ, τούτους, ἔφη, ὡς ἂν δυνώμεθα, ἑκάτεροι ἀμυνούμεθα. Ταῦτα ἐπιστεί- 26
λας τῷ κήρυκι ἀπέπεμπεν. Οἱ δὲ Ἀσσύριοι, ἐπεὶ ἤκουσαν ταῦτα, πάντα ἐποίουν πείθοντες τὸν βασιλέα συγχωρῆσαι ταῦτα, καὶ ὅτι σμικρότατον τοῦ πολέμου λιπεῖν. Καὶ ὁ Ἀσσύριος μέντοι, εἴτε ὑπὸ τῶν ὁμοφύλων πεισθεὶς, 27
εἴτε καὶ αὐτὸς οὕτω βουληθεὶς, συνήνεσε ταῦτα· καὶ ἐγένοντο συνθῆκαι, τοῖς μὲν ἐργαζομένοις εἰρήνην εἶναι, τοῖς δ᾽ ὁπλοφόροις πόλεμον. Ταῦτα μὲν δὴ περὶ τῶν 28
ἐργατῶν διεπέπρακτο ὁ Κῦρος· τὰς μέντοι νομὰς τῶν κτηνῶν τοὺς μὲν ἑαυτοῦ φίλους ἐκέλευσε καταθέσθαι, εἰ βούλοιντο, ἐν τῇ ἑαυτῶν ἐπικρατείᾳ· τὴν δὲ τῶν πολε-

Εἰς δὲ τὴν] Camerarius vertit: *quo tempore autem fruges percipi folent.* Mihi εἰς fignificare videtur *usque ad meſſis tempus.*

ἢν μὲν] Ex Guelf. ter deinceps ἐὰν dedit Zeune.

ἐπικρατῶν] Ita ex libris Brodæi, Guelf. et margine Steph. fcripfit Zeune. Antea fuit κρατῶν μέν. fed Altorf. μὲν omittit. Ex iifdem libris, Philelpho, Leidenfi apud Oudendorpium ad Thomam p. 544. et Altorfino ductum eft fequens καρπώσεται pro κομίσεται.

γένηται] Guelf. omiffo hoc verbo orationis tollit concinnitatem. Numerofius vero eft quod cum Zeunio ab eo recepi, quam vulgatum δῆλον· ὅτι σὺ, ἔφη, quod revocavit Weifke. Ceterum pactum egregium de parcendo agricolis inter arma verbis faltem tranflatum fuit in fœdus ictum inter Americanos colonos et regem Boruffiæ maximum Fridericum II. nifi fallor. Morem Indorum eundem commemoravit Diodorus libro altero bibliothecæ.

ὅπλα] Philelphus ὁπλιτῶν vertit, quod inde refert margo Steph. deinde ἀνταιρήσεται Juntina.

26. ἀπέπεμπεν] Ex Guelf. et Philel. ἔπεμψεν αὐτὸν dedit Zeune: ἀπέπεμψεν Weifke tacitus pofuit.

ἐπεὶ ἤκουσαν] Ex Guelf. ὡς ἤκουσαν dedit Zeune: deinde margo Steph. refert πάντα, ἐπεπίθοντό τε. fed Guelf. cum Philel. πάντα, ἐπέπειθόν τε. Muretus ex libris nefcio quibus ἐπῄνουν allatum probavit. deinde ὅτι εἰς μικρότατον Guelf.

27. εἴτε ὑπὸ] Ex libro Brodæi et Guelf. εἴτε καὶ ὑπὸ recepit Zeune.

28. διεπέπρακτο] Verbum poft δὴ ftatim ponit Guelf. νομὰς κτηνῶν dicit greges pecorum armentorumque pafcentium.

εἰ βούλοιντο] Ducibus fociorum permifit armenta et pecora fua congregare in regionem Cyri armis occupatam ibique quafi in loco tuto

μίων λείαν ἦγον, ὁπόθεν δύναιντο, ὅπως εἴη ἡ στρατεία ἡδίων τοῖς συμμάχοις. Οἱ μὲν γὰρ κίνδυνοι οἱ αὐτοὶ, καὶ ἄνευ τοῦ λαμβάνειν τὰ ἐπιτήδεια· ἡ δὲ ἐκ τῶν πολεμίων τροφὴ κουφοτέραν τὴν στρατείαν ἐδόκει παρέχειν.

Gadatas relicto domi præsidio cum exercitu Cyri proficiscitur.

29 Ἐπεὶ δὲ παρεσκευάζετο ὁ Κῦρος ἤδη ὡς ἀπιὼν, παρῆν ὁ Γαδάτας, ἄλλα τε δῶρα πολλὰ καὶ παντοῖα φέρων καὶ ἄγων, ὡς ἂν ἐξ οἴκου μεγάλου, καὶ ἵππους δὲ ἦγε πολλοὺς ἀφελόμενος τῶν ἑαυτοῦ ἱππέων, οἷς ἠπιστήκει
30 διὰ τὴν ἐπιβουλήν. Ὡς δ᾽ ἐπλησίασεν, ἔλεξεν ὧδε· Ὦ Κῦρε, νῦν μέν σοι ἐγὼ ταῦτα δίδωμι ἐν τῷ παρόντι, καὶ χρῶ αὐτοῖς, ἐὰν δέῃ τι. νόμιζε δ᾽, ἔφη, καὶ τἄλλα

deponere, *καταθέσθαι*, cum interea hostium armenta undique compellerentur et prædæ loco haberentur. Weiske sententiam loci hanc esse putabat: *ut sociorum in sua quisque ditione pasceret, neque ea res communis haberetur: contra ex hostico promiscue unde quisque posset pecudes abigeret:* Deinde ᾗ βούλοιντο legi melius censebat, *qua ratione vellent*, ut u. c. nunc in Gadatæ regione agros ad usum pecuarium concordiæ servandæ causa, inter se distribuerent, alio item tempore in Cadusiis, et sic porro.

τὴν δὲ τῶν] In Guelf. τὴν μέντοι τῶν, supra scripto δέ. deinde ἡ τῶν πολ. λεία sunt *armenta in hostium agris pascuis palantia.* In Altorf. deinde δύναιτο est, sed corrector literam νυ supra addidit. Leonclavii conjecturam ἄγειν corrigentis operose rejecit Zeune; verum non vidit sequens δύναιντο nulla ratione conciliari posse cum ἦγον, sed esse debere ἐδύναντο.

ὅπως εἴη] Guelf. ὅπως ᾖ ἡ στρατιά. Sed recte jam altera Stephani editio στρατεία dedit cum Philel. Camer. Bodl.

οἱ αὐτοὶ] Camerarius vertit; *nam pericula adiri eadem non etiam parando necessaria, commeatum autem ex hostibus suppetere, faciliorem militiam reddere videbatur.* Multo magis a verbis recedit versio Hutchinsoniana: *nam tametsi commeatus pararetur nullus, tamen eadem pericula proposita erant: at militiam leviorem efficere videbatur alimenta ex hostium regione quærendi ratio.* Mihi in hoc loco deesse verbum aliquod ad οἱ αὐτοὶ κίνδυνοι videtur; et sententia paulo obscurior est, quam ut hæc ita, uti nunc eduntur, scripta a Xenophonte esse mihi possim persuadere.

τὴν στρατείαν] Sic est in iisdem libris et Guelf. pro στρατιάν.

29. ὁ Κῦρος ἤδη] Guelf. ἤδη ὁ Κῦρος. deinde ἄλλα γε cum Juntina. Γαδάτης Altorf.

δὲ ἦγε] Ita cum Philel. Brodæi libro et Guelf. cum margine Steph. scripsi pro ἵππους γε πολλοὺς, quod miror retentum a Weiskio, cum usus Xenophonteus ἵππους δὲ postulet. Sed postrema syllaba verbi ἦγε servata peperit falsum γε.

ἠπιστήκει] Guelf. ἐφειστήκει. deinde ἔλεξε τοιάδε cum Altorfino.

30. σοι ἐγὼ ταῦτα] Ita ex Philel. libris Brodæi et Guelf. cum margine Steph. scripsi, cum vulgo esset μέν σοι ἐγὼ ἄγω ταῦτα, ἵνα ἐν τῷ παρόντι χρῇ αὐτοῖς. nisi quod libri illi scripti exhibent ἔγωγ᾽ αὐτὰ δίδωμι. Zeunius illam lectionem rejecit cum ob alias rationes, quas tacuit; tum ob νῦν et ἐν τῷ παρόντι, quæ illi juncta in eodem membro orationis displicuisse videntur, cum supra iii. 1, 29. sit: ἐν τῷ παρόντι νῦν εὑρεῖν. In vulgari lectione etiam ἄν τι δέοι solœcum est; in nostra δέῃ est secunda persona verbi δέομαι. Altorf. δέῃ, et a secunda manu χρῷ habet.

πάντα τὰ ἐμὰ σὰ εἶναι. Οὔτε γάρ ἐστιν, οὔτ' ἔσται
ποτὲ, ὅτῳ ἐγὼ ἀπ' ἐμοῦ φύντι καταλείψω τὸν ἐμὸν οἶκον·
ἀλλ' ἀνάγκη, ἔφη, σὺν ἐμοὶ τελευτῶντι πᾶν ἀποσβῆναι
τὸ ἡμέτερον γένος καὶ ὄνομα. Καὶ ταῦτα, ἔφη, ὦ Κῦρε, 31
(ὄμνυμί σοι τοὺς θεοὺς, οἳ καὶ ὁρῶσι πάντα καὶ ἀκού-
ουσι πάντα) οὔτε ἄδικον, οὔτε αἰσχρὸν οὐδὲν οὔτ' εἰπὼν
οὔτε ποιήσας, ἔπαθον. Καὶ ἅμα ταῦτα λέγων κατε-
δάκρυσε τὴν αὑτοῦ τύχην, καὶ οὐκέτι ἠδυνήθη πλείω εἰ-
πεῖν.

Καὶ ὁ Κῦρος ἀκούσας, τοῦ μὲν πάθους ᾤκτειρεν αὐτὸν, 32
ἔλεξε δὲ ὧδε· Ἀλλὰ τοὺς μὲν ἵππους δέχομαι, ἔφη· σέ
τε γὰρ ὠφελήσω, εὐνουστέροις δοὺς αὐτοὺς, ἢ οἳ νῦν σοι
εἶχον, ὡς ἔοικεν· ἐγώ τε (οὗ δὴ πάλαι ἐπεθύμουν) τὸ
τῶν Περσῶν ἱππικὸν θᾶττον ἐκπληρώσω εἰς τοὺς μυρίους
ἱππέας· τὰ δὲ ἄλλα χρήματα σὺ ἀπαγαγὼν φύλαττε,
ἔφη, ἔστ' ἂν ἐμὲ ἴδῃς ἔχοντα, ὥστε σοῦ μὴ ἡττᾶσθαι
ἀντιδωρούμενον· εἰ δὲ πλείω μοι διδοὺς ἀπίοις, ἢ λαμ-
βάνων παρ' ἐμοῦ, μὰ τοὺς θεοὺς οὐκ οἶδ', ὅπως ἂν δυ-
ναίμην μὴ αἰσχύνεσθαι. Πρὸς ταῦτα ὁ Γαδάτας εἶπεν, 33
Ἀλλὰ ταῦτα μὲν, ἔφη, πιστεύω σοι· (ὁρῶ γάρ σου τὸν
τρόπον) φυλάττειν μέντοι ὅρα, εἰ ἐπιτήδειός εἰμι. Ἕως 34

ὅτῳ] In Guelf. a prima manu ὅτε fuit; deinde male ἀποσβεννῦναι habet ſcriptum.

31. σοι τοὺς θεοὺς] Articulum τοὺς omiſit Guelf. πάντα poſt ἀκούουσι ex eodem libro acceſſit, qui οὐδ' αἰσχρὸν deinceps dedit.

τὴν αὑτοῦ] Guelf. ἑαυτοῦ præbet.

32. σέ τε] Juntina τε omiſit; deinceps τοῖς εὐνουστέροις ex Guelf. dedit Zeune.

οἳ νῦν] Juntina οἱ dedit, quod omiſit Aldina et Stephanus, qui οἳ conjectura aſſecutus fuit, quod dant libri Gabr. Philel. Bodl. Guelf. Altorf.

οὗ δὴ πάλαι] Budenſis οὖν δὴ πάλαι ἐπιθυμῶν τοῦ Περσῶν ἱππικοῦ, ἐκπλήσω εἰς. Etiam Alt. οὖν δὴ π. ἐπιθυμῶν τοῦ Π. ἱππικοῦ. Edd. pr. quoque τοῦ Π. ἱππικοῦ. Junt. ἐκπλήσων, Ald. Caſtal. ἐκπλήσω, Brodæi libri ἐκπληρώσων. Noſtra lectio debetur Philel. Steph. Guelf. τὸ ante τῶν ex Guelf. acceſſit.

ἔφη, ἔστ'] Guelf. ἔφη omiſſo ἂν ἐμὲ dedit pro ἄν με; idem εἰδῇς.

διδοὺς] Hoc ex Guelf. antiquo δοὺς ſubſtituit Zeune propter ſequens λαμβάνων, quod Juntina, Guelf. et Altorf. in λαμβάνοις mutant. Poſtea οἶδα πῶς Guelf.

33. μὲν, ἔφη] Ex Guelf. ἔφη acceſſit; μὲν πάνυ πιστεύω Philelphus legiſſe videtur. Γαδάτης Altorf.

ὅρα εἰ] Edd. pr. ἄρα, Caſtal. ἆρα, margo Steph. ὥρα εἰ. Noſtrum eſt

μὲν γὰρ φίλοι ἦμεν τῷ Ἀσσυρίῳ, καλλίστη δὴ ἐδόκει
εἶναι ἡ τοῦ ἐμοῦ πατρὸς κτῆσις· (τῆς γὰρ μεγίστης πό-
λεως Βαβυλῶνος ἐγγὺς οὖσα, ὅσα μὲν ὠφελεῖσθαί ἐστιν
ἀπὸ μεγάλης πόλεως, ταῦτα ἀπελαύομεν· ὅσα δὲ ἐνο-
χλεῖσθαι, οἴκαδε δεῦρο ἀπιόντες τούτων ἐκποδὼν ἦμεν)
νῦν δ᾽ ἐπεὶ ἐχθροί ἐσμεν, δῆλον ὅτι, ἐπειδὰν σὺ ἀπέλ-
θῃς, καὶ αὐτοὶ ἐπιβουλευσόμεθα, καὶ ὁ οἶκος ὅλος· καὶ
οἶμαι, λυπηρῶς βιωσόμεθα [ὅλως], τοὺς ἐχθροὺς καὶ
35 πλησίον ἔχοντες, καὶ κρείττους ἡμῶν αὐτῶν ὁρῶντες. Τάχ᾽
οὖν εἴποι τις ἄν· καὶ τί δὴ ταῦτα οὐκ ἐνενοοῦ, πρὶν ἀπο-
στῆναι; Ὅτι, ὦ Κῦρε, ἡ ψυχή μου, διὰ τὸ ὑβρίσθαι
καὶ ὀργίζεσθαι, οὐ τὸ ἀσφαλέστατον σκοποῦσα διῆγεν,
ἀλλ᾽ ἀεὶ τοῦτο κύουσα, ἆρά ποτε ἔσται ἀποτίσασθαι τὸν
καὶ θεοῖς ἐχθρὸν καὶ ἀνθρώποις, ὃς διατελεῖ μισῶν,
οὐκ ἤν τίς τι αὐτὸν ἀδικήσῃ, ἀλλ᾽ ἤν τινα ὑποπτεύσῃ
36 βελτίονα ἑαυτοῦ εἶναι. Τοιγαροῦν, οἶμαι, αὐτὸς πονηρὸς
ὢν πᾶσι πονηροτέροις ἑαυτοῦ συμμάχοις χρήσεται· Ἢν
δέ τις ἄρα καὶ βελτίων αὐτοῦ φανῇ, θάῤῥει, ἔφη, ὦ
Κῦρε, οὐδέν σε δεήσει τῷ ἀγαθῷ ἀνδρὶ μάχεσθαι, ἀλλ᾽

in libris Brodæi Guelf. et Steph. In Guelf. ſupra ὅρα ſcriptum eſt ἄρα; Altorfinus ἔφη ἆρα dat.

34. καλλίστη δὴ] Guelf. δὴ omiſit. deinde οὖσα eſt pro οὔσης poſitum.

[ὅλως]] Ad ſequentia referebat Zeune, quoniam duo adverbia ſine copula uni verbo addi non poſſint; rectius Weiſke ſecutus Edd. pr. cum prioribus copulavit; ſed optime omnium Altorf. omiſit; igitur ſecluſi.

35. εἴποι τις ἂν] Ita libri Philel. Brodæi, Guelf. εἴποις ἂν Edd. ante Zeunium. τις εἴποι ἂν Altorf.

τί δὴ] Ita Edd. et Altorf. niſi quod ἐνενόουν dant. τί δῆτα οὐχ οὕτως ἐνενοοῦ ex Philel. Brod. Guelf. dederunt Zeune et Weiſke. In vulgari lectione ἐνενόουν nihil niſi librariorum vel operarum aberratio videtur eſſe, ut in eo quod ex libris ſuis poſuit Brodæus καὶ τί δῆτα οὐχ οὕτως ἐγένουν. Mihi unice vera videtur eſſe vetus lectio; nec ſi dici poſſit οὕτω ἐννοεῖσθαι, ut οὕτω γιγνώσκειν, tamen huic loco convenit ſignificatio iſtius formæ. ταῦτα ἐννοεῖσθαι eſt conſiderare hæc, ut in Anabaſi iii. 1, 3. ταῦτα ἐννοούμενοι καὶ ἀθύμως ἔχοντες. Idem plane eſt ἐνθυμοῦμαι ταῦτα ii. 4, 5. ibidem.

ἀλλ᾽ ἀεὶ] Guelf. ἀεὶ—ἀποτίσεσθαι.

ἀδικήσῃ] Juntina cum Altorf. hoc pro ἀδικῇ dedit. deinde ἐάν τινα Guelf. Poſtea βελτίονα αὐτοῦ Junt. cum Altorf.

36. συμμάχοις] Ex Guelf. ξυμμάχοις dedit Zeune: deinde αὐτοῦ Junt. et Altorf.

ἤν δέ τις] Guelf. ἐὰν δέ τις. idem deinde cum Philel. τούτῳ ἀρκέσει dedit pro ἀρκέσει τοῦτο.

ἐκεῖνος τούτῳ ἀρκέσει μηχανώμενος, ἕως ἂν ἕλῃ τὸν ἑαυ-
τοῦ βελτίονα. Τῷ μέντοι ἐμὲ ἀνιᾶν καὶ σὺν τοῖς πονηροῖς
ῥᾳδίως, οἶμαι, κρείττων ἔσται.
Ἀκούσαντι ταῦτα τῷ Κύρῳ ἔδοξεν ἄξια ἐπιμελείας 37
λέγειν· καὶ εὐθὺς εἶπε, Τί οὖν, ἔφη, ὦ Γαδάτα, οὐχὶ
τὰ μὲν τείχη φυλακῇ ἐχυρὰ ἐποίησας, ὅπως ἄν σοι εἴη
ἀσφαλῶς χρῆσθαι, ὁπόταν εἰς αὐτὰ ἴῃς· αὐτὸς δὲ σὺν
ἡμῖν στρατεύῃ, ἵνα, ἢν οἱ θεοὶ, ὥσπερ νῦν, σὺν ἡμῖν ὦσιν,
οὗτός σε φοβῆται, ἀλλὰ μὴ σὺ τοῦτον; Ὅ τι δὲ ἡδύ σοι
ὁρᾶν τῶν σῶν, ἢ ὅτῳ συνὼν χαίρεις, ἔχων σὺν ἐμοὶ πο-
ρεύου. Καὶ σύ τ' ἂν ἐμοὶ, ὥς γε ἐγὼ δοκῶ, πάνυ ἂν
χρήσιμος εἴης, ἐγώ τέ σοι, ὡς ἂν δύνωμαι, πειράσομαι.
Ἀκούσας ταῦτα ὁ Γαδάτας ἀνέπνευσέ τε καὶ εἶπεν, Ἆρ' 38

ἕως ἂν] Juntina ὡς ἀπολέσει τὸν αὐτοῦ. Aldina ἕως ἂν ἕλῃ, Brodæi liber ἕως ἀνέλῃ, et Bodl. Guelf. et Philel. quod Leoncl. probabat. Mihi ὅπως ἀπολέσει maxime omnium placet. Interim vulgarem distinctionem correxi, sublato commate post ἀρκέσει. Ita enim supra iv. 5, 44. οὔτε ἐγὼ ἀρκέσω ὑμῖν πράττων πρὸ ὑμῶν. Œcon. xii. 4. ὅστις μέλλει ἀρκέσειν ὅταν ἐγὼ ἀπῶ, ἀντὶ ἐμοῦ ἐπιμελούμενος.

ἑαυτοῦ] Ita cum libris Brodæi, Guelf. Altorf. Zeune; αὐτοῦ Edd. pr. αὑτοῦ dedit Steph.

Τῷ μέντοι] Leonclavii conjecturam dedi pro τοῦ, ad quod intelligit ἕνεκα Weiske. Sed loci i. 3, 9. τοῦ δὴ — μὴ λυσιτελεῖν longe est diversa ratio. Deinde articulum ante πονηροῖς omisit Guelf. non inepte.

37. ταῦτα τῷ K.] Ita cum Guelf. Zeune pro. τῷ K. ταῦτα. sequens ἄξια in Altorf. aliena manus supplevit.

ἐχυρὰ] Juntina ἰσχυρά. deinde ἐποιήσαμεν Guelf. et Philel. sed corrector ἐποίησας dedit.

ἄν σοι] Guelf. ἂν σῶα ᾖ χρῆσθαι ἀσφ. Etiam Altorf. χρῆσθαι ἀσφ. dat.

Ὅ τι δὲ ἡδὺ] Weiske δὲ pro οὖν positum putabat; sed ex comparatione sectionis 39. et antecedentium hujus ipsius conjecturam idem ducebat olim hic scriptum fuisse: Ἀπελθὼν οὖν οὕστινας μὲν ἡγῇ ἱκανοὺς πρὸς τοῦτο εἶναι, φύλακας τῶν τειχέων ποίει. Ὅτι δὲ et seqq. Adjungit longam disputationem de quæstione ista; quam ipse sibi finxit vir doctus et his conceptam verbis proposuit: quomodo Gadatas, dum *remanere vult*, de rebus suis post discessum Cyri timeat, profecturus idem cum Cyro, sua omnia in tuto collocata esse credat. Verum nullibi scriptum exstat indicium Gadatam *remanere voluisse* ab initio, consilium vero deinde mutasse. Igitur reliqua disputatione supersedere poterat Weiske.

συνὼν χαίρεις, ἔχων] Ex Guelf. et Altorf. vulgatum χαίροις correxi; deinde σὺν ἑαυτῷ πορεύου Guelf. Ceterum pessime Edd. nuperæ ἔχων jungunt præcedenti χαίροις, cum sit verbo πορεύου adjungendum.

ὥς γε ἐγὼ δοκῶ] Ita cum Guelf. scripsi pro ὥς γέ μοι δοκῶ, quodsi græcum etiam esset, in hac tamen verborum σύ τ' ἂν ἐμοὶ vicinia tolerari repetitum μοι non debebat. Altorf. ὡς ἐγὼ δοκῶ, ex quo et Aldina sequens ἂν inserui. Postea ἔγωγε σοὶ Guelf.

ὡς ἂν] Edd. pr. Steph. 1. Altorf. ὡς ἐάν. Ad πειράσομαι intellige χρήσιμος εἶναι.

οὖν, ἔφη, νῦν δυναίμην ἂν συσκευασάμενος φθάσαι, πρίν
σε ἐξιέναι; βούλομαι γάρ τοι, ἔφη, καὶ τὴν μητέρα μετ᾽
ἐμαυτοῦ ἀγαγεῖν. Ναὶ μὰ Δί᾽, ἔφη, φθάσεις μέντοι·
ἐγὼ γὰρ ἐπισχήσω, ἔστ᾽ ἂν καλῶς σὺ φῇς ἔχειν.
39 Οὕτω δὴ ὁ Γαδάτας ἀπελθὼν, φύλαξι μὲν τὰ τείχη
σὺν Κύρῳ ὠχυρώσατο, συνεσκευάσατο δὲ πάντα, ὁπόσοις
ἂν οἶκος μέγας καλῶς οἰκοῖτο. Ἤγετο δὲ καὶ τῶν ἑαυ-
τοῦ τῶν τε πιστῶν, οἷς ἥδετο, καὶ ὧν ἠπίστει πολλοὺς,
ἀναγκάσας τοὺς μὲν αὐτῶν καὶ γυναῖκας ἄγειν, τοὺς δὲ
καὶ ἀδελφὰς, ὡς δεδεμένους τούτοις κατέχοι αὐτούς.
40 Καὶ τὸν μὲν Γαδάταν ὁ Κῦρος ἐν τοῖς περὶ αὐτὸν ᾔει ἔχων
καὶ ὁδῶν φραστῆρα καὶ ὑδάτων καὶ χιλοῦ καὶ σίτου, ὡς
ἀεὶ ἐν τοῖς ἀφθονωτάτοις στρατοπεδεύοιτο.

41 Ἐπεὶ δὲ πορευόμενος καθεώρα τὴν τῶν Βαβυλωνίων
πόλιν, καὶ ἔδοξεν αὐτῷ ἡ ὁδὸς, ἣν ᾔει, παρ᾽ αὐτὸ τὸ τεῖ-
χος φέρειν, καλέσας τὸν Γωβρύαν καὶ τὸν Γαδάταν,
ἠρώτα, εἰ ἄλλη ὁδὸς εἴη, ὥστε μὴ πάνυ πλησίον ἄγειν
42 τοῦ τείχους. Καὶ ὁ Γωβρύας εἶπεν· Εἰσὶ μὲν, ὦ δέ-

Cyrus exponit, cur in itinere non prope Babylona, fed aliquo fpatio remotus, præterire velit.

38. νῦν δυναίμην] Hic Altorfinum librum fequor. Vulgo eft δυναίμην— ἄγειν μετ᾽ ἐμαυτοῦ.

φθάσεις μέντοι] Eft μέντοι affirmantis, *vero*. Camerarius *antevertes omnino*. deinde Guelf. ἕως ἂν φῇς καλῶς ἔχειν.

39. Γαδάτας] Altorf. Γαδάτης. Sequentia ex libro Philelphi, Bodl. et Guelf. conftituit Zeune; antea fuit ἐφύλαξε,—Κύρῳ ἃ ὠχυρώσατο. Eft vero φύλαξι ὀχυροῦσθαι idem quod antea dixerat φυλακῇ ἐχυρὰ ποιεῖν.

ὁπόσοις ἂν] Altorf. ἂν et καλῶς omifit; fupra iv. 5, 39. fimiliter οἷς οἰκεῖται σκηνὴ καλῶς, ubi Philel. καλῶς non reddidit.

Ἤγετο] Juntina ἦγεν dedit; deinde οἷς ἠπίστει Altorf. quod præfero.

μὲν αὐτῶν] Guelf. cum Philel. αὐτῶν omifit; Altorf. πολλοὺς αὐτῶν— τοὺς μὲν αὐτῶν. Priore loco pofitum αὐτῶν mihi magis placet.

ἀδελφὰς] Has nominat liber Philel. Gabr. Juntinæ, Bodl. Altorf. ἀδελφοὺς cum aliis Guelf. a prima manu.

40. ὁ Κῦρος] Philel. et Guelf. εὐθὺς ὁ Κῦρος: deinde Guelf. ἐν τοῖς περὶ αὐτὸν ᾔει ἔχων. Edd. pr. σὺν τοῖς περὶ αὐτὸν, quod corrector in Guelf. adfcripfit. Ordinem vulgarem ἔχων ᾔει ex Guelf. mutavi. Altorf. Γαδάτην— ἔχων εἴη.

καὶ σίτου] Omifit hæc Guelf. deinde στρατοπεδεύοιτο cum libris Philel. Gabr. cum Hutchinfono admonitu Leonclavii fcripfi pro στρατεύοιτο. Ex Philel. Bodl. Guelf. fcriptura ὡς εἴη—στρατοπεδεύεσθαι recepit, infinitum modum cum Zeunio Weifke.

41. καθεώρα] Altorf. καθώρα—αὐτὸ τεῖχος—Γαδάτην.

εἰ ἄλλη] Guelf. εἰ εἴη ὁδὸς ἄλλη— πάνυ ἐγγὺς τοῦ τείχους ἄγειν.

σποτα, καὶ πολλαὶ ὁδοί· ἀλλ' ἔγωγ', ἔφη, ᾠόμην, καὶ
βούλεσθαι ἄν σε νῦν ὅτι ἐγγύτατα ἄγειν τῆς πόλεως,
ἵνα καὶ ἐπιδείξῃς αὐτοῖς τὸ στράτευμα, ὅτε σοι ἤδη πολύ
τέ ἐστι καὶ καλόν· ἐπειδὴ καὶ, ὅτι ἔλαττον εἶχες, προσ-
ῆλθές τε πρὸς αὐτὸ τὸ τεῖχος, καὶ ἐθεῶντο ἡμᾶς οὐ πολ-
λοὺς ὄντας· νῦν δὲ, καὶ εἰ παρεσκευασμένος τί ἐστιν,
ὥσπερ πρός σε εἶπεν, ὅτι παρασκευάζοιτο ὡς μαχούμε-
νός σοι, οἶδα, ὅτι ἰδόντι αὐτῷ τὴν σὴν δύναμιν πάλιν
ἀπαρασκεύαστα τὰ αὐτοῦ φανεῖται.

Καὶ ὁ Κῦρος πρὸς ταῦτα εἶπε· Δοκεῖς μοι, ὦ Γω- 43
βρύα, θαυμάζειν, ὅτι, ἐν ᾧ μὲν χρόνῳ πολὺ μείονα ἔχων
στρατιὰν ἦλθον, πρὸς αὐτὸ τὸ τεῖχος προσήγαγον· νῦν
δὲ, πλείω δύναμιν ἔχων, οὐκ ἐθέλω ὑπ' αὐτὰ τὰ τείχη
ἄγειν. Ἀλλὰ μὴ θαύμαζ', ἔφη· οὐ γὰρ τὸ αὐτό ἐστι 44
προσάγειν καὶ παράγειν. Προσάγουσι μὲν γὰρ ἅπαν-
τες, οὕτω ταξάμενοι, ὡς ἂν ἄριστοι εἶεν μάχεσθαι·

42. ᾠόμην] Guelf. ᾤμην—ἐγγυτάτω τῆς πόλεως ἄγειν—ἐπιδείξαις αὐτὸ, (sed correctum αὐτοῖς,) ὅτι τὸ στράτευμά σου ἤδη πολύ τε. Philel. et margo Steph. αὐτῷ, quod recepit Zeune, idem margo Steph. ὅτι τὸ στρ. σου. deinde πολύ τε pro πολύ τι ex libris Brodæi et Guelf. dedit Steph. ᾤμην—αὐτοῖς καὶ τὸ στράτευμα ὅτι ἤδη σοι πολύ τε.

ἐπειδὴ] Ita Guelf. pro ἐπεί. deinde ἐθεᾶτο Philel. et margo Steph. quod recepit Zeune. ὑμᾶς deinceps Steph. Ed. 2. et Hutchinsoniana.

καὶ εἰ] Ex Guelf. εἰ καὶ dedit Zeune; sequens τι Stephanus in τε mutavit: τις est in Altorf. Mihi nihil horum placet. deinde Philel. libri Brodæi et margo Steph. προεῖπεν.

παρασκευάζοιτο] Ita libri Brodæi et Guelf. παρασκευάσαιτο Edd. pr. παρασκευάσοιτο Steph. et Altorf.

σοι, οἶδα] Omissum σοι addit Philel. libri Brodæi et Guelf. deinde οἶδ' ὅτι ὡς ἰδόντι. postea ἀπαρασκευαστότατα ex Philel. Brodæi, Guelf. libro et margine Steph. dedit Zeune.

43. ἐν ᾧ μὲν] Guelf. omisso μὲν—προσῆγον—ἐπεὶ πλείω δ. ἔχω. Etiam Philelphus ἐπεὶ—ἔχω reddidit.

44. Ἀλλὰ μὴ] Ita Philel. et Guelf. Vulgo ἀλλὰ γὰρ μή. Zeune γὰρ seclusit. sequens ἔφη omisit idem Guelf.

προσάγειν καὶ παράγειν] Auctore Guelf. libro intersertum vulgo τε omisi. Nam duæ actiones hic non copulantur tempore, sed potius oratione distinctæ comparantur. Pro παράγειν libri Gabr. ἀπάγειν præbebant. Eadem varietas mox recurret.

γὰρ ἅπαντες] Guelf. γὰρ πάντες; deinde eundem cum Philel. et margine Steph. sequimur: ante Zeunium fuit: ὡς ἂν οἴωνται ἄριστα μάχεσθαι. Suidæ locus ab interpretibus non animadversus in verbo προσάγειν ita h. l. retulit: πάντες οἱ παραταξάμενοι ᾗ ἂν ἄριστοι εἶεν μάχεσθαι· παράγουσι δὲ οἱ σώφρονες—ἀνάγκη ἐκτεταμ. etc.

ἀπάγουσι μέντοι οἱ σώφρονες, ᾗ ἂν ἀσφαλέστατα, οὐχ ᾗ
45 ἂν τάχιστα ἀπέλθοιεν. Παριέναι δὲ ἀνάγκη ἐστὶν ἐκ-
τεταμέναις μὲν ταῖς ἁμάξαις, ἀνειργμένοις δὲ καὶ τοῖς
ἄλλοις σκευοφόροις ἐπὶ πολύ· ταῦτα δὲ πάντα δεῖ προ-
κεκαλύφθαι τοῖς ὁπλοφόροις, καὶ μηδαμῇ τοῖς πολε-
46 μίοις γυμνὰ ὅπλων τὰ σκευοφόρα φαίνεσθαι. Ἀνάγκη
οὖν, οὕτω πορευομένων, ἐπὶ λεπτὸν καὶ ἀσθενὲς τὸ μά-
χιμον τετάχθαι. Εἰ οὖν βούλοιντο ἀθρόοι ἐκ τοῦ τεί-
χους προσπεσεῖν, ὅπῃ ἂν προσμίξειαν, πολὺ ἐῤῥωμενέ-
47 στερον συμμιγνύοιεν τῶν παριόντων. Καὶ τοῖς μὲν ἐπὶ
μακρὸν πορευομένοις μακραὶ καὶ αἱ ἐπιβοήθειαι, τοῖς δ᾽
ἐκ τοῦ τείχους βραχὺ πρὸς τοὺς ἐγγὺς καὶ προσδραμεῖν
48 καὶ πάλιν ἀπελθεῖν. Ἢν δὲ μὴ μεῖον ἀπέχοντες παρ-
ίωμεν, ἢ ἐφ᾽ ὅσον καὶ νῦν ἐκτεταμένοι πορευόμεθα, τὸ
μὲν πλῆθος κατόψονται ἡμῶν, ὑπὸ δὲ τῶν παρυφασμέ-

ἀπάγουσι μέντοι] Guelf. καὶ ἀπάγουσι δέ οἱ. Suidas παράγουσι δέ οἱ laudat hinc.

45. ἀνειργμένοις] Guelf. cum Suida ἀνειργομένοις, Brodæi liber ἀνοιγομένοις, quod interpretamentum vulgaris ἀνειργμένοις eſſe ex etymologicis rationibus demonſtrare conatur Zeune, cum quo facit Weiſke. Contra cum Leonclavio Muretus ἀνειμένοις conjecerunt, quod unice probo.

δὲ πάντα] Ita Guelf. Vulgo eſt δὲ δεῖ πάντα.

46. ἐπὶ λεπτὸν] Recte Camerarius: *neceſſe eſt ordines militum extenuari et debilitari:* Mihi tamen græca verba peregrini quid habere videntur.

ἀθρόοι] Hoc ordine Guelf. Vulgo eſt: βούλοιντο ἐκ τοῦ τείχους ἀθρόοι πῃ προσπεσεῖν. ubi πῃ Zeune incluſit; ego propter ſequens ὅπῃ omiſi cum Guelf. At Fiſcher teſtatur in Guelf. eſſe προσπεσεῖν ποι. ἀθρόιοι Altorf.

ὅπῃ ἂν] Recte ἂν Weiſke tacitus ſupplevit omiſſum in libris omnibus. ſequens προσμίξειαν ex Guelf. cum Zeunio dedi pro προσμίξαιεν. In Codice tamen a prima manu fuit προσμίξειε. Poſtea vulgatum πολλῷ ex eodem Guelf. correxi.

συμμιγνύοιεν] Ita cum Stephano Hutchinſon et Weiſke. Vulgatum συμμιγνύειν revocavit Zeune, ex priore periodo ἀνάγκη intelligens. πολὺ ἐῤῥωμενεστέρων μιγνύειν Guelf. ſed corrector ἐῤῥωμενεστέρως dedit.

47. μακρὸν] Altorf. μακρῷ—μακραὶ καὶ ἐπιβ.

πρὸς τοὺς] Guelf. et margo Steph. πρὸς τό. deinde ἀπελθεῖν cum Philel. et Altorf. dedit Stephanus. ἀνελθεῖν cum Edd. pr. Guelf. ſed ex correctione; a prima enim manu fuit ἐπελθεῖν.

48. ἐφ᾽ ὅσον καὶ νῦν] Edd. pr. dant: ἐφ᾽ ὅσον κατόψονται ἡμᾶς καὶ ſed verba κατ. ἡμᾶς omiſit Gabriel et Camerarius, damnavitque Stephanus. Brodæus verba κατόψονται ἡμᾶς ita retulit, ut neſcias huc an ad ſequentia κατόψονται ἡμῶν pertineant. Noſtram lectionem dant Bodl. Guelf. et Altorf. In Guelf. tamen verba καὶ νῦν—κατ. ἡμῶν in margine ſunt addita: Altorfinus ἐφ᾽ ὁπόσον dat.

νων ὅπλων πᾶς ὄχλος δεινὸς φανεῖται. Ἦν δ' ἄρα 49
καὶ οὕτως ἰόντων ἐπεξίωσί πη, ἐκ πολλοῦ προορῶντες
αὐτοὺς οὐκ ἂν ἀπαράσκευοι λαμβανοίμεθα. Μᾶλλον
δ', ἔφη, ὦ ἄνδρες, οὐδ' ἐπιχειρήσουσιν, ὁπόταν πρόσω
δέῃ ἀπὸ τοῦ τείχους ἀπιέναι, ἢν μὴ τῷ ὅλῳ ὑπολάβωσι
τοῦ παντὸς κρείττους εἶναι· φοβερὸν γὰρ ἡ ἀποχώρησις.
Ἐπεὶ δὲ ταῦτα εἶπεν, ἔδοξέ τε ὀρθῶς τοῖς παροῦσι λέ- 50
γειν, καὶ ὁ Γωβρύας, ὥσπερ ἐκέλευσεν, ἡγεῖτο. Παρα-
μειβομένου δὲ τὴν πόλιν τοῦ στρατεύματος, ἀεὶ τὸ ὑπο-
λειπόμενον ἰσχυρότερον ποιούμενος ἀπεχώρει.

Ἐπεὶ δὲ πορευόμενος οὕτως ἐν ταῖς γιγνομέναις ἡμέ- 51
ραις ἀφικνεῖται πρὸς τὰ μεθόρια τῶν Σύρων καὶ Μήδων, Caſtellis tribus potitur.
ὅθενπερ ὡρμᾶτο, ἐνταῦθα δὴ τρία ὄντα τῶν Σύρων φρού-
ρια, ἓν μὲν αὐτῶν, τὸ ἀσθενέστατον, προσβαλὼν βίᾳ

φανεῖται] Ita ex verſione Gabr. reſcripſit Zeune pro φαίνεται.

49. ἦν δ' ἄρα] Libri Philelphi, Brodæi, Guelf. a prima manu, et margo Steph. habent ἂν οὖν (ἂν δ' οὖν Guelf.) τῷ ὄντι. Sequens πη pro σιωπῇ ex libris Brodæi, Bodl. Guelf. et Altorf. receptum eſt ab Hutchinſono et Zeunio.

ἔφη, ὦ ἄνδρες] Guelf. ὦ ἄνδρες, ἔφη. ſequens δέῃ pro δέοι ex eodem et Altorf. recepi; quod ὁπόταν poſtulare videtur; δέοι vero cum ὁπότε melius coit. Ceterum Altorf. ἐπιχειροῦσιν ὅταν dat.

ἢν μὴ] Guelf. ἂν μὴ—φοβερὰ; ſed corrector φοφερὸν dedit: in Altorfino eſt: τῷ ὅλῳ πιστιώς που πάντως κρείττους. Voluit, puto, dare: τῷ ὅλῳ πιστεύωσί που πάντως κρείττους εἶναι: φοβερὸν γὰρ ἀποχ. Non inepte!

50. καὶ ὁ Γωβρύας] Guelf. καὶ ἦγεν ὁ Γωβρύας, ὥσπερ ἐκέλευσε. Τοῦ παραμειβομένου δὲ τὴν πόλιν inſeruit corrector. στρ. αἰεὶ τὸ ὑπολ. ἰσχυρότερον. Comparativum modum pro ἰσχυρὸν dedit etiam cum Philelpho Stephanus et Altorfinus, in quo eſt τὸ ὑπολειπόμενον ἀεὶ ἰσχυρότερον. Mihi Guelf. ſcripturæ veræ veſtigia manifeſta indicare videtur. In vulgari enim vide quam duriter ad verba ὥσπερ ἐκέλευσε intelligi ὁ Κῦρος, ad ſequens ἡγεῖτο contra ὁ Γωβρύας, poſtea ad ποιούμενος ἀπεχώρει iterum ὁ Κῦρος intelligere oporteat. Contra quam molliter omnia fluunt, ſi mecum ex veſtigiis Guelf. legeris: Ἐπεὶ δὲ ταῦτα εἶπεν, ἔδοξέ τε ὀρθῶς τοῖς παροῦσι λέγειν, καὶ ἦγεν ὁ Γωβρύας, ὥσπερ ἐκέλευσεν, τοῦ παραμειβομένου τὴν πόλιν στρατεύματος τὸ ὑπολειπόμενον ἀεὶ ἰσχυρότερον ποιούμενος ἀπεχώρει. Ita ſimul ſumma orationis brevitate prætereuntis exercitus celeritatis ſpeciem Xenophon imitatus eſſe videtur.

51. πρὸς τὰ] Ex Guelf. et Zonara εἰς τὰ recepit Zeune: idem liber Σύρων—ἔνθενπερ. Multi etiam alii libri Σύρων, alii Ἀσσυρίων habent. Et ſupra iii. 3, 22. Aſſyrios nominavit Xenophon, quem locum nunc reſpicit. Infra vero c. v. 22. Syri iterum pro Aſſyriis nominantur. Mihi nominum iſta inconſtantia non placet.

μὲν αὐτῶν] Philel. Guelf. Zonaras μὲν αὐτός. deinde βίᾳ προσβαλὼν Guelf.

ἔλαβε, τὼ δὲ δύο φρουρίω φοβῶν μὲν ὁ Κῦρος, πείθων δὲ ὁ Γαδάτας, παρεσκεύασαν παραδοῦναι τοὺς φυλάττοντας.

CAP. V.

Cum novi milites, de quibus nuncius cum mandatis (libri iv. cap. 5. ſect. 26.) miſſus erat, e Perſide ad Cyaxarem veniſſent, hic invitatu Cyri eo lubentius in ejus caſtra proficiſcitur, quod cum ſuis exercitibus Medorum a-

Ἐπεὶ δὲ ταῦτα διεπέπρακτο, πέμπει πρὸς Κυαξάρην,
καὶ ἐπέστελλεν αὐτῷ ἥκειν ἐπὶ τὸ στρατόπεδον, ὅπως
περί τε τῶν φρουρίων, ὧν εἰλήφεσαν, βουλεύσαιντο, ὅ τι
χρήσαιντο, καὶ ὅπως, θεασάμενος τὸ στράτευμα, καὶ
περὶ τῶν ἄλλων σύμβουλος γίγνοιτο, ὅ τι ἂν δοκοίη ἐκ
τούτου πράττειν· ἢν δὲ κελεύῃ, εἰπὲ, ἔφη, ὅτι ἐγὼ ἂν ὡς
2 ἐκεῖνον ἴοιμι στρατοπεδευσόμενος. Ὁ μὲν δὴ ἄγγελος
ᾤχετο ταῦτ᾽ ἀπαγγέλλων·

Ὁ δὲ Κῦρος ἐν τούτῳ ἐκέλευσε τὴν τοῦ Ἀσσυρίου σκηνὴν, ἣν Κυαξάρει οἱ Μῆδοι ἐξεῖλον, ταύτην κατασκευάσαι ὡς κάλλιστα τῇ τε ἄλλῃ κατασκευῇ, ἣν εἶχον, καὶ

τὼ δὲ δύο] Ita pro τῶν δὲ δύο φρουρίων libri Brodæi, Gabr. Bodl. Guelf. Altorf. niſi quod δύω eſt in Bodl. Guelf.

ὁ Κῦρος — ὁ Γαδάτας] Articulum ex Zonara addidit Zeune. Sequens παρεσκεύασαν a Zonara acceptum in locum vulgaris ἔπεισε ſubſtituit Zeune; nec aptius libri ſcripti adhuc dederunt, niſi ἐποίησαν a Weiſkio excogitatum propter ſimilitudinem præferas.

1. διεπέπρακτο] Ita cum Guelf. Zeune pro διεπράξατο — ἐπέστελλεν ἥκειν αὐτὸν ἐπὶ τὸ στράτευμα. Zonaras εἰς τὸ στρατόπεδον dedit. Etiam Philelphus στρατόπεδον vertit.

περί τε] Guelf. omiſſo τε deinde σύμβουλος γένηται. In Altorf. eſt χρήσαινται.

ὅ τι ἂν] Altorf. ὅ τι δοκοίη ἐκ τούτων, omiſſo ἄν.

κελεύῃ] Hoc ex libris ſuis Brodæus etiam annotavit, et vertit Philelphus. Junt. κελεύῃς. Ald. κελεύεις. Guelf. ἐὰν δὲ κελεύῃ—ὅτι ἔγνω ὡς ἂν ἐκεῖνον ἰὼν στρατοπεδευσάμενος. corrector ἔγνων ſupra ſcripſit.

2. ὁ μὲν δὴ] Guelf. δὴ omiſit: deinde Zeune ejuſdem libri, Philelphi et Zonaræ ſecutus auctoritatem correxit vulgatum ἐκέλευσεν ἐν τούτῳ τὸν Γαδάταν. cujus in curando Cyaxaris tabernaculo nullæ fuiſſe partes videntur; ſequitur enim ſect. 3. οἱ μὲν δὴ ταῦτ᾽ ἔπραττον: nec infra v. 5, 38. mentio fit Gadatæ, ubi Cyaxares inducitur in tabernaculum.

ἣν Κυαξάρει] Ex Zonara articulum τῷ addidit Zeune; Κυαξάρει ἣν οἱ Μῆδοι. Guelf. ἣν οἱ Μῆδοι τῷ Κυ.

κάλλιστα] Philel. Guelf. Zonaras βέλτιστα.

κατασκευῇ] Ex Guelf. et Zonara παρασκευῇ dedit Zeune; quanquam de Guelf. variatione tacet Fiſcheri collatio. Sed κατασκευὴ ſemper Xenophonti eſt inſtrumentum et ornamentum, παρασκευὴ apparatus, inprimis bellicus.

ἣν εἶχον] Ita cum Philel. Guelf. et Zonara dedit Zeune pro εἶχεν.

τὼ γυναῖκε εἰσαγαγεῖν εἰς τὸν γυναικῶνα τῆς σκηνῆς, καὶ σὺν αὐταῖς τὰς μουσουργοὺς, αἵπερ ἐξῃρημέναι ἦσαν Κυαξάρει. Οἱ μὲν δὴ ταῦτ' ἔπραττον. Ὁ δὲ πεμ- 3
φθεὶς πρὸς τὸν Κυαξάρην, ἐπεὶ ἔλεξε τὰ ἐντεταλμένα, ἀκούσας ὁ Κυαξάρης αὐτοῦ, ἔγνω βέλτιον εἶναι, τὸ στράτευμα μένειν ἐν τοῖς μεθορίοις. Καὶ γὰρ οἱ Πέρσαι, οὓς μετεπέμψατο ὁ Κῦρος, ἧκον· ἦσαν δὲ μυριάδες τέτταρες τοξοτῶν καὶ πελταστῶν. Ὁρῶν οὖν καὶ τούτους πολλὰ 4
γινομένους τὴν Μηδικὴν, τούτων αὖ ἐδόκει ἥδιον ἀπαλλαγῆναι μᾶλλον, ἢ ἄλλον ὄχλον εἰσδέξασθαι. Ὁ μὲν δὴ ἐκ Περσῶν ἄγων τὸν στρατὸν, ἐρόμενος τὸν Κυαξάρην, κατὰ τὴν Κύρου ἐπιστολὴν, εἴ τι δέοιτο τοῦ στρατεύματος, ἐπεὶ οὐκ ἔφη δεῖσθαι, αὐθημερὸν, ἐπεὶ ἤκουσε παρόντα Κῦρον, ᾤχετο πρὸς αὐτὸν ἄγων τὸ στράτευμα.

Ὁ δὲ Κυαξάρης ἐπορεύετο τῇ ὑστεραίᾳ σὺν τοῖς παρα- 5
μείνασι Μήδων ἱππεῦσιν· ὡς δ' ᾔσθετο ὁ Κῦρος προσιόντα αὐτὸν, λαβὼν τούς τε τῶν Περσῶν ἱππέας, πολλοὺς ἤδη ὄντας, καὶ τοὺς Μήδους πάντας καὶ τοὺς Ἀρμενίους

gris molestus esse non vult.

Cyrus obviam Cyaxari procedit cum equitatu.

τὼ γυναῖκε] Ineptiſſimam lectionem τῷ γυναῖκα ex Guelf. et Zonara induxit cum Zeunio Weiſke: hic tamen γυναῖκας dedit, et deinceps αὐταῖς vulgatum retinuit, ille ex iiſdem libris ταύτῃ dedit. Sed Cyaxari plures de præda mulierculas fuiſſe exemtas teſtatur Xenophon ipſe ſupra iv. 5, 52. ut recte admonuit Weiſke.

Κυαξάρει] Articulum τῷ ex Zonara addidit Zeune: Κυαξάρῃ dat Altorf. deinde Κυαξάρη Guelf.

3. ὁ Κυ. αὐτοῦ] Guelf. αὐτοῦ ὁ Κυ. —ἐν αὐτοῖς μεθορίοις. ſed corrector hoc ἐν inſeruit.

4. καὶ τούτους] Guelf. καὶ τοὺς γινομένους πολλὰ—τούτων ἂν ἐδόκει ἥδιον ἀπ. ἢ ἄλλον omiſſo μᾶλλον, quod facit etiam Bodl. γινομένους πολλὰ Altorf. Cf. ſupra ad ii. 4, 10.

ἐπιστολὴν] Margo Guelf. ἐντολὴν refert, quod recepit Welſius, deinde στρατοῦ Guelf.

ἐπεὶ ἤκουσε] Mihi oratio Xenophontis hic nimis ſimplex nec ſatis varia tædium facit. Vide modo geminum ἐπεὶ οὐκ ἔφη δεῖσθαι, quod ſtatim præceſſit!

5. ἐπορεύετο τῇ ὑστεραίᾳ] Hoc ordine Guelf. τῇ ὑστ. ἐπορ. Edd. ante Zeunium. idem liber τοῖς παραμείνασιν ἱππεῦσι Μήδων. Zonaras παραμείνασιν αὐτῷ τῶν Μήδων. unde articulum τῶν addidit Zeune.

τούς τε τῶν] Ita ex Philel. Guelf. Zonara et margine Steph. Zeune ſcripſit pro τοὺς Πέρσας.

Μήδους πάντας] Ex Philel. libro, Brodæi, Guelf. et Zonara παρόντας prætulit Zeune. At ita debebat eſſe τοὺς παρόντας Μήδους vel τοὺς τῶν Μήδων παρόντας.

καὶ τοὺς Ὑρκανίους, καὶ τῶν ἄλλων συμμάχων τοὺς εὐιπποτάτους τε καὶ εὐοπλοτάτους, ἀπήντα· καὶ ἐπιδεί-
6 κνυσι τῷ Κυαξάρει τὴν δύναμιν. Ὁ δὲ Κυαξάρης, ἐπεὶ εἶδε σὺν μὲν τῷ Κύρῳ πολλούς τε καὶ καλοὺς κἀγαθοὺς ἑπομένους, σὺν ἑαυτῷ δὲ ὀλίγην τε καὶ ὀλίγου ἀξίαν θεραπείαν, ἄτιμόν τι αὐτῷ ἔδοξεν εἶναι, καὶ ἄχος αὐτὸν ἔλαβεν. Ἐπεὶ δὲ καταβὰς ὁ Κῦρος ἀπὸ τοῦ ἵππου προσῆλθεν ὡς φιλήσων αὐτὸν κατὰ νόμον, ὁ Κυαξάρης κατέβη μὲν ἀπὸ τοῦ ἵππου, ἀπεστράφη δέ· καὶ ἐφίλησε
7 μὲν οὔ, δακρύων δὲ φανερὸς ἦν. Ἐκ τούτου δὴ ὁ Κῦρος τοὺς μὲν ἄλλους ἅπαντας ἀποστάντας ἐκέλευσεν ἀναπαύσασθαι· αὐτὸς δὲ λαβόμενος τῆς δεξιᾶς τοῦ Κυαξάρους, καὶ ἀπαγαγὼν αὐτὸν τῆς ὁδοῦ ἔξω ὑπὸ φοίνικάς τινας, τῶν τε Μηδικῶν πίλων ὑποβαλεῖν ἐκέλευσεν αὐτῷ, καὶ καθίσας αὐτὸν καὶ παρακαθισάμενος ἤρετο ὧδε·

Altercatio inter Cyaxarem et Cyrum.

8 Εἰπέ μοι, ἔφη, πρὸς τῶν θεῶν, ὦ θεῖε, τί μοι ὀργίζῃ, καὶ τί χαλεπὸν ὁρῶν οὕτω χαλεπῶς φέρεις; Ἐνταῦθα δὴ ὁ Κυαξάρης ἀπεκρίνατο τοιάδε, Ὅτι, ἔφη, ὦ Κῦρε, δοκῶν γε δή, ἐφ' ὅσον ἀνθρώπων μνήμη ἐφικνεῖται, καὶ

τι καὶ] Guelf. τε omiſſo ἀπήντα ἐπιδεικνὺς, quam ſcripturam etiam in Philel. et Zonara exſtantem recepit Zeune. ἀπήντα λαβὼν καὶ ἐπιδείκνυσι cum Edd. pr. Altorf. qui poſtea Κυαξάρῃ dat.

6. καλοὺς] Zonaras omiſit : deinde ἑπομένους pro συνεπομένους ex eodem et Guelf. poſui : poſtea καὶ αὐτῷ ὀλίγην Altorf.

αὐτῷ ἔδοξεν] Hoc ordine cum Zonara Guelf. ἔδοξεν αὐτῷ ante Zeunium.

προσῆλθεν] Junt. ἦλθεν, Ald. προσκεῖθεν.

7. τούτου δὴ] Ex Guelf. pro δὲ dedit Zeune : deinde πάντας ἀναστάντας Guelf. cum Philel. libro, Brodæi et margine Steph. Vulgata tamen a correctore eſt ſuppleta in Guelf. Poſtea ἀναπαύεσθαι Guelf.

Κυαξάρους] Hoc in Guelf. corrector dedit pro Κυαξάρου.

τῶν τε Μ. πίλων] Philel. et Bodl. τόν τε Μηδικὸν πῖλον. Altorf. Κυαξάρους ἀπαγαγὼν—Μηδικῶν ἀπίλων. ſed α punctis ſuppoſitis eſt notatum et iota ante λ ſuper raſura.

ὑποβαλεῖν] Hoc Guelf. pro ὑποβάλλειν dedit. deinde παρακαθιζόμενος Altorf. Pro ἤρετο ex Philel. Guelf. ex margine Steph. εἶπεν dedit cum Zeunio Weiſke.

8. ἀπεκρίνατο] Ita cum Aldina Steph. omiſſo τοιάδε Philel. et Guelf. λέγει αὐτῷ Juntina et Altorf. Sequens ἔφη omiſit Guelf.

ἐφικνεῖται] Guelf ἀφικνεῖται. deinde πεφυκὼς Edd. pr. Altorf. quod corrector in Guelf. adſcripſit. Similiter poſtea ὁρῶν Guelf. Altorf.

τῶν πάλαι προγόνων καὶ πατρὸς βασιλέως πεφυκέναι,
καὶ αὐτὸς βασιλεὺς νομιζόμενος εἶναι, ἐμαυτὸν μὲν ὁρῶ
οὕτω ταπεινῶς καὶ ἀναξίως ἐλαύνοντα, σὲ δὲ τῇ ἐμῇ θε-
ραπείᾳ καὶ τῇ ἄλλῃ δυνάμει μέγαν τε καὶ μεγαλοπρεπῆ
παρόντα. Καὶ ταῦτα χαλεπὸν μὲν οἶμαι καὶ ὑπὸ πο- 9
λεμίων παθεῖν, πολὺ δὲ, ὦ Ζεῦ, χαλεπώτερον, ὑφ' ὧν
ἥκιστα ἐχρῆν ταῦτα πεπονθέναι. Ἐγὼ μὲν γὰρ δοκῶ
δεκάκις ἂν κατὰ τῆς γῆς ἥδιον δῦναι, ἢ ὀφθῆναι οὕτω
ταπεινὸς, καὶ ἰδεῖν τοὺς ἐμοὺς ἐμοῦ ἀμελήσαντας καὶ
ἐπεγγελῶντας ἐμοί. Οὐ γὰρ ἀγνοῶ τοῦτ', ἔφη, ὅτι οὐ
σὺ μοῦ μόνον μείζων εἶ, ἀλλὰ καὶ οἱ ἐμοὶ δοῦλοι ἰσχυρό-
τεροι ἐμοῦ ὑπαντιάζουσί μοι, καὶ κατεσκευασμένοι εἰσὶν,
ὥστε δύνασθαι ποιῆσαι μᾶλλον ἐμὲ κακῶς, ἢ παθεῖν
ὑπ' ἐμοῦ. Καὶ ἅμα ταῦτα λέγων πολὺ ἔτι μᾶλλον 10
ἐκρατεῖτο ὑπὸ τῶν δακρύων· ὥστε καὶ τὸν Κῦρον ἐπεσπά-
σατο ἐμπλησθῆναι δακρύων τὰ ὄμματα. Ἐπισχὼν δὲ
μικρὸν ἔλεξε τοιάδε ὁ Κῦρος·

Ἀλλὰ ταῦτα μὲν, ἔφη, ὦ Κυαξάρη, οὔτε λέγεις ἀλη-
θῆ, οὔτε ὀρθῶς γιγνώσκεις, εἰ οἴει τῇ ἐμῇ παρουσίᾳ Μή-
δους κατεσκευάσθαι σοι ἱκανοὺς [εἶναι] κακῶς ποιεῖν.
Τὸ μέντοι σε θυμοῦσθαι καὶ φοβεῖσθαι οὐ θαυμάζω· 11
εἰ μέντοι γε δικαίως ἢ ἀδίκως αὐτοῖς χαλεπαίνεις, πα-

9. δοκῶ] deinceps ἔφη inferit Altorf. deinde καταδῦναι ἥδιον Brodæi liber; Guelf. et margo Steph. ἐμοὺς et ſequentem copulam καὶ omiſit Altorf. Poſtea ἐπαγγελῶντας Edd. pr.

ὑπαντιάζουσι] Liber Brodæi, Guelf. et margo Steph. ἀπαντῶσι. Inter lineas Guelf. ὑπαντῶσι adſcriptum eſt. Sequens εἰσὶν ex libris Brodæi et Guelf. acceſſit jam in Editione Steph. omiſſum in Edd. pr. et Altorf.

10. τοιάδε ὁ K.] Guelf. articulum ὁ omiſit et ſequens ἔφη.

ὦ Κυαξάρη] Juntina et Altorf. ὦ θεῖε. Sequens ἀληθῆ Philel. Guelf. et margo Steph. dedit pro ἀληθῶς.

σοι ἱκανοὺς] Ex Guelf. κατεσκ. σοι ἱκανοὺς εἶναι κακῶς ποιεῖν (ubi corrector ſupra σοι adſcripſit σε) vulgatum ὥστε ἱκανοὺς εἶναί σε κακῶς ποιεῖν correxi. Sententia ita fit univerſalis et Cyrus præſentia ſua Medos non modo malevolos erga Cyaxarem factos, ſed omnino ad male cuicunque faciendum paratos eſſe negat. Tantum εἶναι in Guelf. adjectum ἱκανοὺς ſecluſi.

11. καὶ φοβεῖσθαι] Hæc Guelf. omiſit; deinde ponit ἀδίκως ἢ δικαίως.

ρήσω τοῦτο· (οἶδα γὰρ, ὅτι βαρέως ἂν φέροις ἀκούων ἐμοῦ ἀπολογουμένου ὑπὲρ αὐτῶν) τὸ μέντοι ἄνδρα ἄρχοντα πᾶσιν ἅμα χαλεπαίνειν τοῖς ἀρχομένοις, τοῦτο ἔμοιγε δοκεῖ μέγα ἁμάρτημα εἶναι. Ἀνάγκη γὰρ, διὰ τὸ πολλοὺς μὲν φοβεῖν, πολλοὺς ἐχθροὺς ποιεῖσθαι· διὰ δὲ τὸ πᾶσι ἅμα χαλεπαίνειν, πᾶσιν αὐτοῖς ὁμόνοιαν
12 ἐμβάλλειν. Ὧν ἕνεκα, εὖ ἴσθι, ἐγὼ οὐχὶ ἀπέπεμπον ἄνευ ἐμαυτοῦ τούτους, φοβούμενος, μή τι γένοιτο διὰ τὴν σὴν ὀργὴν, ὅ τι πάντας ἡμᾶς λυπήσοι. Ταῦτα μὲν οὖν σὺν τοῖς θεοῖς ἐμοῦ παρόντος ἀσφαλῶς ἕξει σοι· τὸ μέντοι σε νομίζειν ὑπ' ἐμοῦ ἀδικεῖσθαι, τοῦτ' ἐγὼ χαλεπῶς πάνυ φέρω, εἰ, ἀσκῶν, ὅσον δύναμαι, τοὺς φίλους ὡς πλεῖστα ἀγαθὰ ποιεῖν, ἔπειτα τἀναντία τούτου δοκῶ
13 ἐξεργάζεσθαι. Ἀλλὰ γὰρ, ἔφη, μὴ οὕτως εἰκῇ ἡμᾶς αὐτοὺς αἰτιώμεθα· ἀλλ', εἰ δυνατὸν, σαφέστατα κατίδωμεν, ὁποῖόν ἐστι τὸ παρ' ἐμοῦ ἀδίκημα. Καὶ τὴν ἐν φίλοις δικαιοτάτην ὑπόθεσιν ἐγὼ ὑποτίθεμαι· ἤν γάρ τί σε ἐγὼ φανῶ κακὸν πεποιηκὼς, ὁμολογῶ ἀδικεῖν· ἢν μέντοι μηδὲν φαίνωμαι κακὸν πεποιηκὼς, μηδὲ βουληθεὶς, οὐ καὶ σὺ αὖ ὁμολογήσεις, μηδὲν ὑπ' ἐμοῦ ἀδικεῖ-

φέροις] Guelf. cum Junt. Ald. *φέρῃς*. deinde *ἔμοιγε δοκεῖ* ex Altorf. dedi pro *ἐμοὶ δοκεῖ*.

πᾶσιν ἅμα] Ordine ſic inverſo Guelf.

12. *Ὧν ἕνεκα*] Guelf. *ὧν οὕνεκα*—*οὐκ ἀπέπεμπον*—*διὰ τὴν ὀργὴν* (omiſſo *σὴν* ut fecit Philelphus)—*λυπήσοι* cum Altorf. quod in vulgati *λυπήσει* locum receperunt Zeune et Weiſke. Mihi *λυπήσῃ* uſui magis convenire videtur.

ἕξει] Philelphi libri, Brodæi, Guelf. et margo Steph. *ἔχει*.

ἀδικεῖσθαι] Edd. pr. *δὲ ἀδικεῖσθαι τοῦτ'*. Caſtalio et Guelf. *ἀδικεῖσθαι, τοῦτο δ'*.

χαλεπῶς πάνυ] Ordinem invertit Guelf. ſequens *εἰ* eſt pro *ὅτι*, ut poſt *θαυμάζω* et ſimilia verba.

τἀναντία] Ita cum Philel. Guelf. pro *ἐναντίον*. deinde *τούτω* Guelf. idem liber cum Altorfino *ἐξεργάζεσθαι* pro ſimplice forma dedit.

13. *ὁποῖον*] Guelf. *ποῖον*. deinde *ἔχω ὑποτιθέναι*. *ἐὰν γάρ τί σε* cum Philel. Brodæi libris, Bodl. Guelf. *σε* ex vetere Stephani libro addiderat jam antea Welſius, ego ex Guelf. adjunxi. Weiſke locum deſiderare putabat *Καὶ γὰρ τὴν ἐν φίλοις* etc. Camerarius hæc interpretatur: *Atque ego eam, quæ eſt inter amicos æquiſſima, conditionem fero.*

ἢν μέντοι] Guelf. *ἐὰν μέντοι*. deinde *μηδὲ ὡς φαίνωμαι* Bodl. ſed ipſum *φαίνωμαι* mihi diſplicet propter præcedens *φανῶ*.

σθαι; Ἀλλ' ἀνάγκη, ἔφη. Ἢν δὲ δὴ καὶ ἀγαθά σοι 14
πεπραχὼς δῆλος ὦ, καὶ προθυμούμενος πρᾶξαι, ὡς
ἐγὼ πλεῖστα ἠδυνάμην, οὐκ ἂν καὶ ἐπαίνου σοι ἄξιος
εἴην μᾶλλον ἢ μέμψεως; Δίκαιον γοῦν, ἔφη. Ἄγε 15
τοίνυν, ἔφη ὁ Κῦρος, σκοπῶμεν τὰ ἐμοὶ πεπραγμένα
πάντα καθ' ἓν ἕκαστον· οὕτω γὰρ δὴ μάλιστα δῆλον
ἔσται, ὅ τι τε αὐτῶν ἀγαθόν ἐστι, καὶ ὅ τι κακόν.
Ἀρξώμεθα δὲ, ἔφη, ἐκ τῆσδε τῆς ἀρχῆς, εἰ καί σοι 16
δοκεῖ ἀρκούντως ἔχειν. Σὺ γάρ δήπου, ἐπεὶ ᾔσθου πολ-
λοὺς πολεμίους ἠθροισμένους, καὶ τούτους ἐπί σε καὶ τὴν
σὴν χώραν ὁρμωμένους, εὐθὺς ἔπεμπες πρός τε τὸ Περ-
σῶν κοινὸν, συμμάχους αἰτούμενος, καὶ πρὸς ἐμὲ ἰδίᾳ,
δεόμενος πειρᾶσθαι αὐτόν με ἐλθεῖν ἡγούμενον, εἴ τινες
Περσῶν ἴοιεν. Οὔκουν ἐγὼ ἐπείσθην τε ταῦτα ὑπὸ σοῦ,
καὶ παρεγενόμην, ἄνδρας ἄγων σοι ὡς ἐδυνάμην πλεί-
στους τε καὶ ἀρίστους; Ἦλθες γὰρ οὖν, ἔφη. Ἐν 17
τούτῳ τοίνυν, ἔφη, πρῶτον μοι εἰπὲ, πότερον ἀδικίαν τινά
μου πρός σε κατέγνως, ἢ μᾶλλον εὐεργεσίαν; Δῆ-
λον, ἔφη ὁ Κυαξάρης, ὅτι ἔκ γε τούτων εὐεργεσίαν.

ἀλλ' ἀνάγκη] Edd. pr. cum Altorf. ἀλλὰ omittunt.

14. ἀγαθά σοι] Hoc ordine Guelf. Philel. et margo Steph. pro ἀγαθὸν πεπραχώς σοι. In Altorf. πεπραγὼς eſt. Sequens ὡς ἐγὼ πλ. dedit Zeune ex Philel. Guelf. et margine Steph. pro ὁπόσα πλεῖστα.

ἂν καὶ] Ex margine Steph. et Guelf. καὶ acceſſit: ſequens σοι Guelf. omiſit.

15. οὕτω γὰρ δὴ] Guelf. δὴ omiſit; deinde δῆλα dat Altorf. Edd. pr. κατάδηλα revocavit Zeune: noſtrum ex Stephaniana, libris Brodæi et Guelf. probavit Weiſke. poſtea ὅ τι αὐτῶν—ἐστιν, ὅ τι κακὸν Guelf.

16. ἐκ τῆσδε] Guelf. omiſſo ἐκ habet ἀρκούντως δοκεῖ. Recte ἀρχὴν Zeune imperium Cyri militare interpretatur.

Σὺ γὰρ] Ex Guelf. οὐ γὰρ dedit Zeune; ſequens ὁρμωμένους pro ὡρμημένους ex eodem libro ductum eſt.

Περσῶν κοινὸν] Guelf. κοινὸν Περσῶν —οἵτινες Περσῶν, ſed οἵτινες eſt a correctore. Juntina δεόμενος omiſit ἴοιμεν eſt in Philel. et Guelf.

ὡς ἐδυνάμην] Ex Philel. Guelf. et margine Steph. ὡς ἦν δυνατὸν dedit cum Zeunio Weiſke. Pro ἄγων Altorf. φέρων dat.

17. ἔφη, πρῶτον] Ita numeroſius ex Guelf. Zeune: veterem lectionem μοι πρῶτον εἰπὲ, ἔφη, revocavit Weiſke.

ἀδικίαν τινά μου] Ita pro ἀδικίαν ἐμοῦ ex libro Brodæi, Philel. Guelf. dedit Zeune.

ὅτι ἔκ γε] Debebat eſſe δῆλον ἔκ γε τούτων ὅτι. Sed rectius Altorfinus liber ἔν γε τούτῳ dare videtur.

18 Τί γάρ; ἔφη, ἐπεὶ οἱ πολέμιοι ἦλθον, καὶ διαγωνίζεσθαι
ἔδει πρὸς αὐτοὺς, ἐν τούτῳ κατενόησάς πού με ἢ πόνου
ἀποστάντα, ἤ τινος κινδύνου φεισάμενον; Οὐ μὰ τὸν Δί',
19 ἔφη, οὐ μὲν δή. Τί γάρ; ἐπεὶ, νίκης γενομένης σὺν τοῖς
θεοῖς ἡμετέρας, καὶ, ἀναχωρησάντων τῶν πολεμίων, παρεκάλουν ἐγώ σε, ὅπως κοινῇ μὲν αὐτοὺς διώκοιμεν, κοινῇ
δὲ τιμωροίμεθα, κοινῇ δὲ, εἴ τι καλὸν κἀγαθὸν συμβαίνοι, τοῦτο καρποίμεθα· ἐν τούτοις ἔχεις τινά μου
20 πλεονεξίαν κατηγορῆσαι; Ὁ μὲν δὴ Κυαξάρης πρὸς
ταῦτα ἐσίγα· ὁ δὲ Κῦρος πάλιν ἔλεγεν ὧδε· Ἀλλ' εἰ πρὸς τοῦτο σιωπᾶν ἥδιόν σοι ἢ ἀποκρίνασθαι, τόδε γε, ἔφη, εἰπὲ, εἴ τι ἀδικεῖσθαι ἐνόμισας, ὅτι, ἐπεί σοι οὐκ ἀσφαλὲς ἐδόκει εἶναι τὸ διώκειν, σὲ μὲν αὐτὸν ἀφῆκα τούτου τοῦ κινδύνου, ἱππέας δὲ τῶν σῶν συμπέμψαι μοι ἐδεόμην σου; εἰ γὰρ καὶ τοῦτο αἰτῶν ἠδίκουν, ἄλλως τε καὶ προπαρεσχηκὼς ἐμαυτόν σοι σύμμαχον, τοῦτ' αὖ

18. τί γάρ; ἔφη] Guelf. τί γάρ; ἔφη, εἰπέ· οἱ πολέμιοι, ſed corrector ante οἱ inſeruit ἐπειδὴ, quod additum legit etiam Philel. ſed id ſupplementum oſtendit εἰπὲ eſſe ex ἐπεὶ depravatum, quod in locum vulgaris ἐπειδὴ ſubſtitui.

πού με] Ex Philel. libro, Brodæi, Guelf. et margine Steph. acceſſit πού. ſequens τινὸς cum Philel. et Guelf. ante κινδύνου repoſui vulgo poſt πόνου collocatum.

19. παρεκάλουν ἐγώ σε] Ita Guelf. παρεκάλουν σε ἐγὼ. Edd. pr. negationem cum Philel. libro Bodl. et Guelf. omiſit Stephanus.

καλὸν κἀγαθὸν] Hoc ex libro Philel. Brodæi, Bodl. Guelf. dedit Zeune pro ἀγαθὸν ἢ κακόν. corrector in Guelf. κακὸν ἢ ἀγαθὸν, Altorf. ἀγαθὸν ἢ καλὸν dedit. Cf. infra ad vii. 2, 13. annotationem.

ἔχεις τινά μου] Hoc ex lectione Philel. et Guelf. ἔχοις τινά μου, quam dedit Zeune in locum vulgaris ἔχεις τινὰ πλ. μου, effecit Weiſke. ἔχεις τινα ἐμοῦ πλ. Altorf. Pro συμβαίνοι eſt in Guelf. ἐμβαίνοι.

20. πρὸς ταῦτα] Philel. Guelf. margo Steph. πρὸς τοῦτο. ſequens ἀλλ' εἰ pro vulgato ἀλλ' ἐπεὶ ex Philel. Guelf. et margine Steph. dedit Zeune.

τόδε γε] Juntina γε omiſit; τό γε Guelf. deinde vulgatum σοι ἐδόκει ex Guelf. mutavi, ubi οὐκ ἀσφαλὲς ἐδόκει εἶναι διώκειν exſtat ſcriptum.

ἀφῆκα] Ante Zeunium erat οὐκ ἀφῆκα—κινδύνου μετέχειν. ſed οὐκ omittit Bodl. Guelf. et libri quos laudat Stephanus; μετέχειν omittunt iidem Stephani libri, Bodl. in Guelf. corrector poſt τούτου ſupplevit. Igitur οὐκ et μετέχειν non ſecluſit cum Zeunio, ſed omnino ſuſtulit Weiſke.

συμπέμψαι μοι] Pronomen ex Philel. et Guelf. addidi; et compoſitum συμπέμψαι pro ſimplice ex Altorfino dedi.

καὶ τοῦτο] Silentium Cyaxaris interim pro criminatione aſſumens Cyrus ita pergit; huc refertur etiam ſe-

παρὰ σοῦ, ἔφη, ἐπιδεικνύσθω. Ἐπεὶ δ' αὖ καὶ πρὸς 21
ταῦτα ἐσίγα ὁ Κυαξάρης, Ἀλλ' εἰ μηδὲ τοῦτ', ἔφη, βού-
λει ἀποκρίνασθαι, σὺ δὲ τοὐντεῦθεν λέγε, εἴ τι αὖ ἠδί-
κουν, ὅτι, σοῦ ἀποκριναμένου ἐμοὶ, ὡς οὐκ ἂν βούλοιο,
εὐθυμουμένους ὁρῶν Μήδους, τούτου παύσας αὐτοὺς
ἀναγκάζειν κινδυνεύσοντας ἰέναι, εἴ τι αὖ σοι δοκῶ τοῦτο
χαλεπὸν ποιῆσαι, ὅτι ἀμελήσας τοῦ ὀργίζεσθαί σοι, ἐπὶ
τούτοις πάλιν ᾔτουν σε, οὗ ᾔδειν οὔτε σοὶ μεῖον ὂν δοῦναί
μοι οὐδὲν, οὔτε ῥᾷον Μήδοις ἐπιταχθῆναι οὐδέν· τὸν γὰρ
βουλόμενον δήπου ἕπεσθαι ᾔτησά σε δοῦναί μοι. Οὐκοῦν 22
τούτου τυχὼν παρὰ σοῦ, οὐδὲν ἤνυον, εἰ μὴ τούτους πεί-
σαιμι. Ἐλθὼν οὖν ἔπειθον αὐτοὺς, καὶ, οὓς ἔπεισα,
τούτους λαβὼν ἐπορευόμην, σοῦ ἐπιτρέψαντος. Εἰ δὲ
τοῦτό γε αἰτίας ἄξιον νομίζεις, οὐδ' ὅ τι ἂν διδῷς, ὡς
ἔοικε, δέχεσθαι παρὰ σοῦ ἀναίτιόν ἐστιν. Οὐκοῦν ἐξωρ- 23
μήσαμεν οὕτως. Ἐπεὶ δ' ἐξήλθομεν, τί ἡμῖν πεπραγ-
μένον οὐ φανερόν ἐστιν; οὐ τὸ στρατόπεδον ἡλώκει τῶν
πολεμίων; οὐ τεθνᾶσι πολλοὶ τῶν ἐπί σε ἐλθόντων;
Ἀλλὰ μὴν τῶν γε ζώντων ἐχθρῶν πολλοὶ μὲν ὅπλων

quens τοῦτ' αὖ. Sed ἐπιδεικνύσθω mihi locum veri ἀποδεικνύσθω occupaſſe videtur.

21. πρὸς ταῦτα] Philel. margo Steph. Guelf. πρὸς τοῦτο. deinde Juntina cum Philelpho et Altorf. τοῦτο omittit: σὺ δὲ τοὐντεῦθεν. unde lectionem vulgarem σὺ τοῦτο τοὐντεῦθεν correxi. Mihi tamen σύγε magis placeret.

τούτου παύσας] Ita pro τούτους παύσας ex conjectura Stephani et Leoncl. dedit cum Welſio et Hutchinſono Zeune. deinde ἀναγκάσειν Guelf.

εἴ τι αὖ σοι] Ita in Guelf. ſcripſit corrector pro εἴ τε αὖ, quod equidem præfero. deinde δοκῶ σοι Altorf.

οὗ ᾔδειν] Ita ex libro Gabr. dedit ſecunda Stephani Editio pro ὅ, cujus in litura verum οὗ ſcriptum in Guelf. refert Zeune, non item Fiſcher. οὓς ἡγῇ ὅτι οὔτε σοι ἄμεινον δοῦναι οὐδὲν οὐδὲ ῥᾷον neſcio unde refert margo Steph. ῥᾴδιον cum Juntina Altorf. οὐδὲ ῥᾷον Guelf. omiſſo ſequente οὐδέν.

22. οὐδὲν ἤνυον] Margo Steph. οὐδὲν ἦν refert. deinde τούτους ἔχων Guelf. quod probo.

τοῦτό γε] Guelf. γε omiſit; recte, puto. deinde ἀξιοῖς νομίζειν, vulgata ſupra ſcripta.

ὡς ἔοικε] Guelf. ἴσως ἔοικε παρά σου δέχεσθαι. ſed corrector ὡς effecit ex ἴσως.

23. ἐξωρμήσαμεν] Guelf. ἐξώρμησα. In Altorf. ὡρμήσαμεν eſt. ex eodem deinde ἐπειδὴ pro ἐπεὶ recepit Zeune.

ἡλώκει τῶν] Guelf. ἡλωκότων πολεμίων. Mihi ἥλωκε vel ἑάλωκε ibi latere et a ſententia flagitari videtur.

ἐχθρῶν πολλοὶ] Ante Zeunium edebatur ἐχθρῶν οὐ πολλοὶ cum inter-

ἐστέρηνται, πολλοὶ δὲ ἵππων· χρήματά γε μὴν, τὰ τῶν
φερόντων καὶ ἀγόντων τὰ σὰ πρότερον, νῦν ὁρᾷς τοὺς σοὺς
φίλους καὶ ἔχοντας καὶ ἄγοντας, τὰ μὲν σοὶ, τὰ δ᾽
24 αὐτοῖς ὑπὸ τὴν σὴν ἀρχήν. Τὸ δὲ πάντων μέγιστον καὶ
κάλλιστον, τὴν μὲν σὴν χώραν αὐξανομένην ὁρᾷς, τὴν δὲ
τῶν πολεμίων, μειουμένην· καὶ τὰ μὲν τῶν πολεμίων
φρούρια ἐχόμενα, τὰ δὲ σὰ, τὰ πρότερον εἰς τὴν Σύρων
ἐπικράτειαν συγκατασπασθέντα, νῦν τἀναντία σοι προσ-
κεχωρηκότα· τούτων δὲ εἴ τι κακόν σοι, ἢ εἴ τι μὴ ἀγα-
θόν σοι, μαθεῖν μὲν ἔγωγε βούλεσθαι οὐκ οἶδ᾽ ὅπως ἂν
εἴποιμι· ἀκοῦσαι μέντοι γε οὐδὲν κωλύει. Ἀλλὰ λέγε,
25 ὅ τι γιγνώσκεις περὶ αὐτῶν. Ὁ μὲν δὴ Κῦρος οὕτως
εἰπὼν ἐπαύσατο· ὁ δὲ Κυαξάρης ἔλεξε πρὸς ταῦτα
τάδε·

Ἀλλ᾽, ὦ Κῦρε, ὡς μὲν ταῦτα, ἃ σὺ πεποίηκας,
κακά ἐστιν, οὐκ οἶδα, ὅπως χρὴ λέγειν· εὖ γε μέντοι,
ἔφη, ἴσθι, ὅτι ταῦτα τὰ ἀγαθὰ τοιαῦτά ἐστιν, οἷα, ὅσῳ
26 πλείω φαίνεται, τοσούτῳ μᾶλλον ἐμὲ βαρύνει. Τήν τε
γὰρ χώραν, ἔφη, ἐγὼ ἂν τὴν σὴν ἐβουλόμην τῇ ἐμῇ δυνά-

rogationis ſigno, qui auctoritatem Philel. marginis Steph. Bodl. et Guelf. ſecutus eſt. Sed ex Guelf. ἀλλὰ μὴν τῶν πεζῶν τῶν ἐχθρῶν refert Fiſcher; corrector tamen γε ζώντων appoſuit. ἐστερονται eſt in Altorfino.

χρήματά γε μὴν] Guelf. χρ. μέν γε δή. ſequens ἀγόντων vulgato ἀγαγόντων ex Codice Stephani, Bodl. Guelf. et Altorf. ductum eſt, in Editione altera Steph. jam proditum.

πρότερον] Guelf. πρόσθεν, deinde cum Philel. ἄγοντας καὶ ἔχοντας.

24. τὴν μὲν σὴν] Guelf. τὴν σὴν μέν.

τὰ πρότερον] Juntina τὰ πρ. εἰς τὴν σήν. Guelf. τὰ δὲ σὰ εἰς τὴν σὴν πρότερόν σοι ἐπικρ. deinde συγκυροῦντα liber Brodæi et Altorf.

μὴ ἀγαθὸν] Negatio addita eſt a Zeunio ex libro Philel. Gabr. Camerarii; in Guelf. corrector punctis ſuppoſitis μὴ notavit; ſequens σοι ex Guelf. acceſſit, qui μὲν poſt μαθεῖν omiſit.

μέντοι γε] Ita Philel. et Guelf. antiquum μέντοι ἔφη, revocavit Weiſke. εἴ τι γιγνώσκεις poſtea in Guelf. eſt, ſed correctum.

25. ὡς μὲν ταῦτα] Edd. pr. εἰ μὲν ταῦτα correxit Brodæus.

κακὰ] Edd. pr. et Guelf. καλά. ſed ex Philelpho, cum quo facit Altorf. verum reſtituit Stephanus.

ταῦτα τὰ] Guelf. ὅτι ἀγαθὰ ταῦτα —ὅσῳ μᾶλλον πλείονα φαίνηται. margo Steph. ὅσῳ ἂν μᾶλλον πλείονα φαίνηται.

τοσούτῳ μᾶλλον] Ita cum Steph. Guelf. τοσούτῳ ἐμὲ μᾶλλον Ald. τόσῳ ἐμὲ μᾶλλον Juntina, τόσῳ ἐπ᾽ ἐμὲ μᾶλλον Altorf.

μει μείζω ποιεῖν μᾶλλον, ἢ τὴν ἐμὴν ὑπὸ σοῦ ὁρᾷν οὕτως
αὐξανομένην· σοὶ μὲν γὰρ ταῦτα ποιοῦντι καλὰ, ἐμοὶ δέ
γε ἐστί πη ταῦτα ἀτιμίαν φέροντα. Καὶ χρήματά γε, 27
ἔφη, οὕτως ἄν μοι δοκῶ ἥδιόν σοι δωρεῖσθαι, ἢ παρὰ σοῦ
οὕτω λαμβάνειν, ὡς σὺ νῦν ἐμοὶ δίδως· τούτοις γὰρ
πλουτιζόμενος ὑπὸ σοῦ καὶ μάλα αἰσθάνομαι, οἷς πενέ-
στερος γίγνομαι. Καὶ τούς γε ἐμοὺς ὑπηκόους ἰδὼν
μικρά γε ἀδικουμένους ὑπὸ σοῦ, ἧττον ἂν δοκῶ λυπεῖ-
σθαι, ἢ νῦν ὁρῶν, ὅτι μεγάλα ἀγαθὰ πεπόνθασιν ὑπὸ
σοῦ. Εἰ δέ σοι ταῦτα, ἔφη, δοκῶ ἀγνωμόνως ἐνθυμεῖ- 28
σθαι, μὴ ἐν ἐμοὶ αὐτὰ ἀλλ' εἰς σὲ τρέψας πάντα,
καταθέασαι, οἷά σοι φαίνεται. Τί γὰρ ἂν, ἔφη, εἴ τις
κύνας, ἃς σὺ τρέφεις φυλακῆς ἕνεκα σαυτοῦ τε καὶ τῶν
σῶν, ταύτας θεραπεύων ἑαυτῷ γνωριμωτέρας ἢ σοὶ ποιή-
σειεν, ἆρ' ἂν εὐφράναι σε τούτῳ τῷ θεραπεύματι; Εἰ δὲ 29
τοῦτό σοι δοκεῖ μικρὸν εἶναι, κἀκεῖνο κατανόησον· εἴ τις
τοὺς σὲ θεραπεύοντας, οὓς σὺ καὶ φρουρᾶς καὶ θερα-
πείας ἕνεκα κέκτησαι, τούτους οὕτω διαθείη, ὥστ' ἐκείνου

26. ὁρᾷν] Guelf. ὁρᾷν ὑπὸ σοῦ—ἔστι που ταῦτα. Etiam margo Steph. που refert. ἔμοι γε δ' ἔστι πη Altorfini libri prætulerim.

27. χρήματά γε, ἔφη] Omiſſum a Philel. et Guelf. ἔφη ſeclufit Zeune. idem liber γε omiſit.

οὕτως ἄν μοι] Ita cum Philel. Bodl. Guelf. Stephanus et Zeune. Antea fuit ἐγὼ ἄν σοι (μοὶ dedit Hutchinſon ex ſententia Stephani) δοκῶ ἥδιον οὕτω δωρεῖσθαι ἢ παρά σου λαμβάνειν, ὧν συ. Sequens νῦν Guelf. omiſit.

μάλα] Ex Philelpho, margine Steph. et Guelf. μᾶλλον recepit Zeune, quaſi comparativus modus homine querulo ſit dignior! Camerarius hæc interpretatur: *perſpicue enim intelligo, me ditari ita abs te, ut fiam pauperior.* Hoc ſi græce dicere voluit, ut debuit, Xenophon, ſcribendum videtur: αἰσθάνομαι ὡς πενέστερος γίγνομαι. Languere certe mihi videtur: αἰσθάνομαι πλουτιζόμενος τούτοις, οἷς γίγνομαι. Saltem τοιούτοις eſſet!

καὶ τούς γ' ἐμοὺς] Juntina cum Altorf. καὶ τούς τε ἐμούς. deinde νῦν ὁρῶ cum Edd. pr. Altorfinus.

28. ταῦτα, ἔφη] Guelf. σοι, ἔφη, ταῦτα cum Altorfino.

αὐτὰ ἀλλ' εἰς σὲ] Ita Guelf. Vulgo eſt ταῦτα ἐν σοί. ſed αὐτὰ recepit etiam Zeune.

Τί γὰρ ἂν, ἔφη] Omiſſum a Philelpho et Guelf. ἔφη ſeclufit Zeune.

ἃς—ταύτας] In Guelf. a prima manu eſt οὓς—τούτους deinde γνωρ. ἑαυτῷ. Altorf. σαυτοῦ καὶ τῶν σῶν.

εὐφράναι] Ita Guelf. pro εὐφραίνοι. Mirum vulgatam hic tueri Zeunium cum Weiſkio, ſectione vero 30. noſtram recepiſſe. Sequens σε omiſit Altorfinus.

29. κἀκεῖνο] Guelf. ἐκεῖνο. ſequens σε omiſit Altorfinus.

θεραπείας] Philel. Brodæi liber, Guelf. et margo Steph. στρατείας.

μᾶλλον ἢ σοῦ βούλεσθαι εἶναι, ἆρ' ἀντὶ ταύτης τῆς εὐ-
30 εργεσίας χάριν αὐτῷ εἰδείης; Τί δέ; ὃ μάλιστα ἄν-
θρωποι ἀσπάζονταί τε καὶ θεραπεύουσιν οἰκειότατα,
εἴ τις τὴν γυναῖκα τὴν σὴν οὕτω θεραπεύσειεν, ὥστε
φιλεῖν αὐτὴν μᾶλλον ποιήσειεν ἑαυτὸν ἢ σε, ἆρ' ἂν
σε τῇ εὐεργεσίᾳ ταύτῃ εὐφράναι; Πολλοῦ γ' ἂν, ἔφη,
οἶμαι, καὶ δέοι· ἀλλ' εὖ οἶδ', ὅτι πάντων ἂν μάλιστα
31 ἀδικοίη σε τοῦτο ποιήσας. Ἵνα δὲ εἴπω καὶ τὸ μάλιστα
τῷ ἐμῷ πάθει ἐμφερὲς, εἴ τις οὓς ἤγαγες σὺ Πέρσας
οὕτω θεραπεύσειεν, ὥστ' αὐτῷ ἥδιον ἕπεσθαι ἢ σοι, ἆρ'
ἂν φίλον αὐτὸν νομίζοις; Οἶμαι μὲν, οὔ, ἀλλὰ πολε-
32 μιώτερον ἂν ἢ εἰ πολλοὺς αὐτῶν κατακάνοι. Τί δέ; εἴ
τις τῶν σῶν φίλων, φιλοφρόνως σου εἰπόντος λαμβάνειν
ὁπόσα ἐθέλοι, εἶτ' αὐτὸς τοῦτο ἀκούσας οἴχοιτο λαβὼν
ἅπαντα, ὁπόσα δύναιτο, καὶ αὐτὸς μὲν τοῖς σοῖς γε
πλουτοίη, σὺ δὲ μηδὲ μετρίοις ἔχοις χρῆσθαι· ἆρ' ἂν
33 δύναιο τὸν τοιοῦτον ἄμεμπτον φίλον νομίζειν; Νῦν μέντοι
ἐγὼ, Κῦρε, εἰ μὴ ταῦτα ἀλλὰ τοιαῦτα ὑπὸ σοῦ δοκῶ
πεπονθέναι. Σὺ γὰρ ἀληθῆ λέγεις· εἰπόντος ἐμοῦ τοὺς
ἐθέλοντας ἄγειν, λαβὼν ᾤχου πᾶσαν μου τὴν δύναμιν,
ἐμὲ δὲ ἔρημον κατέλιπες· καὶ νῦν, ἃ ἔλαβες τῇ ἐμῇ δύ-

deinde διατιθείη Philel. Brodæi liber et Guelf. Verba ἢ σοῦ omifit Altorfinus.

30. τὴν γυναῖκα] Articulum ex Guelf. addidit Zeune. deinde ordinem verborum in Guelf. fervatum fequor cum Zeunio. Vulgo erat ὥστε αὐτὴν φιλεῖν μᾶλλον ποι.

εὐφράναι] Ita Guelf. pro εὐφραίνοι, deinde ἔφη cum Philelpho omittit. πολλοῦ τ' ἂν Juntina cum Altorfino.

πάντων ἂν] Altorf. poft μάλιστα iterum ἂν inferit; deinde ἀδικοῖ Guelf.

31. οὓς ἤγαγες σὺ] Ita cum Guelf. Zeune pro οὓς σὺ ἤγαγες. deinde ἀποκτείναι Guelf.

32. λαμβάνειν] Ita cum Philel. Camerario, margine Steph. et Guelf. Zeune pro λάμβανε τῶν ἐμῶν ὁπόσα ἐθέλεις (ἐθέλῃς Altorf.) εἰ τοῦτο ἀκούσας.

ἅπαντα] Ita pro πάντα Guelf. deinde αὐτὸς μέν γε τοῖς σοῖς—σὺ δὲ μετρίως ἔχεις. fed corrector μὴ δὲ poft δὲ inferuit. Etiam Philelphus μετρίως reddidit, quod hinc et ex libris Brodæi inepte induxit Zeune.

33. μέντοι ἐγὼ] Altorf. νῦν μέντοι, ἔφη, ὦ Κῦρε, quod probo. deinde idem liber τοιαῦτα δοκῶ ὑπὸ σοῦ.

τοὺς ἐθέλοντας] Guelf. τοὺς θέλοντας.

ναμει, ἄγεις δή μοι, καὶ τὴν ἐμὴν χώραν αὔξεις σὺν τῇ
ἐμῇ δυνάμει· ἐγὼ δὲ δοκῶ, οὐδὲν συναίτιος ὢν τῶν ἀγα-
θῶν, παρέχειν ἐμαυτὸν, ὥσπερ γυνὴ, εὖ ποιεῖν καὶ τοῖς
τε ἄλλοις ἀνθρώποις καὶ τοῖσδε τοῖς ἐμοῖς ὑπηκόοις· σὺ
μὲν γὰρ ἀνὴρ φαίνῃ, ἐγὼ δὲ οὐκ ἄξιος ἀρχῆς. Ταῦτα 34
οὖν σοι δοκεῖ εὐεργετήματα εἶναι, ὦ Κῦρε; Εὖ ἴσθ', ὅτι,
εἴ τι ἐμοῦ ἐκήδου, οὐδενὸς ἂν οὕτω με ἀποστερεῖν ἐφυλάτ-
του, ὡς ἀξιώματος καὶ τιμῆς. Τί γὰρ ἐμοὶ πλέον, τὸ
τὴν γῆν πλατύνεσθαι, αὐτὸν δὲ ἀτιμάζεσθαι; οὐ γάρ
τοι ἐγὼ Μήδων ἦρχον διὰ τὸ κρείττων πάντων αὐτῶν εἶναι,
ἀλλὰ μᾶλλον διὰ τὸ αὐτοὺς τούτους ἀξιοῦν ἡμᾶς αὐτῶν
πάντα βελτίονας εἶναι.

Καὶ ὁ Κῦρος, ἔτι λέγοντος αὐτοῦ, ὑπολαβὼν εἶπε· 35
Πρὸς τῶν θεῶν, ἔφη, ὦ θεῖε, εἴ τι κἀγώ σοι πρότερον
ἐχαρισάμην, καὶ σὺ νῦν ἐμοὶ χάρισαι, ὧν ἄν σου δεηθῶ·
παῦσαι, ἔφη, τὸ νῦν εἶναι, μεμφόμενός μοι· ἐπειδὰν δὲ
πεῖραν ἡμῶν λάβῃς, ὅπως ἔχομεν πρὸς σὲ, ἢν μέν σοι
φαίνηται τὰ ὑπ' ἐμοῦ πεπραγμένα ἐπὶ τῷ ἀγαθῷ τῷ
σῷ πεποιημένα, ἀσπαζομένου τε ἐμοῦ σὲ ἀντασπάζου

ἄγεις δή μοι] Budenſis liber et Altorfinus λέγεις ἐμὲ καὶ τὴν ἐμὴν χώραν αὔξειν. Etiam Juntina αὔξειν habet.

σὺν τῇ ἐμῇ] Ex Philel. margine Steph. Guelf. et Altorfino ῥώμῃ pro δυνάμει dedit Zeune, quaſi in variata oratione plus inſit ſignificationis, quam in repetitis verbis illis, quæ cauſam doloris omnem continent.

γυνὴ] Edd. pr. ποιεῖς habent, unde Caſtalio de ſententia Brodæi σὺ δὲ εὖ ποιεῖς τοῖς τε ἄλλοις dedit. Stephani correctionem confirmat liber Bodl. Guelf. Altorf.

σὺ μὲν γὰρ] Philelphus cum Guelf. γὰρ omiſit.

34. Ταῦτα οὖν] Guelf. οὖν omiſit, quod damnant etiam Edd. Leoncl. et Steph. appoſita ſtellula.

κρείττων] Ita recte Stephanus pro librorum omnium κρείττω, quod ſtulte defendit Zeune, et reduxit Weiſke. κρεῖττον eſt in Altorf. κρείττω αὐτῶν πάντων Guelf.

διὰ τὸ αὐτοὺς] Edd. omnium lectionem διὰ τὸ καὶ αὐτοὺς ita ex Guelf. qui καὶ omiſit cum Philelpho et margine Steph. Zeune correxit, ut ſecluderet copulam, quam ſuſtulit Weiſke. Deinde ἑαυτῶν πάντα Bodl. et margo Steph. αὐτῶν Edd. pleræque ante Zeunium.

35. σου δεηθῶ] Guelf. δεηθῶ σου. Altorf. ὃ ἄν σου δεηθῶ.

λάβῃς] Edd. pr. λάβοις deinde πῶς ἔχομεν Guelf. cum Zonara.

ἢν μέν σοι] Guelf. ἐὰν δή σοι. deinde cum margine Steph. τῷ σῷ ἀγαθῷ omiſſo πεποιημένα.

τε ἐμοῦ] Ex Guelf. τε μοῦ dedit Zeune; deinde cum Philelpho idem

με, εὐεργέτην τε νόμιζε εἶναι· ἢν δ' ἐπὶ θάτερα, τότε
36 μοι μέμφου. Ἀλλ' ἴσως τοι, ἔφη ὁ Κυαξάρης, καλῶς
λέγεις· κἀγὼ ποιήσω ταῦτα. Τί οὖν; ἔφη ὁ Κῦρος, ἦ
καὶ φιλήσω σε; Εἰ σὺ βούλει, ἔφη. Καὶ οὐκ ἀπο-
στρέψει με, ὥσπερ ἄρτι; Οὐκ ἀποστρέψομαι, ἔφη.
Καὶ ὃς ἐφίλησεν αὐτόν.

Cyaxares reconciliatus deducitur in tabernaculum et donatur a ſuis.

37 Ὡς δὲ εἶδον οἱ Μῆδοι καὶ οἱ Πέρσαι καὶ οἱ ἄλλοι,
(πᾶσι γὰρ ἔμελεν, ὅ τι ἐκ τούτων ἔσοιτο) εὐθὺς ἥσθη-
σάν τε καὶ ἐφαιδρύνθησαν. Καὶ ὁ Κυαξάρης δὲ καὶ ὁ
Κῦρος ἀναβάντες ἐπὶ τοὺς ἵππους ἡγοῦντο, καὶ ἐπὶ μὲν
τῷ Κυαξάρει οἱ Μῆδοι εἵποντο, (Κῦρος γὰρ αὐτοῖς οὕτως
ἐπένευσεν) ἐπὶ δὲ τῷ Κύρῳ οἱ Πέρσαι, ἐπὶ δὲ τούτοις οἱ
ἄλλοι.

38 Ἐπεὶ δὲ ἀφίκοντο ἐπὶ τὸ στρατόπεδον, καὶ κατέστη-
σαν τὸν Κυαξάρην εἰς τὴν κατεσκευασμένην σκηνήν, οἷς
μὲν ἐπετέτακτο, παρεσκεύαζον τὰ ἐπιτήδεια τῷ Κυαξά-
39 ρει· οἱ δὲ Μῆδοι, ὅσον χρόνον σχολὴν πρὸ δείπνου ἦγεν ὁ
Κυαξάρης, ᾖσαν πρὸς αὐτόν, οἱ μὲν καὶ αὐτοὶ καθ' ἑαυ-
τούς, οἱ δὲ πλεῖστοι ὑπὸ Κύρου ἐγκέλευστοι, δῶρα ἄγον-

liber με omiſit; et poſtea εἶναι, quod damnant etiam Leoncl. et Steph. Edd. appoſita ſtellula.

ἢν δ' ἐπὶ] Guelf. ἐὰν δ' ἐπί

36. ἴσως τοι] Guelf. ἴσως μέντοι, quod recepit Zeune; deinde idem liber cum Philelpho et margine Steph. οὕτω ποιήσω. Poſt verba ἴσως τοι vel μέντοι breve ſilentii intervallum eſt interponendum legenti hæc: deinde ſubito mutato et in contrariam verſo ſententiam animo repetit καὶ οὕτω ποιήσω.

ἀποστρέψει] Hoc in locum vulgaris ἀποστρέψεις etiam abſque libro Altorfino ſubſtituiſſem: quod miror toleraſſe hucuſque viros doctos.

37. καὶ οἱ ἄλλοι] Ita cum Philel. Zonara et Guelf. Zeune pro καὶ ἄλλοι πολλοὶ, quod reduxit Weiſke. καὶ ἄλλοι δὲ πολλοὶ Altorf. Etiam Edd. Leoncl. Steph. πολλοὶ appoſita ſtellula damnarunt. Ex Guelf. Philel. et Zonara, Zeune Μῆδοί τε καὶ οἱ Π. paulo ante dedit; quam formam ſi probaveris, tum uſus Xenophonteus καὶ οἱ ἄλλοι δὲ flagitare videtur.

ἔμελε] Ita cum ſecunda Stephani et Philelpho Zeune: ἔμελε τί Altorf. Etiam Juntina τί habet. deinde ἐφαιδρύνοντο Altorfinus.

Καὶ ὁ Κυαξ.] Guelf. cum Philelpho Altorf. et Zonara καὶ ὁ Κῦρος δὲ καὶ ὁ Κυαξ.

Κῦρος γὰρ] De ſuo ὁ Κῦρος dedit Zeune. Κυαξάρῃ dat Altorfinus. οἱ δ' ἄλλοι ἐπὶ τούτοις poſtea Guelf.

38. ἐπετέτακτο] Guelf. ἐτέτακτο. deinde τὸν Κυαξάρη Guelf. poſtea Κυαξάρῃ Altorf.

39. καθ' ἑαυτοὺς] Ita cum Guelf. margine Steph. Suidas pro ἀφ' ἑαυτῶν.

ἐγκέλευστοι] Hoc ex Philel. libris

τες, ὁ μέν τις οἰνοχόον καλὸν, ὁ δὲ ὀψοποιὸν ἀγαθὸν, ὁ
δὲ ἀρτοποιὸν, ὁ δὲ μουσουργὸν, ὁ δὲ ἐκπώματα, ὁ δὲ
ἐσθῆτα καλήν· πᾶς δέ τις ὡς ἐπὶ τὸ πολὺ ἕν γέ τι, ὧν
εἰλήφει, ἐδωρεῖτο αὐτῷ. Ὥστε τὸν Κυαξάρην μεταγι- 40
γνώσκειν, ὡς οὔτε ὁ Κῦρος ἀφίστη αὐτοὺς ἀπ' αὐτοῦ,
οὔτε οἱ Μῆδοι ἧττόν τι αὐτῷ προσεῖχον τὸν νοῦν, ἢ καὶ
πρόσθεν.

Ἐπεὶ δὲ δείπνου ὥρα ἦν, καλέσας ὁ Κυαξάρης ἠξίου 41
τὸν Κῦρον, διὰ χρόνου ἰδόντα αὐτὸν, συνδειπνεῖν. Ὁ δὲ
Κῦρος εἶπε· Μὴ δὴ σὺ κέλευε, ὦ Κυαξάρη. Ἦ οὐχ
ὁρᾷς, ὅτι οὗτοι οἱ παρόντες ὑφ' ἡμῶν πάντες ἐπηρμένοι
πάρεισιν; οὔκουν καλῶς ἂν πράττοιμι, εἰ τούτων ἀμελῶν
τὴν ἐμὴν ἡδονὴν θεραπεύειν δοκοίην. ἀμελεῖσθαι δὲ δο-
κοῦντες οἱ στρατιῶται, οἱ μὲν ἀγαθοὶ πολὺ ἀθυμότεροι
γίγνονται, οἱ δὲ πονηροὶ πολὺ ὑβριστότεροι. Ἀλλὰ σὺ 42
μὲν, ἔφη, ἄλλως τε καὶ ὁδὸν μακρὰν ἥκων, δείπνει ἤδη·
καὶ εἴ τινές σε τιμῶσιν, ἀντασπάζου καὶ εὐώχει αὐτοὺς,
ἵνα σε καὶ θαῤῥήσωσιν· ἐγὼ δὲ ἀπιὼν, ἐφ' ἅπερ λέγω,
τρέψομαι. Αὔριον δ', ἔφη, πρωῒ δεῦρο ἐπὶ τὰς σὰς 43
θύρας παρέσονται πάντες οἱ ἐπικαίριοι, ὅπως βουλευσώ-

Dum Cyaxares cum suis cœnat, Cyrus in concione amicorum refert de bello ducendo.

Brodæi, Guelf. Leidenſi apud Oudendorpium ad Thomam p. 113. margine Stephani et Suida in vocabulo iſto dedit Zeune pro vulgato ὡς κεκέλευστο ὑπὸ Κύρου. Altorfinus οἱ δὲ πλεῖστοι ἐκελεύοντο ὑπὸ Κύρου dat. Eodem verbo utitur Xenophon Anab. i. 3, 13.

ὁ δὲ ἐκπώματα] Philel. et Guelf. οἱ δὲ ἐκπ. οἱ δέ. præterea idem liber οἱ δ' ὀψοποιὸν dat, monente Fiſchero. deinde πᾶς δὲ ὡσεπιπολύ. ſed corrector τις et τὸ inſeruit.

40. ἀφίστη αὐτοὺς] Edd. pr. ἀπέστησεν αὐτόν. Caſtal. ἀπέστησεν αὐτόν. Verum ex Philelpho dedit Steph. confirmante libro Brodæi, Guelf. Altorf. αφίστη ἑαυτὸν corrector in Guelf. adſcripſit.

41. Ἐπεὶ] Ita pro ἐπειδὴ ex Guelf. et Zonara ſcripſi. deinde Κῦρος ἔφη, μηδὲ σύ.

ἐπηρμένοι] Libri Brodæi, Guelf. et margo Steph. ἐπαιρόμενοι.

οἱ στρατιῶται] Articulum omiſit Juntina, Guelf. Altorf. et Suidas hunc locum afferens in vocabulo ὑβριστότερος.

πολὺ—γίγνονται] Ita cum Suida Guelf. a prima manu; corrector vulgatum πολὺ ἂν—γίγνοιντο repoſuit. πολλοὶ ὑβριστότεροι Guelf.

42. λέγω] Ita cum Philel. margine Steph. et Guelf. Zeune pro ἔλεγον.

43. δεῦρο] Edd. pr. omittunt, ex Philel. Brodæi libro, Guelf. Editio Steph. addidit.

πάντες οἱ] Ex auctoritate Philel. Bodl. et Codicum Stephani poſt ὅπως

μεθα σύν σοι, τί χρὴ ποιεῖν τὸ ἐκ τοῦδε. Σὺ δὲ ἡμῖν ἔμβαλε παρὼν περὶ τούτου, πότερον ἔτι δοκεῖ στρατεύε-
44 σθαι, ἢ καιρὸς ἤδη διαλύειν τὴν στρατιάν. Ἐκ τούτου ὁ μὲν Κυαξάρης ἀμφὶ δεῖπνον εἶχεν· ὁ δὲ Κῦρος, συλλέξας τῶν φίλων τοὺς ἱκανωτάτους καὶ φρονεῖν καὶ συμπράττειν, εἴ τι δέοι, ἔλεξε τοιάδε·

Ἄνδρες φίλοι, ἃ μὲν δὴ πρῶτα εὐξάμεθα, πάρεστι σὺν θεοῖς. Ὅποι γὰρ ἂν πορευώμεθα, κρατοῦμεν τῆς χώρας· καὶ μὲν δὴ καὶ τοὺς πολεμίους ὁρῶμεν μειουμένους, ἡμᾶς δὲ αὐτοὺς πλείονάς τε καὶ ἰσχυροτέρους γιγνο-
45 μένους. Εἰ δὲ ἡμῖν ἔτι θελήσειαν οἱ νῦν προσγεγενημένοι σύμμαχοι παραμεῖναι, πολλῷ ἂν μᾶλλον ἀνύσαι δυναίμεθα, καὶ εἴ τι βιάσασθαι καιρὸς, καὶ εἴ τι πεῖσαι δέοι. Ὅπως οὖν τὸ μένειν ὡς πλείστοις συνδοκῇ τῶν συμμάχων, οὐδὲν τοῦτο μᾶλλον ἔργον ἐμὸν, ἢ καὶ ὑμέτε-
46 ρον, μηχανᾶσθαι. Ἀλλ᾽ ὥσπερ καὶ, ὅταν μάχεσθαι δέῃ, ὁ πλείστους χειρωσάμενος ἀλκιμώτατος δοξάζεται εἶναι, οὕτω καὶ, ὅταν που δέῃ βουλῆς, ὁ πλείστους ὁμογνώμονας ἡμῖν ποιήσας, οὗτος δικαίως ἂν λεκτικώτατός

repofuit πάντες Zeune. In Guelf. πάντες ante οἱ ἐπικαίριοι in margine fuppletum et alterum, poft βουλευσώμεθα fcriptum, punctis fuppofitis damnatum eft. deinde ὅτι χρὴ Guelf.

ἔμβαλε] Intellige λόγον, ut ii. 2, 19. et vi. 1, 13. βουλὴν ἐμβ. eft ii. 2, 18.

δοκεῖ] Guelf. cum Altorf. et Philelpho δοκεῖς. deinde διαλύσειν Edd. pr. quod correxit Caftalio.

44. τῶν φίλων τοὺς] Ita cum Bodl. et Guelf. Altorf pro τοὺς ἱκανωτέρους τῶν φ. deinde ὅτι δέοι Altorf.

πρῶτα] Altorf. πρῶτον. deinde lectionem Philelphi et Guelf. dedi pro σὺν θεοῖς πάρεστιν ἡμῖν. Poftea ὅπη γὰρ Guelf. cum Altorfino.

μὲν δὴ καὶ] Copulam cum Philelpho omittit Guelf.

45. θελήσειαν] Guelf. ἐθελήσειαν. fequens προσγεγενημένοι pro προσγενόμενοι cum Zeunio ex Guelf. prætuli.

παραμεῖναι] Edd. pr. παρεῖναι. deinceps vulgo fequitur copula καὶ, quam auctoritate Guelf. delevi: ftellula appofita eandem damnant Edd. Steph. et Leoncl.

μᾶλλον ἀνύσαι] Altorf. ἀνύσαι μᾶλλον. deinde δυνάμεθα.

συνδοκῇ] Ita Steph. primus fcripfit pro συνδόξῃ Edd. pr. et Altorf. συνδοκεῖ Bodl. Guelf. συνδοκοῖ inter verfus Guelf. deinde ordinem Guelf. cum Zeunio fequor. Ceteræ Edd. οὐδὲν μᾶλλον τοῦτο.

46. ὥσπερ καὶ] Edd. pr. καὶ omittunt cum Altorfino, qui μάχῃ ᾖ dat.

που δέῃ βουλῆς] Margo Steph. cum Philelpho πεῖσαι δέῃ. Guelf. πείσεσθαι δέῃ, fed corrector βουλῆς adfcripfit.

λεκτικώτατός τε] Copulam τε Guelf.

τε καὶ πρακτικώτατος κρίνοιτο ἂν εἶναι. Μὴ μέντοι ὡς 47
λόγον ἡμῖν ἐπιδειξόμενοι, οἷον ἂν εἴποιτε πρὸς ἕκαστον
αὐτῶν, τοῦτο μελετᾶτε, ἀλλ᾽ ὡς τοὺς πεπεισμένους ὑφ᾽
ἑκάστου δήλους ἐσομένους, οἷς ἂν πράττωσιν, οὕτω πα-
ρασκευάζεσθε. Καὶ ὑμεῖς μὲν, ἔφη, τούτων ἐπιμελεῖ- 48
σθε· ἐγὼ δὲ, ὅπως ἂν ἔχοντες τὰ ἐπιτήδεια, ὅσον ἂν
ἔγωγε δύνωμαι, οἱ στρατιῶται περὶ τοῦ στρατεύεσθαι
βουλεύωνται, τούτου πειράσομαι ἐπιμελεῖσθαι.

omifit. Pro κρίνοιτο Edd. pr. φαίνοιτο dant cum Altorfino, omiffo fequente ἂν; recte, ut puto, ἂν inferfit ex libris Brodæi Stephanus.

47. εἴποιτε] Guelf. εἴπητε—τούς τε πεπεισμένους.

ἐσομένους] Ita cum libris Brodæi, Guelf. et Altorf. unde vulgatum εἶναι jam Steph. correxit.

48. ὅσον ἂν] Ita pro ὅσα ex libris Brodæi, cum quibus facit Guelf. et fcripfit Zeune. Jungenda hæc cum verbis τούτου πειράσομαι ἐπιμελεῖσθαι ex loco fuo remotis. Deinde ἔγωγε pro ἐγὼ ex Philel. et Guelf. dedit Zeune.

τούτου πειρ.] Edd. pr. cum Altorfino libro τούτου omittunt.

ΞΕΝΟΦΩΝΤΟΣ

ΚΥΡΟΥ ΠΑΙΔΕΙΑΣ ϛʹ.

CAP. I.

Ante Cyaxaris tabernaculum congregati socii rogant Cyrum, ne dimittat exercitum.

ΤΑΥΤΗΝ μὲν δὴ τὴν ἡμέραν οὕτω διαγαγόντες καὶ δειπνήσαντες ἀνεπαύοντο· τῇ δ᾽ ὑστεραίᾳ πρωὶ ἧκον ἐπὶ τὰς Κυαξάρους θύρας πάντες οἱ σύμμαχοι. Ἐν ᾧ οὖν ὁ Κυαξάρης ἐκοσμεῖτο, ἀκούων, ὅτι πολὺς ὄχλος ἐπὶ ταῖς θύραις εἴη, ἐν τούτῳ οἱ φίλοι τῷ Κύρῳ προσῆγον οἱ μὲν Καδουσίους, αὐτοῦ μένειν δεομένους, οἱ δὲ, Ὑρκανίους, ὁ δέ τις Σάκας, ὁ δέ τις καὶ Γωβρύαν· Ὑστάσπης δὲ Γαδάταν τὸν εὐνοῦχον προσῆγε, δεόμενον τοῦ Κύρου μένειν.
Ἔνθα δὴ ὁ Κῦρος, γιγνώσκων, ὅτι ὁ Γαδάτας πάλαι 2
ἀπολώλει τῷ φόβῳ, μὴ λυθείη ἡ στρατιὰ, ἐπιγελάσας εἶπεν, Ὦ Γαδάτα, δῆλος, ἔφη, εἶ ὑπὸ τοῦ Ὑστάσπου τοῦδε πεπεισμένος ταῦτα γιγνώσκειν, ἃ λέγεις. Καὶ ὁ 3

1. οἱ σύμμαχοι] Guelf. ξύμμαχοι. Sunt duces sociorum.

Ἐν ᾧ] Guelf. et margo Steph. ἕως, liber Brodæi ὡς. deinde ἐπὶ τὰς θύρας Guelf.

μένειν δεομένους] Hoc ordine Guelf. δεομένους αὐτοῦ μένειν vulgo.

Σάκας, ὁ δέ τις] Ita cum Philel. libro Brodæi, margine Steph. Guelf. Zeune; antea erat Γωβρύαν, ὁ δέ τις Σάκαν. Hutchinſon cum Gabr. Camerario, Mureto et Bodl. Σάκας dedit. Γαδάταν pro Γαδάτην dedit Guelf. paulo poſt tamen Γαδάτης iterum Altorf.

2. ἔφη, εἶ] Guelf. εἶ, ἔφη, ὑπὸ τοῦ Ὑστάσπου τούτου. Ante Zeunium erat ὑπὸ Ὑστάσπους τοῦτε. Etiam Altorf. Ὑστάσπου dat. Paulo antea ὅτι Γαδάτας omiſſo articulo Guelf.

Γαδάτας, ἀνατείνας τὰς χεῖρας εἰς τὸν οὐρανὸν, ἀπώμοσεν, ἦ μὴν μὴ ὑπὸ τοῦ Ὑστάσπου πεισθεὶς ταῦτα γιγνώσκειν· Ἀλλ' οἶδα, ἔφη, ὅτι, ἢν ὑμεῖς ἀπέλθητε, ἔῤῥει τὰ ἐμὰ παντελῶς· διὰ ταῦτ', ἔφη, καὶ τούτῳ ἐγὼ αὐτὸς προσῆλθον, ἐρωτῶν, εἰ εἰδείη, τίνα γνώμην ἔχοις περὶ τῆς
4 διαλύσεως τοῦ στρατεύματος. Καὶ ὁ Κῦρος εἶπεν· Ἀδίκως ἄρα ἐγὼ, ὡς ἔοικεν, Ὑστάσπην αἰτιῶμαι. Ἀδίκως μέντοι, νὴ Δία, ἔφη ὁ Ὑστάσπης, ὦ Κῦρε· ἐπειδὴ ἔγωγε καὶ ἀντέλεγον Γαδάτᾳ, ὡς οὐχ οἷόν τέ σοι μένειν, λέγων,
5 ὅτι ὁ πατήρ σε μεταπέμποιτο. Καὶ ὁ Κῦρος, Τί λέγεις; ἔφη· καὶ τοῦτο σὺ ἐτόλμησας ἐξενεγκεῖν, εἴτ' ἐγὼ ἐβουλόμην, εἴτε μή; Ναὶ μὰ Δί', ἔφη· ὁρῶ γάρ σε ὑπερεπιθυμοῦντα ἐν Πέρσαις περίβλεπτον περιελθεῖν, καὶ τῷ πατρὶ ἐπιδείξασθαι, ἣ ἕκαστα διεπράξω. Ὁ δὲ Κῦρος ἔφη, Σὺ δὲ οὐκ ἐπιθυμεῖς οἴκαδε ἀπελθεῖν; Οὐ μὰ Δί', ἔφη ὁ Ὑστάσπης, οὐδὲ ἄπειμί γε, ἀλλὰ

3. εἰς τὸν] Ita pro πρὸς τὸν ex Guelf. Zeune; fequentia ex Philel. libro Brodæi, margine Steph. et Guelf. pofuit idem Zeune; antea fuit Ὑστάσπους ταῦτα πιπεῖσθαι ἃ γιγνώσκοι.

ἢν ὑμεῖς] Guelf. ἂν ὑμεῖς—τἀμά. deinde ex eodem, Philel. et margine Steph. διελεγόμην pro προσῆλθον recepit Zeune.

τίνα γνώμην ἔχοις] Ita ex Altorf. fcripfimus cum Fifchero ad Weller. ii. p. 275. pro ἔχεις. Ex libris Brodæi, Guelf. et margine Steph. τί ἐν νῷ ἔχεις ὑπὲρ dedit Zeune. Poft στρατεύματος liber Brodæi cum Guelf. ποιεῖν additum habet, quod pertinet ad illam lectionem, quam modo appofui, omiffum a Zeunio.

5. ἄρα] Hoc ex Philel. margine Steph. Bodl. Guelf. et Altorf. vulgato γὰρ prætuli cum Mureto, deinde Ὑστάσπου τοῦδε καταιτιῶμαι Guelf. cum margine Steph. et Philelpho.

Ἀδίκως μέντοι] Ita cum Guelf. Philelpho et margine Steph. fcripfi. Vulgo eft καὶ ὁ Ὑστάσπης εἶπε· ναὶ μὰ δία, ἔφη, ὦ Κῦρε, ἀδίκως μὲν δὴ, in quo barbarum eft hoc quidem fenfu μὲν δή. Margo Steph. verba ἀδίκως μέντοι non refert.

ἐπειδὴ] Guelf. cum Philel. et margine Steph. ἐγὼ γὰρ ἔλεγον τῷ Γαδάτᾳ τῷδε τοσοῦτον μόνον, ὡς οὐχ οἷόν τε σοι εἴη στρατεύεσθαι—μεταπέμπεται fupra fcripto μεταπέμποιτο. Altorf. ἐπεὶ ἔγωγε—Γαδάτῃ—σοι ἔστι μένειν.

5. τοῦτο σὺ] Guelf. σὺ τοῦτο—ἐπεὶ ἐγώ. fupra fcripto εἴτε ἐγώ. Ceterum verba εἴτε ἐγὼ—εἴτε μὴ Zeune et Weifke interpretantur fuppleto μένειν. quod in errorem abducit lectorem. ἐκφέρειν illicitum quid fignificat, quod in publicum efferre nolente Cyro non debebat Hyftafpes; atque hic eft nuncius fictus, qui Cyrum in patriam arcefferet.

Ναὶ μὰ] Ita cum Philel. Brodæo, Guelf. et Altorf. Zeune; vulgatum Μὰ Δ. omiffo ναὶ revocavit Weifke; ex iifdem libris deinde οὐ ante μὰ Δία addidi.

μένων στρατηγήσω, ἔστ' ἂν ποιήσω Γαδάταν τουτονὶ τοῦ
Ἀσσυρίου δεσπότην.

Οἱ μὲν δὴ τοιαῦτα ἔπαιζον σπουδῇ πρὸς ἀλλήλους· ἐν 6
δὲ τούτῳ ὁ Κυαξάρης σεμνῶς κεκοσμημένος ἐξῆλθε, καὶ
ἐπὶ θρόνου Μηδικοῦ ἐκαθέζετο. Ὡς δὲ πάντες συνῆλ-
θον, οὓς ἔδει, καὶ σιωπὴ ἐγένετο, ὁ Κυαξάρης ἔλεξεν
ὧδε· Ἄνδρες σύμμαχοι, ἴσως, ἐπειδὴ παρὼν τυγχάνω,
καὶ πρεσβύτερός εἰμι Κύρου, εἰκός με ἄρχειν λόγου.
Νῦν οὖν δοκεῖ μοι καιρὸς, ἔφη, εἶναι, περὶ τούτου διαλέ-
γεσθαι πρῶτον, πότερον στρατεύεσθαι καιρὸς δοκεῖ εἶναι
ἔτι, ἢ διαλύειν ἤδη τὴν στρατιάν· λεγέτω οὖν τις, ἔφη,
περὶ αὐτοῦ τούτου, ᾗ γιγνώσκει. Ἐκ τούτου πρῶτος μὲν 7
εἶπεν ὁ Ὑρκάνιος· Ἄνδρες σύμμαχοι, οὐκ οἶδα μὲν
ἔγωγε, εἴ τι δεῖ λόγων, ὅπου αὐτὰ τὰ ἔργα δεικνύει τὸ
κράτιστον. Πάντες γὰρ ἐπιστάμεθα, ὅτι ὁμοῦ μένοντες
πλείω κακὰ τοὺς πολεμίους ποιοῦμεν ἢ πάσχομεν· ὅτε
δὲ χωρὶς ἦμεν ἀλλήλων, ἐκεῖνοι ἡμῖν ἐχρῶντο, ὡς ἐκείνοις
ἦν ἥδιστον, ἡμῖν γε μὴν ὡς χαλεπώτατον. Ἐπὶ τούτῳ ὁ 8
Καδούσιος εἶπεν, Ἡμεῖς δὲ τί ἂν λέγοιμεν, ἔφη, περὶ
τοῦ οἴκαδε ἀπελθόντες ἕκαστοι χωρὶς εἶναι, ὅπου γε οὐδὲ
στρατευομένοις, ὡς ἔοικε, χωρίζεσθαι συμφέρει; Ἡμεῖς
γοῦν, οὐ πολὺν χρόνον δίχα τοῦ ὑμετέρου πλήθους στρα-

Egreſſo jam Cyaxare, decernitur, bellum eſſe proſequendum.

ἔστ' ἂν] Guelf. ἕως ἄν. ex eodem ordinem vulgarem δεσπότην τοῦ Ἀσσ. mutavit Zeune.

6. ὁ Κυαξάρης] Ita Guelf. pro Κυαξάρης εἶπεν. deinde ξύμμαχοι ſcribit; ἴσως ibi eſt in margine adſcriptum. poſtea ἄρχειν με λόγου habet.

δοκεῖ μοὶ] Guelf. δοκεῖ μοι εἶναι καιρὸς unde ordinem vulgarem μοὶ δοκεῖ mutavi. deinde πρῶτον λέγεσθαι Guelf. ſed correctum διαλέγεσθαι.

εἶναι ἔτι] Guelf. ἔτι καιρὸς δοκεῖ εἶναι. Sed hoc alterum καιρὸς, quod mihi quidem moleſtum eſt, omittit Altorfinus liber.

7. πρῶτος] Guelf. a prima manu πρῶτον habet ſcriptum, deinde λόγου. Altorfinus δείκνυσι dat.

ποιοῦμεν ἢ πάσχομεν] Hoc ordine Guelf. ποιοῦμεν τοὺς πολεμίους vulgatum revocavit Weiſke.

ἡμῖν γε μὴν] Caſtalio dedit ἡμῖν δὲ μήν.

8. ὅπου γε] Guelf. ὁπότε γε. Margo Leoncl. 2. ἐπείγε neſcio unde refert.

δίχα τοῦ ὑμετέρου] Edd. pr. ἡμετέρου, quod Philel. vertit διὰ τοῦ ἡμετέρου Guelf. in margine δίχα τοῦ ὑμετέρου adſcripto.

τευσάμενοι, δίκην ἔδομεν, ὡς καὶ ὑμεῖς ἐπίστασθε.
9 Ἐπὶ τούτῳ Ἀρτάβαζος, ὁ συγγενὴς εἶναί ποτε φήσας
Κύρῳ, εἶπε τάδε, Ἐγὼ δὲ, ἔφη, ὦ Κυαξάρη, τοσοῦτον
διαφέρομαι τοῖς πρόσθεν λέγουσιν· οὗτοι μὲν γάρ φασιν,
ὅτι δεῖ μένοντας στρατεύεσθαι, ἐγὼ δὲ λέγω, ὅτι, ὅτε
10 οἴκοι ἤμην, ἐστρατευόμην. Καὶ γὰρ ἐβοήθουν πολλάκις,
τῶν ἡμετέρων ἀγομένων, καὶ περὶ τῶν σφετέρων φρου-
ρίων, ὡς ἐπιβουλευσομένων, πολλάκις πράγματα εἶχον,
φοβούμενός τε καὶ φρουρῶν· καὶ ταῦτα ἔπραττον, τὰ
οἰκεῖα δαπανῶν· νῦν δὲ ἔχω μὲν τὰ ἐκείνων φρούρια,
καὶ οὐ φοβοῦμαι ἐκείνους, εὐωχοῦμαι δὲ τὰ ἐκείνων,
πίνω δὲ τὰ τῶν πολεμίων. Ὡς οὖν τὰ μὲν οἴκοι στρα-
τείαν οὖσαν, τάδε δὲ ἑορτὴν, ἐμοὶ μὲν οὐ δοκεῖ, ἔφη, δια-
11 λύειν τήνδε τὴν πανήγυριν. Ἐπὶ τούτῳ ὁ Γωβρύας εἶπεν,
Ἐγὼ δ', ὦ ἄνδρες σύμμαχοι, μέχρι μὲν τοῦδε ἐπαινῶ
τὴν τοῦ Κύρου δεξιάν· οὐδὲν γὰρ ψεύδεται, ὧν ὑπέσχετο·
εἰ δ' ἄπεισιν ἐκ τῆς χώρας, δῆλον, ὅτι ὁ μὲν Ἀσσύριος
ἀναπαύσεται, οὐ τίνων ποινὰς, ὧν τε ὑμᾶς ἐπεχείρησεν
ἀδικεῖν, καὶ ὧν ἐμὲ ἐποίησεν· ἐγὼ δὲ ἐν τῷ μέρει πάλιν
ἐκείνῳ δώσω δίκην, ὅτι ὑμῖν φίλος ἐγενόμην.
12 Ἐπὶ τούτοις πᾶσι Κῦρος εἶπεν· Ὦ ἄνδρες, οὐδ' ἐμὲ

9. ὁ συγγενὴς] Librorum Philelphi, Brodæi et Guelf. fcripturam ὁ ποτὲ φήσας εἶναι Κύρῳ συγγενὴς ἔλεξε τοιάδε recepit Zeune. Supra iv. 1, 22. idem homo ita defignatur: ὁ φήσας ποτὲ συγγενὴς αὐτοῦ εἶναι.

ὅτι δεῖ] Margo Steph. ex Philelphi verfione, ut videtur ἔτι δεῖν refert; in Guelf. ἔτι δεῖ eft, fupra fcripto ὅτι. deinde ὅτι ὅτε μὲν οἴκοι Altorf.

10. ἐπιβουλευσομένων] Cum Aldina Caftal. Bodl. Altorf. ἐπιβουλευομένων dat. Intellige ἐκείνων, infidias hoftium ex caftellis excurrentium timebam.

καὶ οὐ φοβοῦμαι] Guelf. cum margine Steph. οὐ φοβοῦμαι δέ. Philelphus καὶ φοβῶ μὲν vertit. deinde καὶ πίνω τὰ Guelf. πίνω τε τῶν πολεμίων.

στρατείαν Ita cum Steph. 2. et Guelf. Hutchinfon et Zeune pro vulgato antea στρατιαν.

τάδε δὲ] Vitium vulgaris lectionis τάδε ἑορτὴν acute fenferat Weifke; medelam dedit Altorfinus certiffimam.

11. Ἐγὼ δ'] Guelf. Ἐγὼ, ὦ ἄνδρες ξυμμ. deinde articulum ante Cyri nomen de fuo addidit Hutchinfon, fequente Zeunio et Weifkio. μέχρι τοῦδε—εἰ δ' ἄπιτε Altorfinus liber.

ἐγὼ δὲ] Guelf. omiffo δὲ—ἐκείνῳ πάλιν. Ceterum urbane hæc fubjungit priori membro Gobryas, ubi expectabas ψεύσεται Κῦρος.

12. τούτοις] Ex Guelf. τουτοισὶ vel-

Cyrus ſuadet, ut caſtris hoſtium ſublatis a ſuis nova extruantur.

λανθάνει, ὅτι, ἐὰν διαλύωμεν τὸ στράτευμα, τὰ μὲν
ἡμέτερα ἀσθενέστερα γίγνεται, τὰ δὲ τῶν πολεμίων πά-
λιν αὐξήσεται. Ὅσοι τε γὰρ αὐτῶν ὅπλα ἀφῄρηνται,
ταχὺ ἄλλα ποιήσονται· ὅσοι τε ἵππους ἀπεστέρηνται,
ταχὺ πάλιν ἄλλους κτήσονται· ἀντὶ δὲ τῶν ἀποθανόντων
ἕτεροι ἐφηβήσουσι [καὶ ἐπιγενήσονται]· ὥστε οὐδὲν θαυ-
μαστόν, εἰ ἐν τάχει πάλιν ἡμῖν πράγματα παρέχειν
δυνήσονται. Τί δῆτα ἐγὼ Κυαξάρει λόγον ἐκέλευσα ἐμ- 13
βαλεῖν περὶ καταλύσεως τῆς στρατιᾶς; Εὖ ἴστε, ἔφη,
ὅτι φοβούμενος τὸ μέλλον. Ὁρῶ γὰρ ἡμῖν ἀντιπάλους
προσιόντας, οἷς ἡμεῖς, εἰ ὧδε στρατευσόμεθα, οὐ δυνησό-
μεθα μάχεσθαι. Προσέρχεται μὲν γὰρ δήπου χει- 14
μών, στέγαι δ᾽ εἰ καὶ ἡμῖν αὐτοῖς εἰσιν, ἀλλὰ μὰ Δία
οὐχ ἵπποις, οὐδὲ θεράπουσιν, οὐδὲ τῷ δήμῳ τῶν στρα-

ut Atticum prætulit cum Zeunio Weiſke. deinde ὅτι ἢν νῦν διαλ Juntina, ἐὴν νῦν διαλ. Altorf. ἐὰν μὲν διαλύωμεν Guelf. ubi corrector νῦν poſt ἐὰν inſeruit. ὡς εἰ διαλύσομεν Zonaras.

γίγνεται] Edd. primarum et Altorfini lectionem revocavi. γίγνοιτ᾽ ἂν cum Stephano ex libris Brodæi, Guelf. et Zonara receperunt Zeune et Weiſke, hoc dictum pro γενήσεται interpretati. Mecum ſentit Abreſch. ad Æſchylum i. p. 463.

Ὅσοι τε] Ita Guelf. pro ὅσοι μὲν librorum ceterorum: deinde ἄλλους ἵππους Guelf. Altorf.

ἕτεροι] Vulgo legitur ἕτεροι καὶ ἐφηβήσουσι καὶ ἐπιγενήσονται. Sed copulam omittit cum Philel. Guelf. deinde Edd. pr. et Altorf. ἐφηβήσονται καὶ ἐπιγ. quod admonitu Brodæi correxit Stephanus. Sed in illa lectione ἐφηβήσονται latere mihi videbatur mutilatum ἐπιγενήσονται; quod quid aliud, quam interpretamentum præcedentis ἐφηβήσουσι? Dicat forte aliquis ἐφηβήσουσι ſignificare homines adoleſcentes, ἐπιγενήσονται homines naſcituros: ſed ita exiſtet illud incommodum, ut geminum verbum in hoc membro ſubjungat Xenoph., cum in duobus anterioribus unum ſuffeciſſet: nec in hoc poſtremo præter unum ἀποθνησκόντων eſt, cui geminum in apodoſi reſpondeat. Quare ſecluſi ſuſpecta verba. ἀνδετῶν ἀποθανόντων Altorf. Ceterum Weiſke ὁμοιοτέλευτα hæc γίγνεται, αὐξήσεται, ἀφῄρηνται, ποιήσονται, ἀπεστέρηνται, κτήσονται, δυνήσονται ſtudioſe quæſita cenſebat ad multitudinis rerum repetito hoc ſono ſpeciem efformandam. Contra mihi ſyllaba εται, ηνται et ονται, tam ſæpe repetita in una periodo, tædium facit; nec locus Iſocratis Evagoræ p. 460. eſt noſtro ſimilis, habetque aliquam tamen concinnitatis gratiam, quam in noſtro ſentire non poſſum.

οὐδὲν θαυμ.] Ita pro οὐδὲ recte Zeune ex Philel. Bodl. Guelf. Altorf.

εἰ ἐν τάχει] Guelf. cum Philelpho εἰ πάνυ ἐν τάχει.

13. Κυαξάρει] Guelf. Κυαξάρην ἐκέλευσα λόγον ἐμβάλλειν—στρατείας. Altorf. Κυαξάρη dat. Sequens ἔφη omiſit Guelf.

14. γὰρ δήπου] Mihi diſplicet hic δήπου, et ἤδη ejus in vicem ſubſtitutum malim.

τιωτῶν· ὧν ἄνευ ἡμεῖς οὐκ ἂν δυναίμεθα στρατεύεσθαι· τὰ δ' ἐπιτήδεια, ὅπου μὲν ἡμεῖς ἐληλύθαμεν, ὑφ' ἡμῶν ἀνάλωται· ὅποι δὲ οὐκ ἀφίγμεθα, διὰ τὸ ἡμᾶς φοβεῖσθαι, ἀνακεκομισμένοι εἰσὶν εἰς ἐρύματα· ὥστε αὐτοὺς μὲν ἔχειν, ἡμᾶς δὲ ταῦτα μὴ δύνασθαι λαμβάνειν. Τίς οὖν οὕτως ἀγαθὸς, ἢ τίς οὕτως ἰσχυρὸς, ὃς λιμῷ καὶ

15 ῥίγει δύναιτ' ἂν μαχόμενος στρατεύεσθαι; Εἰ μὲν οὖν οὕτω στρατευσόμεθα, ἐγὼ μέν φημι χρῆναι ἑκόντας ἡμᾶς καταλῦσαι τὴν στρατιὰν μᾶλλον, ἢ ἄκοντας ὑπ' ἀμηχανίας ἐξελαθῆναι. Εἰ δὲ βουλόμεθα ἔτι στρατεύεσθαι, τόδ' ἐγώ φημι χρῆναι ποιεῖν, πειρᾶσθαι ὡς τάχιστα τῶν μὲν ἐκείνων ὀχυρῶν [ἡμᾶς] ὡς πλεῖστα παραιρεῖν, ἡμῖν δ' αὐτοῖς ὡς πλεῖστα ὀχυρὰ ποιεῖσθαι· ἐὰν γὰρ ταῦτα γένηται, τὰ μὲν ἐπιτήδεια πλείω ἕξουσιν, ὁπότεροι ἂν πλείω δύνωνται λαβόντες ἀποτίθεσθαι, πο-

16 λιορκήσονται δὲ, ὁπότεροι ἂν ἥττους ὦσι. Νῦν δ' οὐδὲν διαφέρομεν τῶν ἐν τῷ πελάγει πλεόντων· καὶ γὰρ ἐκεῖνοι πλέουσι μὲν ἀεὶ, τὸ δὲ πεπλευσμένον οὐδὲν οἰκειότερον τοῦ ἀπλεύστου καταλείπουσιν. Ἢν δὲ φρούρια ἡμῖν γένηται, ταῦτα δὴ τοῖς μὲν πολεμίοις ἀλλοτριώσει τὴν χώραν,

ἀνάλωται] Caſtal. Bryl. Bodl. Guelf. Zonaras ἀνήλωνται: quam formam etſi damnant Thomas et Mœris, tuetur tamen Grammaticus Suidæ in ἀναλίσκειν.

ὅποι δὲ] Edd. pr. ὅπου. Mirum Editores hic mutaſſe, quod paulo antea tolerarunt. deinde μὴ pro οὐκ dant Guelf. et Altorf.

ἀνακεκομισμένοι] Ita ex Philel. Camer. Bodl. Guelf. Altorf. cum Stephano Zeune pro ἀνακεκομισμένα dedit. Cf. Anabaſ. iv. 7, 1. et 17.

αὐτοὺς μὲν] Juntina et Guelf. αὐτοὶ μὲν, Altorfinus αὐτοῖς μέν.

ἰσχυρὸς, ὃς] Guelf. ὃς omiſit.

15. φημι χρῆναι] Ex Philelphi verſione φημὶ ἔτι χρῆναι dedit Steph. quod recte delevit Zeune. deinde ὡς τάχιστα πειρᾶσθαι. Sequens ἡμᾶς in Guelf. corrector ſupplevit; igitur ſeclusi, ut inutile.

ὀχυρὰ] Juntina et Alt. ἰσχυρά. quod equidem vel ideo præferrem, ne vocabulum idem repetatur et oratio varietur.

ἐὰν γὰρ] Edd. pr. et Altorf. εἰ γάρ. ſequens πλείω ἕξουσιν pro πλείονα ex Guelf. dedit Zeune, item λαβόντες pro λαμβάνοντες.

ἥττους] Philel. Bodl. Guelf. κρείττους dant, quæ lectio accommodata eſt ſignificationi activæ verbi πολιορκήσονται.

16. τῷ πελάγει] Articulus ex Guelf. et Altorf. acceſſit. deinde πλέουσι μὲν γὰρ ἀεὶ Altorf.

Ἢν δὲ] Guelf. Ἐὰν δέ: deinde ταῦτα ἤδη Edd. pr. et Altorf.

ἡμῖν δὲ ὑπεύδια μᾶλλον ἔσται πάντα. Ὁ δὲ ἴσως ἄν 17
τινες ὑμῶν φοβηθεῖεν, εἰ δεήσει πόῤῥω τῆς ἑαυτῶν φρου-
ρεῖν, μηδὲ τοῦτο ὀκνήσητε. Ἡμεῖς μὲν γὰρ, ἐπείπερ καὶ
ὡς οἴκοθεν ἀποδημοῦμεν, φρουρήσειν ὑμῖν ἀναδεχόμεθα
τὰ ἐγγύτατα χωρία τῶν πολεμίων· ὑμεῖς δὲ τὰ πρόσορα
ὑμῖν αὐτοῖς τῆς Ἀσσυρίας, ἐκεῖνα κτᾶσθε καὶ ἐργάζε-
σθε. Ἢν γὰρ ἡμεῖς τὰ πλησίον αὐτῶν δυνώμεθα φρου- 18
ροῦντες σώζεσθαι, ἐν πολλῇ ὑμεῖς εἰρήνῃ οἱ τὰ πρόσω
αὐτῶν ἔχοντες βιοτεύσετε· οὐ γὰρ, οἶμαι, δυνήσονται τῶν
ἐγγὺς αὐτοῖς κακῶν ἀμελοῦντες τοῖς πρόσω ὑμῖν ἐπιβου-
λεύειν.

Ὡς δὲ ταῦτα ἐῤῥήθη, οἵ τε ἄλλοι πάντες ἀνιστάμενοι 19
συμπροθυμήσεσθαι ταῦτ' ἔφασαν, καὶ Κυαξάρης. Γα-
δάτας δὲ καὶ Γωβρύας καὶ τεῖχος αὐτῶν ἑκάτερος, ἣν
ἐπιτρέψωσιν οἱ σύμμαχοι, τειχιεῖσθαι ἔφασαν, ὥστε
καὶ ταῦτα φίλια τοῖς συμμάχοις ὑπάρχειν. Ὁ οὖν 20
Κῦρος, ἐπεὶ πάντας ἑώρα προθύμους ὄντας πράσσειν,

Probato illo consilio Cyrus capit loca hibernis idonea.

ὑπεύδια] Ita cum Budenſi Altorf. liber. ὑπ' εὐδίας vulgo eſt: ὑπ' εὐδίαν Bodl. Guelf. ἐπ' εὐδίας malebat Stephanus. εἰς λυσιτέλειαν interpretatur Zonaras. In Anabaſi v. 8, 19. dicitur ἐν εὐδίᾳ εἶναι.

17. μηδὲ τοῦτο] Edd. pr. μηδ' ἐν τούτῳ.

ἐπείπερ καὶ ὥς] Cum Steph. Bodl. εἴπερ καὶ ὥς. Copula καὶ ex Philel. Camer. Bodl. Guelf. Altorf. acceſſit. Mihi præterea ἐπειδήπερ καὶ ὥς ſcribendum videtur, aut cum Brodæo οἵπερ καὶ ὥς. Eadem enim eſt inter ἐπείπερ et ἐπειδήπερ differentia, quam inter ἐπεὶ et ἐπειδὴ ſtatuo.

ἀναδεχόμεθα] Librorum omnium ſcripturam ἀναδεχοίμεθα miror huc-uſque fuiſſe toleratam. Deinde προσόρια Edd. Budenſis, Altorf.

τῆς Ἀσσυρίας] Juntina τοῖς Ἀσσυρίοις quod in Guelf. adſcripſit corrector. Caſtalio καὶ αὐτοῖς τοῖς Ἀσσυρίοις. Budenſis αὐτοῖς τῆς δὲ Συρίας. Altorfinus dat αὐτοῖς τῆς δὲ Ἀσσυρίας.

18. Ἢν] Guelf. Ἐὰν γὰρ—τὰ πλείω (ut margo Steph.) φρουροῦντες δυνώμεθα.

βιοτεύσετε] Philel. margo Steph. Guelf. ἔσεσθε. ſed Guelf. poſt εἰρήνῃ inſertum habet, et in margine vulgatum adſcriptum. Altorf. βιοτεύσεται.

ἐγγὺς αὐτοῖς] Stephanus ἐγγὺς ἑαυτῶν ὄντων κακῶν dedit: Guelf. ἐγγὺς ἑαυτῶν κακῶν ὄντων. Equidem Edd. pr. et Altorfini libri lectionem præfero.

19. οἵ τε] Guelf. omittit τε: deinde συμπροθυμήσεται Edd. pr.

αὐτῶν ἑκάτερος] Ordine inverſo Guelf. deinde τειχίσασθαι.

20. πάντας ἑώρα] Hoc ordine Guelf. inverſo Edd. deinde εἶπε pro ἔφη ex eodem libro cum Zeunio dedi.

ὅσα ἔλεξε, τέλος εἶπε· Εἰ τοίνυν περαίνειν βουλόμεθα,
ὅσα φαμὲν χρῆναι ποιεῖν, ὡς τάχιστα ἂν δέοι γενέσθαι
μηχανὰς μὲν εἰς τὸ καθαιρεῖν τὰ τῶν πολεμίων τείχη,
21 τέκτονας δὲ εἰς τὸ ἡμῖν ὀχυρὰ πυργοῦσθαι. Ἐκ τούτου
ὑπέσχετο ὁ μὲν Κυαξάρης μηχανὴν αὐτὸς ποιησάμενος
παρέξειν, ἄλλην δὲ Γαδάτας τε καὶ Γωβρύας, ἄλλην δὲ
Τιγράνης· αὐτὸς δὲ ὁ Κῦρος ἔφη δύο πειρᾶσθαι ποιή-
22 σασθαι. Ἐπεὶ δὲ ταῦτ' ἔδοξεν, ἐπορίζοντο μὲν μηχα-
νοποιούς, παρεσκευάζοντο δ' ἕκαστοι εἰς τὰς μηχανάς,
ὧν ἔδει· ἄνδρας δ' ἐπέστησαν, οἳ ἐδόκουν ἐπιτηδειότατοι
εἶναι ἀμφὶ ταῦτ' ἔχειν.

23 Κῦρος δ', ἐπεὶ ἔγνω, ὅτι διατριβὴ ἔσται ἀμφὶ ταῦτα,
ἐκάθισε μὲν τὸ στράτευμα, ἔνθα ᾤετο ὑγιεινότατον εἶναι
καὶ εὐπροσοδώτατον, ὅσα ἔδει προσκομίζεσθαι· ἐρυμνὸν
δ', εἴ πη ἐρυμνότητος προσεδεῖτο, ἐποιήσατο, ὡς ἐν ἀσφα-
λεῖ οἱ ἀεὶ μένοντες εἶεν, εἴποτε καὶ πρόσω τῇ ἰσχύϊ ἀπο-
24 στρατοπεδεύσαιντο. Πρὸς δὲ τούτοις ἐρωτῶν, οὓς ᾤετο
μάλιστα εἰδέναι τὴν χώραν, ὁπόθεν ἂν ὡς πλεῖστα ὠφε-

ἂν δέοι] Edd. pr. Budensis et Altorf. *ἃ ἂν δέοι.* Hinc Castalio conjecit *χρὴ νῦν*, Camerarius *χρὴ* simpliciter. Deinde *ἐχυρὰ* Junt. Altorf.

21. *ὁ μὲν Κυαξάρης*] Articulum ex Guelf. revocavit Zeune; idem liber *τε* post *Γαδάτας* omisso *δὲ* ante *Τιγράνης* inserit.

αὐτὸς δὲ ὁ Κ.] Ita Philel. Budens. Bodl. Guelf. nisi quod in omnibus libris, Budensi excepto, articulus *ὁ* deest; vulgo erat ante Zeunium: *ἄλλην δὲ αὐτὸς ὁ Κῦρος ἔφατο.* deinde *πειράσεσθαι ποιήσειν* Bodl. *ποιήσειν* etiam Guelf.

22. *ἐπορίζοντο*] Juntina *ἐπόριζον* quod corrector in Guelf. adscripsit; deinde *ὧν δεῖ* Guelf.

23. *ἔσται*] Guelf. *ἔστιν*, deinde *μὲν* omisso *ὅσα δεῖ* ut Philel.; quo facto non opus est sequens *ὅσα τε* cum Zeiuno et Gallo *Bejot* mutare in *ὅσα δέ.* Sed aliam rationem sequi coegit scriptura Altorfina.

ὅσα δεῖ] Intellige *τούτοις*, ad invehenda et importanda necessaria.

οἱ ἀεὶ] Guelf. *οἱ αἰεὶ—ἀποστρατοπεδεύσοιντο*, Bodl. *ἀποστρατοπεδεύοιντο*, singularem *ἀποστρατοπεδεύοιτο* liber Gabr. Budensis et Altorf. qui præter *αἰεὶ* singularem lectionem hanc præbuit: *προσκομίζεσθαι· ἐρυμνὸν δ' εἴ πη ἐρυμνότητος προσεδεῖτο.* in qua unice acquievi; cum vulgaris *ὅσα τε ἐρυμνότητος* loca munita testetur rebus asservandis, statim tamen personarum deinde securitatem commemoret. *ἐρυμνὰ* ita posuit Xenophon supra v. 2, 2. et vii. 4, 10. eadem sunt *ἐρύματα.*

τῇ ἰσχύϊ] Intellige *ἅμα* vel *σὺν*, quorum alterutrum addi volebat Stephanus. At sic supra v. 4, 20. est *ἐλάττονι μορίῳ ἰέναι.* Cf. i. 4, 17. vi. 1, 42. *πάσῃ τῇ δυνάμει, παντὶ σθένει* etc.

λοῖτο τὸ στράτευμα, ἐξῆγεν ἀεὶ εἰς προνομὰς, ἅμα μὲν ὅπως ὅτι πλεῖστα λαμβάνοι τῇ στρατιᾷ τὰ ἐπιτήδεια, ἅμα δ᾽ ὅπως μᾶλλον ὑγιαίνοιεν καὶ ἰσχύοιεν διαπονούμενοι ταῖς πορείαις, ἅμα δ᾽ ὅπως ἐν ταῖς ἀγωγαῖς τὰς τάξεις ὑπομιμνήσκοιντο. Ὁ μὲν δὴ Κῦρος ἐν τούτοις ἦν. 25

Equitatus Perfarum augetur, et inftituuntur currus falcati.

Ἐκ δὲ Βαβυλῶνος οἱ αὐτόμολοι καὶ οἱ ἁλισκόμενοι ταῦτ᾽ ἔλεγον, ὅτι ὁ Ἀσσύριος οἴχοιτο ἐπὶ Λυδίας, πολλὰ τάλαντα ἀργυρίου καὶ χρυσίου ἄγων, καὶ ἄλλα κτήματα καὶ κόσμον παντοδαπόν. Ὁ μὲν οὖν ὄχλος τῶν 26
στρατιωτῶν ὑπελάμβανεν, ὡς ὑπεκτίθοιτο ἤδη τὰ χρήματα φοβούμενος· ὁ δὲ Κῦρος, γιγνώσκων, ὅτι οἴχοιτο συστήσων, εἴ τι δύναιτο, ἀντίπαλον ἑαυτῷ, ἀντιπαρεσκευάζετο ἐρρωμένως, ὡς μάχης ἔτι δεῆσον· καὶ ἐξεπίμπλη μὲν τὸ τῶν Περσῶν ἱππικὸν, τοὺς μὲν ἐκ τῶν αἰχμαλώτων, τοὺς δέ τινας καὶ παρὰ τῶν φίλων λαμβάνων ἵππους· ταῦτα γὰρ παρὰ πάντων ἐδέχετο, καὶ ἀπεωθεῖτο οὐδὲν, οὔτε εἴ τις ὅπλον ἐδίδου καλὸν, οὔτε ἵππον. Κατεσκευάζετο δὲ καὶ ἅρματα ἔκ τε τῶν αἰ- 27
χμαλώτων ἁρμάτων, καὶ ἄλλοθεν, ὁπόθεν ἐδύνατο. Καὶ τὴν μὲν Τρωϊκὴν διφρείαν πρόσθεν οὖσαν, καὶ τὴν

24. προνομὰς] Edd. pr. προσνομὰς monitu Brodæi correxit Steph. Paulo antea τὰ πλεῖστα ὠφελοῖτο Altorf.

ὅπως ὅτι] Edd. pr. Altorf. ὡς ὅτι. deinde πλεῖστα μὲν λαμβάνοι—διαπορευόμενοι (fupra fcripto διαπονούμενοι) —ἅμα θ᾽ ὅπως Guelf.

25. οἱ αὐτόμολοι καὶ οἱ] Guelf. αὐτόμολοι ἁλισκόμενοι. fed corrector καὶ οἱ fupplevit. ἰόντες αὐτόμολοι ἁλισκόμενοι —ὡς ὁ Ἀσσύριος—ἐπὶ Λυδίαν, Zonaras. deinde ἀργυρίου καὶ χρυσίου Edd. ante Zeunium, qui Philel. Guelf. et Zonaram fecutus eft.

26. ὑπελάμβανεν] Philel. Guelf. margo Steph. Zonaras ἔλεγεν: in margine Guelf. eft vulgata lectio. ὑπελάμβανον Altorf. quod probo.

ἑαυτῷ] Ita pro ἑαυτὸν Philel. Gabr. Bodl. Guelf. margo Steph. ὅτι δ. ἀντ. ἑαυτὸν Altorfinus, qui deinde δεήσοι dat.

ἐξεπίμπλη] Ita Guelf. ubi corrector vulgatum ἐξεπίμπλα. fed idem liber cum Philel. ὡς δ᾽ ἐξεπ. dat.

οὔτε εἴ τις] Margo Steph. et Guelf. οὐδὲ ἂν ὅπλον διδοίη καλὸν οὐδ᾽ εἴ τις ἵππον. fed corrector in Guelf. τις inferuit poft ἄν. Prius οὔτε omittit Aldina, τε inter ἐκ τῶν Juntina cum Altorfino.

27. ἐδύνατο] Ita recte Guelf. Vulgatum δύναιτο tolerari tam diu potuiffe miror: Ita paulo antea potuiffent ex Guelf. ἐδέχετο—εἴ τις διδοίη. eodem jure receptum ponere.

Τρωϊκὴν—νῦν οὖσαν] In Guelf. corrector Τρωϊκὴν et οὖσαν adjecit. Co-

Κυρηναίων ἔτι καὶ νῦν οὖσαν ἁρματηλασίαν κατέλυσε·
τὸν γὰρ πρόσθεν χρόνον καὶ οἱ ἐν τῇ Μηδίᾳ καὶ Συρίᾳ
καὶ Ἀραβίᾳ καὶ πάντες οἱ ἐν τῇ Ἀσίᾳ τοῖς ἅρμασιν οὕ-
28 τως ἐχρῶντο, ὥσπερ νῦν οἱ Κυρηναῖοι. Ἔδοξε δ᾽ αὐτῷ,
ὃ κράτιστον εἰκὸς ἦν εἶναι τῆς δυνάμεως, ὄντων τῶν βελ-
τίστων ἐπὶ τοῖς ἅρμασι, τοῦτο ἐν ἀκροβολιστῶν μέρει εἶ-
ναι, καὶ εἰς τὸ κρατεῖν οὐδὲν μέγα μέρος συμβάλλε-
σθαι. Ἅρματα γὰρ τριακόσια τοὺς μὲν μαχομένους
παρέχεται τριακοσίους, ἵπποις δ᾽ οὗτοι χρῶνται διακο-
σίοις καὶ χιλίοις· ἡνίοχοι δ᾽ αὐτοῖς εἰσι μέν, ὡς εἰκὸς,
οἷς μάλιστα πιστεύουσιν οἱ βέλτιστοι, εἰς τριακοσίους·
οὗτοι δέ εἰσιν, οἳ οὐδ᾽ ὁτιοῦν τοὺς πολεμίους βλάπτουσι.
29 Ταύτην μὲν οὖν τὴν διφρείαν κατέλυσεν· ἀντὶ δὲ τούτου
πολεμιστήρια κατεσκεύασεν, ἅρματα τροχοῖς τε ἰσχυ-

pulam καὶ ante νῦν ex Guelf. inferuit Zeune: διφρίαν dat Altorfinus. Currus Trojani bijugi fuerunt, et pugnatores inde, cum res ferebat, defilire confueverant; Unus Hector quadrigis ufus eft, Iliad Θ. 158. Cyrenæi currus quadrijugi fuerunt, quibus pugnatores perpetuo infiftebant. Philoftratus Icon. I. 17. de Pelopis curru: τὸ δ᾽ ἵππων ξύγκειται τεττάρων· τουτὶ γὰρ ἐς μὲν τὰ πολεμικὰ οὔπω ἐθαρσεῖτο, οἱ δὲ ἀγῶνες ἐγίνωσκόν τε αὐτὸ καὶ ἐτίμων. Καὶ οἱ Λυδοὶ δὲ φιλιππότατοι ὄντες ἐπὶ μὲν Πέλοπος τέθριπποί τε ἦσαν καὶ ἤδη ἁρματῖται, μετὰ δὲ ταῦτα τετραρύμου τε ἥψαντο καὶ λέγονται πρῶτοι τοὺς ὀκτὼ σχεῖν.

28. Ἔδοξε] Guelf. ἔδοξεν αὐτῷ (corrector δὲ inferuit) εἰκὸς ἦν (tranfponit corrector)—τῆς δυνάμεως ὄν. τῶν βελτίστων. corrector γρ. ὄντων in margine appofuit. Edd. pr. et Altorf. ἦν εἰκὸς εἶναι. fed Juntina ἦν omifit. deinde τοῦτο μὴ Altorf. et Codex a Stephano memoratus.

οὐδὲν] Ita pro οὐδὲ Philel. Gabr. Bodl. Guelf.

μέρος] Guelf. βάρος cum Philel. Brodæi libris: deinde συμβαλέσθαι ex Guelf. recepit Zeune.

δ᾽ οὗτοι] Guelf. a correctoris manu δ᾽ αὐτοὶ habet, deinde πιστεύουσιν οἱ βέλτιστοι· ἄλλοι δὲ εἰς τριακοσίους· οὗτοί εἰσιν. corrector ante εἰσιν inferuit δέ. Etiam Philel. Bodl. inferunt verba ἄλλοι δὲ recepta a Stephano, in ἄλλοι δὴ mutata a Leonclavio, quæ admonente Mureto exemplo Edd. pr. omifit Zeune. Reliquias effe plurium verborum, quæ exciderint, fufpicatur Weifke, motus etiam numero εἰς τριακοσίους, cum aurigæ *ipfi* trecenti non *fere* trecenti effent in curribus trecentis. Fortaffe igitur armigeros aut alios fervos, in Cyrenaicis curribus poft pugnatores locari folitos, commemoratos a Xenophonte fuiffe.

29. ἀντὶ δὲ τούτου] Ad διφρείαν non redit, fed ad τὸ διφρεύειν, unde illud vocabulum eft derivatum.

κατεσκεύασεν] κατεσκευάσατο, quod convenit cum forma fect. 27. et ἐποιήσατο viii. 8, 24. contra activum eft fect. 30. deinde τὰ ἅρματα Altorf. quam lectionem fi fequaris, tum hoc ordine verba reliqua funt collocanda τὰ πολεμιστήρια κατεσκεύασεν ἅρματα. Ita πολεμιστήρια ἅρματα non diverfa funt ab iis, quibus infiftebant bellatores Trojani et Cyrenaici, fed eodem nomine appellantur. Infra vii.

ροῖς, ὡς μὴ ῥᾳδίως συντρίβηται, ἄξοσί τε μακροῖς· ἧττον γὰρ ἀνατρέπεται πάντα τὰ πλατέα· τὸν δὲ δίφρον τοῖς ἡνιόχοις ἐποίησεν, ὥσπερ πύργον, ἰσχυρῶν ξύλων· ὕψος δὲ τούτων ἐστὶ μέχρι τῶν ἀγκώνων, ὡς δύνωνται ἡνιοχεῖσθαι οἱ ἵπποι ὑπὲρ τῶν δίφρων· τοὺς δ᾽ ἡνιόχους ἐθωράκισε πάντα, πλὴν τῶν ὀφθαλμῶν. Προσέθηκε δὲ καὶ δρέπανα σιδηρᾶ ὡς διπήχεα πρὸς τοὺς ἄξονας, ἔνθεν καὶ ἔνθεν τῶν τροχῶν, καὶ ἄλλα κάτω ὑπὸ τῷ ἄξονι εἰς γῆν βλέποντα, ὡς ἐμβαλούντων εἰς τοὺς ἐναντίους τοῖς

1, 47. *τὰ δρεπανηφόρα ἅρματα* memorantur, et ftatim *τὸ πολεμιστήριον τοῦτο* fubjungitur. fed viii. 8, 26. ubi mentio *δρεπανηφόρων ἁρμάτων* præcedit, *τὰ πολεμιστήρια* dicuntur apparatus bellicus omnis, præcipue tamen curruum falcatorum.

ἀνατρέπεται] Muretus ex Codicibus nefcio quibus *ἂν ἀνατρέποιτο* laudat; in Bodl. eft *ἂν ἀνατρέπηται.*

τῶν ἀγκώνων] Deinceps Budenfis et Altorf. liber *τοῦ ἡνιόχου* inferunt, Brodæi et Philelphi Codex *πέντε* addunt: deinde Edd. veterum *πάντας* admonente Brodæo correxit Stephanus. *πάντα* intellige *τὰ ὑπερέχοντα*, ut apparet ex vi. 2, 17.

30. *σιδηρᾶ*] Ita pro *σιδήρεα* Guelf. deinde *διπήχη* dat—et *ἔνθεν καὶ ἔνθεν τροχῶν.*

ὑπὸ τῷ ἄξονι] Inter utramque rotam feu *ὑπὸ τοῖς δίφροις*, ut eft in Anabafi, quod contra Perizonium in Curtio vindicato p. 167. negantem recte defendit Zeune. Hic fimul admonet Darii currus falcatos apud Curtium iv. 9. et 15. rotas ipfas et temones habuiffe falcatos.

εἰς γῆν] Guelf. *εἰς τὴν γῆν*—*ὡς εἰσβαλούντων.* Caftalio *ὡς ἐμβαλόντων.*

ὡς ἐμβαλούντων] Intellige *τῶν ἡνιόχων*. In Anabafi i. 8, 10. eft de exercitu Artaxerxis: *πρὸ δὲ αὐτῶν ἅρματα διαλείποντα συχνὸν, ἀπ᾽ ἀλλήλων τὰ δρεπανηφόρα λεγόμενα. εἶχον δὲ τὰ δρέπανα ἐκ τῶν ἀξόνων εἰς πλάγιον ἀποτεταμένα, καὶ ὑπὸ τοῖς δίφροις εἰς γῆν βλέποντα, ὡς διακόπτειν ὅτῳ ἐντύχοιεν· ἡ δὲ γνώμη ἦν, ὡς εἰς τὰς τάξεις τῶν Ἑλλήνων ἐλώντων καὶ διακοψόντων.* Nofter infra vi. 2, 17. *ἅρματα ἔρχεται ἃ οὐχ οὕτως ἑστήξεται, ὥσπερ πρόσθεν, ἀπεστραμμένα ὥσπερ εἰς φυγὴν, ἀλλ᾽ οὔτε ἵπποι εἰσὶ κατατεθωρακισμένοι οἱ ἐν τοῖς ἅρμασιν, οὔτε ἡνίοχοι—δρέπανά τε σιδηρᾶ περὶ τοῖς ἄξοσι προσήρμοσται, ὡς ἐλῶντες καὶ οὗτοι εὐθὺς εἰς τὰς τάξεις τῶν ἐναντίων.* ubi currus averfos fic interpretatur Weifke; nam Zeunius filet: *proprie ita locata ut pofteriorem partem hoftibus opponant, fronte fpectent in diverfum. Sed cum vi dictum hoc eft pro longius remota ad pugnam eminus faciendam.* Quæ fi obfervatio vera eft, ante Cyri inventum currus bellici in prælio longius remoti pugnam eminus faciebant. Verum nunc quæro ex interprete ifto, quæ fit aut effe poffit curruum bellicorum pugna eminus et longius remotorum? Quis eorum eft in ipfo prælio locus? quæ pugnandi ratio? Cum taceat interpres, e verborum fignificatione extorquere conabimur refponfum. Primum igitur verba *ἔρχεται* et *ἑστήξεται* fibi opponuntur, ut currus in antiquo eorum ufu fteriffe in acie, novo vero more acceffiffe, hoftem aggreffuri videlicet, dicantur. Averfi vero ftare et veluti fugam fpectare quomodo currus bellici dici poffunt in antiquo eorum ufu? Cum longius remoti in acie ftabant et eminus pugnabant, refpondet Weifke. Verum ipfum eorum in acie pofitorum locum fcire volo, et pugnandi rationem bellatorum curribus antiquis infiftentium. Currus et bellatores longius remoti vix aliter nifi ab hofte dici poffunt; igitur poft aciem primam collocati. Verum quomodo eminus ita collo-

ἅρμασιν. Ὡς δὲ τότε Κῦρος ταῦτα κατεσκεύασεν, οὕτως ἔτι καὶ νῦν τοῖς ἅρμασι χρῶνται οἱ ἐν τῇ βασιλέως χώρᾳ. Ἦσαν δὲ αὐτῷ καὶ κάμηλοι πολλαὶ παρά τε τῶν φίλων συνειλεγμέναι καὶ αἰχμάλωτοι πᾶσαι συνηθροισμέναι. Καὶ ταῦτα μὲν οὕτω συνεπεραίνετο.

Arafpæ, qui Pantheam violare conatus erat, ignofcit Cyrus, eun-

31 Βουλόμενος δέ τινα κατάσκοπον πέμψαι ἐπὶ Λυδίας, καὶ μαθεῖν, ὅ τι πράττει ὁ Ἀσσύριος, ἔδοξεν αὐτῷ ἐπιτήδειος εἶναι ὁ Ἀράσπας ἐλθεῖν ἐπὶ τοῦτο, ὁ φυλάττων

cati poft aciem pugnabunt? Nec recte ita collocati currus iifque infiftentes bellatores averfi ab hofte quafi fugam fpectare dici poffe videntur, nifi equos forte averfos impuliffe currus in hoftem dicas. Mihi quidem verba ipfa et comparatio ufus antiqui cum novo defiderare videtur hanc interpretationem, ut currus bellici antiqui poft primam aciem collocati vim hoftium primam aciem impellentium excipiant, forte equis curribus adjunctis averfis. Contra currus falcati ante ipfam aciem collocati excurrebant in hoftem et primi impetum faciebant, quoniam equi et aurigæ bene tecti loricatique armorum vim non amplius timebant. Hinc apparet fenfus verborum *ὡς ἐμβαλούντων εἰς τοὺς ἐναντίους*· ad quæ verba Weifke hæc interpretandi caufa appofuit: *Falces nempe ex medio axe interno ad terram directæ fpectant acie introrfum, et comparatæ funt ad concidendos hoftes, qui equorum impetu proftrati jacent: ὡς διακόπτειν ὅτῳ ἐντύχοιεν, ut auctor dicit Expedit. Cyri* i. 8, 10. Verum hæc omnia ufum curruum falcatorum explicant illa quidem, fed modum, ordinem et tempus pugnando non tangunt: quæ quidem continentur verbis, omiffis a Zeunio et Weifkio ex Anabafi: *ὡς εἰς τὰς τάξεις ἐλώντων*· quibus fimillima funt infra vi. 2, 11. *ὡς ἐλῶντες εὐθὺς εἰς τὰς τάξεις*. Denique ufum curruum a Cyro excogitatum tertium tangit Epilogus Cyropædiæ fect. 24. *οὐδέ γε τοῖς δρεπανηφόροις ἅρμασιν ἔτι χρῶνται ἐφ᾽ ᾧ Κῦρος αὐτὰ ἐποιήσατο. Ὁ μὲν γὰρ τιμαῖς αὐξήσας τοὺς ἡνιόχους—εἶχε τοὺς εἰς τὰ ὅπλα ἐμβαλοῦντας· οἱ δὲ νῦν οὐδὲ γιγνώσκοντες τοὺς ἐπὶ τοῖς ἅρμασιν—οἱ δὲ ὁρμῶσι μὲν, πρὶν δ᾽ ἐν τοῖς πολεμίοις εἶναι, οἱ μὲν ἑκόντες ἐκπίπτουσιν οἱ δ᾽ ἐξάλλονται.* Currus igitur falcati primi omnium impetum in hoftem faciebant et ordines peditum turbare et profternere conabantur: currus autem antiqui bijugi, quadrijugi, et octojugi poft aciem ftantes ingruentium hoftium impetum expectabant atque excipiebant: forte equis averfis currui junctis. Verum comparato loco iii. 3, 65. et vii. 1, 29. currus poft aciem primam ftetiffe, bellatores vero fugam cogitantes adfcendiffe demum eos, intellexi.

κατεσκεύασεν] Guelf. *κατεσκεύαζεν*. deinde cum Philel. Gabr. Bodl. Guelf. Altorf. fequitur ordinem ab Hutchinfono inductum pro *οὕτω καὶ ἔτι νῦν*.

χρῶνται] Hortante Steph. *καὶ*, quod deinceps additum legebatur, cum libro Philel. Gabr. et Guelf. omifit Zeune, revocavit Weifke.

συνεπεραίνετο] Ita cum margine Steph. et Guelf. Zeune pro *οὕτως ἐπεραίνετο* fimplice, quod poterat relinqui.

31. *τινὰ κατασκ.*] Ordine inverfo Guelf. deinde *πράττοι*, quod recepit Zeune. Vulgare *πράσσει* revocavit Weifke; *πράττῃ* Zonaras et *Λυδίαν* pofuit. Articulum *ὁ* ante Arafpæ nomen ex Zonara cum Zeunio affumfi.

ἐπὶ τοῦτο] Zonaras *πρὸς τ.* fequens *γυναῖκα τὴν καλὴν* pro *τὴν καλὴν γυναῖκα* cum Philelpho Guelf. præbuit.

demque ad hoſtes ſimulata fuga jubet tranſire.

τὴν γυναῖκα τὴν καλήν. Συνεβεβήκει γὰρ τῷ Ἀράσπᾳ
τοιάδε· ληφθεὶς ἔρωτι τῆς γυναικὸς, ἠναγκάσθη προσ-
ενεγκεῖν λόγους αὐτῇ περὶ συνηθείας. Ἡ δὲ ἀπέφησε 32
μὲν, καὶ ἦν πιστὴ τῷ ἀνδρὶ, καίπερ ἀπόντι· (ἐφίλει γὰρ
αὐτὸν ἰσχυρῶς) οὐ μέντοι κατηγόρησε τοῦ Ἀράσπου πρὸς
τὸν Κῦρον, ὀκνοῦσα συμβαλεῖν φίλους ἄνδρας. Ἐπεὶ δὲ 33
ὁ Ἀράσπας, δοκῶν ὑπηρετήσειν τῷ τυχεῖν, ἃ ἐβούλετο,
ἠπείλησε τῇ γυναικὶ, ὅτι, εἰ μὴ βούλοιτο ἑκοῦσα, ἄκουσα
ποιήσοι ταῦτα· ἐκ τούτου ἡ γυνὴ, ὡς ἔδεισε τὴν βίαν,
οὐκέτι κρύπτει, ἀλλὰ πέμπει τὸν εὐνοῦχον πρὸς τὸν Κῦ-
ρον, καὶ κελεύει λέξαι ἅπαντα. Ὁ δ᾽ ὡς ἤκουσεν, 34
ἀναγελάσας ἐπὶ τῷ κρείττονι τοῦ ἔρωτος φάσκοντι εἶναι,
πέμπει Ἀρτάβαζον σὺν τῷ εὐνούχῳ, καὶ κελεύει αὐτῷ
εἰπεῖν βιάζεσθαι μὲν μὴ τοιαύτην γυναῖκα, πείθειν δὲ,
εἰ δύναιτο, οὐκ ἔφη κωλύειν. Ἐλθὼν δὲ ὁ Ἀρτάβαζος 35
πρὸς τὸν Ἀράσπαν ἐλοιδόρησεν αὐτὸν, παρακαταθήκην
τε ὀνομάζων τὴν γυναῖκα, ἀσέβειάν τε αὐτοῦ λέγων, ἀδι-
κίαν τε καὶ ἀκράτειαν· ὥστε τὸν Ἀράσπαν πολλὰ μὲν
δακρύειν ὑπὸ λύπης, καταδύεσθαι δ᾽ ὑπὸ τῆς αἰσχύ-
νης, ἀπολωλέναι δὲ τῷ φόβῳ, μή τι καὶ πάθῃ ὑπὸ
Κύρου.

γὰρ τῷ] Guelf. δὲ τῷ. deinde idem liber cum margine Steph. dedit quod præſtat vulgari συνουσίας. Verbum ἠναγκάσθη ſignificat effectum et vim cupiditatis incenſæ. Poſtea συμβάλλειν Altorf.

33. ἐπεὶ δὲ] Guelf. ἐπεὶ οὖν. ex eodem, Bodl. et margine Steph. vulgaris et libri Altorf. lectio ὑπηρετεῖν ἀπετυγχάνειν correcta fuit. ὑπηρετεῖν τῷ ἀποτυγχάνειν libri Brodæi: ex quo Muretus efficiebat: ὑπηρετήσειν, ἀπέτυχεν ὧν ἐβούλετο. Guelf. ἠβούλετο recepit Zeune.

ἑκοῦσα] Zonaras ἑκοῦσα ἐνδοίη—ποιήσει. Vulgatum ποιήσοιτο Muretus in πείσοιτο mutabat, ſed ex Bodl. et Guelf. correxit Zeune.

λέξαι] Guelf. λ. πάντα, Zonaras πάντα εἰπεῖν.

35. ἐλοιδόρησεν αὐτὸν] Pronomen cum Edd. pr. omittit Altorf. ſequens τε Guelf. qui ἀσέβειάν τε ἑαυτοῦ deinde dat. ἀκρασίαν poſtea Edd. pr. Verum videtur ἀκρατίαν. Vide Pierſon ad Mœrin p. 29.

καὶ πάθῃ] Edd. pr. καὶ omittunt, habet cum Altorf. Guelf. ſed hic πάθοι dat, probante Fiſchero ad Wellerum II. p. 269.

36 Ὁ οὖν Κῦρος καταμαθὼν ταῦτα, ἐκάλεσέ τε αὐτὸν,
καὶ μόνος μόνῳ ἔλεξεν· Ὁρῶ σε, ἔφη, ὦ Ἀράσπα, φο-
βούμενόν τέ ἐμὲ καὶ ἐν αἰσχύνῃ δεινῶς ἔχοντα. Παῦσαι
οὖν τούτων· ἐγὼ γὰρ θεούς τε ἀκούω ἔρωτος ἡσσῆσθαι,
ἀνθρώπους τε οἶδα, καὶ μάλα δοκοῦντας φρονίμους εἶ-
ναι, οἷα πεπόνθασιν ὑπ' ἔρωτος· καὶ αὐτὸς δ' ἐμαυτοῦ
κατέγνων, μὴ ἂν καρτερῆσαι, ὥστε συνὼν καλοῖς ἀμελῆ-
σαι αὐτῶν. Καί σοι δὲ τούτου τοῦ πράγματος ἐγὼ αἴ-
τιός εἰμι· ἐγὼ γάρ σε συγκαθεῖρξα τούτῳ τῷ ἀμάχῳ
37 πράγματι. Καὶ ὁ Ἀράσπας ὑπολαβὼν εἶπεν· Ἀλλὰ
σὺ μὲν, ὦ Κῦρε, καὶ ταῦτα ὅμοιος εἶ, οἷός περ καὶ τἄλ-
λα, πρᾶός τε καὶ συγγνώμων τῶν ἀνθρωπίνων ἁμαρτη-
μάτων· ἐμὲ δ', ἔφη, καὶ οἱ ἄλλοι ἄνθρωποι καταδύουσι
τῷ ἄχει. Ὡς γὰρ ὁ θροῦς διῆλθε τῆς ἐμῆς συμφορᾶς,
οἱ μὲν ἐχθροὶ ἐφήδονταί μοι, οἱ δὲ φίλοι προσιόντες συμ-
βουλεύουσιν ἐκποδὼν ἔχειν ἐμαυτὸν, μή τι καὶ πάθω
38 ὑπὸ σοῦ, ὡς ἠδικηκότος ἐμοῦ μεγάλα. Καὶ ὁ Κῦρος εἶ-
πεν, Εὖ τοίνυν ἴσθι, ὦ Ἀράσπα, ὅτι ταύτῃ τῇ δόξῃ οἷός
τ' εἶ ἐμοί τε ἰσχυρῶς χαρίσασθαι, καὶ τοὺς συμμάχους
μεγάλα ὠφελῆσαι. Εἰ γὰρ γένοιτο, ἔφη ὁ Ἀράσπας,

36. ἐκάλεσέ τε] Cum Guelf. et Zonara τε omiſit Zeune. ſequens μόνος μόνῳ Zonaras interpretatur ἰδίᾳ.

θεούς τε] Vulgarem amantium excuſationem commemoravit etiam Terentius Eun. iii. 5, 43. deinde ἡττᾶσθαι margo Steph. Bodl. Guelf. Zonaras.

μάλα δοκοῦντας] Hoc ordine Guelf. pro μάλα φρ. δοκ. deinde ἀμελεῖν idem cum margine Steph. Poſtea συγκαθῆρξα Guelf. a prima manu habet ſcriptum.

37. καταδύουσι τῷ ἄχει] Ut antea fuit καταδύομαι ὑπὸ τῆς αἰσχύνης, idemque addito κατὰ γῆς Anabaſeos vii. 7, 11; ita καταδύομαι τῷ ἄχει poterat dici, niſi additum eſſet οἱ ἄλλοι: ad quæ verba Weiſke annotavit hæc: *quaſi dicat* μόνον ἐγὼ κατεδυόμην: *ſatis erat, me ipſum timore et pudore malo affectum eſſe:* Sed aliud καταδύουσι, aliud καταδύονται ἄχει οἱ ἄλλοι. Ineptum eſt καταλύουσι Altorf. quod corrector in Guelf. dedit.

μή τι] Guelf. τι omiſit. deinde comminiſci cauſam non poſſum, cur Xenophon a recta ſcribendi ratione ὡς ἠδικηκώς σε μεγάλα receſſerit.

38. εἰ γὰρ] Si interrogationis ſignum addatur, ἦ ſcribi debere monuit Stephanus. Sed vulgaris ſcriptura præſtat, ut Odyſſeæ iii. 205.

ὅ τι ἐγώ σοι ἐν καιρῷ ἂν γενοίμην αὖ χρήσιμος. Εἰ 39
τοίνυν, ἔφη, προσποιησάμενος ἐμὲ φεύγειν, ἐθέλοις εἰς
τοὺς πολεμίους ἐλθεῖν, οἶμαι ἄν σε πιστευθῆναι ὑπὸ τῶν
πολεμίων. Ἔγωγε, ναὶ μὰ Δί', ἔφη ὁ Ἀράσπας, καὶ
ὑπὸ τῶν φίλων οἶδα ὅτι, ὡς σὲ πεφευγὼς, λόγον ἂν
παρέχοιμι. Ἔλθοις ἂν τοίνυν, ἔφη, ἡμῖν, πάντα εἰδὼς 40
τὰ τῶν πολεμίων· οἶμαι δὲ καὶ λόγων καὶ βουλευμάτων
κοινωνὸν ἄν σε ποιοῖντο, διὰ τὸ πιστεύειν· ὥστε μηδὲ ἕν
σε λεληθέναι, ὧν βουλόμεθα εἰδέναι. Ὡς πορευσομέ-
νου οὖν, ἔφη, ἤδη νυνὶ, ἴσθι· καὶ γὰρ τοῦτο ἓν τῶν πιστῶν
ἔσται, τὸ δοκεῖν με ὑπὸ σοῦ μελλήσαντά τι παθεῖν ἐκ-
πεφευγέναι. Ἦ καὶ δυνήσῃ, ἔφη, ἀπολιπεῖν τὴν καλὴν 41
Πάνθειαν; Δύο γὰρ, ἔφη, ὦ Κῦρε, σαφῶς ἔχω ψυχάς.
Νῦν τοῦτο πεφιλοσόφηκα μετὰ τοῦ ἀδίκου σοφιστοῦ τοῦ
Ἔρωτος. Οὐ γὰρ δὴ μία γε οὖσα, ἅμα ἀγαθή τέ
ἐστι καὶ κακὴ, οὐδ' ἅμα καλῶν τε καὶ αἰσχρῶν ἔργων

ἐν καιρῷ] Hæc minime opportuna huic loco esse censens suspicatur Weiske Xenophontem scripsisse Εἰ γ' —ἐν καιρῷ αὖ γεν. et alium in margine explicandi causa posuisse αὖ χρήσιμος. Recte! nisi quod εἰ γὰρ frustra tentat vir doctus. Ita supra v. 1, 16. καὶ πάνυ ἡμῖν ἐν καιρῷ τι γένοιτο αὕτη ἡ γυνή. Noster eadem dictione usus est Hellenicorum iii. 4, 9. et vii. 4, 8. ἴσως ἂν αὖθις ἔτι ποτὲ ἐν καιρῷ ὑμῖν γενοίμεθα. ubi Andocidis locum p. 72. posui simillimum Xenophonteo v. 1, 16. καί ἐστιν ὑμῖν χρῆσθαι τούτοις, ὅπου ἂν ἐν καιρῷ τι ὑμῖν γένηται. Verum etiamsi verba αὖ χρήσιμος sustuleris, manet tamen oratio vel sic dura, nec, ut puto, satis græca. Primum enim γένωμαι esse debere videtur; deinde fastidium parit repetitum γένοιτο, γενοίμην.

39. Ἔγωγε] Altorf. Ἐγὼ μέν. deinde λόγον παρέχειν est venire in sermones, et idem quod λέγεσθαι: quare jungitur præpositioni ὑπὸ, ut ἀποθνήσκω ὑπό τινος, et similia verba. Paulo antea οἴομαι dat Guelferb.

40. μηδὲ ἓν σε] Altorf. μηδὲν simpliciter habet scriptum.

ὡς πορευσομένου οὖν] Ita ex Guelf. correxit Zeune vulgatum ὡς πορεύσομαι οὖν, quod Muretus in καὶ ὡς πορεύσομαι οὖν mutabat. In Guelf. Altorf. et Phil. est ἴσως scriptum pro ἴσθι. sed ἴσθι, quod in libris omnibus post verba καὶ γὰρ τοῦτο scriptum legitur, retraxi propter usum loquendi. Ita supra i. 6, 11. ὡς οὖν ἐμοῦ μηδέποτε ἀμελήσοντος—οὕτως ἔχε τὴν γνώμην. Simile est iii. 1, 9. ἐρώτα—ὡς τἀληθῆ ἐροῦντος viii. 4, 22. ὡς ἀναμενοῦντος καὶ οὐκ ἀποθανουμένου οὕτω παρασκευάζου.

τὸ δοκεῖν] Guelf. δοκοῦν. ex eodem vulgatum μελλήσοντα correxit Zeune. Si dictionem solveris ita: με ἐκπεφευγέναι ὅτι ἐμέλλησά τι παθεῖν: statim videbis futurum μελλήσω locum non habere: non magis igitur participium futuri in vulgari et concisa dicendi ratione: contra quam putabat Weiske.

41. δυνήσῃ, ἔφη] Ex Guelf. δυνήσῃ ἀπολιπεῖν, ἔφη, Zeune dedit; copulam καὶ omisit Altorfinus.

ἐρᾷ, καὶ ταὐτὰ ἅμα βούλεταί τε καὶ οὐ βούλεται πράττειν· ἀλλὰ δῆλον, ὅτι δύο ἐστὸν ψυχὰ, καὶ ὅταν μὲν ἡ ἀγαθὴ κρατῇ, τὰ καλὰ πράττεται· ὅταν δὲ ἡ πονηρὰ, τὰ αἰσχρὰ ἐπιχειρεῖται. Νῦν δὲ, ὡς σὲ σύμμαχον ἔλαβε,
42 κρατεῖ ἡ ἀγαθὴ, καὶ πάνυ πολύ. Εἰ τοίνυν καὶ σοὶ δοκεῖ πορεύεσθαι, ἔφη ὁ Κῦρος, ὧδε χρὴ ποιεῖν, ἵνα κἀκείνοις πιστότερος ᾖς· ἐξάγγελλέ τε αὐτοῖς τὰ παρ' ἡμῶν,

ταὐτὰ] Edd. pr. Philel. Guelf. Altorf. ταῦτα : ſequens δῆλον ὅτι omiſit Guelf.

δύο ἐστὸν ψυχὰ] Camerarius ad h. l. ita commentatus eſt : *De duabus animis Socraticæ ſunt diſputationes expoſitæ* copioſe a Platone. *Non eſſe autem unam vim animi vel non unum genus ſeu* εἶδος, *ita oſtenditur : Quia unum et idem non poſſit ſimul efficere contraria, ut manus ſimul attrahere ſimul et rejicere una aliquid et idem ſimul eodem tempore conſiſtere et moveri. Hæc differuntur verboſe in quarto libro rerum publicarum : eſtque iſta diviſio animi in partem præditam ratione id eſt cogitantem et intelligentem (a græcis vocatur* τὸ λογιστικὸν *ſeu* λογικὸν μέρος*) et alteram quaſi brutam, quæ eſt* ἄλογος. *Atque Plato aliud plane genus facit ejus animæ, quæ particeps eſt rationis, et aliud ejus, quæ expers : idque genus etiam mortale eſſe ait in Timæo, cum poſuiſſet in Phædro* ὅτι πᾶσα ψυχὴ ἀθάνατος. *Quæ argumentatio mirabiliter arriſit Ciceroni.—Non fugit autem nos, poſſe hæc Xenophontea referri ad Platonicas etiam diſputationes in IX libro Legum, ubi inter alia dicitur : Non eſſe pauciores animas duabus, bona una, altera mala : nam æternas cauſas boni atque mali in natura illum introduxiſſe ſcimus. Sed hæc jam magis etiam inextricabilia atque mirifica ſunt. Illa itaque ſuperiora aliquanto minus abhorrentia a captu communi retineamus :* Locus prior Platonis IV. Reip. p. 360. ed. Bipont. hic eſt : Δῆλον ὅτι ταὐτὸν τἀναντία ποιεῖν ἢ πάσχειν κατὰ ταυτόν γε καὶ πρὸς ταὐτὸν οὐκ ἐθελήσει ἅμα. ὥστε ἐάν που εὑρίσκωμεν ἐν αὐτοῖς ταῦτα γινόμενα, εἰσόμεθα ὅτι οὐ ταὐτὸν ἦν ἀλλὰ πλείω. Hac ſcilicet argumentatione nititur quod ſequitur p. 367. οὐ δὴ ἀλόγως ἀξιώσομεν αὐτὰ διττά τε καὶ ἕτερα ἀλλήλων εἶναι, τὸ μὲν ᾧ λογίζεται λογιστικὸν προσαγορεύοντες τῆς ψυχῆς, τὸ δὲ ᾧ ἐρᾷ τε καὶ πεινῇ καὶ διψῇ καὶ περὶ τὰς ἄλλας ἐπιθυμίας ἐπτόηται ἀλόγιστόν τε καὶ ἐπιθυμητικὸν, πληρώσεων τινῶν καὶ ἡδονῶν ἑταῖρον. Ταῦτα μὲν τοίνυν δύο ἡμῖν ὡρίσθω εἴδη ἐν ψυχῇ ἐνόντα, τὸ δὲ τοῦ θυμοῦ καὶ ᾧ θυμούμεθα—ἴσως τῷ ἑτέρῳ τῷ ἐπιθυμητικῷ ἂν εἴη ὁμοφυές. In hoc loco non difficile eſt duas animas reperire, quas exinde duxiſſe creditur Xenophon. Poteſt tamen fieri ut is ex Platonis ſermonibus cum diſcipulis habitis cognitam Platonis opinionem habuerit, ſi eam omnino Xenophontem reſpexiſſe credideris ; quod facere nos quid cogit ? Alter Platonis locus, quem Camerarius in animo habuit, non exſtat in libro IX. Legum ; nec eum diutius quærere vacabat placebatve, quoniam vir doctus eo minus confidebat. Arripuit tamen annotationis Camerarii non nominati partem poſteriorem tantum Zeune, et poſuit ad h. l. *Araſpæ tribuitur ſententia Socratis, qui apud Platonem libro IX. Legum ait non eſſe pauciores animas duabus bonam unam, alteram malam. Hac re, opinor, voluit Philoſophus ſignificari, ex improbo homine fieri poſſe bonum et contra. Id quod negabant tum Sophiſtæ, ſed perperam ; quemadmodum exempla Themiſtoclis, Polemonis et Critiæ Alcibiadiſque in utramque partem comprobant.* Quæ cum Weiſke ſola ante oculos haberet, non mirum eſt eum fruſtra in auctoritate Platonis allata a Zeunio argutari.

πράττεται] Edd. pr. et Philel. πράττει. deinde ἐπιχειρῆται Guelf.

42. ᾖς] Edd. pr. et Altorf. εἶ. deinde ὡς ἂν αὐτῷ inepte Altorf.

οὕτω τε ἐξάγγελλε, ὡς ἂν αὐτοῖς τὰ παρὰ σοῦ λεγόμενα
ἐμποδὼν μάλιστ᾽ ἂν εἴη, ὧν βούλονται πράττειν. Εἴη
δ᾽ ἂν ἐμποδὼν, εἰ ἡμᾶς φαίης παρασκευάζεσθαι ἐμ-
βαλεῖν που τῆς ἐκείνων χώρας· ταῦτα γὰρ ἀκούοντες,
ἧττον ἂν παντὶ σθένει ἀθροίζοιντο, ἕκαστός τις φοβού-
μενος καὶ περὶ τῶν οἴκοι. Καὶ μένε, ἔφη, παρ᾽ ἐκείνοις 43
ὁτιπλεῖστον χρόνον· ἃ γὰρ ἂν ποιῶσιν, ὅταν ἐγγύτατα
ἡμῶν ὦσι, ταῦτα μάλιστα καιρὸς ἡμῖν εἰδέναι ἔσται.
Συμβούλευε δ᾽ αὐτοῖς καὶ ἐκτάττεσθαι, ὅπῃ ἂν δοκῇ
κράτιστον εἶναι· ὅταν γὰρ σὺ ἀπέλθῃς, εἰδέναι δοκῶν τὴν
τάξιν αὐτῶν, ἀναγκαῖον οὕτω τετάχθαι αὐτοῖς· μετα-
τάττεσθαι γὰρ ὀκνήσουσι· καὶ ἤν πῃ ἄλλῃ μετατάττων-
ται, ἐξ ὑπογύου ταράξονται. Ἀράσπας μὲν δὴ οὕτως 44
ἐξελθὼν, καὶ συλλαβὼν τοὺς πιστοτάτους θεράποντας,
καὶ εἰπὼν πρός τινας, οἷα ᾤετο συμφέρειν τῷ πράγματι
ᾤχετο.

Ἡ δὲ Πάνθεια, ὡς ᾔσθετο οἰχόμενον τὸν Ἀράσπαν, 45
πέμψασα πρὸς τὸν Κῦρον εἶπε· Μὴ λυποῦ, ὦ Κῦρε, ὅτι
Ἀράσπας οἴχεται εἰς τοὺς πολεμίους· ἐὰν γὰρ ἐμὲ ἐάσῃς
πέμψαι πρὸς τὸν ἐμὸν ἄνδρα, ἐγώ σοι ἀναδέχομαι, ἥξειν
πολὺ Ἀράσπου πιστότερόν σοι φίλον· καὶ δύναμιν δ᾽
οἶδ᾽ ὅτι, ὁπόσην ἂν δύνηται, ἔχων παρέσται σοι. Καὶ
γὰρ ὁ μὲν πατὴρ τοῦ νῦν βασιλεύοντος φίλος ἦν αὐτῷ· ὁ

Abradatas arcessitur a Panthea.

ἀθροίζοιντο] Guelf. a prima manu ἀθροίζοιτο scriptum habet.

43. μάλιστα καιρὸς] Ita Guelf. ἡμῖν καιρὸς ante Zeunium.

αὐτοῖς· μετατάσσεσθαι γὰρ] Hæc tria verba Guelf. in margine adscripta habet. deinde Muretus ex libris veteribus laudat lectionem: ἤν δέ πη καὶ ἄλλῃ quam præfero. Pro ὀκνήσουσι Guelf. ὀκνήσωσι habet.

44. καὶ συλλαβὼν] Copulam ex Guelf. addidit Zeune. deinde ἃ ᾤετο Philel. et Guelf. idem liber ξυμφέρειν.

45. ἐὰν γὰρ] Guelf. ἢν γὰρ—εἰς τὸν ἐμόν: deinde cum Philelpho σοι omittit.

δ᾽ οἶδ᾽ ὅτι] Edd. pr. οἶδ᾽ ὅτι omittunt, quæ verba ex Philel. inseruit Steph. addicente Guelf. et Altorf. libro.

δύνηται] Guelf. δύναιτο—ὁ πατήρ. deinde βασιλεὺς ὢν Juntina, βασιλέων Aldina. quod vitium admonitu Brodæi correxit Stephanus. βασιλεὺς corrector Guelf. adscripsit pro βασιλεύων.

δὲ νῦν βασιλεύων καὶ ἐπεχείρησέ ποτε ἐμὲ καὶ τὸν ἄνδρα
διασπάσαι ἀπ᾽ ἀλλήλων· ὑβριστὴν οὖν νομίζων αὐτὸν,
εὖ οἶδ᾽, ὅτι ἄσμενος ἂν πρὸς ἄνδρα, οἷος σὺ εἶ, ἀπαλλα-
46 γείη. Ἀκούσας ταῦτα ὁ Κῦρος κελεύει πέμπειν πρὸς
τὸν ἄνδρα· ἡ δ᾽ ἔπεμψεν. Ὡς δ᾽ ἔγνω ὁ Ἀβραδάτας
τὰ παρὰ τῆς γυναικὸς σύμβολα, καὶ τἄλλα δὲ ᾔσθετο
ὡς εἶχεν, ἄσμενος πορεύεται πρὸς τὸν Κῦρον, ἵππους ἔχων
ἀμφὶ τοὺς δισχιλίους. Ὡς δ᾽ ἦν πρὸς τοῖς τῶν Περσῶν
σκοποῖς, πέμπει πρὸς τὸν Κῦρον, εἰπὼν, ὃς ἦν. Ὁ δὲ
Κῦρος εὐθὺς ἄγειν κελεύει αὐτὸν πρὸς τὴν γυναῖκα.
47 Ὡς δ᾽ ἰδέτην ἀλλήλους ἡ γυνὴ καὶ ὁ Ἀβραδάτας,
ἠσπάσαντο ἀλλήλους ὡς εἰκὸς ἐκ δυσελπίστων. Ἐκ
τούτου δὴ λέγει ἡ Πάνθεια τοῦ Κύρου τὴν ὁσιότητα καὶ
τὴν σωφροσύνην, καὶ τὴν πρὸς αὐτὴν κατοίκτισιν. Ὁ δὲ
Ἀβραδάτας ἀκούσας εἶπε· Τί ἂν οὖν ἐγὼ ποιῶν, ὦ
Πάνθεια, χάριν Κύρῳ ὑπέρ τε σοῦ καὶ ἐμαυτοῦ ἀπο-
διδοίην; Τί δὲ ἄλλο, ἔφη ἡ Πάνθεια, ἢ πειρώμενος
ὅμοιος περὶ ἐκεῖνον εἶναι, οἷός περ καὶ ἐκεῖνος περί σε;

καὶ ἐπεχείρησε] Copula incommoda huic loco eſt, quod vidit etiam Weiſke, αὐτὸς addens, ut Araſpas reſpiciatur. Sequens αὐτὸν omiſit Altorfinus.

εὖ οἶδ᾽, ὅτι] Ex Philelpho et Guelf. εὖ addidit Zeune: ſequens ἄσμενος pro ἀσμένως idem liber dedit: cum Altorfino deinde male σὺ omittens, ἀπαλλαγήσεται præbet.

46. κελεύει] Philel. et Guelf. ἐκέλευε. Formam nominis Abradatæ dedit ex Guelf. et Zonara Zeune pro vulgari Ἁβραδάτης.

ὡς εἶχεν] Altorf. καὶ ὡς εἶχεν. deinde articulum ante nomen Cyri ex Guelf. Zonara, Altorf. adjecit Zeune. Numerum equitum, quos ſecum adduxit Abradatas, cum Edd. Bryl. Caſtal. Philel. margine Steph. et Guelf. τοὺς χιλίους poſuit Zeune argumento uſus curruum centum, quos infra ſect. 50. et capitis 2. ſect. 7. Abradatas ex equitatu ſuo comparaſſe dicitur.

τοῖς τῶν] Articulus a Stephano adjectus τῶν a Guelf. confirmatur. ἦν poſt ὃς idem liber omiſit: et corrector εὐθὺς poſt ἄγειν inſeruit.

47. ἰδέτην] Edd. pr. ἰδέτοιν. Cum Stephano facit liber Brodæi, Budenſ. Guelf. Zonaras. εἰδέτην Altorf. deinde Juntina et Guelf. αλλήλοιν Budenſis; Altorf. et Zonaras ἀλλήλω. Sequens Ἀβραδάτας pro Ἀβραδάτης ſolus Zonaras dedit, qui ἠσπάζοντο cum Guelf. præfert. Verum ſtatim rectam nominis Abradatæ formam obtulit Guelf.

δυσελπίστων] Hoc ex Guelf. et Zonara pro ſingulari dedit Zeune.

ἀποδιδοίην] Ex Guelf. ἀποδοίην prætulit Zeune: idem liber deinde ἄλλο, φησίν. Altorf. ὑπὲρ σοῦ καὶ ὑπὲρ ἐμοῦ.

ὅμοιος] Ex margine Steph. et Guelf. πειρώμενος εἶναι περὶ ἐκεῖνον, οἷόσπερ ἐκ.

Ἐκ τούτου δὴ ἔρχεται πρὸς τὸν Κῦρον ὁ Ἀβραδάτας· 48
καὶ ὡς εἶδεν αὐτὸν, λαβόμενος τῆς δεξιᾶς αὐτοῦ εἶπεν·
Ἀνθ' ὧν σὺ εὖ πεποίηκας ἡμᾶς, ὦ Κῦρε, οὐκ ἔχω, τι
μεῖζον εἴπω, ἢ ὅτι φίλον σοι ἐμαυτὸν δίδωμι καὶ θερά-
ποντα καὶ σύμμαχον· καὶ, ὅσα ἂν ὁρῶ σε σπουδάζοντα,
συνεργός σοι πειράσομαι γίγνεσθαι, ὡς ἂν δύνωμαι
κράτιστος. Καὶ ὁ Κῦρος εἶπεν, Ἐγὼ δὲ δέχομαι· καὶ 49
νῦν μέν σε ἀφίημι, ἔφη, σὺν τῇ γυναικὶ δειπνεῖν· αὖθις
δὲ καὶ παρ' ἐμοὶ δεήσει σε σκηνοῦν σὺν τοῖς σοῖς τε καὶ
ἐμοῖς φίλοις.

Abradatas Cyri rem curulem adjuvat.

Ἐκ τούτου ὁρῶν ὁ Ἀβραδάτας σπουδάζοντα τὸν Κῦρον 50
περὶ τὰ δρεπανηφόρα ἅρματα καὶ περὶ τοὺς τεθωρακισ-
μένους ἵππους τε καὶ ἱππέας, ἐπειρᾶτο συντελεῖν αὐτῷ
εἰς τὰ ἑκατὸν ἅρματα ἐκ τοῦ ἱππικοῦ τοῦ ἑαυτοῦ ὅμοια
ἐκείνῳ· αὐτὸς δὲ ὡς ἡγησόμενος αὐτῶν ἐπὶ τοῦ ἅρματος
παρεσκευάζετο. Συνεζεύξατο δὲ τὸ ἑαυτοῦ ἅρμα τετρά- 51
ρυμόν τε καὶ ἐξ ἵππων ὀκτώ. ἡ δὲ Πάνθεια, ἡ γυνὴ αὐ-

περί σε dedit Zeune, ὅμοιος ex gloſſemate natum cenſens. At ſupra ſect. 37. eſt καὶ ταῦτα ὅμοιος εἶ οἷόσπερ καὶ τἄλλα. deinde concinnitatis et numeri ratio melius conſtare videtur in vulgata lectione.

48. Ἀβραδάτας] Hanc formam pro Ἀβραδάτης Guelf. et Zonaras dederunt: deinde τῆς αὐτοῦ δεξιᾶς Zonaras, αὐτοῦ omittit cum Philelpho et Altorf. Guelf. ξύμμαχον poſtea cum Guelf. Zeune. ἀνθ' ὧν εὖ σὺ Altorf.

γίγνεσθαι] Ex Guelf. γενέσθαι recepit Zeune, comparans πειράσομαι προστάξαι ſupra iv. 5, 25. In Guelf. corrector σοι inſeruit omiſſum.

49. Ἐγὼ δὲ] Edd. pr. δὲ omittunt; contra poſt δέχομαι inferciunt τε, quod Stephanus recte omiſit, contra revocavit Zeune. In Guelf. corrector τε addidit.

δεήσει] Edd. pr. δεήσοι. deinde ἐμοῦ φίλοις Altorf.

50. ὅμοια ἐκείνῳ] Breviter dictum pro τοῖς ἐκείνου.

51. τετράρυμόν τε καὶ ἐξ] Præpoſitionem ἐξ cum Philelpho Guelf. omiſit. Male Guelf. a prima manu ſcriptum τετράριθμον habet hic et paulo poſt. Ceterum temones quatuor ita fuiſſe currui aptatos, ut ſinguli cum axe ipſo juxta ſe committerentur, deinceps duo dextrorſum, duo ſiniſtrorſum, ſtatuit Salmaſius in Plinianis Exercitationibus: contra quem operoſe Schefferus de re vehiculari I. 12. docere conatur alium poſt alium temonem fuiſſe aptatum, ut prior jungeretur ad caput poſterioris, et omnes in curru ipſo directi inſtar unius axis recta linea protenderentur. Hanc Schefferi ſententiam impugnat Zeune ad h. l. negans ſe videre, quomodo temones alii poſt alios potuerint aptari, et quomodo quatuor juga equorum alia poſt alia juncta potuerint ab uno auriga regi. Cui occurrit Weiſke ita, ut dubitet, quomodo ſedecim equi cataphracti æqua fronte ad ipſum axem temoni-

του, ἐκ τῶν ἑαυτῆς χρημάτων χρυσοῦν τε αὐτῷ θώρακα ἐποιήσατο καὶ χρυσοῦν κράνος, ὡσαύτως δὲ καὶ περιβραχιόνια· τοὺς δ᾽ ἵππους τοῦ ἅρματος χαλκοῖς πᾶσι προβλήμασι κατεσκευάσατο.

Plaustra cum turribus ædificat Cyrus.

52 Ἀβραδάτας μὲν ταῦτα ἔπραττε. Κῦρος δὲ ἰδὼν τὸ τετράρυμον αὐτοῦ ἅρμα, κατενόησεν, ὡς οἷόν τε εἴη καὶ ὀκτάρυμον ποιήσασθαι, ὥστε ὀκτὼ ζεύγεσι βοῶν ἄγειν τῶν μηχανῶν τὸ κατώτατον οἴκημα· ἦν δὲ τοῦτο τριόρ-

bus aptatis juncti esse potuerint: requiri enim axem infinitæ longitudinis. Neque minus difficile fuisse, sedecim equos ita junctos ab uno regi auriga, præsertim in ipso flexu currus. Quare aut binis temonibus quaternos equos ad ipsum axem junctos incessisse putat, ita ut alii quaterni hos antecederent, et sic deinceps per reliqua ζεύγη, aut assentiendum Scheffero censet. Verum suspicor virum doctum cogitasse, hæc cum commentaretur, equos temonibus junctos non tamen jugo quam loris aut funibus, more vecturæ nostræ. Verum more antiquo unus temo atque unum jugum duos equos jungebat. Deinde quadrigas temones duos juxta se positos iisque equos quatuor duobus jugis junctos habuisse docet locus clarissimus Pindari Nemeorum ζ. 137. Quadrigarum autem ad exemplum factos fuisse currus τετραρύμους et ὀκταρύμους res ipsa loquitur.

κατεσκευάσατο] Guelf. cum Buden. G κατεσκευάζετο.

52. τὸ κατώτατον] Equidem mirabar superiora tabulata non item vecta dici, causamque suspicabar esse eam, quod machinæ super inferiore tabulato exstruerentur postea quam in locum esset ventum. At tota turris pluribus tabulatis compacta dicitur deinde οἰκήματα, nec ullibi partium separatim fit mentio, nec ullæ machinæ superstruebantur; sed ipsæ turres corobulo appellantur, etiam infra cap iii. 8, et 28. libri vii. 1, 39. vii. 5, 52. Video etiam Weiskium hæsisse in hoc loco. Sed is alias dubitationis causas habuit. Nam cur τὸ κατώτατον οἴκημα tantum commemoretur, per se esse clarum ait. Cum enim tota turris propter magnitudinem currui non posset imponi, tantum infimum ejus tabulatum, quod alias ex singulis partibus coagmentandum esset, (puto in ipso hostilis agminis conspectu et pugnæ procinctu) Cyrum in currum agi voluisse. Superius autem tabulatum, ut angustius et levius inter reliqua impedimenta sequi potuisse. Verum ut dixi, turris ipsa tota, partibus omnibus bene coagmentatis, curri imposita agebatur, nec ullæ ejus partes separatæ vehebantur. Quia ipsa ejus inferior pars in modum currus formatus rotisque aptatus agebatur a jugis octo, eaque οἴκημα τὸ κατώτατον dicitur: cui bene aptum, fixum et immobile erat tabulatum superius cum peridromis et loricis, quod bellatores viginti sustinebat. Inferioris tabulati altitudinem, rotis innixi, trium orgyarum indicat Xenophon, latitudinem superioris licebit partim ex adjunctis peridromis et loricis, partim ex usu bellico numeroque viginti bellatorum, denique ex numero temonum axi infixorum juxta se deinceps octo et equorum sedecim his adjunctorum æstimare. Quæ vero dubitavit Weiske, cur ζεύγεσι βοῶν, non ἵππων? brevem habent responsionem et facilem. Equis enim Cyrus ad equitatum augendum maxime utebatur. Deinde etiam illa brevitas Weiskio est suspecta, quod non dicatur, vere tales currus factos esse, sed statim subjiciatur cujus altitudinis fuerint. Haud dubie igitur totum locum esse mancum. Quod mihi non videtur, nec ex brevitate illa extractum ad inep-

γυιον μάλιστα ἀπὸ τῆς γῆς σὺν τοῖς τροχοῖς. Τοιοῦτοι 53
δὲ ϖύργοι σὺν τάξει ἀκολουθοῦντες ἐδόκουν αὐτῷ μεγάλη
μὲν ἐπικουρία γενέσθαι τῇ ἑαυτοῦ φάλαγγι, μεγάλη δὲ
βλάβη τῇ τῶν πολεμίων τάξει. Ἐποίησε δὲ ἐπὶ τῶν
οἰκημάτων καὶ περιδρόμους καὶ ἐπάλξεις· ἀνεβίβαζε δὲ
ἐπὶ τῶν πύργων ἕκαστον ἄνδρας εἴκοσιν.

Ἐπεὶ δὲ πάντα συνειστήκει αὐτῷ τὰ περὶ τοὺς πύρ- 54
γους, πεῖραν ἐλάμβανε τοῦ ἀγωγίου· καὶ πολὺ ῥᾷον
ἦγε τὰ ὀκτὼ ζεύγη τὸν πύργον καὶ τοὺς ἐπ' αὐτῷ ἄνδρας,
ἢ τὸ σκευοφορικὸν βάρος ἕκαστον τὸ ζεῦγος. Σκευῶν
μὲν γὰρ βάρος ἀμφὶ τὰ πέντε καὶ εἴκοσι τάλαντα ἦν
ζεύγει· τοῦ δὲ ϖύργου, ὥσπερ τραγικῆς σκηνῆς τῶν ξύ-
λων ϖάχος ἐχόντων, καὶ εἴκοσιν ἀνδρῶν καὶ ὅπλων, τού-
των ἐγένετο ἔλαττον ἢ πεντεκαίδεκα τάλαντα ἑκάστῳ
ζεύγει τὸ ἀγώγιον. Ὡς δ' ἔγνω εὔπορον οὖσαν τὴν 55

tias narrationis longioris Xenophontem compellere placet.

τριόργυιον] Guelf. a prima manu τριώρων habet ſcriptum, Altorf. τριόργυον.

53. σὺν τάξει] Sect. 55. eſt σὺν τῷ στρατεύματι; etiam hic articulum additum malim. deinde μεγάλην μὲν ἐπικουρίαν ϖοιῆσαι Altorf. poſtea τῇ ἑαυτῶν φ. Juntina. denique ἀνεβίβαζεν ἐπὶ τὸν ϖύργον—συνειστήκει Guelf.

54. ἀγωγίου] Margo Steph. cum Bodl. et Guelf. ἐλάμβανε τοῦ ἀγωγίου ϖεῖραν. Etiam Altorf. ἐλ. τοῦ ἀγωγίμου ϖεῖραν. Vulgatum ἀγωγίμου jam olim cum Brodæo Stephanus et Muretus in ἀγωγίου mutari voluerunt propter ſequens ἀγώγιον, quod Suidas interpretatur τὸ ἀγόμενον βάρος ἐπὶ τῆς ἁμάξης. Contra Hutchinſon ſtatuit ſignificationem ἀγωγίμου ab ἀγωγίου non ſolum diverſam, ſed huic etiam loco aptam. τὸ ἀγώγιμον igitur h. l. interpretatur *facilitatem aut difficultatem vecturæ*, quaſi *vectilitatem*, die Bewegbarkeit, dicas. Verum differentiam iſtam, etſi vera ſit, huic loco noſtro non congruere, docet comparatio ponderis impoſiti curribus impedimenta et turres agentibus; unde apparet βάρος eſſe ſynonymum vocabulo ἀγώγιον; nec alteri ἀγώγιμον ullum hic eſſe locum. Zeunii rationes vulgatum ἀγωγίμον defendentis multo ſunt ineptiores. Deinde ῥᾴδιον ἦγε Altorfinus.

ϖέντε καὶ εἴκοσι] Ita cum Philelpho et Guelf. Zeune: Vulgo erat εἴκοσι καὶ π. quod revocavit Weiſke.

ζεύγει· τοῦ δὲ] Vulgarem lectionem ἦν. Ζευγίτου δὲ ϖύργου inepte tuetur Zeune. Verum vertit Philelphus, et ex Editione Eton. dedit cum Hutchinſono Weiſke. Bodl. cum Guelf. ζεύγη· τοῦ δὲ, dat integram lectionem Altorf.

ἐχόντων] Margo Steph. et Guelf. ϖάχους ὄντων—τούτοις ἐγένετο. Edd. pr. Altorf. ϖάχος ὄντων—τούτοις. Philelphus ϖάχος ὀκτὼ vertit. τούτων ex Philelpho et Editione Hutchinſoni recte aſſumſit Zeune. Comparationem cum ſcenæ tragicæ machinamentis intelligere nec interpretari hodie licet in tantis rei ſcenicæ græcæ tenebris.

ἑκάστῳ ζεύγει] Zeune articulum τῷ inſeri volebat, comparans i. 2, 6, ubi ex Stobæo articulum revocaverat ad ἑκάστῃ ἡλικίᾳ.

ἀγωγὴν, παρεσκευάζετο ὡς ἅμα ἄξων τοὺς πύργους σὺν τῷ στρατεύματι· νομίζων τὴν ἐν πολέμῳ πλεονεξίαν ἅμα σωτηρίαν τε καὶ δικαιοσύνην εἶναι καὶ εὐδαιμονίαν.

CAP. II.

Indorum legati mittuntur a Cyro ad Assyrium speculandi causa.

ΗΛΘΟΝ δὲ ἐν τούτῳ τῷ χρόνῳ καὶ παρὰ τοῦ Ἰνδοῦ χρήματα ἄγοντες, καὶ ἀπήγγελλον αὐτῷ, ὅτι ὁ Ἰνδὸς ἐπιστέλλει τοιάδε· Ἐγὼ, ὦ Κῦρε, ἥδομαι, ὅτι μοι ἐπήγγειλας, ὧν ἐδέου· καὶ βούλομαί σοι ξένος εἶναι, καὶ πέμπω σοι χρήματα· κἂν ἄλλων δέῃ, μεταπέμπου. Ἐπέσταλται δὲ τοῖς παρ' ἐμοῦ, ποιεῖν, ὅ τι ἂν σὺ κε-
2 λεύῃς. Ἀκούσας δὲ ὁ Κῦρος εἶπε· Κελεύω τοίνυν ὑμᾶς, τοὺς μὲν ἄλλους μένοντας, ἔνθα κατεσκηνώκατε, φυλάττειν τὰ χρήματα, καὶ ζῆν, ὅπως ὑμῖν ἥδιστόν ἐστι· τρεῖς δέ μοι ἐλθόντες ὑμῶν εἰς τοὺς πολεμίους, ὡς παρὰ τοῦ Ἰνδοῦ περὶ συμμαχίας, καὶ τὰ ἐκεῖ μαθόντες, ὅ τι ἂν λέγωσί τε καὶ ποιῶσιν, ὡς τάχιστα ἀπαγγείλατε ἐμοί τε καὶ τῷ Ἰνδῷ· κἂν ταῦτά μοι καλῶς ὑπηρετήσητε, ἔτι μᾶλλον ὑμῖν χάριν εἴσομαι τούτου, ἢ ὅτι χρήματα πάρεστε ἄγοντες. Καὶ γὰρ οἱ μὲν δούλοις ἐοικότες κατάσκοποι οὐδὲν ἄλλο δύνανται εἰδότες ἀπαγγέλλειν, ἢ ὅσα πάντες ἴσασιν· οἱ δὲ τοιοῦτοι, οἷοί περ ὑμεῖς, ἄνδρες πολ-

55. ἀγωγὴν] Rationem curruum turritorum promovendorum. deinde Guelf. ὡς ἄξων τοὺς ἵππους σὺν τῷ στρατεύματι. in margine ἅμα adjectum est, quod nemo desideraret. postea vulgarem ordinem σωτηρίαν τε εἶναι καὶ δικ. ex Guelf. mutavit Zeune.

1. ἀπήγγελλον] Ex Guelf. ἀπήγγειλαν dedit Zeune propter præcedens ἦλθον: idem liber ἥδομαι ὧν ἐδέου ὅτι ἀπήγγειλας καὶ βούλομαί σοι ξένος. sed corrector ὅτι μοι ὧν ἐδέου fecit. Zonaras ἥδομαι, ὦ Κῦρε, ὅτι μοι περὶ ὧν ἐδέου ἐδήλωσας. Etiam Philel. σοι pro vulgari σου ξένος vertit, et habet Altorf. De legatis vide supra iii. 3, 27. seqq.

ἐπέσταλται] Zonaras ἐντέταλται— ἃ ἂν σὺ κελεύῃς.

2. Ἀκούσας δὲ] Juntina et Altorf. δὲ omittunt. deinde κατεσκηνώσατε Zonaras. sequens ἐστὶν omissum a Philel. et Guelf. seclusit Zeune, et stellula apposita damnant Edd. Leoncl. Steph.

ποιῶσιν] Guelf. ἐς τοὺς πολεμίους— ποιήσωσι,—καὶ ταῦτά μοι καλῶς ὑπηρετήσατε. sed corrector ἂν inseruit et ὑπηρετήσητε emendavit.

λάκις καὶ τὰ βουλευόμενα καταμανθάνουσιν. Οἱ μὲν 3
δὴ Ἰνδοὶ, ἀκούσαντες ἡδέως, καὶ ξενισθέντες τότε παρὰ
Κύρῳ, συσκευασάμενοι τῇ ὑστεραίᾳ ἐπορεύοντο, ὑπο-
σχόμενοι, ἦ μὴν καταμαθόντες, ὅσα ἂν δύνωνται πλεῖ-
στα, ἐκ τῶν πολεμίων ἥξειν ὡς δυνατὸν τάχιστα.

Ὁ δὲ Κῦρος τά τε ἄλλα πρὸς τὸν πόλεμον παρε- 4
σκευάζετο μεγαλοπρεπῶς, ὡς δὴ ἀνὴρ οὐδὲν σμικρὸν
ἐπινοῶν πράττειν· ἐπεμελεῖτο δὲ οὐ μόνον, ὧν ἔδοξε τοῖς
συμμάχοις, ἀλλὰ καὶ ἔριν ἐνέβαλλε πρὸς ἀλλήλους τοῖς
φίλοις, ὅπως αὐτοὶ ἕκαστοι φανοῦνται καὶ εὐοπλότατοι
καὶ ἱππικώτατοι καὶ ἀκοντιστικώτατοι καὶ τοξικώτατοι
καὶ φιλοπονώτατοι. Ταῦτα δὲ ἐξειργάζετο ἐπί τε τὰς 5
θήρας ἐξάγων, καὶ τιμῶν τοὺς κρατίστους ἑκασταχῇ·
καὶ τοὺς ἄρχοντας δὲ, οὓς ἑώρα ἐπιμελουμένους τούτου,
ὅπως οἱ αὐτῶν κράτιστοι ἔσονται στρατιῶται, καὶ τούτους
ἐπαινῶν τε παρώξυνε, καὶ χαριζόμενος αὐτοῖς, ὅ τι δύ-
ναιτο. Εἰ δέ ποτε θυσίαν ποιοῖτο καὶ ἑορτὴν ἄγοι, καὶ 6
ἐν ταύτῃ, ὅσα πολέμου ἕνεκα μελετῶσιν οἱ ἄνθρωποι,

Cyri studium in apparando bello et exercendis militibus.

τὰ βουλευόμενα] Hoc ex margine Steph. et Guelf. pro βουλεύματα dedit Zeune. In Guelf. τοιοῦτοι in margine suppletum est; et pro οἷοί περ Edd. pr. οἵπερ, quod vitium correxit Brodæus. Ad vocabulum τοιοῦτοι ita commentatur Weiske: *Facile patet Cyrum hac laude gratiam eorum aucupari: nondum enim eorum prudentiam perspectam habere poterat.* Nec de prudentia Indorum dicere nec eorum gratiam falsa laude stolide voluit aucupari. Vere dicitur legatus publice ad hostem missus et in castris ejus versatus magis idoneus esse ad explorandum hostilis exercitus statum atque adeo ad imperatoris consilia indaganda, quam speculator vulgaris sub servi persona latens.

3. μὲν δὴ] Guelf. δὴ omisso, cum Philelpho dat ἡδέως ἀκούσαντες: deinde μαθόντες simplex.

ὡς δυνατὸν] Juntina, margo Steph. et Altorf. ὡς ἂν δυνατόν.

4. πρὸς τὸν πόλεμον] Guelf. εἰς τὸν π.—ὥστε ἀνήρ. supra scripto ὡς δή.

σμικρὸν ἐπινοῶν] Priorem formam pro μικρὸν Guelf. dedit; sed idem liber ὑπονοῶν pejus cum Bodl. et Edd. pr. habet: rectum e libro Gabr. cum quo Altorf. dedit Stephanus.

εὐοπλότατοι] Junt. Ald. Guelf. εὐοπλώτατοι. deinde verba καὶ ἀκοντ. καὶ τοξικ. in Edd. pr. et versione Gabr. omissa addi jussit e libris suis Brodæus.

5. Ταῦτα δὲ] Guelf. δὲ et sequens τε omisit: deinde ἕκαστα a prima manu habet, postea ἐπιμελομένους. Philelphus ineptum θύρας pro θήρας vertit.

οἱ αὐτῶν] Ita cum Stephano Philelphus οἱ αὐτοῦ Edd. pr. οἱ αὐτοὶ Guelf.

6. μελετῶσιν] Altorf. πολεμῶσιν. Articulum οἱ Guelf. omittit.

πάντων τούτων ἀγῶνας ἐποίει, καὶ ἆθλα τοῖς νικῶσι μεγαλοπρεπῶς ἐδίδου, καὶ ἦν πολλὴ εὐθυμία ἐν τῷ στρατεύματι.

7 Τῷ δὲ Κύρῳ σχεδόν τι ἤδη ἀποτετελεσμένα ἦν, ὁπόσα ἐβούλετο ἔχων στρατεύεσθαι, πλὴν τῶν μηχανῶν. Καὶ γὰρ οἱ Πέρσαι ἱππεῖς ἔκπλεῳ ἤδη ἦσαν εἰς τοὺς μυρίους· καὶ τὰ ἅρματα τὰ δρεπανηφόρα, ἅ τε αὐτὸς κατεσκεύασεν, ἔκπλεα ἤδη ἦν εἰς τὰ ἑκατόν· ἅ τε Ἀβραδάτας ὁ Σούσιος ἐπεχείρησε κατασκευάζειν ὅμοια τοῖς Κύρου, καὶ
8 ταῦτα ἔκπλεα ἦν εἰς ἄλλα ἑκατόν. Καὶ τὰ Μηδικὰ δὲ ἅρματα ἐπεπείκει Κῦρος Κυαξάρην εἰς τὸν αὐτὸν τρόπον τοῦτον μετασκευάσαι ἐκ τῆς Τρωϊκῆς καὶ Λιβυκῆς διφρείας· καὶ ἔκπλεα καὶ ταῦτα ἦν εἰς ἄλλα ἑκατόν. Καὶ ἐπὶ τὰς καμήλους δὲ ἐκτεταγμένοι ἦσαν ἄνδρες δύο ἐφ᾽ ἑκάστην τοξόται. Καὶ ὁ μὲν πλεῖστος στρατὸς οὕτως εἶχε τὴν γνώμην, ὡς ἤδη παντελῶς κεκρατηκὼς, καὶ οὐδὲν ὄντα τὰ τῶν πολεμίων.

Indorum narratio de hostium copiis perturbat milites Cyri.

9 Ἐπεὶ δὲ οὕτω διακειμένων ἦλθον οἱ Ἰνδοὶ ἐκ τῶν πολεμίων, οὓς ἐπεπόμφει Κῦρος ἐπὶ κατασκοπῇ, καὶ ἔλεγον, ὅτι Κροῖσος μὲν ἡγεμὼν καὶ στρατηγὸς πάντων ᾑρημένος εἴη τῶν πολεμίων, δεδογμένον δ᾽ εἴη πᾶσι τοῖς συμμάχοις βασιλεῦσι, πάσῃ τῇ δυνάμει ἕκαστον παρεῖναι, χρήματα δὲ εἰσφέρειν πάμπολλα, ταῦτα δὲ τελεῖν

7. ὁπόσα] Guelf. ὅσα—κατεσκεύαζεν. deinceps ἔκπλεῳ pro ἔκπλεα, quod posteriore loco intactum reliquit, priore dedit Castalio.

ἅ τε] Guelf. ὅτε. formam Ἀβραδάτας ex Philel. et Zonara assumsit Zeune.

8. Κυαξάρην] Guelf. Κυαξάρη. sequens τοῦτον in Edd. pr. omissum cum Stephano addit Guelf. et Altorf. postea Λυβικῆς Guelf. Est διφρεία Libyca, quæ supra Cyrenaica vocata fuit.

ἐκτεταγμένοι] Guelf. cum Altorf. et Zonara τεταγμένοι. Sed supra etiam cap. i. sect. 43. ἐκτάττεσθαι est pro simplice forma.

9. οὕτω διακειμένων] Male Zonaras interpretatur: οὕτω δὲ διατιθεμένων τῷ Κύρῳ τῶν τοῦ πολέμου.

κατασκοπῇ] Margo Steph. Guelf. et Altorf. κατασκοπήν. Sed altera forma est etiam in Historia Gr. i. 4, 5. ubi tamen margo Steph. κατασκοπὴν refert.

ᾑρημένος εἴη] Guelf. ἐστί. articulum τῇ post πάσῃ ex eodem inseruit Zeune.

καὶ μισθουμένους, οὓς δύναιντο, καὶ δωρουμένους, οἷς
δέοι· ἤδη δὲ καὶ μεμισθωμένους εἶναι πολλοὺς μὲν Θρᾳ- 10
κῶν μαχαιροφόρους, Αἰγυπτίους δὲ προσπλεῖν· καὶ
ἀριθμὸν ἔλεγον εἰς δώδεκα μυριάδας σὺν ἀσπίσι ποδή-
ρεσι, καὶ δόρασι μεγάλοις, (οἷά περ καὶ νῦν ἔχουσι)
καὶ κοπίσι· προσπλεῖν δὲ καὶ Κυπρίων στράτευμα [ἔτι],
παρεῖναι δὲ ἤδη καὶ Κίλικας πάντας καὶ Φρύγας ἀμ-
φοτέρους, καὶ Λυκάονας καὶ Παφλαγόνας καὶ Καππα-
δόκας καὶ Ἀραβίους καὶ Φοίνικας, καὶ σὺν τῷ Βαβυλῶ-
νος ἄρχοντι τοὺς Ἀσσυρίους· καὶ Ἴωνας δὲ καὶ Αἰολέας,
καὶ σχεδὸν πάντας τοὺς Ἕλληνας, τοὺς ἐν τῇ Ἀσίᾳ
ἐποικοῦντας, σὺν Κροίσῳ ἠναγκάσθαι ἕπεσθαι· πεπομ- 11
φέναι δὲ Κροῖσον καὶ εἰς Λακεδαίμονα περὶ συμμαχίας·
συλλέγεσθαι δὲ τὸ στράτευμα ἀμφὶ τὸν Πακτωλὸν πο-
ταμὸν, προϊέναι δὲ μέλλειν αὐτοὺς εἰς Θύμβραρα, (ἔνθα
καὶ νῦν ὁ σύλλογος τῶν ὑπὸ βασιλέα βαρβάρων τῶν
κάτω Συρίας) καὶ ἀγορὰν πᾶσι παρηγγέλθαι ἐνταῦθα

10. μαχαιροφόρους] Iifdem armis inftructos habet Thucydides libro ii. ἀκοντίοις alii pugnabant, uti nofter Memor. iii. 9, 1. narrat. Crœfi cum Amafi Ægyptiorum et Labyneto Affyriorum rege initam focietatem belli adverfus Cyrum narrat Herodotus i. 77. qui cap. 26. Græcos Afiam incolentes a Crœfo victos teftatur, et cap. 69. 77. et 82. belli focietatem a Crœfo cum Lacedæmoniis initam refert.

ἀσπίσι ποδήρεσι] Articulum vulgo interfertum cum Guelf. omifi: deinde προσέτι δὲ καὶ Κυπρίων στράτευμα omiffo ἔτι; fed corrector προσέτι in προσπλεῖν mutavit. Etiam margo Steph. προσέτι, et Juntina cum Altorf. ἔτι omifit. Igitur fecluſi, σὺν ποδήρεσι καὶ ξυλίναις ἀσπίσι de iifdem Ægyptiis eft in Anabafi i. 8, 9. quem locum exfcripfit Suidas in voc. γέῤῥον.

ἤδη καὶ] Copulam omittit Guelf. deinde καὶ Ἀῤῥαβίους—Ἴωνας.

ἐποικοῦντας] Guelf. κατοικοῦντας. fed ἔποικοι funt coloni incolis adjuncti; hi ἐποικεῖν dicuntur, non κατοικεῖν.

11. προϊέναι] Altorf. προῖναι. deinde Θύβραρα, poftea ἔνθα νῦν omiffo καί. Edd. pr. μέλλει—Θύβαῤῥα. fed μέλλειν admonitu Brodæi dedit Caftalio. Θυμβρίᾳ Guelf. margo Steph. refert Θύμβαῤῥα, Θυμβράϊα, Θυμβραΐαν (ita Philelphus vertit) et Θυμβραΐδα, quod ex libris fuis Brodæus annotavit. Margo Leoncl. addit Θύμβριον, quod nomen legitur Anabaf. i. 2, 13. Cum Gabriele noftrum probavit Zeune. Stephanus enim Byz. Θύμβραρα πόλις Ἀσίας τῷ Πακτωλῷ συνεχὴς ὡς Ξενοφῶν. Infra vii. 1, 45. Edd. pr. Θυριβάροις dabant, fed Θυμβράροις optimi Codices præferunt.

τῶν κάτω Συρίας] Ex libri Budenfis τῆς κάτω Ἀσίας Leonclavius efficiebat τῆς κ. Συρίας quod recepit Welfiana Editio.

κομίζειν· σχεδὸν δὲ τούτοις ταὐτὰ ἔλεγον καὶ οἱ αἰχμάλωτοι· ἐπεμελεῖτο γὰρ καὶ τούτου ὁ Κῦρος, ὅπως ἁλίσκοιντο, παρ' ὧν ἔμελλε πεύσεσθαί τι· ἔπεμπε δὲ καὶ
12 δούλοις ἐοικότας κατασκόπους, ὡς αὐτομόλους. Ὡς οὖν ταῦτα ἤκουσεν ὁ στρατὸς τοῦ Κύρου, ἐν φροντίδι τε ἕκαστος ἐγίγνετο, ὥσπερ εἰκὸς, καὶ ἡσυχαίτεροί τε, ἢ ὡς εἰώθεσαν, διεφοίτων, φαιδροί τε οἱ πολλοὶ οὐ πάνυ ἐφαίνοντο· ἐκυκλοῦντό τε, καὶ μεστὰ ἦν πάντα ἀλλήλους ἐρωτώντων καὶ διαλεγομένων περὶ τούτων.

13 Ὡς δὲ ᾔσθετο ὁ Κῦρος φόβον διαθέοντα ἐν τῇ στρατιᾷ, συγκαλεῖ τούς τε ἄρχοντας τῶν στρατευμάτων, καὶ πάντας, ὁπόσων ἀθυμούντων ἐδόκει τις βλάβη γίγνεσθαι, καὶ προθυμουμένων ὠφέλεια. Προεῖπε δὲ τοῖς ὑπηρέταις, καὶ ἄλλος εἴ τις βούλοιτο τῶν ὁπλοφόρων προσίστασθαι ἀκουσόμενος τῶν λόγων, μὴ κωλύειν. Ἐπεὶ δὲ συνῆλθον, ἔλεξε τοιάδε.

Metum Persarum sedant conciones Cyri et Chrysantæ.

14 Ἄνδρες σύμμαχοι, ἐγώ τοι ὑμᾶς συνεκάλεσα, ἰδών τινας ὑμῶν, ἐπεὶ αἱ ἀγγελίαι ἦλθον ἐκ τῶν πολεμίων, πάνυ ἐοικότας πεφοβημένοις ἀνθρώποις. Δοκεῖ γάρ μοι θαυμαστὸν εἶναι, εἴ τις ὑμῶν, ὅτι μὲν οἱ πολέμιοι

τούτοις ταὐτὰ] Altorf. ταὐτὰ τούτοις—ἁλίσκοιντο, ὧν ἔμελλε πεύσεσθαί τι.

γὰρ καὶ τούτου] Recte ex Philelphi, Brodæi libro, Guelf. et Altorf. verba καὶ τούτου addidit Zeune, male iterum omisit Weiske. Ita enim ii. 4, 13. ἐγὼ γὰρ καὶ τούτου οὐκ ἠμέλουν. deinceps παρὰ ante ὧν omittit Altorf.

12. ταῦτα ἤκουσεν] Hoc ordine Guelf. ante Zeunium ἤκουσε ταῦτα: deinde ὁ στρατὸς, τῷ Κύρῳ ἐν φρ. ἐγένετο—φαιδροί τε οὐ πάνυ ἐφαίνοντο. Etiam Philelphus verba τε ἕκαστος et οἱ πολλοὶ omisit, et deinde cum Zonara ἐγένετο legit: ex eodem et Guelf. καὶ ante ἡσυχαίτεροι fuit additum, et vulgare εἰώθασι correctum. Altorf. ἡσυχαίτερόν τε ἢ ὡς εἰώθεσαν.

ἐκυκλοῦντο] Male ἐλυποῦντο Philelphus, margo Steph. Guelf.

διαλεγ. περὶ τούτων] Hoc ordine, sed περὶ πάντων, habet Philel. Brod. Guelf. vulgo διαλεγομένων postremum occupat locum.

13. τις βλάβη] Hoc ordine Guelf. pro βλάβη ἐδόκει τις. Pro τις in Juntina τισὶ est.

προσίστασθαι] Ita Bodl. et margo Steph. quod *adesse* vertit Philelphus, et verum videbatur Dorvillio ad Charitonem p. 144. mihique unice probatur. Vulgatum προΐστασθαι cum Moro defendit Zeune et Weiske. Est in circulo exteriore adsistere concioni.

14. σύμμαχοι] Guelf. ξύμμαχοι ἐγὼ τοίνυν. deinde συνέλεξα Juntina cum Altorf.

λέγονται συλλέγεσθαι, δέδοικεν· ὅτι δὲ ἡμεῖς πολὺ μὲν
πλείους συνειλέγμεθα νῦν, ἢ ὅτε ἐνικῶμεν ἐκείνους, πολὺ
δὲ ἄμεινον σὺν θεῷ παρεσκευάσμεθα νῦν, ἢ πρόσθεν,
ταῦτα δὴ ὁρῶντες οὐ θαῤῥεῖτε. Ὦ πρὸς θεῶν, ἔφη, τί 15
δῆτ' ἂν ἐποιήσατε οἱ νῦν δεδοικότες, εἰ ἤγγελλόν τινες τὰ
παρ' ἡμῖν νῦν ὄντα, ταῦτα ἀντίπαλα ἡμῖν προσιόντα;
καὶ πρῶτον μὲν ἠκούετε, ἔφη, ὅτι οἱ πρόσθεν νικήσαντες
ἡμᾶς οὗτοι πάλιν ἔρχονται, ἔχοντες ἐν ταῖς ψυχαῖς, ἣν
ποτε νίκην ἐκτήσαντο· ἔπειτα δὲ, οἱ τότε ἐκκόψαντες τῶν
τοξοτῶν καὶ ἀκοντιστῶν τὰς ἀκροβολίσεις, νῦν οὗτοι ἔρ-
χονται, καὶ ἄλλοι ὅμοιοι τούτοις πολλαπλάσιοι· ἔπειτα 16

λέγονται συλλέγεσθαι] Inverſo ordine hæc Altorf. συλλέγονται Philel. et libri Brodæi cum margine Steph.

πολὺ μὲν] In Guelf. πολλὺ in raſura ſcriptum, ubi antea πολλῷ fuiſſe videtur. μὲν corrector inſeruit omiſſum.

σὺν θεῷ] Margo Steph. et Guelf. σὺν θεοῖς. deinde Juntina παρεσκευασάμεθα.

ταῦτα δὴ] Ita Weiſke cum Leonclavii poſtrema Editione pro ταῦτα δὲ cum ſigno interrogationis poſt θαῤῥεῖτε dedit, quod rectius omittitur.

15. παρ' ἡμῖν] Guelf. παρ' ὑμῖν— ἔφη, οἱ πρότεροι νικήσαντες ὑμᾶς, οὗτοι. ſed corrector poſt ἔφη inſeruit ὅτι et emendavit οἱ πρότερον—ἡμᾶς.

ἣν ποτε νίκην] Juntina τὴν τότε νίκην ἣν ἐκτήσαντο. Caſtalio καὶ τὴν τότε νίκην ἣν ἐκτ. omiſſis ſcilicet verbis ἐν ταῖς ψυχαῖς. Altorf. ἔχοντες ἐν ταῖς ψυχαῖς ἣν τότε νίκην ἐκτήσαντο.

ἀκροβολίσεις] Philelphi, marginis Steph. et Guelf. ἀκροπόλεις recepit Zeune, vallum caſtrorum a Cyro captorum interpretatus, quia verbum ἐκκόπτειν velitationibus convenire non videbatur. Durum verbum etiam Weiſkio viſum, ἀκροβολίσεις tamen reſtituenti et defendenti. In Hellenicorum vii. 4, 26. eſt ἐκκόπτουσι καὶ τοὺς ἐπὶ τὸν γήλοφον πεφευγότας. et ſect. 32. ἐκκόπτειν τὰ σκηνώματα. Poterat igitur de vallo hoſtium capto bene dici: non item de velitationibus. At durum et inſolens caſtra ἀκροπόλεις vocare: et deinde verba addita τῶν τοξοτῶν καὶ ἀκοντιστῶν bene junguntur vocabulo ἀκροβολίσεις; at vero vocabulo ἀκροπόλεις ſociata ſunt plane otioſa, itaque inepta. Contra poſt victoriam memorare adhuc velitationes hoſtium coercitas, ſcriptoris eſt ordinem rerum inepte turbantis et orationis gradatim increſcentis vim ignorantis. Denique membri hujus cum priore comparati nulla eſt concinnitas in apodoſi: contra inepte repetuntur verba οὗτοι ἔρχονται, poſt quæ merito expectes ea, quæ opponantur prioribus. Inepte etiam duæ deinceps periodi exordiuntur ab ἔπειτα, cum ſtudioſe Xenophon orationem variare et lectoris tædio occurrere ſoleat. Ut breviter dicam, ſunt hæc manca et a grammatico turpiter interpolata, poſtquam e loco ſuo mota vitia plura contraxerant. Judicent peritiores, an hæc ita cum prioribus juncta melius coire videantur! ἣν ποτε νίκην ἐκτήσαντο ἐκκόψαντες τῶν τοξοτῶν καὶ ἀκοντιστῶν τὰς ἀκροβολίσεις, καὶ ἄλλοι ὅμοιοι τούτοις πολλαπλάσιοι. Scilicet articulum οἱ ante ἄλλοι ex Stephaniana poſteriore cum Hutchinſono repetierunt viri docti, quem libri reliqui omnes rectius omittunt; Altorfinus vero ἄλλοι neglexit.

δὲ ὥσπερ οὗτοι ὁπλισάμενοι τοὺς πεζοὺς τότε ἐνίκων, νῦν
οὕτω καὶ οἱ ἱππεῖς αὐτῶν παρεσκευασμένοι πρὸς τοὺς
ἱππέας προσέρχονται· καὶ τὰ μὲν τόξα καὶ ἀκόντια
ἀποδεδοκιμάκασι, παλτὸν δὲ ἓν ἰσχυρὸν ἕκαστος λαβὼν,
προσελαύνειν διανενόηται, ὡς ἐκ χειρὸς τὴν μάχην ποιησό-
17 μενος· ἔτι δὲ ἅρματα ἔρχεται, ἃ οὐχ οὕτως ἑστήξεται
ὥσπερ πρόσθεν ἀποστραφέντα ὥσπερ εἰς φυγὴν, ἀλλ'
οἵ τε ἵπποι εἰσὶ κατατεθωρακισμένοι οἱ ἐν τοῖς ἅρμασιν,
οἵ τε ἡνίοχοι ἐν πύργοις ἑστᾶσι ξυλίνοις, τὰ ὑπερέχοντα
ἅπαντα συνεστεγασμένοι θώραξι καὶ κράνεσι· δρέπανα
τε σιδηρᾶ περὶ τοῖς ἄξοσι προσήρμοσται, ὡς ἐλῶντες καὶ
18 οὗτοι εὐθὺς εἰς τὰς τάξεις τῶν ἐναντίων· πρὸς δ' ἔτι
κάμηλοί εἰσιν αὐτοῖς, ἐφ' ὧν προσελῶσιν, ὧν μίαν ἑκά-
στην ἑκατὸν ἵπποι οὐκ ἂν ἀνάσχοιντο ἰδόντες· ἔτι δὲ πύρ-
γους ἔχοντες προσίασιν, ἀφ' ὧν τοῖς μὲν αὐτῶν ἀρήξου-
σιν, ἡμᾶς δὲ βάλλοντες κωλύσουσιν ἐν τῷ ἰσοπέδῳ μά-
19 χεσθαι· εἰ δὴ ταῦτα ἤγγελλέ τις ὑμῖν ἐν τοῖς πολε-
μίοις ὄντα, οἱ νῦν φοβούμενοι τί ἂν ἐποιήσατε; ὁπότε

16. παρεσκευασμένοι] Juntina παρασκευασάμενοι, quod præcedenti ὁπλισάμενοι congruit. deinde ἀκοντίδια Budensis et Altorf.

παλτὸν] Guelf. τὸ παλτόν. ex eodem et Philelpho ἰσχυρὸν pro comparativo dedi. Infra est de his ipsis equitibus vii. 1, 2. παλτῷ κρανεΐνῳ ἑνὶ ἕκαστος. In Guelf. ἓν corrector inseruit omissum.

17. ἑστήξεται] Brodæus ἑστήσεται legi maluit.

ἀποστραφέντα] Ex Guelf. ἀπεστραμμένα ὥσπερ dedit Zeune: unde saltem ὥσπερ pro ὡς retinui: antiquam revocavit Weiske. De sensu verborum vide annotata supra ad vi. 1, 30.

οἱ ἐν τοῖς] Articulum οἱ omittunt Edd. pr. et Altorf. addi jussit Brodæus. deinde ὑπάρχοντα Stephanus nescio unde memorat.

περὶ τοῖς] Edd. pr. Altorf. πρός. Cum Stephano facit Bodl. et Guelf. deinde προσήλωται Budensis et Altorf. liber.

ἐλῶντες] Guelf. ἑλόντες, Brodæus ἐλάσαντες (voluit ἐλάσοντες) probabat. De sensu vide ad vi. 1, 30. scripta. Proxima verba δρέπανά τε—προσήρμοσται, quasi parenthesin inseruit Xenophon, subjungens ἐλῶντες—ἐναντίων. quæ cum præcedentibus οἵ τε ἡνίοχοι—κράνεσι tantum amice coeunt, repugnant contra parenthesi.

18. ἑκάστην] Cf. ad vii. 1, 27. Herodoti i. 80. et Æliani h. a. ii. 36. In Guelf. deinde ἂν deest.

ἡμᾶς δὲ] Hoc ex Philelpho pro ὑμᾶς dedit Zeune: paulo antea μὲν ἑαυτῶν Altorf. habet.

ἐν τῷ] Ex Brodæi libris et Guelf. τοῖς ἐν τῷ dedit Zeune.

19. εἰ δὴ] Male Juntina et Altorf. δὴ omittunt. deinde ἀπήγγειλέ τις ἡμῖν Guelf. ὑμῶν male Juntina.

ἀπαγγελλομένων, ὅτι Κροῖσος μὲν ᾕρηται τοῖς πολεμίοις
στρατηγὸς, ὃς τοσούτῳ Σύρων κακίων ἐγένετο, ὅσῳ Σύροι
μὲν μάχῃ ἡττηθέντες ἔφυγον, Κροῖσος δὲ ἰδὼν ἡττημένους,
ἀντὶ τοῦ ἀρήγειν τοῖς συμμάχοις, φεύγων ᾤχετο. Ἔπει- 20
τα δὲ διαγγέλλεται δήπου, ὅτι αὐτοὶ μὲν οἱ πολέμιοι
οὐχ ἱκανοὶ ἡγοῦνται ἡμῖν εἶναι μάχεσθαι, ἄλλους δὲ
μισθοῦνται, ὡς ἄμεινον μαχουμένους ὑπὲρ σφῶν, ἢ αὐ-
τοί. Εἰ μέντοι τισὶ ταῦτα μὲν τοιαῦτα ὄντα δεινὰ δοκεῖ
εἶναι, τὰ δὲ ἡμέτερα φαῦλα, τούτους ἐγώ φημι χρῆναι,
ὦ ἄνδρες, ἀφεῖναι εἰς τοὺς ἐναντίους· πολὺ γὰρ ἐκεῖ ὄντες
πλείω ἂν ἡμᾶς ἢ παρόντες ὠφελοῖεν.

Ἐπεὶ δὲ ταῦτα εἶπεν ὁ Κῦρος, ἀνέστη Χρυσάντας ὁ 21
Πέρσης, καὶ ἔλεξεν ὧδε· Ὦ Κῦρε, μὴ θαύμαζε, εἴ τινες
ἐσκυθρώπασαν, ἀκούσαντες τῶν ἀγγελλομένων· οὐ γὰρ
φοβηθέντες οὕτω διετέθησαν, ἀλλ᾽ ἀχθεσθέντες· ὥσπερ
γε, ἔφη, εἰ τινῶν βουλομένων τε καὶ οἰομένων ἤδη ἀρι-
στήσειν, ἐξαγγελθείη τι ἔργον, ὃ ἀνάγκη εἴη πρὸ τοῦ
ἀρίστου ἐξεργάσασθαι, οὐδεὶς ἂν, οἶμαι, ἥσθείη τοῦτο
ἀκούσας· οὕτω τοίνυν καὶ ἡμεῖς, ἤδη οἰόμενοι πλουτήσειν,

ἀπαγγελλομένων] Guelf. deinceps addit ὑμῖν, et pergit τῶν πολεμίων στρατηγὸς, ut Philelphi et Brodæi libri. Orationem pendentem et inſolentius præciſam eſſe recte monuit Weiſke. Intellige τοσοῦτον φοβεῖσθε. Sed locus eſt vitioſus et mancus. ὁπότε videtur ortum ex ποτε, olim forte præcedentibus ita juncto: τί ποτ᾽ ἂν ἐποιήσατε; Pergam Καί τοι ἀπαγγέλλεται ἡμῖν, ὅτι Κροῖσος etc.

ἡττημένους] Guelf. συνηττημένους. Syrii ſunt Aſſyrii, de quibus iv. 2, 31.

20. ἔπειτα δὲ] Guelf. addit δὴ, quod ob ſequens δήπου improbavit Zeune. mihi δήπου locum alienum occupaſſe videtur. deinde ὑμῖν εἶναι Guelf. ex quo et Philelpho μαχουμένους recte recepit Zeune; antiquum μαχομένους revocavit Weiſke.

τοιαῦτα ὄντα δεινὰ] Ita cum Brodæi libro et Stephaniana Guelf. et Altorf. ταῦτα μὲν δοκεῖ τοιαῦτα δεινὰ Edd. pr. deinde τούτοις Edd. pr. correxit Brodæus.

ἐναντίους] Altorf. πολεμίους. deinde πολλοὶ Guelf. ex quo et Philelpho ordinem vulgarem ὠφελοῖεν ἢ παρόντες mutavi. In Guelf. ἂν omiſſum corrector ſupplevit.

21. ἐπεὶ δὲ] Ex Guelf. δὲ additum, quod ſuaſerat jam Brodæus.

μὴ θαύμ.] Altorf. ἔφη, μὴ θ.

ἔφη] Brodæus ὥσπερ γε ἔφυ corrigebat, *ut quidem ſolet*, interpretatus.

οἰομένων] Guelf. τε addit. deinceps οὐδεὶς δ᾽ ἂν Bodl. quæ ipſa erat Stephani conjectura ab Hutchinſ. recepta. ἀκούσας τοῦτο Guelf. Altorf. ταῦτα expreſſit Philelphus.

ἐπεὶ ἠκούσαμεν, ὅτι ἐστί τι λοιπὸν ἔργον, ὃ δεῖ ἐξεργά-
σασθαι, συνεσκυθρωπάσαμεν, οὐ φοβούμενοι, ἀλλὰ
22 πεποιῆσθαι ἂν ἤδη καὶ τοῦτο βουλόμενοι. Ἀλλὰ γὰρ
ἐπειδὴ οὐ περὶ Συρίας μόνον ἀγωνιούμεθα, ὅπου σῖτος
πολὺς καὶ πρόβατά ἐστι, καὶ φοίνικες οἱ καρποφόροι,
ἀλλὰ καὶ περὶ Λυδίας, ἔνθα πολὺς μὲν οἶνος, πολλὰ
δὲ σῦκα, πολὺ δὲ ἔλαιον, θάλαττα δὲ προσκλύζει, καθ'
ἣν πλείω ἔρχεται, ἢ ὅσα τις ἑώρακεν, ἀγαθὰ, ταῦτα,
ἔφη, ἐννοούμενοι, οὐκέτι ἀχθόμεθα, ἀλλὰ θαῤῥοῦμεν ὡς
μάλιστα, ἵνα θᾶττον καὶ τούτων τῶν Λυδίων ἀγαθῶν
ἀπολαύσωμεν. Ὁ μὲν οὕτως εἶπεν· οἱ δὲ σύμμαχοι
πάντες ἥσθησάν τε τῷ λόγῳ καὶ ἐπῄνεσαν.

23 Καὶ μὲν δὴ, ἔφη ὁ Κῦρος, Ὦ ἄνδρες, δοκεῖ μοι καὶ
ἰέναι ἐπ' αὐτοὺς ὡς τάχιστα· ἵνα πρῶτον μὲν αὐτοὺς
φθάσωμεν ἀφικόμενοι, ἢν δυνώμεθα, ὅπου τὰ ἐπιτήδεια
αὐτοῖς συλλέγεται· ἔπειτα δὲ ὅσῳ ἂν θᾶττον ἴωμεν,
τοσούτῳ μείω μὲν τὰ παρόντα αὐτοῖς εὑρήσομεν, πλείω
24 δὲ τὰ ἀπόντα. Ἐγὼ μὲν δὴ οὕτω λέγω· εἰ δέ τις ἄλ-
λως πως γιγνώσκει ἢ ἀσφαλέστερον εἶναι ἢ ῥᾷον ἡμῖν,

Decreta expeditione ſtatim ſuſcipienda, Cyrus edicit de rebus, quibus præter arma exercitus debeat eſſe inſtructus ad iter.

τι λοιπὸν] Guelf. ἐστὶ περίλοιπον, corrector tamen τι poſt ἐστὶ inſeruit: περίλοιπον etiam margo Steph.

22. ἐπειδὴ] Ita pro ἐπεὶ ex Guelf. Zeune.

θαῤῥοῦμεν] Junt. ἀλλά γε θαῤῥοῦντες ὡς τάχιστα—καὶ τῶν Λυδίων, ut Altorf. niſi quod hic γε omittit. Guelf. ἀλλὰ θαῤῥῶμεν ὡς τάχιστα ἵνα—ἀπολαύωμεν. ſed correctum θαῤῥοῦμεν. Etiam Ald. ὡς τάχιστα. Brodæus θαῤῥοῦμεν ὡς μάλιστα ex libris poſuit ſuis. Mihi magis placeret locus, ita ſcriptus θαῤῥοῦμεν, ὡς τάχιστα καὶ τούτων τῶν Λυδίων ἀγαθῶν ἀπολαυσόμενοι. Ita etiam origo lectionis ὡς τάχιστα apparet.

Λυδίων] Λυδίας Portus malebat; ſed forma Λυδία ἀγορὰ eſt i. 5, 6.

23. Καὶ μὲν δὴ] In hoc et omnibus ſimilibus locis, ubi καὶ junctum reperitur particulis μὲν δὴ, corrigendum cenſebat μὲν δὴ Fiſcherus ad Æſchinis dial. i. 12. In ipſo quidem illo Æſchinis loco vulgatam καὶ μὲν δὴ πλείστου ἂν ἦν ἀξία, ex hac regula vel opinione ſua correxit vir doctus, ubi ſententia καὶ μέντοι poſtulabat; quod ubi legitur dial. ii. 16. potius καὶ μὲν δὴ habendum erat. Hoc loco nihil inſolens lectori accidet, ſi junxeris verba ita: καὶ ἐμοὶ μὲν δὴ δοκεῖ καὶ ὡς τάχιστα ἰέναι etc.

καὶ ἰέναι] *Non ſolum contra hoſtes proficiſcendum mihi, ut vobis, videtur, ſed etiam quam poteſt fieri celerrime proficiſcendum.* Igitur junge καὶ ὡς τάχιστα ἰέναι.

ὅσῳ ἂν] Guelf. ἂν omiſit; idem θᾶσσον—τοσούτῳ μειούμενα τὰ—εὑρήσομεν αὐτοῖς. Etiam libri Brodæi μειούμενα præferebant.

24. ἄλλως πως] Guelf. ἄλλη πη, ſed deinde correctum; illam lectio-

διδασκέτω. Ἐπεὶ δὲ συνηγόρευον μὲν πολλοὶ, ὡς χρεὼν
εἴη, ὁτιτάχιστα πορεύεσθαι ἐπὶ τοὺς πολεμίους, ἀντέ-
λεγε δὲ οὐδεὶς, ἐκ τούτου δὴ ὁ Κῦρος ἤρχετο λόγου τοι-
οῦδε.

Ἄνδρες ξύμμαχοι, αἱ μὲν ψυχαὶ καὶ τὰ σώματα 25
καὶ τὰ ὅπλα, οἷς δεήσει χρῆσθαι, ἐκ πολλοῦ ἡμῖν σὺν
θεῷ παρεσκεύασται· νῦν δὲ τὰ ἐπιτήδεια δεῖ εἰς τὴν ὁδὸν
συσκευάζεσθαι αὐτοῖς τε ἡμῖν, καὶ ὁπόσοις τετράποσι
χρώμεθα, μὴ μεῖον ἢ εἴκοσιν ἡμερῶν. Ἐγὼ γὰρ λο-
γιζόμενος εὑρίσκω, πλειόνων ἢ πεντεκαίδεκα ἡμερῶν
ἐσομένην ὁδὸν, ἐν ᾗ οὐδὲν εὑρήσομεν τῶν ἐπιτηδείων· ἀνε-
σκεύασται γὰρ, τὰ μὲν ὑφ' ἡμῶν, τὰ δὲ ὑπὸ τῶν πολε-
μίων, ὅσα ἠδύναντο. Συσκευάζεσθαι οὖν χρὴ σῖτον μὲν 26
ἱκανόν· (ἄνευ γὰρ τούτου οὔτε μάχεσθαι, οὔτε ζῆν δυ-
ναίμεθα ἂν) οἶνον δὲ τοσοῦτον ἕκαστον ἔχειν χρὴ, ὅσος
ἱκανὸς ἔσται ἐθίσαι ἡμᾶς αὐτοὺς ὑδροποτεῖν· πολλὴ γάρ
ἐστι τῆς ὁδοῦ ἄοινος, εἰς ἣν, οὐδ' ἂν πάνυ πολὺν οἶνον
συσκευασώμεθα, διαρκέσει. Ὡς οὖν μὴ ἐξαπίνης ἄοινοι 27
γενόμενοι νοσήμασι περιπίπτωμεν, ὧδε χρὴ ποιεῖν· ἐπὶ
μὲν τῷ σίτῳ νῦν εὐθὺς ἀρχώμεθα πίνειν ὕδωρ· τοῦτο

nem annotavit etiam margo Steph. et Leoncl.

25. δεήσει] Guelf. δεήσοι deinceps poſt μεῖον ex libris Brodæi et Guelf. cum Zeunio ἢ inſerui.

πλειόνων] Ita corrigi juſſit Brodæus Juntinæ, Iſingr. et Guelf. πλέον ὄν. Forte olim h. l. πλεῖον ἢ fuit ſcriptum, ut antea μεῖον ἢ pro μειόνων.

ἀνεσκεύασται] Noſter Anab. vi. 2, 8. τὴν ἀγορὰν εἴσω ἀνεσκεύασαν. Suidas cognatum ἀποσκευάζειν per ἀποτιθεῖν interpretatur.

ἠδύναντο] Guelf. pro ἐδύν. debes.

26. οὖν χρὴ] Guelf. χρὴ poſt ἱκανὸν reponit; Suidas verbum συσκευάζεσθαι interpretatur ἐπιφέρειν.

δυναίμεθ' ἂν] Ita cum Aldina Guelf. et Altorf. ἂν omiſit Juntina.

ἕκαστον ἔχειν χρὴ] Hic verborum ordo mihi concinnior viſus vulgari χρὴ ἔχειν ἕκαστον debetur Guelf.

ὅσος ἱκανὸς ἔσται] Ita Aldina, Guelf. et Suidas cum Steph. ὅσον ἱκανὸν Juntina, ἐν ὅσῳ ἱκανὸν ἔσται Budenſis liber, ἐν ὅσῳ ἱκανόν ἐστιν Altorf. Etiam Suidas loco ſupra laudato ἐστὶν præterea que ὑμᾶς habet.

ἡμᾶς αὐτοὺς] Mihi αὐτοὺς diſplicebat: nec enim habere videtur pronomen perſonam, cui opponatur.

γάρ ἐστι] Philel. Guelf. Altorf. ἔσται. deinceps διαρκέσεις Aldina, in quo verum διαρκέσειε latere puto.

27. νοσήμασι] Ita cum Philelpho Guelf. pro νοσήματι, probante etiam Fiſchero. Locum Hippocratis Aphoriſmorum II. 51. et Celſi I. 3. de ſubitaneæ cœli et victus mutationis noxa compararunt Interpretes.

28 γὰρ ἤδη ποιοῦντες οὐ πολὺ μεταβαλοῦμεν. Καὶ γὰρ
ὅστις ἀλφιτοσιτεῖ, ὕδατι μεμιγμένην ἀεὶ τὴν μάζαν
ἐσθίει· καὶ ὅστις ἀρτοσιτεῖ, ὕδατι δεδευμένον τὸν ἄρτον·
καὶ τὰ ἑφθὰ δὲ πάντα μεθ' ὕδατος τὰ πλεῖστα ἐσκεύ-
ασται. Μετὰ δὲ τὸν σῖτον εἰ οἶνον ἐπιπίνοιμεν, οὐδὲν
29 μεῖον ἔχουσα ἡ ψυχὴ ἀναπαύσεται. Ἔπειτα δὲ καὶ
τοῦ μετὰ τὸ δεῖπνον ἀφαιρεῖν χρὴ, ἔστ' ἂν λάθωμεν
ὑδροπόται γενόμενοι. Ἡ γὰρ κατὰ μικρὸν παράλλαξις
πᾶσαν ποιεῖ φύσιν ὑποφέρειν τὰς μεταβολάς· διδάσκει
δὲ καὶ ὁ θεὸς, ἀπάγων ἡμᾶς κατὰ μικρὸν ἔκ τε τοῦ
χειμῶνος εἰς τὸ ἀνέχεσθαι ἰσχυρὰ θάλπη, καὶ ἐκ τοῦ
θάλπους εἰς τὸν ἰσχυρὸν χειμῶνα· ὃν χρὴ μιμουμένους,
εἰς ὃ δεῖ ἐλθεῖν, προειθισμένους ἡμᾶς ἀφικνεῖσθαι.
30 Καὶ τὸ τῶν στρωμάτων δὲ βάρος εἰς τὰ ἐπιτήδεια κατα-
δαπανᾶτε· τὰ μὲν γὰρ ἐπιτήδεια περιττεύοντα οὐκ ἀχρη-

28. καὶ ὅστις ἀρτοσιτεῖ] Suidas qui h. l. ter laudavit, in ἀλφιτοσιτέω, ἀρτοσιτέω et μᾶζα, bis ὅστις δὲ posuit, quæ vulgata deterior est lectio; nulla enim est sententiarum oppositio, sed eadem comparatio continuatur. Ceterum Cagnatus Observ. Variar. i. 29. ἀλητοσιτεῖ scribi malebat, quo magis verbo ἀλφιτοσιτεῖ responderet.

τὰ πλεῖστα] Ita ex Polluce x. c. 1. extremo scripsi pro τοῦ πλείστου. Idem x. 16. τὸ μέντοι ἥψηται ἐσκεύασται ἐν τῷ ἕκτῳ Παιδείας h. l. ἥψηται legisse scriptum videtur.

εἰ οἶνον ἐπιπίνοιμεν] Juntina ἐὰν οἶνον ἢν ἐπιπίνωμεν. quam lectionem Castalio in ἐὰν οἶνον μὴ ἐπιπίνωμεν mutavit ex Camerarii sententia et scriptura Budensi. ἐπιπίνωμεν habet etiam Guelferb.

29. τὸ δεῖπνον] Guelf. articulum omisit.

ἔστ' ἂν λάθωμεν] Ita cum margine Guelf. et Altorfino scripsit Zeune, cum antea ἕως esset. λάθωμεν etiam margo Guelf. et Altorfinus habet cum Budensi, Gabr. μάθωμεν expressit Philelphi versio cum Bodl. et Guelf. quod jam olim Muretus repudiavit. Ceterum in verbis ἔστ' ἂν λάθωμεν inest quidem significatio diuturni usus, sed etiam in verbis τοῦ μετὰ τὸ δεῖπνον (cui synonymum est σῖτος) ἀφαιρεῖν inest notio mutationis paulatim factæ et diminutionis: quare non opus est correctione Weiskii ὅσον ἂν (i. e. καθ' ὅσον ἂν) λάθωμεν.

παράλλαξις] Ita libri Brodæi, Bodl. et Guelf. ὑπάλλαξις Stobæus; μετάλλαξις Editiones primæ. Verum habet Suidas in παράλλαξις admisto ὑπερφέρειν spurio. deinceps μεταποιεῖ Altorf.

ἀπάγων ἡμᾶς] Ita cum Stobæo, Guelf. Stephanus et Zeune. ἀπαγαγὼν Junt. Aldina, Altorf. quod probum visum est Fischero ad Weller. ii. p. 274. *Verum deus hominem docet quotquot anni decurrunt, tempestates cælique mutationes paulatim sensimque afferens et sanitati corporis nostri adtemperans.* Cf. Memorab. iv. 3, 9.

ἔκ τε τοῦ] Guelf. ἐκ τοῦ χ.—ἔκ τε τοῦ θάλπους. deinde pro δεῖ ἐλθεῖν cum Stobæo Veneto διελθεῖν habet.

30. καταδαπανᾶτε] Ita ex Philel.

στα ἔσται· στρωμάτων δὲ ἐνδεηθέντες μὴ δείσητε, ὡς
οὐχ ἡδέως καθευδήσετε· εἰ δὲ μὴ, ἐμὲ αἰτιᾶσθε. Ἐ-
σθὴς μέντοι ὅτῳ ἐστὶν ἀφθονωτέρα παροῦσα, πολλὰ καὶ
ὑγιαίνοντι καὶ κάμνοντι ἐπικουρεῖ. Ὄψα δὲ χρὴ συνε- 31
σκευάσθαι, ὅσα ἐστὶν ὀξέα [ἐπιπλεῖστον,] καὶ δριμέα
καὶ ἁλμυρά· ταῦτα γὰρ ἐπὶ σῖτόν τε ἄγει καὶ ἐπιπλεῖ-
στον ἀρκεῖ. Ὅταν δ᾽ ἐκβαίνωμεν εἰς ἀκέραια, ὅπου
ἡμᾶς εἰκὸς ἤδη σῖτον λαμβάνειν, χειρομύλας χρὴ αὐτό-
θεν παρασκευάσασθαι, αἷς σιτοποιησόμεθα· τοῦτο γὰρ
κουφότατον τῶν σιτοποιϊκῶν ὀργάνων. Συνεσκευάσθαι 32
δὲ χρὴ καὶ ὧν ἀσθενοῦντες δέονται ἄνθρωποι· τούτων
γὰρ ὁ μὲν ὄγκος μικρότατος, ἢν δὲ τύχῃ τοιάδε γένηται,
μάλιστα δεήσει. Ἔχειν δὲ χρὴ καὶ ἱμάντας· τὰ γὰρ
πλεῖστα καὶ ἀνθρώποις καὶ ἵπποις ἱμᾶσιν ἤρτηται· ὧν
κατατριβομένων καὶ ῥηγνυμένων ἀνάγκη ἀργεῖν, ἢν μή
τις ἔχῃ παράζυγας. Ὅστις δὲ πεπαίδευται καὶ παλ-

Gabr. Guelf. Altorf. cum viris doctis pro vulgato ante Zeunium *καταδαπανᾶται* fcripfimus.

δείσητε, ὡς οὐχ] Ariftophanes Equit. 112. *δέδοιχ᾽ ὅπως μὴ τεύξομαι δαίμονος κακοδαίμονος.* In altero loco Pluti 200. *δέδοικα ὅπως ἐγὼ τὴν δύναμιν, ἣν ὑμεῖς φατὲ ἔχειν με, ταύτης δεσπότης γενήσομαι* vereor, ne falvo alicubi metro *μὴ* fit inferendum.

31. [*ἐπιπλεῖστον*] Hæc verba ut inutilia et e fequenti membro huc tracta feclufi, et omifit Suidas in *συνεσκευάσθαι*, ubi hunc locum laudavit.

ἐπὶ σῖτον ἄγει] Hæc fi philofophiæ ftudiofis, non militibus, præciperentur, a difciplina Socratis Xenophon defciviffe dici poterat Weifkio, qui comparat Memorab. i. 3, 6.

ἀρκεῖ] *Suppetunt* cum Moro vertit Weifke; quidni *durant?*

ἀκέραια] fc. *χωρία*, loca hoftium incurfionibus intacta. deinceps *ὅπου ἤδη εἰκὸς ἡμᾶς* Guelf. qui verborum ordo mihi præplacet.

χειρομύλας] Ita Guelf. ex correctione; antea enim *χειρομύλους* fuerat; fimplex *μύλας* eft in Budenfi et Altorf. deinceps *αὐτόθεν παρασκευάσασθε* omiffo *χρὴ* habet cum Philelphi libro Guelf.

32. *τοιάδε*] Ita margo etiam Guelf. in textu enim *τοιαύτη* eft ut in Altorfino.

δεήσει] Ita cum libro Brod. Guelf. Stephanus et Zeune fcripferunt. Edd. primæ *ἐδέησεν*, quod corrector Guelf. adfcripfit. *δεήσειε* Budenfis liber, *ἐδεησειεν* (fic) Altorf.

ἤρτηται] Hoc pro *ἤρτηνται* ex Guelf. et Altorf. dedit Zeune.

κατατριβομένων καὶ ῥηγ.] Ita ex Guelf. fcripfit Zeune: *τριβομένων* Junt. Altorf. fed Junt. *καὶ καταῤῥηγ.* habet, Aldina et Steph. *κατὰ* utrique verbo adjungunt, contra utrique demit Suidas in *περίζυγα*, ubi eft etiam *ἔχοι* pro *ἔχῃ* et *εἰ* pro *ἤν.*

παράζυγας] Vulgatum *περιζυγὰ* Suidas, Guelf. et Altorf. in *περίζυγα* mutant, interpretantur vero vel *vin-*

τὸν ξύσασθαι, ἀγαθὸν καὶ ξυήλης μὴ ἐπιλαθέσθαι.
33 Ἀγαθὸν δὲ καὶ ῥίνην φέρεσθαι· ὁ γὰρ λόγχην ἀκονῶν,
ἐκεῖνος καὶ τὴν ψυχήν τι παρακονᾷ. Ἔπεστι γάρ τις
αἰσχύνη, λόγχην ἀκονῶντα κακὸν εἶναι. Ἔχειν δὲ χρὴ
καὶ ξύλα περίπλεα καὶ ἅρμασι καὶ ἁμάξαις· ἐν γὰρ
πολλαῖς πράξεσι πολλὰ ἀνάγκη καὶ τὰ ἀπαγορεύοντα
34 εἶναι. Ἔχειν δὲ δεῖ καὶ τὰ ἀναγκαιότατα ὄργανα ἐπὶ
ταῦτα πάντα· οὐ γὰρ ἀπανταχοῦ χειροτέχναι παραγί-
γνονται· τὸ δ' ἐφ' ἡμέραν ἀρκέσον ὀλίγοι τινὲς οἳ οὐχ
ἱκανοὶ ποιῆσαι. Ἔχειν δὲ χρὴ καὶ ἄμην καὶ σμινύην
κατὰ ἅμαξαν ἑκάστην, καὶ κατὰ τὸ νωτοφόρον δὲ ἀξίνην
καὶ δρέπανον· ταῦτα γὰρ καὶ ἰδίᾳ ἑκάστῳ χρήσιμα,
35 καὶ ὑπὲρ τοῦ κοινοῦ πολλάκις ὠφέλιμα γίγνεται. Τὰ
μὲν οὖν εἰς τροφὴν δέοντα, οἱ ἡγεμόνες τῶν ὁπλοφόρων

cula vel *lora jugalia*, Philelphus *cingula*. περιττὰ ſenſum poſtulare vidit Zeune; quæ notio in vocabulo περίζυγος quomodo ineſſe poſſit, exemplis vocabulorum περίεργος, περιλαλεῖν appoſitis docere conatus eſt Weiſke. Heſychio περίζυξ eſt ὁμόζυγος et σύζυγος: alibi vocabulum non exſtat. Equidem poſui, quod locus Ariſtotelis Politicorum ii. 6. confirmabit facile, ubi παράζυγας vocat, qui in republica Platonis definitum civium numerum, quibus ſuæ poſſeſſiones jam aſſignatæ ſunt, excedunt.

ξυήλης] Edd. primarum ξυλίνης correxit Brodæus. Ceterum niſi perfecti ducis et ad minimarum etiam rerum curam ſe demittentis exemplar proponere in Cyro Xenophon voluiſſe videretur, poterat ſane hæc tanta minutiarum cura imperatore indigna, certe minor videri. Contra Weiſkio pleraque jocularia et fere ridicula nonnulla videbantur, quorum curam Cyrus hic habendam præcipiat. Fortaſſe etiam voluiſſe Xenophontem ſub perſona et exemplo Cyri negligentiam et incuriam in apparatu bellico Athenienſium reprehendere.

33. ψυχήν τι] Altorf. τι omiſit; deinceps ἀκονῶντι margo Leoncl.

περίπλεα] Eſſe videtur pro ὑπέρπλεα, idemque quod περιττά.

πολλὰ] Edd. vett. πολλὴ habet etiam Altorf. et ex correctione Guelf. deinceps ἀπαγορεύοντ' habet Altorf. ſunt ea quæ in ipſo uſu paulatim deficiunt.

34. ἀπανταχοῦ] Guelf. πανταχοῦ. Sequentem locum Junt. Aldina, Iſingr. τινὲς ἢ οὐχ ἱκανοὶ legunt; Brodæus *reſtitue*, inquit, ἢ οὐκ εἰσὶν ἱκανοί; ἢ οὐκ *nonne*, *annon*, *vel ſane*. ὀλίγοι τινὲς ἱκανοὶ vertit Philelphus. τινὲς οἳ οὐχ ἱκανὸν Guelf. ſed correctum ἱκανοί. Etiam Altorf. τινὲς οἳ οὐχ ἱκανοὶ, quod ſine dubitatione repoſui in loco vulgaris τινὲς οὐχ ἱκανοί.

τὸ νωτοφόρον] Guelf. τὸν νωτ. Altorf. καθ' ἅμαξαν—καὶ κατὰ νωτοφ. Cum τὸ copulandum eſt ὑποζύγιον vel ζῶον, cum τὸν vero ἡμίονος vel ὄνος. cf. Pollux ii. 180.

ἰδίᾳ ἑκάστῳ χρήσιμα] Hoc ordine Guelf. vulgo verba ita collocantur ἰδίᾳ χρ. ἑκ.

35. δέοντα] *Neceſſaria ad victum*; ſequitur enim ὅσα δὲ κελεύω ἔχειν.

ἐξετάζετε τοὺς ὑφ' ὑμῖν αὐτοῖς· οὐ γὰρ δεῖ παριέναι, ὅτου
ἄν τις τούτων ἐνδέηται· ἡμεῖς γὰρ τούτων ἐνδεεῖς ἐσό-
μεθα. Ὅσα δὲ καὶ τὰ ὑποζύγια κελεύω ἔχειν, ὑμεῖς
οἱ τῶν σκευοφόρων ἄρχοντες ἐξετάζετε, καὶ τὸν μὴ ἔχοντα
κατασκευάζεσθαι ἀναγκάζετε. Ὑμεῖς δ' αὖ οἱ τῶν 36
ὁδοποιῶν ἄρχοντες, ἔχετε μὲν ἀπογεγραμμένους παρ'
ἐμοῦ τοὺς ἀποδεδοκιμασμένους καὶ τοὺς ἐκ τῶν ἀκοντι-
στῶν, καὶ τοὺς ἐκ τῶν τοξοτῶν, καὶ τοὺς ἐκ τῶν σφεν-
δονητῶν· τούτων δὲ τοὺς μὲν ἀπὸ τῶν ἀκοντιστῶν χρὴ
πέλεκυν ἔχοντας ξυλοκόπον ἀναγκάζειν στρατεύεσθαι,
τοὺς δ' ἀπὸ τῶν τοξοτῶν, σμινύην, τοὺς δ' ἀπὸ τῶν
σφενδονητῶν, ἄμην· τούτους δ' ἔχοντας ταῦτα, πρὸ τῶν
ἁμαξῶν κατ' ἴλας πορεύεσθαι, ὅπως, ἤν τι δέῃ ὁδο-
ποιΐας, εὐθὺς ἐνεργοὶ ἦτε· καὶ ἐγὼ ἤν τι δέωμαι, ὅπως
εἰδῶ, ὁπόθεν δεῖ λαβόντα τούτοις χρῆσθαι. Ἄξω δὲ 37
καὶ τοὺς ἐν τῇ στρατιωτικῇ ἡλικίᾳ ξὺν τοῖς ὀργάνοις
χαλκέας τε καὶ τέκτονας καὶ σκυτοτόμους, ὅπως, ἄν τι
δέῃ καὶ τοιούτων τεχνῶν ἐν τῇ στρατιᾷ, μηδὲν ἐλλίπηται.
Οὗτοι δὲ ὁπλοφόρου μὲν τάξεως ἀπολελύσονται, ἃ δ'
ἐπίστανται τῷ βουλομένῳ μισθοῦ ὑπηρετοῦντες, ἐν τῷ

τοὺς ὑφ' ὑμῖν] Ita cum Philelpho, Gabr. et Camerario Leonclavius scribendum esse viderunt: in Guelf. est ὑφ' ἡμῖν. In Edd. primis ἐφ' ὑμῖν.

ἐνδέηται] Juntinæ ἐδέηται Castalio in ἐνδέηται mutavit; τούτων ἐνδέηται Altorf. τούτων δέηται Guelf. Vulgatam igitur δέηται τούτων mutavi.

ὅσα δὲ καὶ τὰ] Guelf. ἃ δὲ κατά.

36. τοὺς ἐκ τῶν τοξοτῶν] Altorf. τοὺς ἐκ τῶν omisit, deinde καὶ τοὺς ἀπὸ τῶν σφενδονητῶν præbet.

τούτων δὲ τοὺς] Vulgatam τούτων οὖν χρὴ τοὺς μὲν ἀπὸ τῶν ἀκ. πέλ. ἔχ. ita correxi. Guelf. τούτων δὲ τοὺς μὲν ἀπὸ ἀκοντιστῶν—ξυλοτόμον. sed corrector post τούτων inseruit οὖν χρὴ, post ἀπὸ articulum τῶν, et δὲ punctis notavit suppositis. Margo Steph. τούτων δὲ τοὺς μὲν ἀπὸ τῶν ἀκοντιστῶν χρὴ πελ. Etiam libri Brodæi τούτων οὖν. τούτων χρὴ τοὺς μὲν Altorf. Margo Steph. ξυλοτόμον pariter memoravit, sed vulgarem lectionem retulit hinc Pollux vii. 113.

τοὺς δ' ἀπὸ] Edd. pr. et Altorf. τοὺς δ' ἐκ. Stephanus ἀπὸ nescio unde dedit; præpositionem Guelf. omisit.

ἴλας] Guelf. ἴλλας, deinde cum libro Brodæi ὅθεν δεῖ.

37. ξὺν] Guelf. et Altorf. σύν. deinde vulgatum ὁπόσα ἂν δέηται ex Philel. margine Steph. et Guelf. Pro τοιούτων malim τούτων; postea λίπηται Altorf. malim ἐλλείπηται. quod Isingr. recte effecit ex Juntinæ et Aldinæ ἐλλήπηται vitioso.

ἐν τῷ τεταγμένῳ] In certo et his constituto loco, ut recte Brodæus,

38 τεταγμένῳ ἔσονται. Ἢν δέ τις καὶ ἔμπορος βούληται
ἕπεσθαι, πωλεῖν τι βουλόμενος, τῶν μὲν προειρημένων
ἡμερῶν τὰ ἐπιτήδεια ἔχειν· ἢν δέ τι πωλῶν ἁλίσκηται,
πάντων στερήσεται. Ἐπειδὰν δ' αὗται παρέλθωσιν αἱ
ἡμέραι, πωλήσει, ὅπως ἂν βούληται· ὅστις δ' ἂν τῶν
ἐμπόρων πλείστην ἀγορὰν παρέχων φαίνηται, οὗτος καὶ
παρὰ τῶν συμμάχων καὶ παρ' ἐμοῦ δώρων καὶ τιμῆς
39 τεύξεται. Εἰ δέ τις χρημάτων προσδεῖσθαι νομίζει εἰς
ἐμπολὴν, γνωστῆρας ἐμοὶ προσαγαγὼν καὶ ἐγγυητὰς, ἦ
μὴν πορεύεσθαι σὺν τῇ στρατιᾷ, λαμβανέτω, ὧν ἡμεῖς
ἔχομεν. Ἐγὼ μὲν δὴ ταῦτα προαγορεύω· εἰ δέ τίς τι
40 καὶ ἄλλο δέον ἐνορᾷ, πρὸς ἐμὲ σημαινέτω. Καὶ ὑμεῖς
μὲν ἀπιόντες συσκευάζεσθε, ἐγὼ δὲ θύσομαι ἐπὶ τῇ
ὁρμῇ· ὅταν δὲ τὰ τῶν θεῶν καλῶς ἔχῃ, σημανοῦμεν.
Παρεῖναι δὲ χρὴ ἅπαντας, τὰ προειρημένα ἔχοντας, εἰς
41 τὴν τεταγμένην χώραν, πρὸς τοὺς ἡγεμόνας ἑαυτῶν. Ὑ-

admonente Weiskio contra Zeunium. In Guelf. paulo antea ἀπολύσονται est scriptum, sed in rasura.

38. πωλεῖν τι βουλόμενος] Hæc ineptum glossatorem arguunt, aut ex vera scriptura vitio librariorum orta sunt. Certe locum vitiosum et mancum esse agnoscunt interpretes omnes, præter Zeunium, qui rationibus ineptissimis loci integritatem tueri conatus est. Camerarius τῶν μετὰ προειρημένων ἢν δή τι π. corrigebat et locum vertebat : *si intra eos dies, qui præfiniti sunt commeatui ferendo, deprehendatur in vendendo :* verum ita τῶν μὲν προειρημένων ἐντὸς ἡμερῶν scribendum fuerat. Mihi ad hunc fere modum scripsisse Xenophon videbatur : ἢν δέ τις καὶ ἔμπορος βούληται ἕπεσθαι ἢ κάπηλος (junguntur hæc etiam supra iv. 5, 42.) πωλεῖν τι βουλομένῳ οὐκ ἔστιν ἐντὸς τῶν προειρημένων ἡμερῶν, ὧν τὰ ἐπιτήδεια ἔχειν χρὴ τὸν στρατιώτην· ἢν δέ τι (Guelf. a prima manu τις habet) πωλῶν ἁλίσκηται, π. στερήσεται.

ἐπειδὰν δ' αὗται] Guelf. δὲ omittit, ut deinde Juntina verba αἱ ἡμέραι. postea καὶ τιμῆς desunt in Altorfino libro. ξυμμάχων Guelf.

39. ἐμπολὴν] Brodæi libri ἐμπορικά. sed vulgatum ex h. l. ἐπὶ τοῦ ἀγοράζειν dictum interpretatur Pollux iii. 127. coemtio rerum sic dicitur, der Ankauf.

γνωστῆρας] Vulgo sua ætate γνωστὰς dici, monet Mœris p. 116. cf. ad Pollucis ix. 151. Sunt qui latine cognitores dicuntur apud Ciceronem, de quibus Clavis Ciceroniana Ernestii poterit comparari. deinde ἐμοὶ cum Aldina Steph. libri Brodæi, Guelf. et Altorf. ἡμῖν reliqui libri, quod recepit Zeune.

προσαγαγὼν] Edd. pr. Altorf. προσάγων. deinde ἐγγύους Altorf.

πορεύεσθαι] Stephani conjecturam πορεύσεσθαι recepit Editio Eton. deinde στρατείᾳ Guelf.

προαγορεύω] Altorf. προσαγορεύω. deinde ὁρᾷ Juntina.

40. θύσομαι] Altorf. θύωμαι. Pro ὁρμῇ alibi est ἐξόδῳ.

μεῖς δὲ, οἱ ἡγεμόνες, τὴν ἑαυτοῦ ἕκαστος τάξιν εὐτρεπισάμενος, πρὸς ἐμὲ πάντες συμβαλεῖτε, ἵνα τὰς ἑαυτῶν ἕκαστοι χώρας καταμάθητε.

CAP. III.

Describitur ordo agminis, et inprimis plaustrorum et impedimentorum.

ΑΚΟΥΣΑΝΤΕΣ δὲ ταῦτα οἱ μὲν συνεσκευάζοντο· ὁ δὲ Κῦρος ἐθύετο. Ἐπεὶ δὲ καλὰ τὰ ἱερὰ ἦν, ὡρμᾶτο σὺν τῷ στρατεύματι· καὶ τῇ μὲν πρώτῃ ἡμέρᾳ ἐξεστρατοπεδεύσατο ὡς δυνατὸν ἐγγύτατα, ὅπως, εἴ τίς τι ἐπιλελησμένος εἴη, μετέλθοι, καὶ εἴ τίς τι ἐνδεόμενος γνοίη, τοῦτο ἐπιπαρασκευάσαιτο. Κυαξάρης μὲν οὖν, τῶν Μή- 2
δων ἔχων τὸ τρίτον μέρος, κατέμενεν, ὡς μηδὲ τὰ οἴκοι ἔρημα εἴη. Ὁ δὲ Κῦρος ἐπορεύετο ὡς ἐδύνατο τάχιστα, τοὺς ἱππέας μὲν πρώτους ἔχων, καὶ πρὸ τούτων διερευνητὰς καὶ σκοποὺς ἀεὶ ἀναβιβάζων ἐπὶ τὰ πρόσθεν εὐσκοπώτατα· μετὰ δὲ τούτους ἦγε τὰ σκευοφόρα, ὅπου μὲν πεδινὸν εἴη, πολλοὺς ὁρμαθοὺς ποιούμενους τῶν ἁμαξῶν καὶ τῶν σκευοφόρων· ὄπισθεν δὲ ἡ φάλαγξ ἐφεπομένη, εἴ τι τῶν σκευοφόρων ὑπολείποιτο, οἱ προστυγχάνοντες τῶν ἀρχόντων ἐπεμέλοντο, ὡς μὴ κωλύοιντο πορεύ-

41. δὲ οἱ ἡγεμόνες] Ita pro ὦ ἡγεμ. Guelf. deinde συμβάλλετε margo Steph. et Guelf.

καταμάθητε] Lectionem librorum Philel. Brodæi, marg. Steph. Guelf. Altorf. vulgari καταλάβητε prætuli.

1. ὁ δὲ Κῦρος] Ita libri Philel. Brodæi, Guelf. ante Zeunium erat ὁ δ' ἐθ. deinde ὡς ἐδύνατο Junt.

τις τι ἐνδεόμενος] Stephani conjecturam in annotationibus Edit. prioris propositam τίς τινος recepit Hutchinson et Weiske, qui ἐπιδεόμενος legi malebat. deinde τοῦτο καὶ ἐπιπαρασκ. Altorfinus liber.

2. ὡς ἐδύνατο] Ex Zonara ὡς ἠδύνατο dedit Zeune. deinde αἰεὶ ἀναβ. Guelf.

πεδινὸν εἴη] Junt. πεδίον ἦν. Philel. et margo Steph. πεδίον εἴη.

ὄπισθεν — ἐφεπομένη] Hæc verba Bodl. omisit: vitiosa pronunciare non dubitem, quanquam viri docti nominativos absolutos esse statuant pro τῆς φάλαγγος ἐφεπομένης. Sed exempla a Zeunio comparata v. 5, 24. et vi. 1, 31. non sunt similia, sed plane diversa.

καὶ εἴ τι] Philelphus legisse videtur additum καί. Bodl. εἴ τις δὲ ὑπολείποιτο, omissis, quæ vitiosa videntur, verbis. Margo Steph. refert geminam varietatem, σκευοφόρων εἴ τι ὑπολείποιτο, οἱ προστ. alteram σκευοφόρων, εἴ τῳ ὑπολείποιτο. Stephanus in Annot. Edit. secundæ p. 34. b. inde efficiebat εἴ τῳ τὶ ὑπολείποιτο. deinde κωλύοιεν Junt. Altorf.

3 εσθαι. Ὅπου δὲ στενωτέρα εἴη ἡ ὁδὸς, διὰ μέσου ποι-
ούμενοι τὰ σκευοφόρα ἔνθεν καὶ ἔνθεν ἐπορεύοντο οἱ ὁπλο-
φόροι· καὶ εἴ τι ἐμποδίζοι, οἱ κατὰ ταῦτα γιγνόμενοι αὖ
τῶν στρατιωτῶν ἐπεμέλοντο. Ἐπορεύοντο δὲ ὡς τὰ πολ-
λὰ αἱ τάξεις, παρ' ἑαυταῖς ἔχουσαι τὰ σκευοφόρα·
ἐπετέτακτο γὰρ πᾶσι τοῖς σκευοφόροις κατὰ τὴν ἑαυτῶν
τάξιν ἕκαστον ἰέναι, εἰ μή τι ἀναγκαῖον ἀποκωλύοι.
4 Καὶ σημεῖον δὲ ἔχων ὁ τοῦ ταξιάρχου σκευοφόρος ἡγεῖτο
γνωστὸν τοῖς τῆς ἑαυτῶν τάξεως· ὥς τε ἀθρόοι ἐπορεύ-
οντο, ἐπεμελοῦντό τε ἰσχυρῶς ἕκαστος τῶν ἑαυτοῦ, ὡς μὴ
ὑπολείποιντο. Καὶ οὕτω ποιούντων, οὔτε ζητεῖν ἔδει ἀλ-
λήλους, ἅμα τε παρόντα ἅπαντα καὶ σαώτερα ἦν, καὶ
θᾶσσον τὰ δέοντα εἶχον οἱ στρατιῶται.
5 Οἱ δ' οὖν προϊόντες σκοποὶ ἔδοξαν ἐν τῷ πεδίῳ ὁρᾶν
ἀνθρώπους λαμβάνοντας καὶ χιλὸν καὶ ξύλα· καὶ ὑπο-
ζύγια δὲ ἑώρων, ἕτερα ταῦτα ἄγοντα, τὰ δὲ καὶ νεμό-
μενα· καὶ τὰ πρόσω αὖ ἐφορῶντες ἐδόκουν καταμανθά-
νειν μετεωριζόμενον ἢ καπνὸν, ἢ κονιορτόν· ἐκ τούτων
πάντων σχεδὸν ἐγίγνωσκον, ὅτι εἴη που πλησίον τὸ στρά-

Cyrus e pabulatoribus, quos intercipi jubet, de ftatu hoftium quærit.

3. Ὅπου δὲ] Guelf. ὅποι δέ. deinde στενοτέρα male Edd. recentiores.

αὖ τῶν] Juntina αὐτῶν. Philel. et Guelf. αὖ omittunt: ἐμποδίζοιτο, κατὰ ταῦτα αὖ γιγνόμενοι τῶν στρατιωτῶν ἐπεμέλοντο Altorf.

ἑαυτῶν τάξιν] Altorf. ἑαυτοῦ ἕκαστον τάξιν: ut Guelf. ex correctione: nam prima manu ἑκάστου fcriptum eft. deinde ἀποκωλύσυειν: Abrefch Thucydid. p. 73. ἀποκωλύει præferebat.

4. ὁ τοῦ ταξιάρχου σκ.] Ita Philel. margo Steph. Guelf. antea erat, τοῦ ταξ. ὁ σκευοφ. deinde τῆς ἑαυτοῦ τάξεως Altorf. abhinc ἕκαστοι τῶν ἑαυτοῦ Guelf. fed corrector ἕκαστος dedit poftea ὑπολίποιντο Guelf. Altorf.

5. Οἱ δ' οὖν] Altorf. Οἱ δ' οὖν προσιόντες—ὑποζύγια δ' ἑώρων—ἄγοντα, τὰ δὲ καὶ νεμόμενα—αὖ ἀφορῶντες. Etiam Edd. pr. ἀφορῶντες dant Guelf. καὶ τὸ πρόσω. Particulam ἢ ante καπνὸν corrector in Guelf. fupplevit. Vulgatum ὡς δὲ οἱ pofthabui Altorfinæ lectioni, quod in apodofi eft de iifdem fpeculatoribus fermo, non de aliis: deinde oratio in cola concifa narrationi huic melius convenire videtur.

ἕτερα ταῦτα] Zeunius in vulgata lectione ἕτερα τοιαῦτα interpretanda χιλὸν καὶ ξύλα intelligit. Camerarius interpretatur: *videbantur videre aliquos arripientes pabulum et ligna, cernebantque jumenta et quæ illa ducerent et quæ pafcerentur.* Aperte libri fui fcripturam Altorfinæ fimilem expreffit, a me receptam, nifi quod Altorf. ineptum τοιαῦτα tuetur. Vulgatum ἕτερα τοιαῦτα ἄγοντά τε καὶ νεμόμενα tacitus præteriit Weifke.

πάντων σχεδὸν] Ita ex Guelf. fcri-

τευμα τῶν πολεμίων. Εὐθὺς οὖν πέμπει τινὰ ὁ σκο- 6
πάρχης ἀγγελοῦντα ταῦτα τῷ Κύρῳ. Ὁ δὲ, ἀκούσας
ταῦτα, ἐκείνους μὲν ἐκέλευσε μένοντας ἐπὶ ταύταις ταῖς
σκοπαῖς, ὅ τι ἂν ἀεὶ καινὸν ὁρῶσιν, ἐξαγγέλλειν· τάξιν
δ' ἔπεμψεν ἱππέων εἰς τὸ πρόσθεν, καὶ ἐκέλευσε πει-
ραθῆναι συλλαβεῖν τινας τῶν ἀνὰ τὸ πεδίον ἀνθρώπων,
ὅπως σαφέστερον μάθοιεν τὸ ὄν· οἱ μὲν δὴ ταχθέντες
τοῦτο ἔπραττον. Αὐτὸς δὲ τὸ ἄλλο στράτευμα αὐτοῦ 7
κατεχώριζεν, ὅπως παρασκευάσαιντο, ὅσα ᾤετο χρῆναι,
πρὶν πάνυ ὁμοῦ εἶναι. Καὶ πρῶτον μὲν ἀριστᾷν παρηγ-
γύησεν, ἔπειτα δὲ μένοντας ἐν ταῖς τάξεσι τὸ παραγγελ-
λόμενον προνοεῖν· ἐπεὶ δὲ ἠρίστησαν, συνεκάλεσε καὶ ἱπ- 8
πέων καὶ πεζῶν καὶ ἁρμάτων τοὺς ἡγεμόνας, καὶ τῶν
μηχανῶν δὲ καὶ τῶν σκευοφόρων τοὺς ἄρχοντας καὶ τῶν
ἁρμαμαξῶν. καὶ οὗτοι μὲν συνῆσαν. Οἱ δὲ καταδρα- 9
μόντες εἰς τὸ πεδίον συλλαβόντες ἀνθρώπους ἦγαγον· οἱ
δὲ συλληφθέντες ἀνερωτώμενοι ὑπὸ τοῦ Κύρου ἔλεγον, ὅτι
ἀπὸ τοῦ στρατοπέδου εἶεν, προεληλύθοιεν δὲ ἐπὶ χιλὸν, οἱ
δ' ἐπὶ ξύλα, παρελθόντες τὰς προφυλακάς· διὰ γὰρ
τὸ πλῆθος τοῦ στρατοῦ σπάνια πάντα εἶναι. Καὶ ὁ 10
Κῦρος, ταῦτα ἀκούσας, Πόσον δ', ἔφη, ἄπεστιν ἐνθένδε

psi pro ἁπάντων. ἐκ τούτων δὴ malim. In præcedentibus voculam σχεδὸν ex libro eo non commemoraverat Zeune, vulgo omiſſam. εἴκαζον poſuit Zonaras. Sequens που omittit Altorfinus cum Edd. pr.

6. τινὰ ὁ σκ.] Hoc ordine Guelf. ante Zeunium erat τινὰ poſt σκοπάρχης poſitum.

ἀκούσας ταῦτα] Simplicitatis excuſatione tueri repetitum ταῦτα in tanta prioris vicinia nolim.

ὁρῶσιν] Zonaras ὁρῷεν ἀπαγγέλλειν. τάγμα. deinde μάθοι vertit Philel.

7. τὸ παρ. προνοεῖν] Juntina καὶ παρ. Zeune auctoritatem Guelf. libri præfatus προσνοεῖν dedit, interpretatus προσέχειν τὸν νοῦν. Verum ex Guelf. lectionem iſtam non annotavit Fiſcher: deinde ſupra iv. 1, 6. eandem dictionem intactam reliquerat vir doctus: denique ſignificatio, quam verbo προσνοεῖν affingit Zeune, falſa eſt.

9. συλληφθέντες] Ita pro ſimplice ληφθ. Brodæi liber, Guelf. margo Steph. et Zonaras.

προεληλύθοιεν] Ita etiam Altorf. προεληλυθότες ἐπὶ Guelf. probavit Zeune et vertit Philelphus. Sequens παρελθόντες eſt etiam in Guelf. ſed ex correctione: antea erat προελθ. Ceterum Leoncl. poſt προεληλύθοιεν δὲ addi voluit οἱ μὲν propter ſequens οἱ δέ. Sed vide annot. ad v. 2, 5.

10. Καὶ ὁ Κῦρος] Suidas h. l. ex-

τὸ στράτευμα; Οἱ δ᾽ ἔλεγον, ὅτι ὡς δύο παρασάγγας. Ἐπὶ τούτοις ἤρετο ὁ Κῦρος, Ἡμῶν δ᾽, ἔφη, λόγος τις ἦν παρ᾽ αὐτοῖς; Ναὶ μὰ Δί᾽, ἔφασαν, καὶ πολύς γε· ὡς ἐγγὺς ἤδη ἦτε προσιόντες. Τί οὖν; ἔφη ὁ Κῦρος, ἦ καὶ ἔχαιρον ἀκούοντες ἰόντας; (τοῦτο δ᾽ ἐπήρετο τῶν παρόντων ἕνεκα.) Οὐ μὰ Δία, εἶπον ἐκεῖνοι, οὐ μὲν δὴ καὶ
11 ἔχαιρον, ἀλλὰ καὶ μάλα ἠνιῶντο. Νῦν δ᾽, ἔφη ὁ Κῦρος, τί ποιοῦσιν; Ἐκτάττονται, ἔφασαν· καὶ χθὲς δὲ καὶ τρίτην ἡμέραν τὸ αὐτὸ τοῦτο ἔπραττον. Ὁ δὲ τάττων, ἔφη ὁ Κῦρος, τίς ἐστιν; Οἱ δ᾽ ἔφασαν, αὐτός τε Κροῖσος, καὶ σὺν αὐτῷ Ἕλλην τις ἀνὴρ, καὶ ἄλλος δέ τις Μῆδος· οὗτος μέντοι ἐλέγετο φυγὰς εἶναι παρ᾽ ὑμῶν. Καὶ ὁ Κῦρος εἶπεν· Ἀλλ᾽, ὦ Ζεῦ μέγιστε, λαβεῖν μοι γένοιτο αὐτὸν, ὡς ἐγὼ βούλομαι.

Araspas redit et exponit de acie hostium.

12 Ἐκ τούτου τοὺς μὲν αἰχμαλώτους ἀπάγειν ἐκέλευσεν, εἰς δὲ τοὺς παρόντας, ὡς λέξων τι, ἀνήγετο. Ἐν τούτῳ δὲ παρῆν ἄλλος αὖ παρὰ τοῦ σκοπάρχου, λέγων, ὅτι ἱππέων τάξις μεγάλη ἐν τῷ πεδίῳ προφαίνοιτο· καὶ ἡμεῖς μὲν, ἔφη, εἰκάζομεν, ἐλαύνειν αὐτοὺς βουλομένους

cerpens in vocabulo παρασάγγης laudat ὁ δὲ Κ.—ὁπόσον δέ. deinde ἐντεῦθεν Zonaras, omisit vocabulum Suidas.

ὅτι ὡς δύο] Ex margine Steph. et Guelf. hoc cum Zeunio recepit Weiske: mihi antiqua lectio omisso ὅτι probatur, quam excerpsit etiam Suidas addito post mensuræ nomen εἶπον verbo.

Ἐπὶ τούτοις] Altorf. ἐπὶ τούτων. deinde ἔφησαν Guelf. a prima manu.

ἦ καὶ] Hæc omittunt Juntina et Altorf. sequens ἰόντας ex Philel. Brodæi libro et Guelf. accessit. ἡμᾶς etiam subjunxit Zonaras.

τοῦτο δ᾽] Edd. pr. Altorf. ὁ δὲ τοῦτ᾽ ἐπήρετο. deinceps γε post οὐ μὲν δή cum Stephano dedit Weiske, cujus in locum καὶ ex Guelf. suffectum a Zeunio facilius tolerari potest, ita ut ad quæstionem simul illam ἦ καὶ ἔχαιρον respiciatur. Compara i. 6, 9. ii. 2, 22. et v. 5, 18. At ita sequens καὶ post ἀλλὰ (hoc ipsum a Juntina omissum) displicet repetitum.

11. τρίτην ἡμέραν] Pro τρεῖς ἡμέρας dictum interpretatur Grammaticus Mtus in Ruhnkenii Differt. de Antiphonte p. 824. in Reiskii Orat. Græc. vol. vii. repetita, qui laudat ex Xenophonte καὶ τρ. ἡμ. αὐτὸ τοῦτ᾽ ἔπρ.

γένοιτο αὐτὸν] Hoc ordine Guelf. et Altorf. Vulgo inverso leguntur.

12. ἀπάγειν] Altorf. ἐκέλευσεν ἀπάγειν. Zonaras ὑπάγειν dat.

αὖ παρὰ τοῦ] Guelf. ἄλλος ἀπὸ τοῦ. sed corrector αὖ post ἄλλος inseruit.

ἰδεῖν τόδε τὸ στράτευμα. Καὶ γὰρ πρὸ τῆς τάξεως
ταύτης ἄλλοι ὡς τριάκοντα ἱππεῖς συχνὸν προελαύνουσι,
καὶ μέντοι κατ' αὐτοὺς ἡμᾶς, ἴσως βουλόμενοι λαβεῖν,
ἢν δύνωνται, τὴν σκοπήν· ἡμεῖς δὲ ἐσμὲν μία δεκὰς οἱ
ἐπὶ ταύτῃ τῇ σκοπῇ. Καὶ ὁ Κῦρος ἐκέλευσε τῶν περὶ 13
αὐτὸν ἀεὶ ὄντων ἱππέων ἐλάσαντας ὑπὸ τὴν σκοπὴν ἀδή-
λους τοῖς πολεμίοις ἀτρεμίαν ἔχειν. Ὅταν δ', ἔφη, ἡ
δεκὰς ἡ ἡμετέρα λείπῃ τὴν σκοπὴν, ἐξαναστάντες ἐπί-
θεσθε τοῖς ἀναβαίνουσιν ἐπὶ τὴν σκοπήν. Ὡς δ' ὑμᾶς
μὴ λυπῶσιν οἱ ἀπὸ τῆς μεγάλης τάξεως, ἀντέξελθε σὺ,
ἔφη, ὦ Ὑστάσπα, τὴν χιλιοστὺν τῶν ἱππέων λαβὼν,
καὶ ἐπιφάνηθι ἀντίος τῇ τῶν πολεμίων τάξει. Διώξεις
δὲ μηδαμῆ εἰς ἀφανὲς, ἀλλ', ὅπως αἱ σκοπαί σοι δια-
μενοῦσιν, ἐπιμεληθεὶς πάριθι. Ἂν δ' ἄρα ἀνατείνοντες
τὰς δεξιὰς προσελαύνωσιν ὑμῖν τινες, δέχεσθε φιλίως
τοὺς ἄνδρας.

Ὁ μὲν δὴ Ὑστάσπας ἀπιὼν ὡπλίζετο· οἱ δὲ ὑπηρέ- 14
ται ἤλαυνον εὐθὺς, ὡς ἐκέλευσεν. Ἅπαντᾷ δ' αὐτοῖς
καὶ δὴ ἐντὸς τῶν σκοπῶν Ἀράσπας σὺν τοῖς θεράπουσιν,
ὁ πεμφθεὶς πάλαι κατάσκοπος, ὁ φύλαξ τῆς Σουσίδος

τόδε τὸ] Juntina τότε τὸ, quod Caſtalio in τοῦτο τὸ mutavit.

ταύτης] Edd. pr. Altorf. omittunt; deinde συχνῶς Edd. pr. συχνὸν Bodl. margo Steph. et Altorf. συχνοὶ Philel. et Guelf.

προελαύνουσι] Stephani conjecturam cum Editione Eton. recepi pro προσελ. propter ſequens συχνόν. Sic eſt in Anabaſi i. 8, 10. ἅρματα διαλείποντα συχνὸν ἀπ' ἀλλήλων. Philelphi et Guelf. συχνοὶ cum numero certo non convenit. Vulgatum συχνῶς plane ineptum eſt.

κατ' αὐτοὺς] Liber Brodæi, margo Steph. Bodl. Guelf. ἔφη, καὶ αὐτούς. Muretus καὶ αὐτοὺς probabat: deinde ἡ ἐπὶ Guelf. ſed οἱ Altorf. omittit. poſtea ταύτης τῆς σκοπῆς libri Brodæi, margo Steph. Guelf.

13. ἀδήλους] Edd. pr. ἀδήλοις correxit Brodæus. deinde ἀντεξέλθετε, ἔφη, ὦ Ὑστάσπα. omiſſo συ. ſed corrector ἀντέξελθε dedit. poſtea cum margine Steph. ἐναντίος τῇ.

μηδαμῆ] Guelf. οὐδαμῆ. deinde ex eodem Altorf. et Philelpho σοι pro σου dedit Zeune.

διαμενοῦσιν] Ita Altorf. pro διαμένωσιν. ſupra ſcripta vulgata. deinde ἢν δ ἄρα ἀνατείναντές τινες τάς: poſtea corrector φιλίους dedit in Guelf.

14. Ὑστάσπας] Guelf. Ὑστάσπης. deinde καὶ δὴ Muretus in ἤδη mutabat, quo non eſt opus.

ὁ φύλαξ] Ita Philel. Leonclaviana poſtrema, Eton. Hutchinſoniana et Zeuniana pro ἤ. Altorf. neutrum habet.

15 γυναικός. Ὁ μὲν οὖν Κῦρος, ὡς εἶδεν, ἀναπηδήσας ἐκ
τῆς ἕδρας ὑπήντα τε αὐτῷ καὶ ἐδεξιοῦτο· οἱ δ' ἄλλοι,
ὥσπερ εἰκὸς, μηδὲν εἰδότες, ἐκπεπληγμένοι ἦσαν τῷ
πράγματι· ἕως ὁ Κῦρος εἶπεν, Ἄνδρες φίλοι, ἥκει ἡμῖν
ἀνὴρ ἄριστος. Νῦν γὰρ ἤδη πάντας ἀνθρώπους δεῖ εἰ-
δέναι τὰ τούτου ἔργα. Οὗτος οὔτε αἰσχροῦ ἡττηθεὶς οὐ-
δενὸς ᾤχετο, οὔτε ἐμὲ φοβηθεὶς, ἀλλ' ὑπ' ἐμοῦ πεμ-
φθεὶς, ὅπως ἡμῖν, μαθὼν τὰ τῶν πολεμίων, σαφῶς τὰ
16 ὄντα ἐξαγγείλειεν. Ἃ μὲν οὖν ἐγώ σοι ὑπεσχόμην, ὦ
Ἀράσπα, μέμνημαί τε καὶ ἀποδώσω σὺν τούτοις πᾶσι.
Δίκαιον δὲ καὶ ὑμᾶς ἅπαντας, ὦ ἄνδρες, τοῦτον τιμᾶν
ὡς ἀγαθὸν ἄνδρα· ἐπὶ γὰρ τῷ ἡμετέρῳ ἀγαθῷ καὶ
17 ἐκινδύνευσε, καὶ αἰτίαν ὑπέσχεν, ᾗ ἐβαρύνετο. Ἐκ τού-
του δὴ πάντες ἠσπάζοντο τὸν Ἀράσπαν καὶ ἐδεξιοῦντο.
Εἰπόντος δὲ Κύρου, ὅτι τούτων μὲν [τοίνυν] ἅλις εἴη, Ἃ
δὲ καιρὸς ἡμῖν εἰδέναι, ταῦτα, ἔφη, διηγοῦ, ὦ Ἀράσπα·
καὶ μηδὲν ἔλαττου τοῦ ἀληθοῦς, μηδὲ μείου τὰ τῶν πο-
λεμίων. Κρεῖττον γὰρ, μείζω οἰηθέντας μείονα ἰδεῖν,
18 ἢ μείω ἀκούσαντας μείζονα εὑρίσκειν. Καὶ μὴν, ἔφη
ὁ Ἀράσπας, ὡς ἂν ἀσφαλέστατα εἰδείην, ὁπόσον τὸ
στράτευμά ἐστιν, ἐποίουν· συνεξέταττον γὰρ παρὼν αὐ-

15. ὡς εἶδεν] Philel. libri, Bodl. Zonaras et margo Steph. ὡς ἤκουσεν.

οὐδενὸς ᾤχετο] Altorf. οὐδενὸς omiſit; deinde δίκαιον γὰρ corrector in Guelf. dedit. Pro αἰτίαν Zonaras ἀτιμίαν poſuit.

17. μὲν [τοίνυν] Additum ex Philel. Guelf. et Altorf. τοίνυν iterum ſecluſi. Vulgatum μὲν ἅλις εἴη potuerat relinqui.

μηδὲν ἐλάττου] Ita cum Philel. margine Steph. Guelf. Zeune. antiquum μηδὲν μείου τοῦ ἀληθοῦς τὰ τῶν πολ. revocavit Weiſke. Suidas in μείου habet μηδὲν ἐλάσσου (ut Guelf.) τἀληθοῦς, μηδὲ μείου τὰ τ. π.

μείζω] Ex iiſdem libris pro μείζονα, et deinde ἰσχυρότερα recepit Zeune: hoc poſterius habet etiam Altorfinus.

18. ὡς ἂν ἀσφ.] Ita ex margine Steph. et Leoncl. correxi et interpolavi vulgatum ὡς σαφέστατά γ' ἂν εἰδείην, ἐποίουν, quod revocavit Weiſke. Etiam Brodæus verba ὁπόσον τὸ στράτευμα addi juſſit; deinde καὶ ἐποίουν neſcio unde laudavit Brodæus. ὡς σαφέστατα γ' ἂν εἰδείην, ἃ ἐποίουν Altorfinus Noſtram lectionem, ſed inſerto inepto γε ante εἰδείην, habet Guelf. et inde Zeuniana: eamque flagitat Cyri reſponſio. Mihi ante ἐποίουν vocabulum πάντα vel οὕτω deeſſe videtur, cujus reliquias ſervavit Altorfinus liber. Cf. ad vii. 3, 10.

παρὼν αὐτοὺς] Aldinæ, Philel. mar-

τούς. Σὺ μὲν ἄρα, ἔφη ὁ Κῦρος, οὐ τὸ πλῆθος μόνον οἶσθα, ἀλλὰ καὶ τὴν τάξιν αὐτῶν. Ἐγὼ μὲν, ναὶ μὰ Δί', ἔφη ὁ Ἀράσπας, καὶ ὡς διανοοῦνται τὴν μάχην ποιεῖσθαι. Ἀλλ' ὅμως, ἔφη ὁ Κῦρος, τὸ πλῆθος ἡμῖν πρῶτον εἰπὲ ἐν κεφαλαίῳ. Ἐκεῖνοι τοίνυν, ἔφη, πάντες 19
τεταγμένοι εἰσὶν ἐπὶ τριάκοντα τὸ βάθος καὶ πεζοὶ καὶ ἱππεῖς, πλὴν τῶν Αἰγυπτίων· οὗτοι δ' ἀπέχουσιν ἀμφὶ τὰ τετταράκοντα στάδια· πάνυ γάρ μοι, ἔφη, ἐμέλησεν, ὥστε εἰδέναι, ὁπόσον κατεῖχον χωρίον. Οἱ δ' Αἰγύπτιοι, 20
ἔφη ὁ Κῦρος, εἰπὲ, πῶς εἰσι τεταγμένοι· ὅτι εἶπας, πλὴν τῶν Αἰγυπτίων. Τούτους δ', ἔφη, οἱ μυριάρχαι ἔταττον εἰς ἑκατὸν πανταχῇ τὴν μυριοστὺν ἑκάστην· τοῦτον γὰρ σφίσι καὶ οἴκοι νόμον ἔφασαν εἶναι τῶν τάξεων. Καὶ ὁ Κροῖσος μέντοι μάλα ἄκων συνεχώρησεν αὐτοῖς οὕτω τάττεσθαι· ἐβούλετο γὰρ ὅτι πλεῖστον ὑπερφαλαγγῆσαι τοῦ σοῦ στρατεύματος. Πρὸς τί δὴ, ἔφη ὁ Κῦρος, τοῦτο ἐπιθυμῶν; Ὡς ναὶ μὰ Δί', ἔφη, τῷ περιττῷ κυκλωσόμε-

ginis Steph. Bodl. Guelf. αὐτοῖς revocavit Zeune.

σὺ μὲν ἄρα] Ex Philel. et Guelf. σὺ μὲν γὰρ dederunt Zeune et Weiſke. Sed γὰρ ſæpe pro ἄρα exquiſite poni, nullus nec Hoogeveen nec Zeune mihi perſuadere unquam poterit.

καὶ ὡς] Brodæi liber καὶ πῶς dabat.

19. ἔφη] Omittunt Edd. pr. ſequens οὗτοι pertinet ad πάντες, non ad Ægyptios.

ἀπέχουσιν] Budenſis liber οὗτοι δ' ἔχουσιν. quod probabat Camerarius ἔχουσιν interpretatus ἐπέχουσιν, quod ipſum unice placebat Leonclavio. κατέχουσι malebat Muretus; ἀπέχουσι inepte defendit Zeune. πλὴν Αἰγυπτίων, ἔχουσιν ἀμφὶ—ὁπόσον κρατεῖ χωρίον. In Guelf. κατέχουσι eſt in litura paulo longiore ſcriptum, referente Zeunio, ubi a prima manu fuiſſe videatur αὖ κατέχουσι. Mihi locus non ſolum vitioſus ſed etiam mancus videtur, gemino argumento pronominis οὗτοι, quod aperte præcedenti ἐκεῖνοι oppoſitum ad Ægyptios referri debet; deinde ἀπέχουσι nullo modo poteſt locum verbi ἐπέχουσι obtinere. Indicium lacunæ facit etiam lectio Altorfina. Jam nihil melius ſuccurrit quam ex indiciis Altorf. ſcribere πάντες τεταγμένοι ἐπὶ τρ. τὸ βάθος καὶ πεζοὶ καὶ ἱππεῖς πλὴν τῶν Αἰγυπτίων ἐπέχουσιν ἀμφὶ etc.

20. ἔφη ὁ Κῦρος, εἰπὲ] Guelf. ἔφη Κῦρος, πῶς omiſſo articulo et εἰπέ.

Τούτους δ', ἔφη] Ex Philelpho ἔφη addidi cum Zeunio. τούτοις ex libro ſuo poſuit Camerarius.

οἴκοι νόμον] Juntina et corrector Guelf. οἰκονόμον. deinde ἔθεσαν pro ἔφασαν Aldina, Philel. margo Steph. et Guelf.

Κροῖσος μέντοι] Altorf. Κρ. μὲν— ὑπερφαλαγγίσαι.

νος. Καὶ ὁ Κῦρος εἶπεν· Ἀλλ᾽ οὔτοι ἂν εἰδεῖεν, εἰ οἱ κυκλούμενοι κυκλωθεῖεν.

21 Ἀλλ᾽ ἃ μὲν παρά σου καιρὸς μαθεῖν, ἀκηκόαμεν· ὑμᾶς δὲ χρή, ὦ ἄνδρες, οὕτω ποιεῖν· νῦν μέν, ἐπειδὰν ἐνθένδε ἀπέλθητε, ἐπισκέψασθε καὶ τὰ τῶν ἵππων καὶ τὰ ὑμῶν αὐτῶν ὅπλα· (πολλάκις γὰρ μικροῦ ἐνδείᾳ καὶ ἀνὴρ καὶ ἵππος καὶ ἅρμα ἀχρεῖον γίγνεται) αὔριον δὲ πρῲ, ἕως ἂν ἐγὼ θύωμαι, πρῶτον μὲν χρὴ ἀριστῆσαι καὶ ἄνδρας καὶ ἵππους, ὅπως, ὅ τι ἂν πράττειν ἀεὶ καιρὸς ᾖ, μὴ τούτου ἡμῖν ἐνδέῃ· ἔπειτα δὲ σύ, ἔφη, ὦ Ἀράσπα, τὸ δεξιὸν κέρας ἔχε, ὥσπερ καὶ ἔχεις, καὶ οἱ ἄλλοι μυρίαρχοι, ᾗπερ νῦν ἔχετε· ὁμοῦ γὰρ τοῦ ἀγῶνος ὄντος, οὐδενὶ ἅρματι ἔτι καιρὸς τοὺς ἵππους μεταζευγνύναι. Παραγγείλατε δὲ τοῖς ταξιάρχοις, καὶ λοχαγοῖς ἐπὶ φάλαγγος καθίστασθαι, εἰς δύο ἔχοντας ἕκαστον τὸν λόχον. Ὁ δὲ λόχος ἦν ἕκαστος εἰκοσιτέτταρες.

Accuratius defcribitur acies Cyri.

22 Καί τις εἶπε τῶν μυριάρχων, Καὶ δοκοῦμέν σοι, ἔφη, ὦ Κῦρε, ἱκανῶς ἕξειν, εἰς τοσούτους τεταγμένοι, πρὸς οὕτω βαθεῖαν φάλαγγα; Καὶ ὁ Κῦρος εἶπεν· Αἱ δὲ

οὔτοι ἂν] Edd. pr. cum Altorf. οὔτοι ἂν—εἰ κυκλ. omiffo οἱ articulo. Sed Brodæi opinio οὔτοι corrigentis placuit Leonclavio et Stephano. Muretus οὔτοι—μὴ οἱ malebat. Verum εἰδεῖεν fenfu eo quo latinum *videant*, dici non puto. οὗτος ἂν εἰδείη, ἢ οἱ κ. Weifke conjiciebat.

21. καιρὸς] Omittit Altorf. deinde cum Juntina et Ifingr. ὡς πολλάκις μικροῦ etc.

ἕως ἂν] Altorf. ἂν omiffo deinde πρῶτον γε χρὴ—πράττειν ἀεὶ καιρὸς εἴη. Guelf. ἀεὶ καιρὸς ᾖ. Vulgo eft καιρὸς ἀεὶ ᾖ. deinde ὑμῖν ἐνδέῃ vertit Philelphus. τούτου ante ἐνδέῃ pertinet ad ἀριστᾷν.

καὶ ἔχεις] Juntina cum Altorf. κατέχεις. Hæc ipfa verba Arafpæ modo redeunti ex hoftium caftris non convenire ratus Ἀρίσβα conjecit, quicunque memoratum a Leonclavio nomen reperit, probante Weifkio. Nec alibi Arafpas inter μυριάρχους nominatur. Vide etiam ad vii. 1, 3.

ὁμοῦ γὰρ] Guelf. ὁμοῦ δέ. fequens ἔτι cum Philelpho Guelf. et Altorf. omittit. Proverbii loco exemplum currus juncti poni recte admonet Camerarius.

ταξιάρχοις] Ita ex Guelf. Zeune pro ταξιάρχαις.

εἰς δύο ἔχοντας] Bifariam divifo manipulo feu ordine quoque.

22. ἔφη, ὦ Κῦρε] Edd. pr. cum Altorf. ἔφη omittunt. deinde τεταγμένους a prima manu fcriptum habet Guelf. ὡς τοσούτου τεταγμένοι πρὸς οὕτω τεταγμένοι Altorfinus.

βαθύτεραι φάλαγγες, ἢ ὡς ἐξικνεῖσθαι τοῖς ὅπλοις
τῶν ἐναντίων, τί σοι δοκοῦσιν, ἔφη, τοὺς πολεμίους
βλάπτειν, ἢ τοὺς συμμάχους [ὠφελεῖν]; Ἐγὼ μὲν γὰρ, 23
ἔφη, τοὺς εἰς ἑκατὸν τούτους ὁπλίτας εἰς μυρίους ἂν βου-
λοίμην μᾶλλον τετάχθαι· οὕτω γὰρ ἂν ἐλαχίστοις μα-
χοίμεθα. Ἐξ ὅσων μέντοι ἐγὼ τὴν φάλαγγα βαθυ-
νῶ, οἴομαι ὅλην ἐνεργὸν καὶ σύμμαχον ποιήσειν αὐτὴν
ἑαυτῇ. Ἀκοντιστὰς μὲν ἐπὶ τοῖς θωρακοφόροις τάξω, 24
ἐπὶ δὲ τοῖς ἀκοντισταῖς τοξότας. Τούτους γὰρ πρωτο-
στάτας μὲν τίς ἂν τάττοι, οἳ καὶ αὐτοὶ ὁμολογοῦσι μη-
δεμίαν μάχην ἂν ὑπομεῖναι ἐκ χειρός; Προβεβλημένοι
δὲ τοὺς θωρακοφόρους μενοῦσί τε, καὶ οἱ μὲν ἀκοντί-
ζοντες, οἱ δὲ τοξεύοντες, ὑπὲρ τῶν πρόσθεν πάντων λυ-
μανοῦνται τοὺς πολεμίους. Ὅ τι δ' ἄν τις κακουργῇ
τοὺς ἐναντίους, δηλονότι παντὶ τούτῳ τοὺς συμμάχους
κουφίζει. Τελευταίους μέντοι στήσω τοὺς ἐπὶ πᾶσι 25
καλουμένους. Ὥσπερ γὰρ οἰκίας οὔτε ἄνευ λιθολογή-
ματος ὀχυροῦ, οὔτε ἄνευ τῶν στέγην ποιούντων οὐδὲν ὄφε-
λος, οὕτως οὐδὲ φάλαγγος οὔτε ἄνευ τῶν πρώτων οὔτε
ἄνευ τῶν τελευταίων, εἰ μὴ ἀγαθοὶ ἔσονται, ὄφελος οὐ-

σοι δοκοῦσιν, ἔφη] Philelphus cum Guelf. τί σοι, ἔφη, δοκοῦσιν εἶναι, ἢ τούς. Brodæi libri τί σοι δοκ. εἶναι, ἔφη, τούς. Margo Steph. τί σοι, ἔφη, δοκ. εἶναι, τούς. Mihi Muretus verbum ὠφελεῖν recte damnaſſe videtur; igitur ſecluſi.

23. εἰς μυρίους] Altorf. δισμυρίους inepte. deinde οὕτως γὰρ—μαχούμεθα. Guelf. μᾶλλον βουλοίμην.

ὅσων] Altorf. οἵων. Poſt ἀκοντιστὰς Juntina μὲν omiſit; γὰρ dat Altorf. deinde τοὺς τοξότας Guelf.

24. μὲν τίς ἂν] Ex Guelf. μέντοι ἄν τις dedit Zeune, μέντοι, quæſo, omnino interpretatus, ineptiſſime. Cum Stephano et Mureto Hutchinſon vulgatum ἄν τις mutavit in τίς ἄν.

μενοῦσί τι] Ita cum Philelpho, Altorf. et Guelf. pro γε Zeune dedit. deinde πρόσθε Altorf. manus tamen aliena ν addidit.

ἄν τις κακ.] Ita cum Guelf. Zeune pro ἂν κακ. τις.

25. τοὺς ἐπὶ πᾶσι] Eſſe eoſdem, qui alias οἱ ὄπισθεν et οὐρὰ dicantur, tradit Weiſke; recte, dummodo hos de agmine, illos de acie intelligas, quanquam locus Hellenicorum i. 1, 34. contrarius huic ſententiæ eſſe videatur. Verum certi genus militis eſſe debere arguit additum καλουμένους.

λιθολογήματος] Altorf. λιθουργήματος dat, deinde ὄφελος οὐδέν. Pro ὀχυροῦ Edd. pr. et Guelf. ὀχυροῦν, Caſtalio ὀχυρῶν habent.

εἰ—ἔσονται] Ita cum Philel. et

26 δέν. Ἀλλ' ὑμεῖς τε, ἔφη, ὡς παραγγέλλω, τάττεσθε,
καὶ ὑμεῖς οἱ τῶν πελταστῶν ἄρχοντες ἐπὶ τούτοις τοὺς
λόχους ὡσαύτως καθίστατε· καὶ ὑμεῖς οἱ τῶν τοξοτῶν,
27 ἐπὶ τοῖς πελτασταῖς ὡσαύτως. Σὺ δὲ, ὃς τῶν ἐπὶ πᾶ-
σιν ἄρχεις, τελευταίους ἔχων τοὺς ἄνδρας, παράγγελλε
τοῖς ἑαυτοῦ ἐφορᾷν τε ἑκάστῳ τοὺς καθ' ἑαυτὸν, καὶ τοῖς
μὲν τὸ δέον ποιοῦσιν ἐπικελεύειν, τοῖς δὲ κακυνομένοις
ἀπειλεῖν ἰσχυρῶς· ἢν δέ τις στρέφηται, προδιδόναι θέ-
λων, θανάτῳ ζημιοῦν. Ἔργον γάρ ἐστι τοῖς μὲν πρω-
τοστάταις θαῤῥύνειν τοὺς ἑπομένους καὶ λόγῳ καὶ ἔργῳ·
ὑμᾶς δὲ δεῖ, τοὺς ἐπὶ πᾶσι τεταγμένους, πλείω φόβον
28 παρέχειν τοῖς κακοῖς τοῦ ἀπὸ τῶν πολεμίων. Καὶ ὑμεῖς
μὲν ταῦτα ποιεῖτε. Σὺ δὲ, ὦ Εὐφράτα, ὃς ἄρχεις τῶν
ἐπὶ ταῖς μηχαναῖς, οὕτω ποίει, ὅπως τὰ ζεύγη, τὰ τοὺς
πύργους ἄγοντα, ἕψεται ὡς ἐγγύτατα τῆς φάλαγγος.
29 Σὺ δ', ὦ Δαοῦχε, ὃς ἄρχεις τῶν σκευοφόρων, ἐπὶ τοῖς
πύργοις ἄγε πάντα τὸν τοιοῦτον στρατόν· οἱ δ' ὑπηρέται

Guelf. margo Steph. et Zeuniana pro ἦν—ὦσιν. Weiſkiana ἦν—ἔσονται dedit.

26. ὑμεῖς τε] Guelf. τε omiſit. Intelligit θωρακοφόρους.

πελταστῶν] Sunt qui antea ἀκοντισταὶ vocantur. ἐπὶ τούτοις ὡσαύτως τοὺς λόχους καθίστατε Guelf. ὡσαύτως λόχους καθιστᾶτε Altorf.

27. ὃς τῶν] Guelf. ὃς τοῦ—τοῖς καθ' αὑτόν. ſed corrector τοὺς καθ' αὑτὸν fecit.

κακυνομένοις] Ex Budenſi et Altorf. μαλακυνομένοις prætulit Zeune.

Ἔργον γὰρ] Guelf. ἔργῳ γὰρ—θαρσύνειν. Budenſis προστάταις.

ὑμᾶς δὲ δεῖ] Guelf. καὶ ὑμᾶς δεῖ. Edd. pr. δὴ pro δεῖ habent. deinde φόβῳ Altorf.

28. Εὐφράτα] Vulgare nomen Ἀβράδατα nomen ſpurium arguit ſectio 35. Camerarius in Budenſi Epphrata item Euphrata reperiri tradit. Philelphus Eufrates dedit, unde forte margo Steph. Εὐφράτα duxit, quod dedit Zeune. Guelf. Βραδάτα.

τὰ τοὺς πύργους] Vulgo interſerta verba τοὺς ὑπηρέτας καὶ poſt πύργους poſita interpretatur Philelphus, plane omiſit Guelf. cum margine Steph. igitur ſecluſerat Zeune, ego delevi. ἄγοντα eſt in Philel. margine Steph. Guelf. et Altorf. pro vulgato ante Zeunium φέροντα. In Altorf. tamen φέροντας eſt.

29. Δαοῦχε] Guelf. Δαδοῦχε—σκευοφόρων. deinceps additum vulgo ἁρμαμαξῶν in Guelf. corrector inſeruit, omiſit etiam Bodl. et Altorf. Si Dauchus eſt nomen ducis a natione aliqua ductum, ut Carduchus, Τάοχε ſcribendum videri cui poſſit.

ἐπὶ τοῖς πύργοις] Margo Steph. et Guelf. addunt deinceps : ἐπὶ ταῖς μηχαναῖς. Brodæi libri καὶ ἐπὶ ταῖς μηχαναῖς, quod Philelphus vertit.

ἄγε] Juntina ἄγετε. deinde προϊόντας τοῦ καιροῦ eſt pro προσωτέρω τοῦ καιροῦ προέρχεσθαι longius juſto progredi. σου τῶν ὄχλων eſt in libro Bro-

σοῦ ἰσχυρῶς κολαζόντων τοὺς προϊόντας τοῦ καιροῦ, ἢ
λειπομένους. Σὺ δ', ὦ Καρδοῦχε, ὃς ἄρχεις τῶν ἁρ- 30
μαμαξῶν, αἳ ἄγουσι τὰς γυναῖκας, κατάστησον αὐτὰς
τελευταίας ἐπὶ τοῖς σκευοφόροις. Ἑπόμενα γὰρ ταῦτα
πάντα καὶ πλήθους δόξαν παρέξει, καὶ ἐνεδρεύειν ἡμῖν
ἐξουσία ἔσται, καὶ τοὺς πολεμίους, ἢν κυκλοῦσθαι, πει-
ρῶνται, μείζω τὴν περιβολὴν ἀναγκάσει ποιεῖσθαι· ὅσῳ
δ' ἂν μεῖζον χωρίον περιβάλλωνται, τοσούτῳ αὐτοὺς
ἀσθενεστέρους ἀνάγκη γίγνεσθαι. Καὶ ὑμεῖς μὲν οὕτω 31
ποιεῖτε. σὺ δὲ, ὦ Ἀρτάβαζε, καὶ Ἀρταγέρσα, τὴν
χιλιοστὺν ἑκάτερος τῶν σὺν ὑμῖν ἐπὶ τούτοις ἔχετε πεζῶν.
Καὶ σὺ, ὦ Φαρνοῦχε καὶ Ἀσιαδάτα, τὴν τῶν ἱππέων 32
χιλιοστὺν, ἧς ἑκάτερος ὑμῶν ἄρχει, μὴ συγκατατάττετε
εἰς τὴν φάλαγγα, ἀλλ' ὄπισθεν τῶν ἁρμαμαξῶν ἐξο-
πλίσθητε καθ' ὑμᾶς αὐτούς· ἔπειτα πρὸς ἡμᾶς ἥκετε
σὺν τοῖς ἄλλοις ἡγεμόσιν. Οὕτω δὲ δεῖ ὑμᾶς παρε-

dæi, Guelf. et margine Steph. ſed Philelphus verba τῶν ὄχλων poſt κολαζόντων τοὺς inſerta vertit.

30. Καρδοῦχε] In Guelf. Καρδοῦχα eſt a prima manu ſcriptum, κάρδουχα a correctore, quam poſteriorem formam dat etiam margo Steph. *Cadurra* verſio Philelphi.

αἳ ἄγουσι τὰς γυναῖκας] Hæc gloſſematis ſpeciem habere, recte monuit Weiſke. Excuſari poſſent, ſi σκευοφόρων ἁρμαμαξῶν ſectione ſuperiore eſſent a Xenophonte profecta. Sed ſectione etiam 8. diſtinguuntur ἁρμάμαξαι a σκευοφόροις. præterea iii. 1, 8. et 40. iv. 2, 29. et iv. 3, 1. ἁρμάμαξα ut vehiculum muliebre fuit jam ſæpius nominata.

παρέξει] Edd. pr. παρέξειν, Philel. Brodæi liber et Guelf. παρέχει. Noſtrum Caſtalio et Stephanus dederunt aſſentiente Altorfino libro.

τοὺς πολεμίους] Audacter ita vulgatum τοῖς πολεμίοις correxi, a nemine Interpretum tactum.

πειρῶνται] Ita pro βούλωνται Philelphi liber, Brodæi, margo Steph. et Guelf. deinde μείζω Edd. pr. et Guelf. poſtea ἀνάγκη αὐτοὺς ἀσθεν. Guelf. et Altorf.

31. μὲν οὕτω] Juntina cum Altorf. μὲν αὖ οὕτω. Ald. et Steph. αὖ omiſit; ex Guelf. οὖν inſeruit Zeune. deinde Ῥαρτάοζε καὶ Ἀρταγόρσα, omiſſis verbis ἐπὶ τούτοις ἔχετε Altorf. ordinem vulgarem poſthabuit Zeune huic libri Guelf. τῶν σὺν ὑμῖν πεζῶν—ἔχετε. Nomen Artagerſis eſt in Anabaſi i. 7, 11. et i. 8, 24. cum varietate aliqua ſcripturæ in libris. Ibidem ii. 4, 16. eſt Ἀρτάεζος, ii. 5, 35. Ἀρτάοζος.

32. Φαρνοῦχε] Altorf. Φαρμενοῦχε καὶ Ἀσιάδα. In Anabaſi vii. 8. bis legitur nomen Ἀσιδάτης, in Cteſiæ Perſicis 9. Ἀσπαδάτης.

ἄρχει] Guelf. ἄρχει ὑμῶν. deinde συγκατάτατττε Edd. pr. poſtea πρὸς ἐμὲ Philelphus cum Guelf. et Altorf.

33 σκευάσθαι, ὡς πρώτους δεῆσον ὑμᾶς ἀγωνίζεσθαι. Καὶ
σὺ δὲ, ὁ ἄρχων τῶν ἐπὶ ταῖς καμήλοις ἀνδρῶν, ὄπισθεν
τῶν ἁρμαμαξῶν ἐκτάττου· ποίει δὲ, ὅ τι ἄν σοι παραγ-
34 γέλλῃ Ἀρταγέρσας. Ὑμεῖς δὲ, οἱ τῶν ἁρμάτων ἡγε-
μόνες, διακληρωσάμενοι, ὁ μὲν λαχὼν ὑμῶν πρὸ τῆς
φάλαγγος, τὰ μεθ᾽ ἑαυτοῦ ἑκατὸν ἔχων ἅρματα κατα-
στησάτω· αἱ δ᾽ ἕτεραι ἑκατοστύες τῶν ἁρμάτων, ἡ μὲν
κατὰ τὸ δεξιὸν πλευρὸν τῆς στρατιᾶς στοιχοῦσα, ἑπέσθω
35 τῇ φάλαγγι ἐπὶ κέρως, ἡ δὲ κατὰ τὸ εὐώνυμον. Κῦρος
μὲν οὕτω διέταττεν·

Ἀβραδάτας δὲ ὁ Σούσων βασιλεὺς εἶπεν· Ἐγώ σοι,
ὦ Κῦρε, ἐθελούσιος ὑφίσταμαι τὴν κατὰ πρόσωπον τῆς
ἀντίας φάλαγγος τάξιν ἔχειν, εἰ μή τί σοι ἄλλο δοκεῖ.
36 Καὶ ὁ Κῦρος, ἀγασθεὶς αὐτὸν καὶ δεξιωσάμενος, ἐπήρετο
τοὺς ἐπὶ τοῖς ἄλλοις ἅρμασι Πέρσας, Ἦ καὶ ὑμεῖς,
ἔφη, ταῦτα συγχωρεῖτε; Ἐπεὶ δὲ ἐκεῖνοι ἀπεκρίναντο,
ὅτι οὐ καλὸν εἴη ταῦτα ὑφίεσθαι, διεκλήρωσεν αὐτοὺς,
καὶ ἔλαχεν Ἀβραδάτας, ἧπερ ὑφίστατο, καὶ ἐγένετο
37 κατὰ τοὺς Αἰγυπτίους. Τότε μὲν δὴ ἀπιόντες, καὶ ἐπι-
μεληθέντες, ὧν προεῖπον, ἐδειπνοποιοῦντο, καὶ φύλακας
καταστησάμενοι ἐκοιμήθησαν.

δεῆσον ὑμᾶς] Philelphus cum Guelf. ὑμᾶς omittit.

33. ὁ ἄρχων] Ita cum Stephano et Guelf. pro ὦ ἄρχων Zeune. deinde Ἀρταγέρσης Guelf. a prima manu.

34. μεθ᾽ ἑαυτοῦ ἑκατὸν] Guelf. omisso ἑκατὸν habet αὐτοῦ. Juntina cum Altorf. ἕκαστος dant.

στοιχοῦσα] Guelf. στειχοῦσα a prima manu habet.

κέρως] Ita pro κέρας ex margine Steph. Bodl. Budensi, et Guelf. dedit Zeune.

35. διέταττεν] Edd. pr. διετάττετο. deinde Ἀβραδάτης ex Philelphi versione et Guelf. correxit Zeune. postea ἐγώ σοι, Κῦρε, Guelf.

36. ἦ καὶ] Ita Bodl. et Guelf. ἢ καὶ Altorf. εἰ καὶ Edd. ante Steph. 2.

Ἀβραδάτας] Articulum ὁ ex Guelf. addidit Zeune. deinde προεῖπεν scriptum malim, quod ad Cyrum referatur.

37. φύλακας] Cum Zeunio φυλακὰς dedit Weiske. Ego cum Altorfino sequor rationes expositas supra ad v. 1, 30.

CAP. IV.

Armis ornatur exercitus, inprimisque Abradatas munere Pantheæ; quæ simul virum graviffimis verbis ad fortitudinem hortatur.

ΤΗ͂Ι δ᾽ ὑστεραίᾳ πρωῒ μὲν ὁ Κῦρος ἐθύετο· ὁ δ᾽ ἄλλος στρατὸς, ἀριστήσας καὶ σπονδὰς ποιησάμενος, ἐξωπλίζετο πολλοῖς μὲν καὶ καλοῖς χιτῶσι, πολλοῖς δὲ καὶ καλοῖς θώραξι καὶ κράνεσιν· ὥπλιζον δὲ καὶ ἵππους προμετωπιδίοις καὶ προστερνιδίοις· καὶ τοὺς μὲν μονίππους παραμηριδίοις, τοὺς δ᾽ ὑπὸ τοῖς ἅρμασι, παραπλευριδίοις· ὥστε ἤστραπτε μὲν χαλκῷ, ἤνθει δὲ φοινικίσι πᾶσα ἡ στρατιά.

Καὶ τῷ Ἀβραδάτᾳ δὲ τὸ τετράρυμον ἅρμα καὶ ἵππων ὀκτὼ παγκάλως ἐκεκόσμητο. Ἐπεὶ δ᾽ ἔμελλε τὸν λινοῦν θώρακα, ὃς ἐπιχώριος ἦν αὐτοῖς, ἐνδύεσθαι, προσφέρει αὐτῷ ἡ Πάνθεια χρυσοῦν κράνος, καὶ περι- 2

1. μὲν ὁ Κῦρος] Guelf. Κῦρος μέν. deinde προμετωπίοις a prima manu Altorf.

μονίππους] Altorfinus ἵππους, deinde τοῖς δ᾽ ἐπὶ τοῖς ἅρμασι. Etiam reliqui libri editi ἐπὶ τοῖς habent, quod ex Bodl. Brod. Guelf. correxit Zeune.

ἤστραπτε] Ita cum Bodl. Guelf. et Altorf. pro ἤστραπτο: quod jam olim Stephanus in Thefauro correxit, Abrefch. tamen ad Æfchylum tom. i. p. 620. defendit.

φοινικίσι] Tunicas puniceas Perfis affinxiffe Xenophontem fufpicatur Weifke præeunte Zeunio. Quæ conjectura et levis et injuriofa in Xenophontis ingenium poteft videri. Punicearum tunicarum ufum apud Perfas multa teftantur veterum fcriptorum loca.

2. λινοῦν] Nicetæ Choniatæ locum ex Annalibus p. 191. ed. Wolfii pofuit Zeune: ἐκ δὲ λίνου πεποιημένον ὕφασμα οἴνῳ αὐστηρῷ ἱκανῶς ἡλισμένῳ διάβροχον πολλάκις περιπτυχθὲν δίκην θώρακος—ἐς τοσοῦτον δ᾽ ἦν ἀντιτυπὲς ἁλσὶ καὶ οἴνῳ συμπιληθὲν, ὡς καὶ βέλους εἶναι παντὸς στεγανώτερον. ἠριθμοῦντο δ᾽ εἰς ὀκτωκαίδεκα καὶ πλείω τὰ τοῦ ὑφάσματος συμπτύγματα, quæ omnia de lino nondum in fila torto intelligi vult Weifke, idque intelligi ait ex verbis ὕφασμα οἴνῳ αὐστηρῷ—συμπιληθὲν, nam falem et acetum (de quo ne verbum quidem in Niceta) tantum ad diffolvendas partes lignofas et friabiles adhiberi, quæ nunc aqua maceratæ calore torreantur, ut frangi et difcuti poffint. Addi te Lipfio judicium Paufaniæ de his loricis hoc: οἱ θώρακες οἱ λινοῖ μαχομένοις μὲν οὐχ ὁμοίως εἰσὶ χρήσιμοι· διϊᾶσι γὰρ καὶ βιαζόμενοι τὸν σίδηρον· θηρεύοντας δὲ ὠφελοῦσιν. ἐναπόλλυνται γάρ σφισι καὶ λεόντων ὀδόντες καὶ παρδάλεων.

ἐπιχώριος] Chalybibus nofter eundem tribuit Anabaf. iv. 7, 10. ἦχον δὲ θώρακας λινοῦς μέχρι τοῦ ἤτρου, ἀντὶ δὲ τῶν πτερυγίων σπάρτα πυκνὰ ἐστραμμένα. Homero Adraftus et Amphius Iliadis ii. 830. λινοθώρηκες funt et dicuntur. Deinde καὶ χρυσοῦν κράνος Altorf.

βραχιόνια, καὶ ψέλλια πλατέα περὶ τοὺς καρποὺς τῶν χειρῶν, καὶ χιτῶνα πορφυροῦν, ποδήρη, στολιδωτὸν τὰ κάτω, καὶ λόφον ὑακινθινοβαφῆ. Ταῦτα δὲ ἐποιήσατο,
3 λάθρα τοῦ ἀνδρὸς ἐκμετρησαμένη τὰ ἐκείνου ὅπλα. Ὁ δὲ ἰδὼν ἐθαύμασέ τε, καὶ ἐπήρετο τὴν Πάνθειαν, Σὺ δήπου, ὦ γύναι, συγκόψασα τὸν σαυτῆς κόσμον τὰ ὅπλα μοι ἐποιήσω; Μὰ Δί', ἔφη ἡ Πάνθεια, οὔκουν τόν γε πλείστου ἄξιον· σὺ γάρ ἔμοιγ', ἢν καὶ τοῖς ἄλλοις φανῇς, οἷός περ ἐμοὶ δοκεῖς εἶναι, μέγιστος κόσμος ἔσῃ. Ταῦτα δὲ λέγουσα ἅμα ἐνέδυέ τε τὰ ὅπλα, καὶ λανθάνειν μὲν ἐπειρᾶτο, ἐλείβετο δὲ αὐτῇ τὰ δάκρυα κατὰ τῶν παρειῶν.

4 Ἐπεὶ δὲ, καὶ πρόσθεν ὢν ἀξιοθέατος, ὁ Ἀβραδάτης ὡπλίσθη τοῖς ὅπλοις τούτοις, ἐφάνη μὲν κάλλιστος καὶ ἐλευθεριώτατος, ἅτε καὶ τῆς φύσεως ὑπαρχούσης· λαβὼν δὲ παρὰ τοῦ ὑφηνιόχου τὰς ἡνίας, παρεσκευάζετο
5 ὡς ἀναβησόμενος ἤδη ἐπὶ τὸ ἅρμα. Ἐν δὲ τούτῳ ἡ Πάνθεια, ἀποχωρῆσαι κελεύσασα τοὺς παρόντας πάν-

στολιδωτὸν] Guelf. a prima manu φολιδωτὸν habet; male. Pollux vii. 54. εἴη δ' ἂν τις καὶ στολιδωτὸς χιτών· στολίδες δ' εἰσὶν αἱ ἐξεπίτηδες ὑπὸ δεσμοῦ γιγνόμεναι κατὰ τέλη τοῖς χιτῶσιν ἐπιπτυχαὶ, μάλιστα ἐπὶ λινῶν χιτώνων. Eft στολὶς plica, Gallis *falbelas*. Cf. Salmafius ad Tertull. p. 334. Juntina τὰ ante κάτω omittit, ut Altorf. qui στολιωτὸν dat.

3. ἐθαύμασέ τε] Juntina τε omittit; deinde εἴρετο Edd. pr.

σὺ δήπου] Juntina cum Altorf. οὐ δήπου. deinde αὐτῆς κόσμον Altorf.

οὔκουν] Hoc ex Philelpho et margine Steph. Welfiana, ex Guelf. et Altorf. Zeuniana addidit.

ἢν καὶ] Edd. pr. et Altorf. ἂν. deinde φανεὶς Juntina, φάνηθι ὡς Altorf. Pro οἷος περ, quod Guelf. debetur, ante Zeunium erat οἷος. Sequens ἔσῃ omifit Altorf.

Ταῦτα δὲ] Edd. pr. cum Altorf. δὲ omittunt; fequens ἅμα ex Brodæi libris, Philelphi et Guelf. acceffit. deinde τε ante τὰ omifit Altorf.

λανθάνειν μὲν] Ex Zonara λανθάνειν κλαίουσα dedit Zeune, quanquam ante oculos habens locum Charitonis p. 81. Ἄκων μὲν ἀλλὰ ἐπείθετο Χαιρέας· καὶ λανθάνειν μὲν ἐπειρᾶτο, ἐλείβετο δ' αὐτοῦ τὰ δάκρυα κατὰ τῶν παρειῶν. Ceterum Aldina et Steph. αὐτῆς dant.

4. πρόσθεν ὢν] Guelf. ἦν—Ἀβραδάτης. Sed terminationem τας ex Philelpho et Zonara dedit Zeune.

ὑφηνιόχου] Guelf. a prima manu ἡνιόχου habet.

5. ἀποχωρῆσαι] Guelf. cum Zonara hoc dedit pro ὑποχωρῆσαι. Quod vero omnes arbitros Xenophon re-

τας, ἔλεξεν· Ἀλλ' ὅτι μὲν, ὦ Ἀβραδάτα, εἴ τις καὶ
ἄλλη πώποτε γυνὴ τὸν αὑτῆς ἄνδρα μεῖζον τῆς ἑαυτῆς
ψυχῆς ἐτίμησεν, οἶμαί σε γιγνώσκειν, ὅτι καὶ ἐγὼ μία
τούτων εἰμί. Τί οὖν με δεῖ καθ' ἓν ἕκαστον λέγειν; τὰ
γὰρ ἔργα οἶμαί σοι πιθανώτερα παρεσχῆσθαι, τῶν νῦν
λεχθέντων λόγων. Ὅμως δ' οὕτως δ' ἔχουσα πρός σε, 6
ὥσπερ σὺ οἶσθα, ἐπομνύω σοι τὴν ἐμὴν καὶ σὴν φιλίαν,
ἦ μὴν [ἐγὼ] βούλεσθαι ἂν μετὰ σοῦ, ἀνδρὸς ἀγαθοῦ
γενομένου, κοινῇ γῆν ἐπιέσασθαι μᾶλλον, ἢ ζῆν μετ'
αἰσχυνομένου αἰσχυνομένη· οὕτως ἐγὼ καὶ σὲ τῶν καλ-
λίστων καὶ ἐμαυτὴν ἠξίωκα. Καὶ Κύρῳ δὲ δοκῶ με- 7
γάλην τινὰ ἡμᾶς χάριν ὀφείλειν, ὅτι με, αἰχμάλωτον
γενομένην καὶ ἐξαιρεθεῖσαν ἑαυτῷ, οὔτε ὡς δούλην ἠξίωσε
κεκτῆσθαι, οὔτε ὡς ἐλευθέραν ἐν ἀτίμῳ ὀνόματι· διε-
φύλαξε δή σοι ὥσπερ ἀδελφοῦ γυναῖκα λαβών. Πρὸς 8
δὲ καὶ ὅτε Ἀράσπας ἀπέστη αὐτοῦ, ὁ ἐμὲ φυλάττων,
ὑπεσχόμην αὐτῷ, εἴ με ἐάσειε πρός σε πέμψαι, ἥξειν

movit, in eo Muretus eum taxat; mirum enim, unde orationem Pantheæ refciverit Xenophon. At pudori mariti et uxoris ita melius confuli, refpondet Weifke.

εἴ τις καὶ] Edd. pr. ἥτις καὶ quod vitium Caftalio correxit. καὶ omittit Altorf. deinde idem liber τούτων μία εἰμί. Guelf. γυνὴ πώποτε τὸν ἑαυτῆς. Poftea male Juntina καθ' ἥν.

λόγων] Altorf. omifit cum Juntina.

6. ἐπομνύω] Ex Zonara ἐπόμνυμι dedit Zeune: rectius cum eodem ἐγὼ fequens omififfet, quod interim feclufi. Libri Brodæi ἐγὼ βούλομαι.

μετὰ σοῦ, ἀνδρὸς] Budenfis liber repetit ἀνδρὸς, ut fit figura πλοκή. fed Stephanus inde efficiebat μετὰ σοῦ τοῦ ἐμοῦ ἀνδρὸς, ἀνδρὸς ἀγ. γενομ. certe μετὰ σοῦ τοῦ ἀνδρὸς, ἀνδρὸς ἀγ. γεν.

ἐπιέσασθαι] Caftalio ἐπιέσεσθαι dedit. Hefychius ἐπιέσασθαι γῆν interpretatur ταφῆναι. ubi vide annotationem Hemfterhufii tom. i. p. 1352. et Abrefch. in Obferv. Mifcell. Belg. vi. 2. p. 404. κοινὴν e Philoftrati Icon. ii. 9. fcribere, non eft opus.

7. δοκῶ] Guelf. verbum poft τινὰ rejicit, narrante Zeunio.

γενομένην] Ita ex libro Brodæi, Guelf. Altorf. et Zonara cum Zeunio dedi pro γεγεννημένην. Sequens καὶ male omifit Juntina.

οὔτε ὡς] Interfertum vulgo με cum Juntina et Altorf. omifi, quanquam defenfum a Valckenario ad Eurip. Phœn. p. 182.

ἐν ἀτίμῳ ὀνόματι] Concubinæ, παλλακῆς, vocabulo noluit uti.

8. ὅτε Ἀράσπας] Articulum ὁ vulgo interfertum cum Guelf. Altorf. et Zonara omifit Zeune. deinde ἐάσει Guelf. cum Edd. pr.

αὐτῷ σὲ πολὺ Ἀράσπα ἄνδρα καὶ πιστότερον καὶ ἀμεί-
νονα.
9 Ἡ μὲν ταῦτα εἶπεν· ὁ δὲ Ἀβραδάτας, ἀγασθεὶς
τοῖς λόγοις, καὶ θίγων αὐτῆς τῆς κεφαλῆς, ἀναβλέ-
ψας εἰς τὸν οὐρανὸν, ἐπεύξατο· Ἀλλ', ὦ Ζεῦ μέγιστε,
δός μοι φανῆναι ἀξίῳ μὲν Πανθείας ἀνδρὶ, ἀξίῳ δὲ καὶ
Κύρου φίλῳ τοῦ ἡμᾶς τιμήσαντος. Ταῦτα εἰπὼν, κατὰ
τὰς θύρας τοῦ ἁρματείου δίφρου ἀνέβαινεν ἐπὶ τὸ ἅρμα.
10 Ἐπεὶ δὲ ἀναβάντος αὐτοῦ κατέκλεισε τὸν δίφρον ὁ ὑφη-
νίοχος, οὐκ ἔχουσα ἡ Πάνθεια, πῶς ἂν ἔτι ἄλλως
ἀσπάσαιτο αὐτὸν, κατεφίλησε τὸν δίφρον· καὶ τῷ μὲν
προῄει ἤδη τὸ ἅρμα, ἡ δὲ λαθοῦσα αὐτὸν συνεφείπετο,
ἕως ἐπιστραφεὶς καὶ ἰδὼν αὐτὴν ὁ Ἀβραδάτας εἶπε,
11 Θάρσει, Πάνθεια, καὶ χαῖρε, καὶ ἄπιθι ἤδη. Ἐκ
τούτου δὴ οἱ εὐνοῦχοι καὶ αἱ θεράπαιναι, λαβοῦσαι
αὐτὴν, ἀπῆγον εἰς τὴν ἁρμάμαξαν, καὶ κατακλίναντες
κατεκάλυψαν τῇ σκηνῇ. Οἱ δὲ ἄνθρωποι, καλοῦ ὄντος

Ἀράσπα] Hanc formam pro Ἀράσπου ex Guelf. dedit Zeune.

ἄνδρα καὶ] Hæc ex libris Brodæi, Philelphi et Guelf. reftituit Zeune.

9. Ἀβραδάτας] Hanc formam pro Ἀβραδάτης dedit Philel. Guelf. Zonaras.

τοῖς λόγοις] Juntina et Altorf. αὐτήν. margo Steph. τοὺς λόγους αὐτῆς refert nefcio unde. deinde πρὸς τὸν οὐρανὸν Juntina et Altorf. Ex Guelf. καὶ ante Κύρου acceffit. ἁρματίου Edd. pr.

10. οὐκ ἔχουσα] Guelf. οὐδ' ἔχουσα. deinde πῶς αὖ vertit Philelphus. πῶς ἔτι ἄλλως ἂν ἀσπάσαιτο. Altorf. πῶς ἂν ἔτι ἄλλως ἢ ἀσπάσαιτο.

θάρσει] Ita ex Guelf. pro θάῤῥει dedit Zeune.

11. αὐτὴν ἀπῆγον] Ordine inverfo Guelf. deinde κατέκλιναν καὶ Edd. pr. Altorf. et Pollux x. 52.

τῇ σκηνῇ] Pollux l. c. interpretatur τὸ ἐστεγασμένον μέρος τῆς ἁμάξης, et σκηνὴν præfert. Ita etiam Charito p. 82. τὴν Καλιῤῥόην εἴασεν ἐπὶ τῆς ἁρμαμάξης καὶ συνεκάλυψε τὴν σκηνήν. ubi cum Hemfterhufio Dorville cenfet σκηνὴν in Xenophonte fcribendum, ut σκηνὴ feu camera curulis velo aut findone obtegi dicatur. Sed erat σκηνὴ κύκλῳ περιπεφραγμένη, ut Plutarchus in Artaxerxe ait, cujus latera obtegebant παραπετάσματα, quæ removeri et obduci poterant. Recte ita τῇ σκηνῇ κατακαλύπτειν τινὰ dici poteft.

καλοῦ ὄντος] Locum imitatione reddere ftuduit Chariton p. 83. monente jam Abrefchio Lection. Ariftænet. p. 46. Weifkio hæc tam levis pulcritudinis feminæ fignificatio tamen putida vifa eft. Melius ille fuiffe cenfebat, aliquid fignificaffe de pulcritudine orationis, quam ipfa habuerat. Verum de ea præter Abradatam, ipfum nemo poterat exiftimare, cum arbitri omnes fuiffent ab ea remoti.

τοῦ θεάματος τοῦ Ἀβραδάτου καὶ τοῦ ἅρματος, οὐ πρόσθεν ἐδύναντο θεάσασθαι αὐτὸν, πρὶν ἡ Πάνθεια ἀπῆλθεν.

Ὡς δ' ἐκεκαλλιερήκει μὲν ὁ Κῦρος, ἡ δὲ στρατιὰ 12
παρετέτακτο αὐτῷ, ὥσπερ παρήγγειλε, κατέχων σκο-
πὰς ἄλλας πρὸ ἄλλων, συνεκάλεσε τοὺς ἡγεμόνας, καὶ
ἔλεξεν ὧδε· Ἄνδρες φίλοι καὶ σύμμαχοι, τὰ μὲν ἱερὰ 13
ἡμῖν οἱ θεοὶ φαίνουσιν, οἷά περ, ὅτε τὴν πρόσθεν νίκην
ἔδοσαν· ὑμᾶς δ' ἐγὼ βούλομαι ἀναμνῆσαι, ὧν μοι δο-
κεῖτε μεμνημένοι πολὺ ἂν εὐθυμότεροι εἰς τὸν ἀγῶνα
ἰέναι. Ἠσκήκατε μὲν γὰρ τὰ εἰς τὸν πόλεμον πολὺ 14
μᾶλλον τῶν πολεμίων, συντέτραφθε δὲ καὶ συντέταχθε
ἐν τῷ αὐτῷ πολὺ πλείω ἤδη χρόνον, ἢ οἱ πολέμιοι, καὶ
συννενικήκατε μετ' ἀλλήλων· τῶν δὲ πολεμίων πολλοὶ
μὲν συνήττηνται μετ' αὐτῶν· οἱ δὲ ἀμάχητοι ἑκατέρων,
οἱ μὲν τῶν πολεμίων ἴσασιν, ὅτι προδότας τοὺς παρα-
στάτας ἔχουσιν· ὑμεῖς δὲ, οἱ μεθ' ἡμῶν, ἴστε, ὅτι μετὰ
θελόντων τοῖς συμμάχοις ἀρήγειν μάχεσθε. Εἰκὸς δὲ 15
τοὺς μὲν πιστεύοντας ἀλλήλοις ὁμονόως μάχεσθαι μέν-
οντας· τοὺς δὲ ἀπιστοῦντας ἀναγκαῖον βουλεύεσθαι,
πῶς ἂν ἕκαστοι τάχιστα ἐκποδὼν γένοιντο. Ἴωμεν δὴ, 16

Cyrus duces convocatos denuo ad ſpem victoriæ excitat.

12. κατέχων] Leonclavius in notis prioris Edit. ait reperiri in libris quibuſdam καὶ ἔχων. ſed rectius legi ἔχων καί. Sed in margine Edit. 2. habet καὶ ἔχων· rectius ἔχων δὲ, *diſpoſitis ſpeculis quas tenerent alii ante alios* vertit Camerarius. Mihi hæc obſcura et de vitio ſuſpecta ſunt.

ἔλεξεν ὧδε] Guelf. ἔλεξε τάδε. deinde οἱ θεοὶ ἡμῖν Guelf. ſed ἡμῖν omiſit Altorf.

14. μᾶλλον τῶν] Ex Guelf. ἢ interſeruit Zeune: paulo antea μὲν omiſit Altorfinus liber.

πλείω ἤδη] Vocem ἤδη Juntina et Altorf. omittunt. deinde οἱ πολλοὶ ex Guelf. dedit Zeune.

μετ' αὐτῶν] Ita cum Philel. Bodl. Guelf. ἥττηνται μεθ' ἑαυτῶν Budenſis et Altorf. ante Zeunium erat κατ' αὐτῶν.

τοῖς συμμάχοις] Juntina et Altorf. τῶν συμμάχων. deinde Ald. et Steph. μαχεῖσθε. Altorf. μάχεσθαι.

15. πῶς ἂν] Juntina cum Altorf. ἂν omiſit; deinde ἐκποδὼν τάχιστα Altorf.

16. Ἴωμεν] Altorf. Ἴμεν δή. Sequentia ὡς ἐκ χειρὸς μάχεσθαι Zeune conjungit cum verbis ἴωμεν δὴ ἐπὶ

ὦ ἄνδρες, ἐπὶ τοὺς πολεμίους, ἅρματα μὲν ἔχοντες ὡπλισμένα πρὸς ἄοπλα τὰ τῶν πολεμίων, ὡς δ᾽ αὔτως καὶ ἱππέας καὶ ἵππους ὡπλισμένους πρὸς ἀόπλους, ὡς
17 ἐκ χειρὸς μάχεσθαι. Πεζοῖς δὲ τοῖς μὲν ἄλλοις, οἷς καὶ πρόσθεν, μαχεῖσθε· Αἰγύπτιοι δὲ ὁμοίως μὲν ὡπλισμένοι εἰσὶν, ὁμοίως δὲ τεταγμένοι· τάς τε γὰρ ἀσπίδας μείζους ἔχουσιν, ἢ ὡς ποιεῖν τι καὶ ὁρᾷν· τεταγμένοι τε εἰς ἑκατὸν δῆλον ὅτι κωλύσουσιν ἀλλήλους
18 μάχεσθαι, πλὴν πάνυ ὀλίγων. Εἰ δὲ τῷ ὠθοῦντες ἐξώσειν πιστεύουσιν, ἵπποις αὐτοὺς πρῶτον δεήσει ἀντέχειν, καὶ σιδήρῳ ὑφ᾽ ἵππων ἰσχυριζομένῳ. Ἢν δέ τις αὐτῶν καὶ ὑπομείνῃ, πῶς ἅμα δυνήσεται ἱππομαχεῖν τε καὶ φαλαγγομαχεῖν καὶ πυργομαχεῖν; Καὶ γὰρ οἱ ἀπὸ τῶν πύργων ἡμῖν μὲν ἐπαρήξουσι, τοὺς δὲ πολεμίους
19 παίοντες ἀμηχανεῖν ἀντὶ τοῦ μάχεσθαι ποιήσουσιν. Εἰ δέ τινος ἔτι ἐνδεῖσθαι δοκεῖτε, πρός ἐμε λέγετε· σὺν γὰρ θεοῖς οὐδενὸς ἀπορήσομεν. Καὶ εἰ μέν τις εἰπεῖν τι βούλεται, λεξάτω· εἰ δὲ μὴ, ἐλθόντες πρὸς τὰ ἱερὰ, καὶ

τοὺς πολεμίους. Rectius Camerarius vertens: *ſimiliter et cum equis viriſque armatis contra inermes, (contendamus) ut ad committendum prælium cominus.*

17. ἄλλοις] Ex Camerarii verſione, quam ſecutus eſt Leonclaviana, αὐτοῖς ſcripſerunt Zeune et Weiſke pro ἄλλοις. In Guelf. inter verſus a correctore ſcriptum πολλοῖς narrat Zeune, tacente Fiſchero.

οἷς καὶ] Ita pro οἵοις καὶ Camerarii verſio, margo Steph. et Guelf.

Αἰγύπτιοι δὲ] Juntina Αἰγυπτίοις δὲ, οἵ. Aldina Αἰγύπτιοι δὲ οἵ. correxit admonitu Brodæi Stephanus, aſſentiente Philelpho, Guelf. Altorf.

ὁρᾷν] Muretus in aliis libris melius ſcriptum προορᾷν teſtatur, quod Camerarius et Leoncl. vertendo reddiderunt. καὶ ὡς ὁρᾷν dat Altorf. Sequens τεταγμένοι τε pro δὲ ex Guelf. dedit Zeune.

18. Εἰ δὲ τῷ] Edd. pr. et Altorf. εἰ δέ τῳ. Leonclaviana poſtrema τῷ omiſit, quam ſequuntur recentiores Editiones omnes. ſequens πιστεύουσιν eſt in Guelf. et reddidit Philelphus, quanquam neglectum a Zeunio. Vulgo eſt πιστεύσουσιν. libri Brodæi πιστεύσωσιν.

ἰσχυριζομένῳ] Ita pro ἰσχυριζομένων Philel. libri, Gabr. Brodæi, Bodl. Guelf. Altorf. καὶ ἵπποις σιδήρῳ ἰσχυριζομένοις malebat Muretus.

ὑπομείνῃ] Ita cum Zeunio ex Philelpho et Guelf. ſcripſi pro ὑπομένῃ. Verba καὶ πυργομαχεῖν omiſit Philelphus et Guelf. ubi corrector ſupplevit.

ἐπαρήξουσι] Altorf. ὑπαρήξουσι præbet.

19. τινος ἔτι] Juntina τι ἔτι. deinde οὐδὲν ἀπορήσομεν.

προσευξάμενοι οἷς ἐθύσαμεν θεοῖς, ἴτε ἐπὶ τὰς τάξεις· καὶ ἕκαστος ὑμῶν ὑπομιμνησκέτω τοὺς μεθ᾽ ἑαυτοῦ, ἅπερ ἐγὼ ὑμᾶς, καὶ ἐπιδεικνύτω τις τοῖς ἀρχομένοις ἑαυτὸν ἄξιον ἀρχῆς, ἄφοβον δεικνὺς καὶ σχῆμα καὶ πρόσωπον καὶ λόγους.

20. μεθ᾽ ἑαυτοῦ] Guelf. μεθ᾽ αὐτοῦ. ſequens τις eſt idem, quod ἕκαστος, paulo antea; et poterat omnino omitti.

ΞΕΝΟΦΩΝΤΟΣ

ΚΥΡΟΥ ΠΑΙΔΕΙΑΣ Ζ′.

CAP. I.

Prandio ſumto et ſacris rite factis Cyri exercitus omine fauſto procedit.

Οἱ μὲν δὴ, εὐξάμενοι τοῖς θεοῖς, ἀπῄεσαν πρὸς τὰς τάξεις· τῷ δὲ Κύρῳ καὶ τοῖς ἀμφ' αὐτὸν προσήνεγκαν οἱ θεράποντες ἐμφαγεῖν καὶ ἐμπιεῖν, ἔτι οὖσιν ἀμφὶ τὰ ἱερά. Ὁ δὲ Κῦρος, ὥσπερ εἶχεν ἑστηκὼς, ἀπαρξάμενος ἠρίστα, καὶ μετεδίδου ἀεὶ τῷ μάλιστα δεομένῳ· καὶ σπείσας καὶ εὐξάμενος ἔπιε, καὶ οἱ ἄλλοι δὲ οἱ περὶ αὐτὸν οὕτως ἐποίουν. Μετὰ δὲ ταῦτα αἰτησάμενος Δία πατρῷον, ἡγεμόνα εἶναι καὶ σύμμαχον, ἀνέβαινεν ἐπὶ τὸν ἵππον, καὶ τοὺς ἀμφ' αὐτὸν ἐκέλευσεν. ' Ὡπλισμένοι δὲ πάν- 2
τες ἦσαν οἱ περὶ τὸν Κῦρον τοῖς αὐτοῖς Κύρῳ ὅπλοις,

1. ἀμφὶ τὰ ἱερὰ] Altorf. ἐπὶ τὰ ἱερά. in quo περὶ latere videtur. Guelf. ἐμπιεῖν καὶ φαγεῖν. ordinem verborum eundem reddidit Philelphus, qui verba ἔτι οὖσιν ἀμφὶ τὰ ἱερὰ omiſit.

ἀπαρξάμενος] Morem græcorum et latinorum hunc enarrat Dionyſius Halicarn. vii. c. 72.

ἐκέλευσεν] Intellige ἀναβαίνειν. Altorf. ἀμφ' αὐτὸν dat. Verba ſequentia καὶ μετεδίδου ἀεὶ τῷ μάλιστα δεομένῳ ſuſpecta habuit Weiſke. Primum eum τὸ ἀεὶ offendit; quod ſi ſuſtuleris, et δεομένῳ reddideris per *cupienti*, tamen hoc contumelioſe dictum in Perſas videri ait, quibus Xenophon alias magnam temperantiam et elegantiam in cibo capiendo tribuat. Rectius etiam particulam ἀεὶ poſtponi articulo. In qua criſi vir doctus mihi a vero aberraſſe videtur, niſi forte lapideos Perſas a Xenophonte effictos haberi voluit. Verte mecum locum : *ut miniſtri Cyro ejuſque amicis ſacrificio etiamnum et religionibus occupatis afferebant cibum potumque, ita Cyrus illis amicorum cibum potumque offerebat deinceps ordine, qui maxime eo indigerent omnium :* nec habebis, puto, quod in verbis vulgatis eorumve ordine reprehendas.

2. ἦσαν] Verbum hoc Guelf. omiſit liber.

χιτῶσι φοινικοῖς, θώραξι χαλκοῖς, κράνεσι χαλκοῖς, λόφοις λευκοῖς, μαχαίραις, παλτῷ κρανείνῳ ἐνὶ ἕκαστος· οἱ δὲ ἵπποι προμετωπιδίοις καὶ προστερνιδίοις καὶ παραμηριδίοις χαλκοῖς· τὰ δ᾽ αὐτὰ ταῦτα παραμηρίδια ἦν καὶ τῷ ἀνδρί. Τοσοῦτο δὲ μόνον διέφερον τὰ Κύρου ὅπλα, ὅτι τὰ μὲν ἄλλα ἐκέχριστο τῷ χρυσοειδεῖ χρώματι, τὰ δὲ Κύρου ὅπλα ὥσπερ κάτοπτρον ἐξέλαμ-
3 πεν. Ἐπεὶ δὲ ἀνέβη, καὶ ἔστη ἀποβλέπων, ᾗπερ ἔμελλε πορεύεσθαι, βροντὴ δεξιὰ ἐφθέγξατο· ὁ δ᾽ εἶπεν, Ἑψόμεθά σοι, ὦ Ζεῦ μέγιστε. Καὶ ὡρμᾶτο μὲν, ἐν δεξιᾷ ἔχων Χρυσάνταν τὸν ἵππαρχον καὶ τοὺς ἱππέας, ἐν ἀρι-
4 στερᾷ δὲ Ἀρσάμαν καὶ τοὺς πεζούς. Παρηγγύησε δὲ

χιτῶσι] Apud Herodotum ix. 22. Masistius ἐντὸς θώρηκα εἶχε χρύσεον λεπιδωτὸν, κατύπερθε δὲ τοῦ θώρηκος κιθῶνα φοινίκεον.

λόφοις] Guelf. λόφοις δὲ—κράνει. sed corrector κρανείνω fecit. Etiam Bodl. κράνει cum Philelpho habet. κραΐνω οἷς ἔνι Altorfinus. κερανεΐνῳ Castalio dedit. Hoc est παλτὸν ἰσχυρὸν supra memoratum vi. 2, 16. παλτὰ κρανέϊνα noster Persis etiam in Hellenicis iii. 4, 12. dedit.

καὶ παραμηριδίοις] Hæc sunt in margine Guelf. Quia supra vi. 4, 1. dictum fuit equos μονίππους caruisse παραπλευριδίοις, hinc conjecturam duxit Weiske, vulgatum παραπλευριδίοις esse in παραμηριδίοις mutandum; eamque ipsam conjecturam in oratione posuit Xenophontis; deinde ordinem vulgarem verborum ταῦτα καὶ παραμηρίδια ἦν τῷ ἀνδρὶ immutavit quem facere vidit ridiculam armaturam. Sensum videlicet hunc inde existere: *eadem autem hæc frontis et pectoris munimenta et præterea femoralia habebat eques.* Necessario enim καὶ ad equitem pertinere. Recte! Igitur eum secutus sum.

τοσοῦτο δὲ] Guelf. τοσοῦτον omisso δὲ ut Altorf. deinde ἐκέχρωστο Altorf. dat. Illitus igitur metallo color retundebat armorum fulgorem, qui purus ex Cyri armamentis fulgebat, veluti speculi metallici politissimi.

3. ἀποβλέπων] Juntina Guelf. Altorf. βλέπων dant.

ἐφθέγξατο] De tuba et classico utitur eodem verbo Xenophon in Anabasi.

ἑψόμεθα] Hinc Virgilianum illud: *sequimur te, sancte deorum quisquis es,* expressum imitatione putabat Muretus.

ἐν δεξιᾷ] Supra vi, 3, 21. *Araspas seu Arisbas jubetur consistere in dextro cornu, cujus nomen in Codd. ponitur pro sequenti* Ἀρσάμαν. Ita ad h. l. Weiske. Scilicet margo Steph. cum Guelf. Ἀρίσμαν, sed etiam Ἀρίσβαν et Ἀρίσπαν dat margo Steph. Ἀρσάμαν ex versione Philelphi duxit Zeune, cum antea legeretur nomen Ἀρασάμβαν, Camerarius *Arasamam* vertit. Nostram scripturam ex sectione 8. tuetur Zeune, ubi id nomen sine varietate scriptum publicatur. Verum Araspas vel Arisbas supra vi. 3, 21. nominatus est μυρίαρχος, et equitum dux; contra hic noster homo peditum dux, igitur diversus. Nec constat ille Araspas Medusne an Persa, a Medo diversus, fuerit. Hic Arsamas, Persa et dux peditum Persarum fuit, ut Chrysantas Persa, equitum dux.

παρορᾶν πρὸς τὸ σημεῖον, καὶ ἐν ἴσῳ ἕπεσθαι· ἦν δὲ αὐτῷ τὸ σημεῖον, ἀετὸς χρυσοῦς ἐπὶ δόρατος μακροῦ ἀνατεταμένος. Καὶ νῦν δὲ ἔτι τοῦτο τὸ σημεῖον τῷ Περσῶν βασιλεῖ διαμένει. Πρὶν δὲ ὁρᾶν τοὺς πολεμίους, εἰς τρὶς ἀνέπαυσε τὸ στράτευμα.

Ἐπεὶ δὲ προεληλύθεισαν ὡς εἴκοσι σταδίους, ἤρχοντο 5
ἤδη τὸ τῶν πολεμίων στράτευμα ἀντιπρόσιον παρορᾶν. Ὡς δ᾽ ἐν τῷ καταφανεῖ πάντες ἀλλήλοις ἐγένοντο, καὶ ἔγνωσαν οἱ πολέμιοι πολὺ ἑκατέρωθεν ὑπερφαλαγγοῦντες, στήσαντες τὴν ἑαυτῶν φάλαγγα, (οὐ γάρ ἐστιν ἄλλως κυκλοῦσθαι) ἐπέκαμπτον εἰς κύκλωσιν, ὥσπερ γάμμα ἑκατέρωθεν τὴν ἑαυτῶν τάξιν ποιήσαντες, ὡς πάντοθεν ἅμα μάχοιντο. Κῦρος δὲ ὁρῶν ταῦτα, οὐδέν τι 6
μᾶλλον ἀφίστατο, ἀλλ᾽ ὡσαύτως ἡγεῖτο. Κατανοῶν δὲ, ὡς πρόσω τὸν καμπτῆρα ἑκατέρωθεν ἐποιήσαντο,

Cum jam uterque exercitus eft in confpectu, obequitat Cyrus et fuos excitat totamque prælii ineundi rationem docet.

4. παρορᾶν] Supra iii. 3, 59. in agmine Perfæ ὁμότιμοι incedunt παρορῶντες εἰς ἀλλήλους. Sed mox fect. 5. παρορᾶν eft obfcure videre.

ἐν ἴσῳ] Intellige βήματι vel διαστήματι, æquo gradu vel fpatio.

ἀνατεταμένος] Intelligit τὰς πτέρυγας Weifke et ex Curtio iii. 3, 16. *pinnas extendenti fimilis* interpretatur. Eodem verbo de eodem figno regio exercitus Perfici utitur Xenophon in Anabafi i. 10, 12. ubi eft ἐπὶ πέλτης; ex Arriano ἀνατεταμένα ἐπὶ ξυστῶν ἠργυρωμένων refert Suidas in ξυστόν. In Anabafi Zeunianus Index verbum ἀνατεταμένος interpretatur *erectus, extenfis*; contra hic exemplo Camerarii *extenfis alis*. Ferrem fi *tollens alas* interpretarentur, ut eft ἀνατεταμένος τὴν μάχαιραν iv. 1, 3. et vii. 1, 34. fed τὰς πτέρυγας omitti in hac dictione, durum mihi videtur.

εἰς τρὶς] Margo Steph. καὶ τρὶς refert, forte ex Philelphi verfione.

5. προεληλύθεισαν] Ita cum Steph. pofteriore Philelphus et Camerarius, approbante Altorfino. Vulgo erat προσεληλύθ. Guelf. προσεληλύθεισαν. idem liber cum Bodl. et Philelpho ἐπεὶ δὲ ἤδη πρ. dat, quod accepit Zeune.

ὑπερφαλαγγοῦντες] Altorf. ἐπιφαλ. male. Eft ὑπερέχειν τοῖς κέρασι τῶν πολεμίων ut ait nofter Hellenicorum iv. 2, 11. *aciem in utroque cornu ultra hoftium exercitum extendere*. Deinde τὴν αὐτῶν φαλ. Guelf.

ἐπέκαμπτον] Stephanianum et libri Altorfini ἀπέκαμπτον recte deferuit Zeunius. In Anabafi i. 8, 17. eft ἐπέκαμπτον ὡς εἰς κύκλωσιν: in Hellenicis iv. 2, 20. eft fimpliciter εἰς κύκλωσιν omiffa particula ὡς.

ὥσπερ] Ita cum Philelpho, Brodæi libris, Guelf. et margine Steph. Zeune mutavit vulgatum ὅπως ὥσπερ —ποιήσαντες πάντοθεν.

γάμμα] Formam majoris literæ Γ et inverfæ ˥ aut, angulo in arcus formam obtufo, femicircularem fuppofuit Weifke cum Zeunio; femicircularis mihi fola congruere videtur.

6. Κῦρος δὲ] Ex Guelf. Ὁ δὲ Κ. dedit Zeune; deinde οὐδὲν μᾶλλον Altorf. poftea ἐποιήσαντο ἑκατέρωθεν idem liber.

περὶ ὃν κάμπτοντες ἀνέτεινον τὰ κέρατα, Ἐννοεῖς, ἔφη, ὦ
Χρυσάντα, ἔνθα τὴν ἐπικαμπὴν ποιοῦνται; Πάνυ γε,
ἔφη ὁ Χρυσάντας, καὶ θαυμάζω γε· πολὺ γάρ μοι δο-
κοῦσιν ἀποσπᾷν τὰ κέρατα ἀπὸ τῆς ἑαυτῶν φάλαγγος.
Ναὶ μὰ Δί', ἔφη ὁ Κῦρος, καὶ ἀπό γε τῆς ἡμετέρας.
7 Τί δὴ τοῦτο; Δηλονότι, ἔφη, φοβούμενοι, μὴ, ἢν ἐγγὺς
ἡμῶν γένηται τὰ κέρατα, τῆς φάλαγγος ἔτι πρόσω οὔ-
σης, ἐπιθώμεθα αὐτοῖς. Ἔπειτα, ἔφη ὁ Χρυσάντας,
πῶς δυνήσονται ὠφελεῖν οἱ ἕτεροι τοὺς ἑτέρους, οὕτω πολὺ
ἀπέχοντες ἀλλήλων; Ἀλλὰ δῆλον, ἔφη ὁ Κῦρος, ὅτι,
ἡνίκα ἂν γένηται τὰ κέρατα ἀναβαίνοντα κατ' ἀντιπέρας
τῶν πλαγίων τοῦ ἡμετέρου στρατεύματος, στραφέντες ὡς
εἰς φάλαγγα ἅμα πάντοθεν ἡμῖν προσίασιν, [ὡς ἅμα
8 πάντοθεν μαχούμενοι.] Οὐκοῦν, ἔφη ὁ Χρυσάντας, εὖ
σοι δοκοῦσι βουλεύεσθαι; Πρός γε ἃ ὁρῶσι· πρὸς δὲ ἃ
οὐχ ὁρῶσιν, ἔτι κάκιον, ἢ εἰ κατὰ κέρας προσῄεσαν.
Ἀλλὰ σὺ μὲν, ἔφη, ὦ Ἀρσάμα, ἡγοῦ τῷ πεζῷ ἠρέμα,
ὥσπερ ἐμὲ ὁρᾷς· καὶ σὺ, ὦ Χρυσάντα, ἐν ἴσῳ τούτῳ τὸ

ἔνθα] Juntina ἔνθεν habet. Sequens θαυμάζω γε mihi difplicet, et γε abeffe malim; iterum eadem particula poft ἀπὸ pofita mihi locum fuum obtinere non poffe videtur.

7. Τί δὴ] Stephani altera Editio τί δέ. fequens ἔφη in Guelf. corrector inferuit: poftea ἔτι πρόσω pro ἐπιπρόσω ex libris Gabr. Philel. Guelf. Bodl. Altorf. ductum eft.

γένηται] Guelf. γένωνται. deinde ἀναβάντα κατ' ἀντιπέραν libri Brodæi et margo Steph.

στραφέντες] Liber Philelphi et margo Steph. στραφεῖεν ὡς εἰς φάλαγγα, ἅμα πάντοθεν ἡμῖν μαχούμενοι. quæ lectio vulgaris vitium arguere mihi videtur, quanquam Zeunio ob repetita verba ἅμα πάντοθεν elegantior vifa. Ineptiffime verba ὡς—μαχούμενοι repetunt, quæ fatis jam extrema fectione 5. fignificata fuerunt, et iifdem quidem verbis; modum et rationem accuratius et abunde definiunt verba ἅμα πάντοθεν ἡμῖν προσίασιν. (male Juntina et Guelf. προΐασιν) Quare verba fupervacanea fecluſi.

ὡς εἰς φάλαγγα] *Mutata in directam phalangem forma aciei*, ut recte monet Weifke, qui male particulam ὡς interpretatur: *quia medius tantum exercitus proprie* φάλαγξ *appellatur: improprio fenfu fectione* 24. *legi, ex quo loco rem fieri perfpicuam.* Dicitur στραφῆναι ὡς εἰς φάλαγγα, ut paulo antea ἐπέκαμπτον εἰς κύκλωσιν et alibi ὡς εἰς κύκλωσιν, et cum futuro, προσίασιν ὡς μαχούμενοι, et in multis fimilibus dictionibus, ubi confilium et finem facti fignificat.

8. πρὸς δὲ ἃ] Vulgo interfertum γε poft δὲ cum Guelf. et Altorfino omiffi; deinde εἰ poft ἢ omifit Guelf.

ἐν ἴσῳ τούτῳ] Ut fupra fect. 4. fuit ἐν ἴσῳ ἕπεσθαι. Pertinet τούτῳ ad

ἱππικὸν ἔχων συμπαρέπου. Ἐγὼ δὲ ἄπειμι ἐκεῖσε,
ὅθεν μοι δοκεῖ καιρὸς εἶναι ἄρχεσθαι τῆς μάχης. ἅμα
δὲ παριὼν ἐπισκέψομαι ἕκαστα, πῶς ἡμῖν ἔχει. Ἐπει- 9
δὰν δὲ ἐκεῖ γένωμαι, ὅταν ἤδη ὁμοῦ προσιόντες ἀλλήλοις
γιγνώμεθα, παιᾶνα ἐξάρξω, ὑμεῖς δὲ ἐφέπεσθε. Ἡνί-
κα δ᾽ ἂν ἡμεῖς ἐγχειρῶμεν τοῖς πολεμίοις, αἰσθήσεσθε
μὲν, (οὐ γὰρ, οἶμαι, ὀλίγος θόρυβος ἔσται) ὁρμήσεται δὲ
τηνικαῦτα Ἀβραδάτας ἤδη σὺν τοῖς ἅρμασιν εἰς τοὺς ἐναν-
τίους· οὕτω γὰρ αὐτῷ εἰρήσεται· ὑμᾶς δὲ χρὴ ἕπεσθαι
ἐχομένους ὅτιμάλιστα τῶν ἁρμάτων· οὕτω γὰρ μάλιστα
τοῖς πολεμίοις τεταραγμένοις ἐπιπεσούμεθα. Παρέσο-
μαι δὲ καὶ ἐγὼ, ᾗ ἂν δύνωμαι τάχιστα διώκων τοὺς ἄν-
δρας, ἢν οἱ θεοὶ ἐθέλωσι.

Ταῦτα εἰπὼν, καὶ σύνθημα παρεγγυήσας, ΖΕΥΣ 10
ΣΩΤΗΡ ΚΑΙ ΗΓΕΜΩΝ, ἐπορεύετο. Μεταξὺ δὲ τῶν
ἁρμάτων καὶ τῶν θωρακοφόρων διαπορευόμενος, ὁπότε
προσβλέψειέ τινας τῶν ἐν ταῖς τάξεσι, τοτὲ μὲν εἶπεν
ἂν, Ὦ ἄνδρες, ὡς ἡδὺ, ὑμῶν τὰ πρόσωπα θεάσασθαι,

συμπαρέπου, non ad ἴσῳ quod putabat Zeune.

ἄπειμι] Juntina, Altorf. περίειμι: deinde περιϊὼν Guelf. περιϊὼν καὶ Junt. Ifingr.

9. ἐξάρξω] Lectio Guelf ἐξάρχω propter antecedens γιγνώμεθα mihi præplacet.

ἐφέπεσθε] Voce vel cantu fubfequi jubet Cyrus, monente Weifkio contra Zeunium, qui fenfu proprio acceperat, quem renuit fectio 17. Lectio ἐπείγεσθε Philelphi, librorum Brodæi, Guelf. et marginis Steph. a Zeunio recepta, fi cum Zeunio interpretamur, *urgete, contendite magno nifu adverfus hoftem*, falfa eft: quodfi vero feftinationem et citatum gradum exercitus fignificat id verbum, tum opponitur præcedenti ἠρέμα ἡγεῖσθαι. Quoniam vero fect. 25. eft ἐξῆρχε παιᾶνα Κῦρος, συνεπήχησε δὲ πᾶς ὁ στρατὸς, Weifkii exemplum fum fecutus.

αἰσθήσεσθε] Altorf. αἰσθήσεσθαι μὲν, οὐκ οἴομαι. Forte voluit dare αἰσθήσεσθαι μὲν ὑμᾶς οἴομαι· οὐ γὰρ ὀλίγος θόρυβος ἔσται.

ὁρμήσεται] Guelf. ὁρμήσετε δὲ, ἡνίκα αὐτὸς Ἀβραδάτης. in margine adfcriptum eft pro varietate τηνικαῦτα. quam ipfam fcripturam Philelphus reddidit.

καὶ ἐγὼ] Guelf. κἀγὼ—θέλωσι. Etiam Juntina θέλωσι, quod revocavit Zeune.

10. σύνθημα] Edd. pr. et Altorf. συνθήματα ex libris Philel. Brodæi, quibufcum facit Guelf. correxit Stephanus. deinde Ζεῦ Σῶτερ Juntina.

τοτὲ μὲν—τοτὲ δὲ] Philel. et Guelf. τότε μὲν—τότε δέ. Zeune ποτὲ μὲν, ποτὲ δὲ dedit, improbante Fifchero ad Æfchinis dial. ii. 29.

τοτὲ δ᾽ αὖ ἐν ἄλλοις ἂν ἔλεξεν, Ἆρα ἐννοεῖτε, ἄνδρες, ὅτι ὁ νῦν ἀγών ἐστιν οὐ μόνον περὶ τῆς τήμερον νίκης, ἀλλὰ καὶ περὶ τῆς πρόσθεν, ἣν ἐνικήσατε, καὶ περὶ
11 πάσης εὐδαιμονίας; Ἐν ἄλλοις δ᾽ ἂν προϊὼν εἶπεν· Ὦ ἄνδρες, τὸ ἀπὸ τοῦδε οὐδέν ποτε θεοὺς αἰτιατέον ἔτι ἔσται· παραδεδώκασι γὰρ ἡμῖν πολλά τε καὶ μεγάλα ἀγαθὰ κτήσασθαι. Ἀλλ᾽, ὦ ἄνδρες, ἀγαθοὶ γενώμεθα.
12 Κατ᾽ ἄλλους δ᾽ αὖ τοιάδε, Ὦ ἄνδρες, εἰς τίνα ποτ᾽ ἂν καλλίονα ἔρανον ἀλλήλους παρακαλέσαιμεν, ἢ εἰς τόνδε; Νῦν γὰρ ἔξεστιν ἀγαθοῖς ἀνδράσι γενομένοις πολλὰ
13 κἀγαθὰ ἀλλήλοις εἰσενεγκεῖν. Κατ᾽ ἄλλους δ᾽ αὖ, Ἐπίστασθε μὲν, οἶμαι, ὦ ἄνδρες, ὅτι νῦν ἆθλα πρόκειται τοῖς νικῶσι μὲν διώκειν, παίειν, κατακαίνειν, ἀγαθὰ ἔχειν, καλὰ ἀκούειν, ἐλευθέροις εἶναι, ἄρχειν· τοῖς δὲ κακοῖς δηλονότι τἀναντία τούτων. Ὅστις οὖν ἑαυτὸν φιλεῖ, μετ᾽ ἐμοῦ μαχέσθω· ἐγὼ γὰρ οὐδὲν κα-
14 κὸν, οὐδ᾽ αἰσχρὸν ἑκὼν εἶναι προσήσομαι. Ὁπότε δ᾽ αὖ γένοιτο κατά τινας τῶν πρόσθεν συμμεμαχεσμένων, εἶπεν ἂν, Πρὸς δὲ ὑμᾶς τί δεῖ λέγειν, ὦ ἄνδρες; ἐπίστασθε γὰρ, οἵαν τε οἱ ἀγαθοὶ ἐν ταῖς μάχαις ἡμέραν ἄγουσι, καὶ οἵαν οἱ κακοί.
15 Ὡς δὲ παριὼν κατὰ Ἀβραδάταν ἐγένετο, ἔστη· καὶ

ἄλλοις ἂν] Guelf. ἄλλοισιν—ἆρα ἐννοεῖτε—ἀλλὰ περὶ—νενικήκατε. ſed corrector καὶ poſt ἀλλὰ inſeruit.

11. δ᾽ ἂν προϊὼν] Ita cum Altorfino ſcripſi. Vulgo eſt δὲ προσιών. deinde πολλὰ καὶ μεγάλα ἀγαθὰ Altorf. cum Philelpho, Juntina et margine Guelferb. unde μεγάλα recepimus cum Zeunio propter additum τε. Paulo antea οὐδέποτε ἔτι θεοὺς αἰτιατέον ἔσται Guelf.

12. κατ᾽ ἄλλους] Juntina καὶ τοὺς ἄλλους—κάλλιον. Altorf. verba ὦ ἄνδρες omiſit. deinde ἂν poſt ποτὲ inſeruit corrector in Altorfino.

13. παίειν] Omiſit Guelf. cum Philelpho, ſed corrector ſupplevit. ἐλευθέρους εἶναι Altorf.

ἑαυτὸν] Cum Guelf. et Altorfino αὑτὸν Zeune dedit. deinde ex eodem κακὸν οὐδέν. poſtea προήσομαι Juntina, Bodl. Altorf. παρήσομαι Guelf. ſed in raſura ſcriptum habet. ἑκὼν omiſit Altorf.

14. συμμεμαχεσμένων] Ita Guelf. pro συμμαχεσαμένων. Verba ὦ ἄνδρες cum eodem et Altorfino retracta poſt ὑμᾶς collocavit Zeune.

15. παριὼν] Ita cum Philelpho, Guelf. Altorf. et margo Steph. Zeune

ὁ Ἀβραδάτας, παραδοὺς τῷ ὑφηνιόχῳ τὰς ἡνίας, προσ-
ῆλθεν αὐτῷ· προσέδραμον δὲ καὶ οἱ ἄλλοι τῶν πλησίον
τεταγμένων καὶ πεζῶν καὶ ἁρματηλατῶν. Ὁ δ᾽ αὖ
Κῦρος ἐν τοῖς παραγεγενημένοις ἔλεξε τοιάδε· Ὁ μὲν
Θεὸς, ὦ Ἀβραδάτα, ὥσπερ σὺ ἠξίους, συνηξίωσέ σε καὶ
τοὺς σύν σοι πρωτοστάτας εἶναι τῶν συμμάχων· σὺ δὲ
τοῦτο μέμνησο, ὅταν δέῃ σε ἤδη ἀγωνίζεσθαι, ὅτι Πέρσαι
οἵ τε θεασόμενοι ὑμᾶς ἔσονται, καὶ οἱ ἑψόμενοι ὑμῖν,
καὶ οὐκ ἐάσοντες ἐρήμους ὑμᾶς ἀγωνίζεσθαι. Καὶ ὁ 16
Ἀβραδάτας εἶπεν, Ἀλλὰ τὰ μὲν καθ᾽ ἡμᾶς ἔμοιγε δο-
κεῖ, ὦ Κῦρε, καλῶς ἔχειν· ἀλλὰ τὰ πλάγια λυπεῖ με,
ὅτι τὰ μὲν τῶν πολεμίων κέρατα ἰσχυρὰ ὁρῶ ἀνατεινό-
μενα καὶ ἅρμασι καὶ παντοδαπῇ στρατιᾷ· ἡμέτερον δ᾽
οὐδὲν ἄλλο αὐτοῖς ἀντιτέτακται, ἢ ἅρματα· ὥστ᾽ ἔγωγ᾽,
ἔφη, εἰ μὴ ἔλαχον τήνδε τὴν τάξιν, ᾐσχυνόμην ἂν ἐνθάδε
ὤν· οὕτω πολύ μοι δοκῶ ἐν ἀσφαλεστάτῳ εἶναι. Καὶ 17
ὁ Κῦρος εἶπεν, Ἀλλ᾽ εἰ τὰ παρὰ σοὶ καλῶς ἔχει, θάῤῥει
ὑπὲρ ἐκείνων· ἐγὼ γάρ σοι, σὺν θεοῖς, ἔρημα τῶν πο-
λεμίων τὰ πλάγια ταῦτα ἀποδείξω. Καὶ σὺ μὴ πρό-
τερον ἔμβαλλε τοῖς πολεμίοις, διαμαρτύρομαι, πρὶν ἂν
φεύγοντας τούτους, οὓς νῦν φοβῇ, θεάσῃ· (τοιαῦτα δ᾽
ἐμεγαληγόρει, μελλούσης τῆς μάχης γίγνεσθαι· ἄλλως
δ᾽ οὐ μάλα μεγαλήγορος ἦν) ὅταν μέντοι, ἔφη, τούτους

pro ἀπιών. Inter versus Guelf. est ἐπιών.

προσῆλθεν] Guelf. προσῆλθε δὲ—καὶ ἄλλοι—ἔλεξεν. Ὁ μέν.

σὲ καὶ] Guelf. pronomen σὲ male omisit.

καὶ οὐκ ἐάσοντες] Altorfinus liber copulam omisit.

16. τὰ μὲν τῶν] Ita cum Aldina Stephanus; τὰ μὲν πλάγια τῶν Philel. Brodæi, Bodl. et Guelf. libri. Juntina cum Altorfina πλάγια et κέρατα omittunt, quod utrumque vocabulum inclusit Zeuniana. ἰσχυρῶς libri Brodæi.

τήνδε τὴν] Guelf. τὴν αὐτήν. sed corrector τήνδε αὐτὴν fecit.

17. τὰ πλάγια] Articulum Altorf. omisit; deinde ἔμβαλε ex Guelf. recepit Zeune. Pro πολεμίοις in Guelf. ut in margine Steph. est scriptum a prima manu Αἰγυπτίοις ὡς ἐναντίοις μαρτύρομαι.

μέντοι, ἔφη] Ex Altorfino libro ἔφη addidi; deinde idem liber cum Guelf. ἴδῃς τούτους dat, postea ὅρμα πρὸς Altorf.

ἴδῃς φεύγοντας, ἐμέ τε ἤδη παρεῖναι νόμιζε, καὶ ὅρμα εἰς τοὺς ἄνδρας· καὶ σὺ γὰρ τότε τοῖς μὲν ἐναντίοις κακίστοις ἂν χρήσαιο, τοῖς δὲ μετὰ σαυτοῦ ἀρίστοις.

18 Ἀλλ᾽ ἕως ἐστί σοι σχολὴ, ὦ Ἀβραδάτα, πάντως παρελάσας παρὰ τὰ σαυτοῦ ἅρματα, παρακάλει τοὺς σύν σοι εἰς τὴν ἐμβολὴν, τῷ μὲν προσώπῳ παραθαῤῥύνων, ταῖς δ᾽ ἐλπίσιν ἐπικουφίζων. Ὅπως δὲ κράτιστοι φανεῖσθε τῶν ἐπὶ τοῖς ἅρμασι, φιλονεικίαν αὐτοῖς ἔμβαλλε· καὶ γὰρ, εὖ ἴσθι, ἢν τάδε εὖ γένηται, πάντες ἐροῦσι τολοιπὸν μηδὲν εἶναι κερδαλεώτερον ἀρετῆς. Ὁ μὲν δὴ Ἀβραδάτας ἀναβὰς παρήλαυνε, καὶ ταῦτα ἐποίει.

19 Ὁ δ᾽ αὖ Κῦρος παριὼν, ὡς ἐγένετο πρὸς τῷ εὐωνύμῳ, ἔνθα Ὑστάσπας τοὺς ἡμίσεις ἔχων ἦν τῶν Περσῶν ἱππέων, ὀνομάσας αὐτὸν, εἶπεν, Ὦ Ὑστάσπα, νῦν ὁρᾷς ἔργον τῆς σῆς ταχυεργίας· νῦν γὰρ, εἰ φθάσομεν τοὺς πολεμίους κατακτανόντες, οὐδεὶς ἡμῶν ἀποθανεῖται.

20 Καὶ ὁ Ὑστάσπας ἐπιγελάσας εἶπεν, Ἀλλὰ περὶ μὲν τῶν ἐξ ἐναντίας ἡμῖν μελήσει· τοὺς δ᾽ ἐκ πλαγίου σὺ ἄλλοις πρόσταξον, ὅπως μηδ᾽ οὗτοι σχολάζωσι. Καὶ ὁ

18. ἕως ἐστὶ] Ex Philelpho et margine Steph. ἕως ἔτι dederunt Zeune et Weiſke.

πάντως] Juntina πάντας παρακαλέσας, Ald. πάντας παρελάσας. Lectionem Stephani habent Philel. verſio, libri Brodæi, Guelf. et Altorf. deinde παραθαρσύνων ex Guelf. dedit Zeune.

φανεῖσθε] Ita bene Altorf. Vulgatum φανῆσθε cum Porto in φάνησθε mutavit Zeune et Weiſke. Sed idem Portus alteram etiam conjecturam propoſuerat, ipſum videlicet noſtrum φανεῖσθε.

τάδε εὖ γένηται] Ex Guelf. et Philelpho εὖ interſerui, quod locum ſuum vix tueri poſſit, ſi verba ſequentia πάντες ἐροῦσι—ἀρετῆς eſſe periphraſin verborum νικήσετε τοὺς πολεμίους ſtatuas cum Zeunio. Ita vero verba ἢν τάδε γένηται pertinerent ad ὅπως κράτιστοι φανεῖσθε, aut ad illa φιλονεικίαν αὐτοῖς ἔμβαλλε. ſed in neutra dictione ineſt victoriæ ſignificatio, quam ſententia flagitat, et τάδε εὖ γένηται bene reddunt: Poſt hanc vero victoriam veſtro inprimis exemplo reliqui abhinc omnes edocti nihil virtute utilius eſſe credent.

19. ἔνθα Ὑστάσπας] Ex Brodæi libris et Guelf. articulum addidit Zeune. Ὑστάσπης eſt in Guelf.

ταχυεργίας] Acrem Chryſantam pingit etiam ii. 4, 26. recte monente Weiſkio.

εἰ φθάσομεν] Ita pro ἢν φθάσωμεν ex Guelf. ſcripſit Zeune. Ceterum locum hunc Cyri animum præſentem et metu liberum indicare recte animadvertit Camerarius. ſequens κατακτανόντες cum Guelf. in κατακαίνοντες mutavit Zeune.

Κῦρος εἶπεν, Ἀλλ' ἐπί γε τούτους ἐγὼ αὐτὸς ἀπέρχομαι·
ἀλλ', ὦ Ὑστάσπα, τόδε μέμνησο· ὅτῳ ἂν ἡμῶν ὁ θεὸς
νίκην διδῷ, ἤν τί που μένῃ πολέμιον, πρὸς τὸ μαχόμενον
ἀεὶ συμβάλλωμεν. Ταῦτα εἰπὼν προῄει. Ἐπεὶ δὲ 21
κατὰ τὸ πλευρὸν προϊὼν ἐγένετο, καὶ κατὰ τὸν ἄρχοντα
τῶν ταύτῃ ἁρμάτων, πρὸς τοῦτον ἔλεξεν, Ἐγὼ δ' ἔρχο-
μαι ὑμῖν ἐπικουρήσων· ἀλλ' ὁπόταν αἴσθησθε ἡμᾶς
ἐπιτιθεμένους κατ' ἄκρον, τότε καὶ ὑμεῖς πειρᾶσθε ἅμα
διὰ τῶν πολεμίων ἐλαύνειν· πολὺ γὰρ ἐν ἀσφαλεστέρῳ
ἔσεσθε, ἔξω γενόμενοι, ἢ ἔνδον ἀπολαμβανόμενοι. Ἐπεὶ 22
δ' αὖ παριὼν ἐγένετο ὄπισθεν τῶν ἁρμαμαξῶν, Ἀρ-
ταγέρσαν μὲν καὶ Φαρνοῦχον ἐκέλευσεν, ἔχοντας τήν τε
τῶν πεζῶν χιλιοστὺν καὶ τὴν τῶν ἱππέων, μένειν αὐτοῦ.
Ἐπειδὰν δὲ, ἔφη, αἰσθάνησθε ἐμοῦ ἐπιτιθεμένου τοῖς
κατὰ τὸ δεξιὸν κέρας, τότε καὶ ὑμεῖς τοῖς καθ' ὑμᾶς
ἐπιχειρεῖτε· μαχεῖσθε δ', ἔφη, πρὸς κέρας, ᾗπερ ἀσθε-
νέστερον στράτευμα γίγνεται, φάλαγγα δ' ἔχοντες, ᾗπερ

20. ἀπέρχομαι] Ita cum Aldina Stephanus: παρέρχομαι cum Junt. Philel. Guelf. Altorf. Zeune. deinde διδοῖ νίκην Guelf. συμβάλωμεν Altorfinus liber.

21. προϊὼν ἐγένετο] Vulgatum προϊὼν ἐγίγνετο ſcriptura Philelphi et Guelf. παριὼν ἐγένετο mutavit Zeune, unde cum Weiſkio ἐγένετο adſcivi.

δ' ἔρχομαι] Libri Guelf. ἐπέρχομαι Zeunio et Weiſkio elegantius viſum eſt.

κατ' ἄκρον] In extrema parte cornu hoſtilis, recte interpretatur Zeune. Ex Aldina Stephanus κατ' ἄκρων repetiit.

22. τῶν πεζῶν] Philelphus ſcriptum in libro ſuo legit et vertit τὴν τῶν Περσῶν χιλιοστὺν καὶ τὴν τῶν πεζῶν καὶ τὴν τῶν ἱππέων. Guelf. τὴν τῶν πεζῶν, omiſſo τε.

ᾗπερ] Ex Caſtalionea, Bryl. et verſione Philelphi ὅπερ Zeune ſcripſit pro ὥσπερ librorum reliquorum, quod in ᾧπερ Budæus mutabat. *qua parte* Camerarii verſio, *quo loco*, Leonclavii habet, ᾗπερ utraque reddens, quæ ſcriptura debetur Hutchinſono comparanti Arriani Anabaſin i. 6. ἐπεισπεσόντες φάλαγγι κατὰ κέρας, ᾗπερ ἀσθενεστάτοις αὐτοῖς, et i. 14. καὶ κατὰ κέρας, ᾗπερ ἀσθενέστατον, ἐκβαίνουσιν ἐπικείσονται. Verum præterea ἀσθενέστατον ſcribendum cenſeo.

φάλαγγα δ'] Ex Guelf. φάλαγγας ἔχοντες ὥσπερ ἂν ἰσχυρότατοι εἴητε dedit Zeune: ſed in libro Guelf. eſſe φάλαγγας ἔχοντες ὥσπερ ἰσχυρότεροι εἴητε teſtatur Fiſcher, inſerto ἂν poſt ἰσχυρότεροι. Philelphus vertens *ut eatis validiſſimi*, ὡς ἂν ἰσχυρότατοι ἦτε ſcriptum legiſſe videtur. ὥσπερ ἂν ἰσχυρότεροι εἴητε Altorf. Suum ὥσπερ ἂν ἰσχυρότατοι εἴητε Zeunius interpretatur *inſtructis phalangibus ita, ut poſſitis eſſe robuſtiſſimi*. Weiſke ὥσπερ ἂν ἰσχυρότεροι εἴητε, *quaſi firmiſſimam manum habeatis*. Quarum interpretationum neutra nec cum græcis nec cum ſententia convenire mihi vide-

ἰσχυρότεροι ἂν εἴητε. Καὶ εἰσὶ μὲν, ὡς ὁρᾶτε, τῶν πολε-
μίων ἱππεῖς οἱ ἔσχατοι· πάντως δὲ πρόετε πρὸς αὐτοὺς
τὴν τῶν καμήλων τάξιν, καὶ εὖ ἴστε, ὅτι καὶ πρὶν μάχε-
σθαι γελοίους τοὺς πολεμίους θεάσεσθε.
23 Ὁ μὲν δὴ Κῦρος ταῦτα διαπραξάμενος ἐπὶ τὸ δεξιὸν
παρῄει· ὁ δὲ Κροῖσος, νομίσας ἤδη ἐγγύτερον εἶναι τῶν
πολεμίων τὴν φάλαγγα, σὺν ᾗ αὐτὸς ἐπορεύετο, ἢ τὰ
ἐπανατεινόμενα κέρατα, ἦρε τοῖς κέρασι σημεῖον, μηκέτι
ἄνω πορεύεσθαι, ἀλλ' αὐτοῦ ἐν τῇ χώρᾳ στραφῆναι.
Ὡς δ' ἔστησαν ἀντία πρὸς τὸ τοῦ Κύρου στράτευμα
ὁρῶντες, ἐσήμαινεν αὐτοῖς πορεύεσθαι πρὸς τοὺς πολε-
24 μίους. Καὶ οὕτω προσῄεσαν τρεῖς φάλαγγες ἐπὶ τὸ
Κύρου στράτευμα· ἡ μὲν μία, κατὰ πρόσωπον· τὼ δὲ
δύο, ἡ μὲν κατὰ τὸ δεξιὸν, ἡ δὲ κατὰ τὸ εὐώνυμον· ὥστε
πολὺν φόβον παρεῖναι πάσῃ τῇ Κύρου στρατιᾷ. Ὥσπερ
γὰρ μικρὸν πλινθίον ἐν μεγάλῳ τεθὲν, οὕτω καὶ τὸ Κύ-

Crœſus tribus phalangibus invadit Cyri aciem : ſed ejus utrumque cornu primo impetu fugatur.

tur. Opponitur alterum membrum, mentio et ratio phalangis priori membro rationique aciei, quæ in cornibus locum habebat : igitur priori ἧπερ ſimilis particula vel eadem debet reſpondere in altero membro, ut recte vidit Stephanus, qui vulgatum ὥσπερ ἰσχυρ. ſuſpectum merito habuit. Itaque dum libri meliorem lectionem obtulerint, ἧπερ etiam altero in loco poſui ; ἰσχυρότατοι recepiſſem, ſi ἀσθενέστατον cognitorem mihi approbaſſet.

23. ἐγγύτερον] Ita fieri Crœſus volebat, ut apparet ex ſect. 7.

ἢ τὰ] Hæc eſt ſcriptura libri Gabr. merito etiam a Mureto probata. ἢ τὰ ἀνατεινόμενα κέρατα Budenſis. ἢ τὰ ἀνατ. τὰ κέρατα Altorf. Edd. pr. cum Guelf. ἢ τὰ omittunt, et deinde τὰ κέρατα habent, quæ verba recepit etiam cum Zeunio Weiſke, mire interpretatus. Supra ſect. 6. erat ἀνέτεινον τὰ κέρατα ; ſect. 7. τὰ κέρατα ἀναβάντα. ſect. 16. κέρατα ἀνατεινόμενα. Zeunius varietatem lectionis non ſatis fideliter retulit.

αὐτοῦ] Ex Philelphi libro, margine Steph. et Guelf. acceſſit ; verum ſequentia ἐν χώρᾳ, ut habet Guelf. ſcriptum, vel ἐν τῇ χώρᾳ ſuſpecta Zeunio et Weiſkio reddere non debebat. Ita enim Hellenicorum iv. 8, 39. ἐν χώρᾳ αὐτοῦ μαχόμενος ἀποθνήσκει. ubi comparabis annotationem, et ad vii. 4, 36. præcipue autem Valckenarium ad Herodotum p. 339.

ἀντία] Ita cum Philelpho, Guelf. et margine Steph. ſcripſi pro πάντες, quod dedit forte, qui ὁρῶντες putabat non convenire præcedenti κέρασιν. deinde ἐσήμηνεν ex Guelf. dedit Zeune. τὸ Κύρου Juntina et margo Steph.

24. Καὶ οὕτω] Ex Guelf. δὴ adjecit Zeune : deinde τὼ δὲ δύο ex Edd. pr. revocavit Zeune, τὰ ex Aldina et Steph. revocavit Weiſke. Vide ad i. 2, 11. τῶν δὲ δύο Zonaras. τὼ δὲ δύω Altorf.

πολὺν] Omiſit Philelphus cum Zonara, et ejus in vicem margo Steph. τὸ λοιπὸν reponit.

ρου στράτευμα πάντοθεν περιείχετο ὑπὸ τῶν πολεμίων, καὶ ἱππεῦσι, καὶ ὁπλίταις, καὶ πελτοφόροις, καὶ τοξόταις, καὶ ἅρμασι, πλὴν ἐξόπισθεν. Ὅμως δὲ [καὶ] ὁ 25
Κῦρος ἐπεὶ παρήγγειλεν, ἐστράφησαν πάντες ἀντιπρόσωποι τοῖς πολεμίοις· καὶ ἦν μὲν πολλὴ πανταχόθεν σιγὴ ὑπὸ τοῦ τὸ μέλλον ὀκνεῖν· ἡνίκα δὲ ἔδοξε τῷ Κύρῳ καιρὸς ἤδη εἶναι, ἐξῆρχε παιᾶνα, συνεπήχησε δὲ πᾶς ὁ στρατός.
Μετὰ δὲ τοῦτο τῷ Ἐνυαλίῳ ἅμα ἐπηλάλαξαν, καὶ 26
ἐξανίσταται ὁ Κῦρος, καὶ εὐθὺς μὲν μετὰ τῶν ἱππέων, λαβὼν πλαγίους τοὺς πολεμίους, ὁμόσε αὐτοῖς τὴν ταχίστην συνεμίγνυεν· οἱ δὲ πεζοὶ αὐτῷ συντεταγμένοι ταχὺ ἐφείποντο, καὶ περιεπτύσσοντο ἔνθεν καὶ ἔνθεν, ὥστε πολὺ ἐπλεονέκτει. Φάλαγγι γὰρ κατὰ κέρας

25. δὲ [καὶ] ὁ] Copulam hoc loco omiſſam ante πλὴν ineptius etiam interſerit liber Guelf. ſecluſi, quia locum hic ſuum vix tueri poſſe videbatur. deinde πολλὴ πανταχόθεν Guelf. et Altorf. pro vulgato παντ. πολλὴ dederunt.

ἤδη] Omiſit cum Philelpho Guelf. et Zonaras. deinde παιῶνα a prima manu ſcriptum habet Guelf.

26. τῷ Ενυαλίῳ] Articulum omittit Guelf. deinceps vulgo τε inſertum legebatur, quod auctore libro Altorfino omiſi. Locum enim ante καὶ non habet, ubi ἅμα ſequitur. Supra iii. 3, 58. ante pugnam hymnum παιᾶνα τὸν νομιζόμενον ἐξῆρχεν ὁ Κῦρος: ſed quia res ad manuum conſertionem non venerat, nulla fit clamoris militaris inconditi, ubi Enyalius crebro invocabatur, mentio. Hellenicorum ii. 4, 17. ἐξάρξω μὲν οὖν ἐγὼ, ἡνίκα ἂν καιρὸς ᾖ, παιᾶνα· ὅταν δὲ τὸν Ἐνυάλιον παρακαλέσωμεν τότε πάντες etc.

εὐθὺς μὲν] Guelf. omiſſo μὲν dedit cum Philelpho et margine Steph. ἐπλεονέκτει et προσέβαλλεν pro vulgato ἐπλεονέκτουν——προσέβαλλον. Altorf. περιέπτυσσον, quod non contemnendum videbitur comparanti Anabaſin i. 10, 9. ἐπεὶ δ' ἦσαν κατὰ τὸ εὐώνυμον τῶν Ἑλλήνων κέρας ἔδεισαν οἱ Ἕλληνες, μὴ προσάγοιεν πρὸς τὸ κέρας καὶ περιπτύξαντες ἀμφοτέρωθεν αὐτοὺς διακόψειαν.

κατὰ κέρας] Zeunius interpretatur cornu hoſtium adoriri, idemque valere ait, quod ſupra πλαγίους τοὺς πολεμίους λαμβάνειν, *in die Flanken fallen*. Etiam Weiſke adverſus utrumque cornu exercitus hoſtilis ita pugnatum eſſe ait, ut ea Cyrus ejuſque duces phalange facta invadant a latere. Scilicet ut τὰ κέρατα dicuntur etiam τὰ πλάγια, ita πλαγίους λαμβάνειν τοὺς πολεμίους et κατὰ κέρας λαμβ. idem ſignificant. Inde igitur ſect. 22. πρὸς κέρας μάχεσθαι et φάλαγγα ἔχοντα μάχεσθαι opponuntur ſibi invicem: igitur πρὸς κέρας et κατὰ κέρας ſynonyma videntur eſſe; addit Zeunius tertiam phraſin κατ' ἄκρον ἐπιτίθεσθαι ſect. 21. Videamus nunc, quid ſit ἄγειν ἐπὶ φάλαγγος oppoſitum τῷ κατὰ κέρας ἄγειν ſupra i. 6, 43. quod interpretatur Zeunianus Index *adverſus mediam hoſtium aciem ducere*, ineptiſſime. Recte Camerarius promotis cornibus agmen ducere, et phalangem ducere convertit. Ita Anabaſi iv. 6, 4. ἵνα μὴ κατὰ κέρας ἄγων πλησιάσῃ τοῖς πολεμίοις· παρήγγειλε δὲ τοῖς ἄλλοις παράγειν τοὺς λόχους, ὅπως ἐπὶ φάλαγγος γένοιτο τὸ στράτευμα. ubi Zeu-

προσέβαλλεν· ὥστε ταχὺ ἰσχυρὰ φυγὴ ἐγένετο τοῖς πολεμίοις.

27 Ὡς δ᾽ ᾔσθετο ὁ Ἀρταγέρσης ἐν ἔργῳ ὄντα τὸν Κῦρον, ἐπιτίθεται καὶ αὐτὸς κατὰ τὰ εὐώνυμα, προεὶς τὰς καμήλους, ὥσπερ Κῦρος ἐκέλευσεν. Οἱ δὲ ἵπποι αὐτὰς ἐκ πάνυ πολλοῦ οὐκ ἐδέχοντο, ἀλλ᾽ οἱ μὲν ἔκφρονες γιγνόμενοι ἔφευγον, οἱ δ᾽ ἐξήλλοντο, οἱ δ᾽ ἐνέπιπτον ἀλλήλοις. Τοιαῦτα γὰρ πάσχουσιν ἵπποι ὑπὸ καμήλων.

28 Ὁ δὲ Ἀρταγέρσης, συντεταγμένους ἔχων τοὺς μεθ᾽ ἑαυτοῦ, ταραττομένοις ἐπέκειτο, καὶ τὰ ἅρματα δὲ τά τε κατὰ τὸ δεξιὸν καὶ τὸ εὐώνυμον ἅμα ἐνέβαλλε. Καὶ πολλοὶ μὲν τὰ ἅρματα φεύγοντες ὑπὸ τῶν κατὰ κέρας ἑπομένων ἀπέθνησκον, πολλοὶ δὲ τούτους φεύγοντες ὑπὸ τῶν ἁρμάτων ἡλίσκοντο.

29 Καὶ ὁ Ἀβραδάτας δὲ οὐκέτι ἔμελλεν, ἀλλὰ ἰσχυρῶς ἀναβοήσας, Ἄνδρες φίλοι, ἕπεσθε, ἐνίει, οὐδὲν φειδόμε-

Abradatas hoſtes incurrit, et

nius interpretatur κατὰ κέρας *longo agmine, cujus frons ſeu latitudo multo minor eſt altitudine*; φάλαγγα de aucta et dilatata agminis latitudine explicat. Plane ut in noſtro loco Hellenicorum vi. 5, 16. eſt μὴ ἐκ τῆς πόλεως οἱ Μαντινεῖς ἐξελθόντες κατὰ κέρας τι καὶ ἐκ τῶν ὄπισθεν ἐπιπέσοιεν αὐτῷ. Significat igitur κατὰ κέρας ἐπιτίθεσθαι vel ἐπιπίπτειν *a latere adoriri*; κατὰ κέρας ἄγειν eſt *ducere productis cornibus agmen*. Contrarium ἐπὶ φάλαγγος καθίστασθαι vi. 3, 21. male Index Zeunianus *in acie ſtare* interpretatur. Idem eſt ἐπὶ κέρως ἄγειν, πορεύεσθαι Reſp. Lacedæm. xi. 8. aliud ἐπὶ κέρας στρέφειν τὸ ἄγημα ibidem: εἰς κέρας ἡγεῖσθαι. Hipparchici iv. 3. oppoſitum τῷ ἄγειν ἐπὶ φάλαγγος. Videtur tamen neſcio quid diſcriminis fuiſſe inter ἐπὶ κέρως et κατὰ κέρας, quod non ſatis intelligo. Videant doctiores.

27. ἐν ἔργῳ] Margo Steph. et Guelf. a prima manu ἐν ἴσῳ ſcriptum habet. Articulum ante nomen Artagerſis omittit Guelf.

ἀλλήλοις] Altorf. ἐπ᾽ ἀλλήλοις.

τοιαῦτα γὰρ] Ita etiam tradit, Herodoto i. 80. præeunte, Ariſtoteles h. a. vi. 18. et Ælianus h. a. iii. 7. Verum jam olim Muretus ad h. l. *Ego*, inquit, *ſæpe et vidi et expertus ſum multos equos eſſe, qui etiamſi ad camelum proxime acceſſerint, neque aſpectu illius neque odore terreantur.*

πάσχουσιν ἵπποι] Articulum οἱ vulgo interſertum cum Guelf. omiſi, aſſentiente Fiſchero.

28. ἐπέκειτο] Quod vulgo deinceps additum legitur τεταγμένος, cum Philelpho, Guelf. et Altorfino libro omiſi.

τά τε κατὰ] Guelf. et Zonaras τά τε omittunt.

29. Ἀβραδάτας] Terminationem ας pro ης hic et paulo poſt ex Philelpho, Guelf. et Zonara reſtituit Zeune: deinde βοήσας ἰσχυρῶς Guelf. ſed ἰσχυρῶς corrector addidit, quod omiſit etiam Altorf.

ἕπεσθε] Ita cum Edd. pr. Philel. Bodl. Altorf. Zonaras. Vulgo addunt deinceps μοι, quod ſecluſit Zeune.

ἐνίει] Intellige ἑαυτὸν vel cum Ca-

νος τῶν ἵππων, ἀλλὰ ἐξαιμάττων κατὰ πολὺ τῷ κέντρῳ.
Συνεξώρμησαν δὲ καὶ οἱ ἄλλοι ἁρματηλάται· καὶ τὰ
μὲν ἅρματα ἔφευγεν αὐτοὺς εὐθὺς, τὰ μὲν καὶ ἀναλα-
βόντα τοὺς παραιβάτας, τὰ δὲ καὶ ἀπολιπόντα. Ὁ 30
δὲ Ἀβραδάτας ἀντικρὺ δι' αὐτῶν εἰς τὴν τῶν Αἰγυπτίων
φάλαγγα ἐμβάλλει· συνεισέβαλον δὲ αὐτῷ καὶ οἱ ἐγ-
γύτατα τεταγμένοι. Πολλαχοῦ μὲν οὖν καὶ ἄλλοθι
δῆλον, ὡς οὐκ ἔστιν ἰσχυροτέρα φάλαγξ, ἢ ὅταν ἐκ φί-
λων συμμάχων ἠθροισμένη ᾖ, καὶ ἐν τούτῳ δὲ ἐδήλωσεν.
Οἱ μὲν γὰρ ἑταῖροί τε αὐτοῦ καὶ ὁμοτράπεζοι συνεισ-
έβαλον· οἱ δὲ ἄλλοι ἡνίοχοι, ὡς εἶδον ὑπομένοντας πολλῷ
στίφει τοὺς Αἰγυπτίους, ἐξέκλιναν κατὰ τὰ φεύγοντα
ἅρματα, καὶ τούτοις ἐφείποντο. Οἱ δὲ ἀμφὶ Ἀβραδά- 31
ταν, ᾗ μὲν ἐνέβαλον, ἅτε οὐ δυναμένων διαχάσασθαι
τῶν Αἰγυπτίων, (διὰ τὸ μένειν τοὺς ἔνθεν καὶ ἔνθεν αὐ-
τῶν) τοὺς μὲν ὀρθοὺς τῇ ῥύμῃ τῇ τῶν ἵππων παίοντες
ἀνέτρεπον, τοὺς δὲ πίπτοντας κατηλόων, καὶ αὐτοὺς καὶ
ὅπλα, καὶ ἵπποις καὶ τροχοῖς. Ὅτου δὲ ἐπιλάβοιτο τὰ

cum nonnullis ſuorum cadit. Ægyptiorum globus cum fortiter reſiſtit, pedem referunt Perſæ.

merario τοὺς ἵππους. Sæpius noſter deinde ἐνέβαλε uſurpavit. deinde Bodl. cum Guelf. et Altorf. ἀλλὰ ἰσχυρῶς ἐξαιμάττων. Ex Aldino ἐξαιμάτων, quod in Altorf. etiam adeſt, ſed correctum ab aliena manu, Stephanus ἐξαιματῶν fecerat.

παραιβάτας] Hanc formam ex Guelf. prætulit Zeune vulgari παραβ. Ceterum ἅρματα ſunt currus bellici hoſtium, de quorum uſu vide ſupra ad iii. 3, 60.

30. δι' αὐτῶν] Altorf. διάγων. ſequens πολλαχοῦ pro πολλαχόθε dedit Guelf. et Altorf. ſed οὖν omiſſo Guelf. deinde ἠθροισμένων Guelf.

ἐδήλωσεν] Intellige τὸ πρᾶγμα. Ita noſter Memorab. i. 2, 31. Comparavit Weiſke locum Eurip. Phœn. 636.

ὁμοτράπεζοι] Eoſdem etiam in Cyri minoris exercitu laudat Anabaſis i. 8, 18. i. 9, 17.

31. διαχάσασθαι] Vulgatum διαχωρῆσαι Zeune in διχάσασθαι mutavit de ſententia Leonclavii. In Codice enim Budenſi, ut in Altorfino ipſum noſtrum διαχάσασθαι erat, quod cur diſplicuerit viris doctis, nondum potui intelligere. Locus enim Anabaſeos iv. 8, 18. ubi in ſimili re eſt διχάζοντας Leonclavii correctionem non firmat, ſed infringit. Xenophon ἀναχάζειν adhibuit Anab. iv. 1, 16. medium iv. 7, 10. Cyrop. vii. 1, 34.

τῇ τῶν] Guelf. cum Zonara τῇ omiſit; deinde ἱππέων Guelf. et margo Steph.

ἀνέτρεπον] Hoc cum Zeunio vulgato ἀνετρέποντο ex Zonara ſubſtitui.

καὶ ἵπποις καὶ τροχοῖς] Hanc Budenſis libri ſcripturam monente Mureto recte vulgari ἵππους—τροχοὺς prætulit Zeune.

ὅτου] Zonaras de ſuo ὅσων poſuit.

δρέπανα, ϖάντα βίᾳ διεκόπτετο, καὶ ὅπλα καὶ σώματα.
32 Ἐν δὲ τῷ ἀδιηγήτῳ τούτῳ ταράχῳ, ὑπὸ τῶν ϖαντοδαπῶν
σωρευμάτων ἐξαλλομένων τῶν τροχῶν, ἐκπίπτει ὁ Ἀβρα-
δάτας καὶ ἄλλοι δὲ τῶν συνεισβαλόντων· καὶ οὗτοι μὲν
ἐνταῦθα, ἄνδρες ἀγαθοὶ γενόμενοι, κατεκόπησαν καὶ
ἀπέθανον· οἱ δὲ Πέρσαι συνεπισπόμενοι, ᾗ μὲν ὁ Ἀβρα-
δάτας ἐνέβαλε καὶ οἱ σὺν αὐτῷ, ταύτῃ ἐπεισπεσόντες,
τεταραγμένους ἐφόνευον· ᾗ δὲ ἀπαθεῖς ἐγένοντο οἱ Αἰ-
γύπτιοι, (ϖολλοὶ δὲ οὗτοι ἦσαν) ἐχώρουν ἐναντίοι τοῖς
Πέρσαις.
33 Ἔνθα δὴ δεινὴ μάχη ἦν καὶ δοράτων καὶ ξυστῶν καὶ
μαχαιρῶν· ἐπλεονέκτουν μέντοι οἱ Αἰγύπτιοι καὶ ϖλήθει
καὶ τοῖς ὅπλοις. Τά τε γὰρ δόρατα ἰσχυρά τε καὶ
μακρά, (ἃ ἔτι καὶ νῦν ἔχουσι) αἵ τε ἀσπίδες ϖολὺ
μᾶλλον τῶν θωράκων καὶ τῶν γέῤῥων καὶ στεγάζουσι τὰ
σώματα, καὶ ϖρὸς τὸ ὠθεῖσθαι συνεργάζονται, ϖρὸς
τοῖς ὤμοις οὖσαι. Συγκλείσαντες οὖν τὰς ἀσπίδας
34 ἐχώρουν καὶ ἐώθουν. Οἱ δὲ Πέρσαι οὐκ ἐδύναντο ἀντέ-
χειν, ἅτε ἐν ἄκραις, ταῖς χερσὶ τὰ γέῤῥα ἔχοντες, ἀλλ'
ἐπὶ ϖόδα ἀνεχάζοντο ϖαίοντες καὶ παιόμενοι, ἕως ὑπὸ
ταῖς μηχαναῖς ἐγένοντο. Ἐπεὶ μέντοι ἐνταῦθα ἦλθον,
ἐπαίοντο αὖθις οἱ Αἰγύπτιοι ἀπὸ τῶν ϖύργων· καὶ οἱ
ἐπὶ ϖᾶσι δὲ οὐκ εἴων φεύγειν οὔτε τοὺς τοξότας, οὔτε

Stragem, quam Darii currus falcati pauci in Macedonum exercitu ediderant, defcribit Curtius iv. 15, 17.

32. συνεισβαλόντων] Edd. pr. συνεισβαλλόντων. fequens συνεπισπόμενοι pro συνεπισπώμενοι cum Editicne Eton. et libro Guelf. dedit Zeune præeuntibus Welfio et Hutchinfono.

ἐνέβαλε] Margo Steph. συνέβαλε. deinde ibidem et in Guelf. eft συνεισπεσόντες. poftea τεταγμένους male Guelf.

ἀπαθεῖς] Juntinæ ἀπειθεῖς etiam inter verfus Guelf. adfcriptum eft: deinde ἐναντίον Guelf. et Zonaras.

33. τε καὶ μ. ἃ] Guelf. cum Philelpho τε et ἃ omifit: fequens στεγάζουσι pro στέγουσι ex Guelf. et margine Steph. dedit Zeune.

ἐώθουν] Ita Guelf. pro ὤθουν. deinde ἠδύναντο ex Zonara dedit Zeune.

34. ἄκραις] Guelf. a prima manu ἴσαις fcriptum habet.

μέντοι] Zonaras δὲ dedit, et deinde ἐκ τῶν ϖύργων.

τοὺς ἀκοντιστὰς, ἀλλ' ἀνατεταμένοι τὰς μαχαίρας ἠν-
άγκαζον καὶ τοξεύειν καὶ ἀκοντίζειν. Ἦν δὲ πολὺς μὲν 35
ἀνδρῶν φόνος, πολὺς δὲ κτύπος ὅπλων καὶ βελῶν παν-
τοδαπῶν, πολλὴ δὲ βοὴ, τῶν μὲν ἀνακαλούντων ἀλλή-
λους, τῶν δὲ παρακελευομένων, τῶν δὲ θεοὺς ἐπικαλου-
μένων.

Ἐν δὲ τούτῳ Κῦρος, διώκων τοὺς καθ' ἑαυτὸν, παρα- 36
γίνεται. Ὡς δὲ εἶδε τοὺς Πέρσας ἐκ τῆς χώρας ἐωσμέ-
νους, ἤλγησέ τε, καὶ γνοὺς, ὅτι οὐδαμῶς ἂν θᾶττον σχοίη
τοὺς πολεμίους τῆς εἰς τὸ πρόσθεν προόδου, ἢ εἰ εἰς τὸ
ὄπισθεν περιελάσειεν αὐτῶν, παραγγείλας ἕπεσθαι τοῖς
μεθ' ἑαυτοῦ, περιήλαυνεν εἰς τὸ ὄπισθεν· καὶ εἰσπεσόν-
τες παίουσιν ἀφορῶντας, καὶ πολλοὺς κατακαίνουσιν.
Οἱ δὲ Αἰγύπτιοι ὡς ᾔσθοντο, ἐβόων τε, ὅτι ὄπισθεν οἱ 37
πολέμιοι, καὶ ἐστρέφοντο ἐν ταῖς πληγαῖς. Καὶ ἐν-
ταῦθα δὴ φύρδην ἐμάχοντο καὶ πεζοὶ καὶ ἱππεῖς, πεπ-
τωκὼς δέ τις ὑπὸ τῷ Κύρου ἵππῳ, καὶ πατούμενος παίει
εἰς τὴν γαστέρα τῇ μαχαίρᾳ τὸν ἵππον αὐτοῦ· ὁ δὲ ἵπ-
πος πληγεὶς, σφαδάζων ἀποσείεται τὸν Κῦρον. Ἔνθα 38
δὴ ἔγνω ἄν τις, ὅσου ἄξιον εἴη τὸ φιλεῖσθαι ἄρχοντα
ὑπὸ τῶν ἀρχομένων. Εὐθὺς γὰρ ἀνεβόησάν τε πάντες,
καὶ προσπεσόντες ἐμάχοντο, ἐώθουν, ἐωθοῦντο, ἔπαιον,

Ægyptii tandem, cum a tergo adortus effet Cyrus, cæduntur undique.

36. καθ' ἑαυτὸν] Guelf. καθ' αὑτὸν, Zonaras κατ' αὐτόν: poſt ἤλγησε adverbium aliquod legit et *plurimum* reddidit Philelphus.

σχοίη] Juntina et Guelf. ἔχοι ἤ. Caſtalio ἤ omiſit, Aldina et Brodæi libri σχοίη ἤ. Cum Stephano facit liber Budenſis et Altorf.

προόδου] Ita pro προσόδου liber Philelphi, Budenſis et Altorfinus. deinde ἢ εἰς Juntina, Guelf. Altorf. εἰ εἰς Aldina, Brodæi εἰ μὴ εἰς recepit Stephanus. Cum Mureto et Hutchinſono noſtrum ex Philel. Budenſi et Bodl. libro dedit Zeune. Poſt παραγγείλας Juntina et Altorf. οὖν addit. deinde τὰ ὄπισθεν Zonaras.

ἀφορῶντας] Eſſe debet a tergo, aversos, hoſtem ante ſe poſitum intuentes, nec a tergo adeſſe opinatos. Philelphus igitur *inopinatos* vertit. Vox mihi ſana non eſſe videtur.

37. παίει] Hunc locum laudat Longinus c. 25.

38. ἀρχομένων] Juntina, Guelf. Altorf. περὶ αὐτόν. Sequentem locum de pugna acerrima ſuper Cyro decertantium comparabis cum noſtri Ageſilao ii. 12. Hellenicorum iv. 3, 12.

ἐώθουν] Verbum Guelf. et Altorf. omittunt: deinde ἀναλαμβάνει in lo-

ἐπαίοντο. Καταπηδήσας δέ τις ἀπὸ τοῦ ἵππου τῶν τοῦ Κύρου ὑπηρετῶν, ἀναβάλλει αὐτὸν ἐπὶ τὸν ἑαυτοῦ ἵππον.

39 Ὡς δὲ ἀνέβη ὁ Κῦρος, κατεῖδε πάντοθεν ἤδη παιομένους τοὺς Αἰγυπτίους· καὶ γὰρ Ὑστάσπας ἤδη παρῆν σὺν τοῖς Περσῶν ἱππεῦσι, καὶ Χρυσάντας. Ἀλλὰ τούτους ἐμβαλεῖν μὲν οὐκέτι εἴα εἰς τὴν φάλαγγα τῶν Αἰγυπτίων, ἔξωθεν δὲ τοξεύειν καὶ ἀκοντίζειν ἐκέλευεν. Ὡς δὲ ἐγένετο περιελαύνων παρὰ τὰς μηχανὰς, ἔδοξεν αὐτῷ ἀναβῆναι ἐπὶ τῶν πύργων τινὰ, καὶ κατασκέψασθαι, εἴ τί πη καὶ ἄλλοι μένοιεν τῶν πολεμίων καὶ μάχοιντο.

40 Ἐπεὶ δὲ ἀνέβη κατεῖδε μεστὸν τὸ πεδίον ἵππων, ἀνθρώπων, ἁρμάτων, φευγόντων, διωκόντων, κρατούντων, κρατουμένων· μένον δ᾽ οὐδαμοῦ οὐδὲν ἔτι ἠδύνατο κατιδεῖν, πλὴν τῶν Αἰγυπτίων. Οὗτοι δὲ ἐπειδὴ ἠποροῦντο, κύκλον ποιησάμενοι, ὥστε ὁρᾶσθαι πάντοθεν τὰ ὅπλα, ὑπὸ ταῖς ἀσπίσιν ἐκάθηντο· καὶ ἐποίουν μὲν οὐδὲν ἔτι, ἔπασχον δὲ πολλὰ καὶ δεινά.

41 Ἀγασθεὶς δὲ ὁ Κῦρος αὐτοὺς, καὶ οἰκτείρων, ὅτι ἀγα-

cum *ἀναβάλλει* libri Brodæi dabant. Camerarius ex libro Livii 31. comparavit locum de Philippo, *pavidumque regem in equum ſubjecit.*

39. *ἐμβαλεῖν μὲν*] Guelf. *μὲν* poſt *τούτους* collocat.

περιελαύνων] Guelf. margo Steph. et Zonaras *παρελαύνων*, ſed vulgata eſt in Guelf. ſupra ſcripta. deinde *ἐπὶ τὰς μηχανὰς* Edd. pr. Zonaras, *περὶ τὰς μηχ.* Altorf.

τῶν πύργων] Ita pro *πύργον* Philel. margo Steph. Guelf. Zonaras, Altorf. deinde *καὶ* poſt *τινὰ* acceſſit ex libris Philelphi, Gabr. Budenſi, Guelf. Altorf.

εἴ τί πη — μένοιεν — μάχοιντο] Ita plane liber Altorf. *εἴ πη καὶ ἄλλοι μένοιεν* Budenſis. Vulgo eſt *εἴ πη καὶ ἄλλο τι μένοι — μάχοιτο* ubi vocabulum *στράτευμα, τάγμα,* vel *μέρος* merito deſiderabat Stephanus.

40. *κρατουμένων*] Edd. pr. deinceps addunt *τῶν μὲν πολεμίων φευγόντων, τῶν δ᾽ ἑαυτοῦ κρατούντων· κρατούμενον δὲ οὐδαμοῦ οὐδὲν,* quæ etiam in Guelf. corrector in margine ſupplevit, merito damnata a Mureto, Hutchinſono et Zeunio, et omiſſa in libro Gabr. Philel. Brodæi, Bodl. Zonaræ, Altorfino.

ἠδύνατο] Guelf. *ἠδύναντο.* deinde *πλὴν τὸ τῶν* ex libro Philel. Brodæi, Bodl. Guelf. dedit cum Zeunio Weiſke, ubi *μέρος* vel *τάγμα* intelligere oportet.

κύκλον ποιησάμενοι] Vulgarem lectionem *κύκλῳ πάντοθεν ποιησάμενοι* ex libro Philelphi, Gabr. Bodl. Guelf. in *πάντοθεν κυκλοποιησάμενοι* mutavit cum Zeunio Weiſke; *πάντοθεν κυκλωθέντες* habet hinc Zonaras; *κύκλον πάντοθεν ποιησ.* præfert margo Iſingr. Ego cum Mureto *πάντοθεν* rejeci in meliorem locum et *κύκλον* a Caſtalione acceptum poſui. Ceterum locum de Ægyptiis hunc imitatione

θοὶ ἄνδρες ὄντες ἀπόλοιντο, ἀνεχώρισέ τε πάντας τοὺς
περιμαχομένους, καὶ μάχεσθαι οὐδένα ἔτι εἴα. Πέμ-
πει δὲ πρὸς αὐτοὺς κήρυκα, ἐρωτῶν, πότερα βούλονται
ἀπολέσθαι πάντες ὑπὲρ τῶν προδεδωκότων αὐτοὺς, ἢ
σωθῆναι, ἄνδρες ἀγαθοὶ δοκοῦντες εἶναι. Οἱ δ' ἀπε-
κρίναντο, Πῶς δ' ἂν ἡμεῖς σωθείημεν, ἄνδρες ἀγαθοὶ
δοκοῦντες εἶναι; Ὁ δὲ Κῦρος πάλιν ἔλεγεν, Ὅτι ἡμεῖς 42
ὑμᾶς ὁρῶμεν μόνους καὶ μένοντας καὶ μάχεσθαι θέλον-
τας. Ἀλλὰ τοὐντεῦθεν, ἔφασαν οἱ Αἰγύπτιοι, τί καὶ
καλὸν ἂν ποιοῦντες σωθείημεν; Καὶ ὁ Κῦρος αὖ πρὸς
τοῦτο εἶπεν, Εἰ τῶν τε συμμαχομένων μηδένα προδόντες
σωθείητε, τά τε ὅπλα ἡμῖν παραδόντες, φίλοι τε γενό-
μενοι τοῖς αἱρουμένοις ὑμᾶς σῶσαι, ἐξὸν ἀπολέσαι.
Ἀκούσαντες ταῦτα ἐπήροντο, Ἢν δὲ γενώμεθά σοι φί- 43
λοι, τί ἡμῖν ἀξιώσεις χρῆσθαι; Ἀπεκρίνατο ὁ Κῦρος,
Εὖ ποιεῖν καὶ εὖ πάσχειν. Ἐπηρώτων πάλιν οἱ Αἰγύ-
πτιοι, Τίνα εὐεργεσίαν; Πρὸς τοῦτο εἶπεν ὁ Κῦρος, Μι-
σθὸν ὑμῖν δοίην ἂν πλείονα, ἢ νῦν ἐλαμβάνετε, ὅσον ἂν
χρόνον πόλεμος ᾖ· εἰρήνης δὲ γενομένης, τῷ βουλομένῳ
ὑμῶν μένειν παρ' ἐμοὶ χώραν τε δώσω, καὶ πόλεις, καὶ
γυναῖκας, καὶ οἰκέτας. Ἀκούσαντες ταῦτα οἱ Αἰγύ- 44

Ægyptiis in fidem acceptis assignantur sedes.

effinxit Heliodorus Æthiop. ix. 19. monente Zeunio.

41. ὄντες ἀπόλοιντο] Juntina ὄντες omifit; etiam Guelf. et ἀπώλλυντο deinde dat. ἀπώλλοιντο Altorf. Mihi fcriptura Guelf. præplacet; aoriftus certe locum non habet in hac narratione.

ἀνεχώρισε] Juntina et Altorf. ἀνεχώρησε. deinceps τε omittunt Philel. Guelf. Altorf. καὶ ejus in locum fufficiunt Edd. pr. et ante μάχεσθαι omittunt.

πάντες ὑπὲρ] Altorf. πάντας dat. ὑπὸ vulgatum defendit Zeune ineptis rationibus. Noftrum dat liber Gabr. et Altorfinus.

42. θέλοντας] Altorf. ἐθέλοντας. Ἀλλὰ τοὐντεῦθεν τοι, ἔφασαν.

τί καὶ] Libri Brodæi ὅτι καλὸν, Guelf. ὅτι καὶ καλὸν a prima manu fcriptum habet.

πρὸς τοῦτο] Altorf. πρὸς αὐτούς. fequens συμμαχομένων pro συμμάχων ex Guelf. et margine Steph. recepit Zeune.

τά τε] Guelf. τε omifit; deinde ἐξ ὧν pro ἐξὸν Altorf.

43. σοι φίλοι] Altorf. φίλοι σοι. Poft μισθὸν ex Guelf. μὲν inferuit Zeune, ego ex Altorf. ἂν poft δοίην fupplevi. deinde λαμβάνετε Caftalio dedit.

44. Ἀκούσαντες] Ex Zonara δὲ fubjunxit Zeune.

πτιοι, τὸ μὲν ἐπὶ Κροῖσον συστρατεύειν ἀφελεῖν σφίσιν ἐδεήθησαν· (τούτῳ γὰρ μόνῳ συγγιγνώσκεσθαι ἔφασαν) τὰ δ᾽ ἄλλα συνομολογήσαντες, ἔδοσαν πίστιν καὶ

45 ἔλαβον. Καὶ οἱ Αἰγύπτιοί τε, οἱ καταμείναντες τότε, ἔτι καὶ νῦν βασιλεῖ πιστοὶ διαμένουσι· Κῦρός τε πόλεις αὐτοῖς ἔδωκε, τὰς μὲν ἄνω, αἳ ἔτι καὶ νῦν πόλεις Αἰγυπτίων καλοῦνται, Λάρισσαν δὲ καὶ Κυλλήνην, παρὰ Κύμην, πλησίον θαλάσσης, ἃς ἔτι καὶ νῦν οἱ ἀπ᾽ ἐκείνων ἔχουσι. Ταῦτα διαπραξάμενος ὁ Κῦρος, ἤδη σκοταῖος ἀναγαγὼν ἐστρατοπεδεύσατο ἐν Θυμβράροις.

Quid in hoc prælio plurimum valuerit, breviter commemoratur.

46 Ἐν δὲ τῇ μάχῃ τῶν μὲν πολεμίων Αἰγύπτιοι μόνοι εὐδοκίμησαν· τῶν δὲ σὺν Κύρῳ τὸ Περσῶν ἱππικὸν κράτιστον ἔδοξεν εἶναι· ὥστ᾽ ἔτι καὶ νῦν διαμένει ἡ ὅπλισις, ἣν

συγγιγνώσκεσθαι] *veniam dare* vel *ignoſcere* vertunt Gabriel, Camerarius et Leonclavius. Sed ita deberet eſſe συγγιγνώσκειν. Simplex γιγνώσκεσθαι eſt in Bodl. et Guelf. *Hujus enim ſolius miſereri ſe dixerunt* vertit Philelphus, Brodæus συγγιγνώσκειν, *veniam dare:* habet in Commentario ad h. l. Muretus τοῦτο γὰρ μόνον συγγιγνώσκετε corrigebat; Zeune totam ſententiam ſpuriam cenſebat; vulgatum Weiſke interpretabatur: *eum hoc* (Crœſo) *ſolo ſibi notitiam intercedere.* Quæ ſignificatio græcis non ineſt. Mihi non liquet.

45. Καὶ οἱ] Altorfinus liber Οἱ δὲ Αἰγύπτιοι καταμείναντες — πιστοὶ βασιλεῖ διαμ.—Αἰγυπτίων πόλεις καλοῦνται.

Λάρισσαν δὲ] Recte vulgatum τε ita correxit Zeune, qui Κυλλήνην ſuſpicatur occupaſſe locum oppidi notioris Καρήνη apud Herodotum vii. 42. deinde verba παρὰ Κύμην putat tranſpoſita, et pertinere ad Lariſſam proprie, quæ περὶ Κύμην dicatur a Stephano Byzantino. Noſter Hellenicorum iii. 1, 7. Λάρισσαν τὴν Αἰγυπτίαν καλουμένην Æolidis memorat. Cyllenem nemo præter Xenophontem nominavit.

οἱ ἀπ᾽ ἐκείνων] Atque horum poſteros fuiſſe in exercitu Artaxerxis, ducente Tiſſapherne Anabaſ. i. 8, 9. probabilis eſt ibi Zeunii opinio, eo quidem magis, quod ibidem ii. 5, 13. Ægyptii Perſis inimici dicuntur. Cognovit igitur horum ipſorum Ægyptiorum virtutem auditu et facto Xenophon; nec erat, cur de narrationis fide dubitaret Weiſke, adlegans lectorem ad Interpretes Curtii iv. 1, 30.

ταῦτα] deinceps δὲ ex Guelf. addidit Zeune.

ἀναγαγὼν] Cum Suida pro ἀπαγαγὼν dictum interpretatur Zeune. Nomen oppidi ſequens eſt ex Juntina, Philel. Budenſi, Guelf. Altorf. Θυριβάροις cum Aldina Steph. Cf. ad vi. 2, 11. Formam σκοτιαῖος dant in Hellenicis iv. 5, 18. Edd. pr. in Anabaſi ii. 2, 17. Suidas.

46. μάχῃ] Ad Sardes commiſſa ſecundum Herodotum i. 80. anno a. C. 546. e computo Reizii, uti admonet Zeune. μὲν omittit Altorf. deinde dat τότε Περσόν.

ὥστ᾽ ἔτι] Stephanus eumque ſecuti Hutchinſon et Weiſke ἔτι omiſerunt: ὥστε καὶ ἔτι Altorfinus liber.—Paulo inſolentior eſt dictio ἣν τοῖς ἱππεῦσι κατεσκεύασε; uſitatior erat ἢ τοὺς ἱππέας κατ. ut ſupra vi. 1, 51. τοὺς ἵππους χαλκοῖς προβλήμασι κατεσκευάσατο.

τότε Κῦρος τοῖς ἱππεῦσι κατεσκεύασεν. Εὐδοκίμησε δὲ 47
ἰσχυρῶς καὶ τὰ δρεπανηφόρα ἅρματα· ὥστε καὶ τοῦτο
ἔτι καὶ νῦν διαμένει τὸ πολεμιστήριον τῷ ἀεὶ βασιλεύ-
οντι. Αἱ μέντοι κάμηλοι ἐφόβουν μόνον τοὺς ἵππους, οὐ 48
μέντοι κατέκαινόν [γε] οἱ ἐπ' αὐτῶν ἱππεῖς, οὐδ' αὐτοί
γε ἀπέθνησκον ὑπὸ ἱππέων· οὐδεὶς γὰρ ἵππος ἐπέλαζε.
Καὶ χρήσιμον μὲν ἐδόκει εἶναι· ἀλλὰ γὰρ οὔτε τρέφειν 49
οὐδεὶς ἐθέλει καλὸς κἀγαθὸς κάμηλον, ὥστ' ἐποχεῖ-
σθαι, οὔτε μελετᾶν, ὡς πολεμήσων ἀπὸ τούτων. Οὕτω
δὴ ἀπολαβοῦσαι πάλιν τὸ ἑαυτῶν σχῆμα, ἐν τοῖς σκευο-
φόροις διάγουσι.

CAP. II.

Sardibus captis Cyrus Crœſum cuſtodiri jubet, et ob prædandi libidinem egregie caſtigat Chaldæos.

ΚΑΙ οἱ μὲν ἀμφὶ τὸν Κῦρον, δειπνοποιησάμενοι καὶ
φύλακας καταστησάμενοι, ὥσπερ ἔδει, ἐκοιμήθησαν.
Κροῖσος μέντοι εὐθὺς ἐπὶ Σάρδεων ἔφευγε σὺν τῷ στρα-
τεύματι· τὰ δ' ἄλλα φῦλα ὅποι ἐδύνατο προσωτάτω ἐν
τῇ νυκτὶ τῆς ἐπ' οἶκον ὁδοῦ ἕκαστος ἀπεχώρει. Ἐπεὶ δὲ 2
ἡμέρα ἐγένετο, εὐθὺς ἐπὶ Σάρδεις ἦγεν ὁ Κῦρος. Ὡς δ'
ἐγένετο πρὸς τῷ τείχει τῷ ἐν Σάρδεσι, τάς τε μηχανὰς

47. Εὐδοκίμησε δὲ] Altorfinus liber δὲ omiſit. τὸ πολεμιστήριον abſque nomine adjecto durum mihi videtur: nec comminiſcor, cur τῷ ἀεὶ βασιλεύοντι dixerit, non τοῖς Πέρσαις.

48. μόνον] Altorf. μὲν τῷ ὄντι, quod propter ſequens μέντοι, poſitum pro δὲ et reſpondens præcedenti μὲν, placet. Weiſkio non placebat hujus loci ſententiarum conformatio, nexus et ordo: nec credebat auctorem tam negligenter ſcripſiſſe; et quædam certe depravata eſſe putabat.

[γε] οἱ] Secluſi inutilem particulam quam abeſſe mallem.

49. ἑαυτῶν σχῆμα] Altorf. αὐτῶν. Vocabulum σχῆμα ſingulari uſu ſignificat ornatum camelorum ad bellicum uſum inſtructarum.

1. φύλακας] Vulgatum φυλακὰς mutavi. Cf. ad v. 1, 30.

Σάρδεων] Zonaras Σάρδεις dedit. deinde ὅπῃ cum Guelf. Ita paulo poſt eſt ὅπῃ ἠδύνατο ἕκαστος τῆς πόλεως, ἔφυγον. Quod ſtatim de Cyro ſequitur ἐπὶ Σάρδεις eſt contra Sardes, at ἐπὶ Σάρδεων eſt verſus Sardes.

2. Ἐπεὶ δὲ] Ita vulgatum ἐπειδὴ δὲ correxi—Guelf. ἐπεὶ δὲ δὴ dat, deinde ἦγε Κῦρος cum Altorf. et Juntina.

τῷ τείχει τῷ ἐν Σάρδεσι] Mœnia Sardium et ἐρύματα deinde munitiones vertit Camerarius. Weiſke *muros urbis* interpretatur, ἔρυμα vero arcem. Verum nullo modo græce urbis muri τὸ ἐν Σάρδεσι τεῖχος bis dici potuit, ſed eſt potius idem quod ſtatim τὸ Σαρδιανῶν ἔρυμα dicitur, arx

ἀνίστη, ὡς προσβαλῶν πρὸς τὸ τεῖχος, καὶ κλίμακας
3 παρεσκευάζετο. Ταῦτα δὲ ποιῶν, κατὰ τὰ ἀποτομώ-
τατα δοκοῦντα εἶναι τοῦ Σαρδιανῶν ἐρύματος τῆς ἐπιού-

urbis, ἀκρόπολις, ἄκρα. Ubi Xenophon ab arce muros urbis diſtinguit, utitur plurali: ὡς δ' ἐγένετο δῆλον ὅτι εἴχετο τὰ ἄκρα, πάντες δὴ ἔφυγον οἱ Λυδοὶ ἀπὸ τῶν τειχῶν, ὅπῃ ἠδύνατο ἕκαστος τῆς πόλεως. Poſſunt tamen, fateor, etiam hic τείχη eſſe arcis: tum vero lectio vulgata τὰ Σαρδ. ἐρύματα erit ſervanda, et τὸ τεῖχος de muris urbis explicandum.

ὡς προσβαλῶν] Ita ſuadente Zeunio pro προσβαλὼν ſcripſit Weiſke, qui tamen in vocula ὡς argutatur, quaſi Cyrus non eo conſilio machinas ſeu turres ad muros urbis (ita enim vertit) admoverit et ſcalas parari juſſerit, ut eam vi expugnaret, ſed ut Sardianorum oculos et animos in alienum locum averteret. Vertit ergo ὡς προσβαλῶν *quaſi operibus impetum pararet, machinas admovet*; "idque, ut res et ſequentia ſignificant, ab ea parte, qua facillime irrumpi poſſe videretur. Interim noctu in arcem qua maxime prærupta erat, et tutiſſima videbatur, Chaldæos et Perſas adſcendere jubet, reliquis haud dubie ad opera relictis. Igitur perſpicuitatis cauſa poſt Ταῦτα δὲ ποιῶν incidi, et poſt ἐρύματος inciſum, ut alieniſſimum, ſuſtuli." Hucuſque Weiſke, qui debebat vocabula accuratius inveſtigare, et loci poſitum explicare.

3. ποιῶν—ἀναβιβάζει] hiſtoricorum more dictum pro ποιήσας ἀνεβίβαζε.

τοῦ Σαρδιανῶν ἐρύματος] Præ vulgari τῶν Σαρδιανῶν ἐρύματα placuit Zeunio et Weiſkio ſcriptura marginis Steph. Guelf. Zonaræ: vulgarem contra ſervatam maluit Hemſterhuſius ad Luciani tom. i. p. 501. Zeunius ratione hac utitur: *Ex Herodoto i. 84. patere, ut ex ſequentibus, non omnia* ἐρύματα *vel munimenta ſeu muros urbis fuiſſe præruptos et inacceſſos ſed tantum partem non urbis ſed arcis, qua etiam arx clam fuerit occupata. Igitur* τὸ Σαρδιανῶν ἔρυμα *eſſe arcem Sardianorum, quæ mox dicatur* ἀκρόπολις, τὰ ἄκρα *et bis* ἡ ἄκρα *apud Ælianum V. H.* i. 25. ἡ ἄκρα ἡ ἐν Σάρδεσι *ut apud Polybium* vii. 4. *quem locum dignum eſſe, qui comparetur cum noſtro.* Recte, nec habet ulla locum dubitatio ἔρυμα eſſe idem quod ἀκρόπολις et ἄκρα. Verum in Xenophonte difficultatem etiamnum et quidem permagnam habet, quod poſt τείχεος, ἐρύματος et ἄκρας captæ mentionem denuo τειχῶν nomen ponitur, quæ diverſa eſſe oportet a τῷ τείχει τῷ ἐν Σάρδεσι. In Herodoti loco i. 80. et 84. nihil præſidii petere licebit. Simpliciter enim τὸ τεῖχος, etiam τὸ τεῖχος τῶν Λυδῶν vocatur, et ubi de Mardi Hyrcœadæ invento ſermo eſt, κατὰ τοῦτο τῆς ἀκροπόλιος, τῇ οὐδεὶς ἐτέτακτο φύλακος —ἀπότομός τε γάρ ἐστι ταύτῃ ἡ ἀκρόπολις καὶ ἄμαχος: deinde κατὰ τὸ ἄλλο τεῖχος περιενείκας τῇ ἦν ἐπίμαχον τὸ χωρίον τῆς ἀκροπόλιος—ἔστι δὲ πρὸς τοῦ Τμώλου τετραμμένον τῆς πόλιος. Tantum id lucramur ex Herodoti notitia partem urbis munitiſſimam, quæ τεῖχος et ἀκρόπολις dicitur, converſam contra montem Tmolum fuiſſe. Ab iſta arce Herodotus τὸ ἄστυ ibidem et cap. 88. τὸ τῶν Λυδῶν ἄστυ diſtinguit. Arce igitur incluſus cum copiis ſuis videtur eſſe captus Crœſus; hinc ἁλισκομένου δὲ τοῦ τείχεος ἤϊε τῶν τις Περσέων ἀλλογνώσας Κροῖσον ὡς ἀποκτενέων. Igitur in Xenophonte tutius nunc licebit τὸ ἐν Σάρδεσι τεῖχος, et ſicubi deinde ſimpliciter τεῖχος nominatur, uti τὸ τῶν Σαρδιανῶν ἔρυμα, uti apud Herodotum τὸ τῶν Λυδῶν τεῖχος, de arce interpretari: contra τὰ τείχη alia ratione interpretari debemus, nec ullo modo lectio antiqua τὰ ἀποτομώτατα τῶν Σαρδιανῶν ἐρύματα ad illa trahi poſſunt: quanquam video magnum virum, ubi Luciani locum de arce Sardium (tom. iii. p. 43. ed. Bipont.) explicat: τὴν μεγάλην ἀκρόπολιν τὴν τὸ τριπλοῦν τεῖχος de triplice iſto muro arcis Xenophontis ἐρύματα interpretatum eſſe. Si triplex urbis murus commemoratus fuiſſet ab hiſtorico, facile iſtuc τὰ τείχη a Xenophonte nominata, ut diverſa a τῷ τείχει τῷ ἐν Σάρδεσι et τῷ τῶν Σαρδιανῶν ἐρύματι, trahere liceret. Nunc dubius hærco; et tamen τὰ τείχη

σης νυκτὸς ἀναβιβάζει Χαλδαίους τε καὶ Πέρσας. Ἡγήσατο δ' αὐτοῖς ἀνὴρ Πέρσης, δοῦλος γεγενημένος τῶν ἐν τῇ ἀκροπόλει τινὸς φρουρῶν, καὶ καταμεμαθηκὼς κατάβασιν εἰς τὸν ποταμὸν καὶ ἀνάβασιν τὴν αὐτήν. Ὡς δὲ ἐγένετο τοῦτο δῆλον, ὅτι εἴχετο τὰ ἄκρα, 4
πάντες δὴ ἔφευγον οἱ Λυδοὶ ἀπὸ τῶν τειχῶν, ὅπη ἠδύνατο ἕκαστος τῆς πόλεως. Κῦρος δὲ ἅμα τῇ ἡμέρᾳ εἰσήει εἰς τὴν πόλιν, καὶ παρήγγειλεν, ἐκ τῆς τάξεως μηδένα κινεῖσθαι. Ὁ δὲ Κροῖσος, κατακλεισάμενος ἐν τοῖς βα- 5
σιλείοις, Κῦρον ἐβόα· ὁ δὲ Κῦρος τοῦ μὲν Κροίσου φύλακας κατέλιπεν, αὐτὸς δὲ ἀπαγαγὼν πρὸς τὴν ἐχομένην ἄκραν, ὡς εἶδε τοὺς μὲν Πέρσας φυλάσσοντας τὴν ἄκραν, ὥσπερ ἔδει, τὰ δὲ τῶν Χαλδαίων ὅπλα ἔρημα, (καταδεδραμήκεσαν γὰρ ἁρπασόμενοι τὰ ἐκ τῶν οἰκιῶν) εὐθὺς συνεκάλεσεν αὐτῶν τοὺς ἄρχοντας, καὶ εἶπεν αὐ-

ad urbis muros quam ad triplicem arcis murum referre malim. In cauſa maxima dubitationis noſtræ eſt ambigua Xenophontis dictio. Multa egregia ex hiſtoricis antiquis de Sardium arce dolo capta repetiit et docet Hemſterhuſius ad Luciani locum, ex quibus huc pertinet locus Strabonis xiii. p. 928. de Sardibus *ἄκραν εὐερκῆ ἔχουσα*, magis etiam locus Charonis Lampſaceni apud Plutarchum contra Herodotum diſputantem: *ἑλεῖν τὰ περὶ Σάρδεις ἅπαντα χωρὶς τοῦ τείχεος τοῦ βασιληΐου*. Omnium aptiſſimus eſt locus Polybii vii. c. 15. ubi Sardium arx dolo capta narratur ſimili vel plane eodem: *συνθεωρήσας δὲ τὸ κατὰ τὸν καλούμενον Πρίονα τεῖχος ἀφυλακτούμενον, οὗτος δ' ἐστὶ τόπος ὁ συνάπτων τὴν ἄκραν καὶ τὴν πόλιν*. Pars igitur ea loci ubi urbs conjungebatur cum arce *πρίων* audit: quam puto ad Tmolum montem pertinuiſſe, nomen a ſimilitudine ferræ vel aſperitate nactum. Strabo libro xiv. ubi Epheſi ſitum depingit: *ἐκαλεῖτο μὲν Λεπρὴ ἀκτὴ ὁ πρίων ὑπερκείμενος τῆς νῦν πόλεως, ἔχων μέρος τοῦ τείχεος αὐτῆς· τὰ γοῦν ὄπισθεν τοῦ πρίωνος κτήματα ἔτι νυνὶ λέγεται ἐν τῇ Ὀπισθολεπρίᾳ*. Antoninus Liberalis ex Boeo *γῆς τῆς Ἐφεσίας, ἵν' ἐστὶ νῦν ὁ πρηὼν παρὰ τὴν πόλιν* narrans cap. 11. eundem locum intelligi vult; adeo ut ſcriptura dubia ſit; collem et partem montis, forte Tmoli, urbi Epheſo et Sardibus imminentem, præruptum, utrobique dici, manifeſtum eſt.

κατάβασιν] In Altorf. ſequitur *τινὰ*, ſed punctis impoſitis damnatum. In Guelf. deinde eſt *καὶ τὴν ἀνάβασιν τὴν αὐτήν*. Mihi *τινὰ* additum præplacet.

ποταμὸν] Apud Herodotum v. 101. medium forum prætereuntem; Ovidius Metam. xi. 137. vicinum Sardibus amnem Pactolum vocat.

4. *τὰ ἄκρα*] Libri Brodæi *ἡ ἄκρα*. Poſt *ἕκαστος* ex libris Brodæi, Budenſi, margine Steph. Guelf. Altorf. verba *τῆς πόλεως* addidi.

5. *ἐβόα*] Clamans advocabat in auxilium contra militum irruentium inſolentiam: deinde *κατέλειπεν* Guelf.

ὅπλα ἔρημα] *Tentoria deſerta* vertit Muretus vitium Philelpheæ verſionis

6 τοῖς, ἀπιέναι ἐκ τοῦ στρατεύματος ὡς τάχιστα. Οὐ
γὰρ ἂν, ἔφη, ἀνασχοίμην πλεονεκτοῦντας ὁρῶν τοὺς ἀτα-
κτοῦντας. Καὶ εὖ μὲν, ἔφη, ἐπίστασθε, ὅτι παρεσκευ-
αζόμην ἐγὼ ὑμᾶς τοὺς ἐμοὶ συστρατευομένους πᾶσι Χαλ-
δαίοις μακαριστοὺς ποιῆσαι· νῦν δ', ἔφη, μὴ θαυμά-
7 ζετε, ἤν τις καὶ ἀπιοῦσιν ὑμῖν κρείττων ἐντύχῃ. Ἀκού-
σαντες ταῦτα οἱ Χαλδαῖοι ἔδεισάν τε καὶ ἱκέτευον παύ-
σασθαι ὀργιζόμενον, καὶ τὰ χρήματα πάντα ἀποδώσειν
ἔφασαν. Ὁ δὲ εἶπεν, ὅτι οὐδὲν αὐτῶν δέοιτο. Ἀλλ'
εἴ με, ἔφη, βούλεσθε παύσασθαι ἀχθόμενον, ἀπόδοτε
πάντα, ὅσα ἐλάβετε, τοῖς διαφυλάξασι τὴν ἄκραν.
Ἢν γὰρ αἴσθωνται οἱ ἄλλοι στρατιῶται, ὅτι πλεονεκτοῦ-
8 σιν οἱ εὔτακτοι γενόμενοι, πάντα μοι καλῶς ἕξει. Οἱ
μὲν δὴ Χαλδαῖοι οὕτως ἐποίησαν, ὡς ἐκέλευσεν ὁ Κῦρος·
καὶ ἔλαβον οἱ πειθόμενοι πολλὰ καὶ παντοῖα χρήματα.
Ὁ δὲ Κῦρος καταστρατοπεδεύσας τοὺς ἑαυτοῦ, ὅπου ἐδό-
κει ἐπιτηδειότατον εἶναι τῆς πέλεως, μένειν ἐπὶ τοῖς ὅπλοις
παρήγγειλε καὶ ἀριστοποιεῖσθαι.

Crœsum arcessitum Cyrus humaniter salutat, et ejus

9 Ταῦτα διαπραξάμενος, ἀγαγεῖν ἐκέλευσεν αὐτῷ τὸν
Κροῖσον. Ὁ δὲ Κροῖσος ὡς εἶδε τὸν Κῦρον, Χαῖρε, ὦ
δέσποτα, ἔφη· τοῦτο γὰρ ἡ τύχη καὶ ἔχειν τὸ ἀπὸ τοῦδε
10 δίδωσί σοι, καὶ ἐμοὶ, προσαγορεύειν. Καὶ σύ γε, ἔφη,

increpans. Cf. ad Hellenicorum ii. 4, 6. deinde ἁρπαζόμενοι ἐκ τῶν οἰκιῶν a prima manu ſcriptum habet Guelf.

ὡς τάχιστα] Ex ſolo Altorfino libro ὡς acceſſit.

6. συστρατευομένους] Edd. pr. στρατευομένους cum Stephaniana facit Guelf. et Altorf.

κρείττων ἐντύχῃ] Minæ ambiguæ magis feriunt animos; recte admonente Zeunio.

7. ἔδεισάν τε] Altorf. τε et deinde πάντα omittit: neutrum male.

8. ἐδόκει ἐπιτηδειότατον] Vulgo interſertum articulum τὸ ſolus Altorf. omittit, quem ſequor. deinde εἶναι et poſtea ἐπὶ male Guelf. omittit. ὅπλα ſunt h. l. *caſtra*: alioquin ἐν ὅπλοις debebat eſſe, ſi arma ſignificare voluiſſet.

καὶ ἀριστοπ.] Copulam ex libro Camerarii adjecit altera Stephani Editio, aſſentiente Altorfino.

9. ὦ δέσποτα, ἔφη] Altorf. ἔφη, ὦ δέσποτα.

καὶ ἔχειν] Copula mihi incommoda et ſuperflua videtur; et malim ſcriptum alicubi reperiſſem: ἡ τύχη καὶ δὴ (i. e. ἤδη) ἔχειν τὸ ἀπὸ τοῦδε.

10. σύ γε] Nempe χαῖρε. Altorfinus poſt ἄνθρωποι inſercit γε.

ὦ Κροῖσε· ἐπείπερ ἄνθρωποι ἐσμὲν ἀμφότεροι. Ἀτὰρ,
ἔφη, ὦ Κροῖσε, ἆρ᾽ ἄν τι μοι ἐθελήσαις συμβουλεῦσαι;
Καὶ βουλοίμην γ᾽ ἂν, ἔφη, ὦ Κῦρε, ἀγαθόν τι σοι εὑρεῖν·
τοῦτο γὰρ ἂν οἶμαι ἀγαθὸν κἀμοὶ γενέσθαι. Ἄκουσον 11
τοίνυν, ἔφη, ὦ Κροῖσε· ἐγὼ γὰρ ὁρῶν τοὺς στρατιώτας
πολλὰ πεπονηκότας, καὶ πολλὰ κεκινδυνευκότας καὶ νῦν
νομίζοντας πόλιν ἔχειν τὴν πλουσιωτάτην τῶν ἐν τῇ Ἀσίᾳ,
μετὰ Βαβυλῶνα, ἀξιῶ ὠφεληθῆναι τοὺς στρατιώτας.
Γιγνώσκω γὰρ, ἔφη, ὅτι, εἰ μή τινα καρπὸν λήψονται
τῶν πόνων, οὐ δυνήσομαι αὐτοὺς πολὺν χρόνον πειθομέ-
νους ἔχειν. Διαρπάσαι μὲν οὖν αὐτοῖς ἐφεῖναι τὴν πό-
λιν οὐ βούλομαι. τήν τε γὰρ πόλιν νομίζω ἂν διαφθαρῆ-
ναι, ἔν τε τῇ ἁρπαγῇ εὖ οἶδ᾽ ὅτι οἱ πονηρότατοι πλεονεκτή-
σειαν ἄν. Ἀκούσας ταῦτα ὁ Κροῖσος ἔλεξεν, Ἀλλ᾽ ἐμὲ, 12
ἔφη, ἔασον λέξαι, πρὸς οὓς ἂν ἐγὼ Λυδῶν ἐθέλω, ὅτι
διαπέπραγμαι παρὰ σοῦ μὴ ποιῆσαι ἁρπαγὴν, μηδὲ
ἐᾶσαι ἀφανισθῆναι παῖδας καὶ γυναῖκας· ὑπεσχόμην
δέ σοι ἀντὶ τούτων, ἦ μὴν παρ᾽ ἑκόντων Λυδῶν ἔσεσθαι
πᾶν, ὅ τι καλὸν κἀγαθόν ἐστιν ἐν Σάρδεσιν. Ἢν γὰρ 13
ταῦτα ἀκούσωσιν, οἶδ᾽, ὅτι ἥξει σοι πᾶν, ὅ τι ἐστὶν ἐνθάδε

consilio de non diripienda urbe paret.

συμβουλεῦσαι] Herodotus i. 88. Crœfi confilium a Cyro non expetitum habet.

ἀγαθὸν εὑρεῖν] *Utilis effe velim.* cf. Hiftor. gr. iv. 1, 10. Poft *βουλοίμην* Altorf. *γε* omifit.

11. *τῶν ἐν τῇ*] Ald. Steph et Guelf. *τῶν* omittunt, quod ex Brodæi libris et Zonara recte revocavit Zeune, male omifit denuo Weifke.

τοὺς στρατιώτας] Hæc verba liber Gabr. omittit, hinc etiam pofterior Stephaniana: eorum loco Muretus *αὐτοὺς* poni malebat.

ὅτι εἰ μὴ] Altorf. *εἰ μέν τινα καρπὸν τῶν πόνων λήψονται.*

νομίζω ἂν] Ita ex Guelf. fcripfi pro *νομίζω ἅμα.* fequens *πονηρότατοι* eft ex libris Brodæi, Philel. Bodl. Guelf. Altorf. pro *πονηροί.* Articulum ante *ἁρπαγῇ* omifit Altorf.

πλεονεκτήσειαν ἂν] Guelf. omiffo *ἂν* habet *πλεονεκτήσαιεν.* In Altorf. omiffo *ἂν* effe *πλεονεκτήσειαν* monet Fifcher ad Weller. ii. p. 388. Sententia eadem eft apud Livium v. 20. *cum ita ferme eveniat, ut fegnior fit prædator, ut quifque laboris periculique præcipuam petere partem foleat.*

12. *ἐθέλω*] Altorf. *θέλω.* deinde *διαπέπραγμαι ἐγὼ παρὰ—ὑπισχνοῦμαι.*

καλὸν κἀγαθὸν] Statim fequitur *ὅτι ἐστὶν ἐνθάδε καλὸν κτῆμα.* fupra dicuntur vi. 2, 22. *ἀγαθὰ Λύδια.* Herodotus i. 207. *ἀγαθὰ Περσικὰ* dicit, et ftatim *καλὰ μεγάλα* fubjungit, et epulas opipare paratas *ἀγαθὰ πολλὰ* vocat. Vide etiam fupra v. 5, 19.

13. *ἥξει σοι*] Ita ex Altorf. correxi

καλὸν κτῆμα ἀνδρὶ καὶ γυναικί· καὶ ὁμοίως εἰς νέωτα
πολλῶν καὶ καλῶν πάλιν σοι πλήρης ἡ πόλις ἔσται.
Ἢν δὲ διαρπάσῃς, καὶ αἱ τέχναι σοι, ἅς πηγάς φασι
14 τῶν καλῶν εἶναι, διεφθαρμέναι ἔσονται. Ἐξέσται δέ
σοι ἰδόντι [ταῦτα ἐλθόντα] ἔτι καὶ περὶ τῆς ἁρπαγῆς
βουλεύσασθαι. Πρῶτον δὲ, ἔφη, ἐπὶ τοὺς ἐμοὺς θησαυ-
ροὺς πέμπε, καὶ παραλαμβανέτωσαν οἱ σοὶ φύλακες
παρὰ τῶν ἐμῶν φυλάκων. Ταῦτα μὲν δὴ ἅπαντα οὕτω
συνήνεσε ποιεῖν ὁ Κῦρος, ὥσπερ ἔλεξεν ὁ Κροῖσος.

Exponit Crœſus de oraculis Apollinis ſibi datis, et ſuam incuſat imprudentiam.

15 Τάδε δέ μοι, ἔφη, πάντως, ὦ Κροῖσε, λέξον, πῶς σοι
ἀποβέβηκε τὰ ἐκ τοῦ ἐν Δελφοῖς χρηστηρίου· σοὶ γὰρ δὴ
λέγεται πάνυ τεθεραπεῦσθαι ὁ Ἀπόλλων, καί σε πάν-
16 τα ἐκείνῳ πειθόμενον πράττειν. Ἐβουλόμην γ' ἂν, ὦ
Κῦρε, οὕτως ἔχειν· νῦν δὲ πάντα τἀναντία εὐθὺς ἐξ ἀρ-
χῆς πράττων προσηνέχθην τῷ Ἀπόλλωνι. Πῶς δέ;
ἔφη ὁ Κῦρος, δίδασκε· πάνυ γὰρ παράδοξα λέγεις.
17 Ὅτι πρῶτον μὲν, ἔφη, ἀμελήσας ἐρωτᾷν τὸν θεὸν, εἴ τι

librorum ceterorum ἥξουσι, cui ἄγοντες vel φέροντες adjungi viri docti voluerunt; cum Mureto et Leonclavio ἄξουσι dedit Zeune et Weiſke, idque Philelphum expreſſiſſe cenſent: *futurum ſcio ut afferant.*

καὶ ὁμοίως] Juntina copulam omiſit, ut σοι poſt πάλιν Guelferb. Pro ἔσται in Junt. A. Iſingr. eſt ἐστίν.

τέχναι] Artes, quas deſiderat fructuoſa vitium, olearum, ficuum cultura, præcipue intelligi, comparato loco vi. 2, 22. monet Weiſke.

14. Ἐξέσται] Ita libri Brodæi, Philel. Budenſis, Bodl. Guelf. Altorf. pro ἔξεστι, quod jam Muretus correxit.

ἰδόντι] Zeuniana ἰδόντι ταῦτα, ἐλθόντα ἔτι poſuit ex Junt. Guelf. et Altorfino, cum antea eſſet ἐλθόντι, quod Muretus deleri voluit. Zeunius ἐλθόντα verbo βουλεύσασθαι junctum rei celeritatem ſignificare putabat; igitur vertebat *ſtatim ſtatuere.* Weiſke dedit ταῦτα ἐλθόντα, ut res a Sardianis allatæ ſignificentur; ita eſſe ἔρχεσθαι vi. 2, 22. Mihi verbum ἐλθόντι ex varietate lectionis ἰδόντι ortum videbatur, et pro ταῦτα textus Guelf. τὰ ἐλθόντα margo ταῦτα adſcriptum habet: ubi τὰ mihi ex varietate præcedentis ἰδόντι ortum videbatur. Igitur utrumque vocabulum ſecluſi: nam ταῦτα nimis longe remotum eſt a verbis πᾶν ὅ τι καλὸν et cetera.

ἅπαντα οὕτω] Altorf. πάντα οὕτως συνήνεσεν ὁ Κῦρος ποιεῖν.

15. Τάδε δὲ] Guelf. Τάδε μοι πάντως, ἔφη.

πῶς σοι] Ex Altorfino libro σοι inſerui: idem deinde τὰ ἐν Δελφοῖς χρηστήρια dat.

πάνυ] Ex libro Brodæi et Guelf. γε addidit Zeune: verum Brodæi libri πάνυ γε θεραπεῦσθαι ſcriptura vitii originem ſatis monſtrat.

16. ἐβουλόμην γ' ἂν] Ita ſuadente Mureto ſcripſi pro ἐβ. δ' ἄν. Guelf. δὲ omiſit.

ἐδεόμην, ἀπεπειρώμην αὐτοῦ, εἰ δύναιτο ἀληθεύειν. Τοῦτο
δὲ μὴ ὅτι ὁ θεὸς, ἔφη, ἀλλὰ καὶ ἄνθρωποι καλοὶ κἀ-
γαθοὶ, ἐπειδὰν γνῶσιν ἀπιστούμενοι, οὐ φιλοῦσι τοὺς
ἀπιστοῦντας. Ἐπεὶ μέντοι ἔγνω καὶ μάλα ἄτοπα ἐμοῦ 18
ποιοῦντος, καὶ πρόσω Δελφῶν ἀπέχοντος, οὕτω δὴ πέμπω
περὶ παίδων. Ὁ δέ μοι τὸ μὲν πρῶτον οὐδ' ἀπεκρίνατο· 19
ἐπεὶ δ' ἐγὼ πολλὰ μὲν πέμπων ἀναθήματα χρυσᾶ,
πολλὰ δ' ἀργυρᾶ, πάμπολλα δὲ θύων, ἐξιλασάμην
ποτὲ αὐτὸν, ὡς ἐδόκουν, τότε δή μοι ἀποκρίνεται ἐρωτῶντι,
τί ἄν μοι ποιήσαντι παῖδες γένοιντο· ὁ δὲ εἶπεν, ὅτι
ἔσοιντο. Καὶ ἐγένοντο μὲν, (οὐ γὰρ οὐδὲ τοῦτο ἐψεύ- 20
σατο) γενόμενοι δὲ οὐδὲν ὤνησαν. Ὁ μὲν γὰρ κωφὸς
ὢν διατελεῖ· ὁ δὲ, ἄριστος γενόμενος, ἐν ἀκμῇ τοῦ βίου
ἀπώλετο. Πιεζόμενος δὲ ταῖς περὶ τοὺς παῖδας συμφο-
ραῖς, πάλιν πέμπω, καὶ ἐπερωτῶ τὸν θεὸν, τί ἂν ποιῶν
τὸν λοιπὸν βίον εὐδαιμονέστατα διατελέσαιμι· ὁ δέ μοι
ἀπεκρίνατο,

Σαυτὸν γιγνώσκων, εὐδαίμων, Κροῖσε, περάσεις.

Ἐγὼ δὲ ἀκούσας τὴν μαντείαν ἥσθην· ἐνόμιζον γὰρ, 21
τό [γε] ῥᾷστόν μοι αὐτὸν προστάξαντα τὴν εὐδαιμονίαν
διδόναι. Ἄλλους μὲν γὰρ γιγνώσκειν τοὺς μὲν οἷόν τ'

17. ἀπεπειρώμην] Herodotum compara i. 46.

Τοῦτο δὲ] Guelf. Τοῦτο δὲ, ἔφη, (ut Altorf.) μὴ ὅτι ὁ θεὸς, (μὴ ὅτι θεὸς Altorf.) ἀλλά.

18. ἔγνω] Leonclavii conjectura ἔγνων ab Hutchinſono recepta argumentationem inducere prorſus abſurdam et ridiculam videtur Zeunio et Weiſkio. Stephano non item, nec mihi, ſi, uti par eſt facere, cum viro docto poſt ἔγνων intelligas ex ſuperioribus ἀληθεύοντα αὐτόν. Contra vulgaris lectio difficilis mihi videtur, et intelligendum πάντα poſt verbum ἔγνω. Quæ vero ſint ἄτοπα illa, cognoſces ex Herodoto.

19. ἀναθήματα] Recenſet Herodotus i. 50. ſeqq.

23. οὐ γὰρ οὐδὲ] Ita cum Altorfino libro pro οὐδὲ γὰρ οὐδὲ ſcripſi.

διατελεῖ] Ita cum Altorfino dedi pro διετέλει. Crœſus nondum reſciverat vel animadverterat, quod accidiſſe filio hucuſque muto narrat Herodotus i. 85. filium vocis uſum ſubito in periculo patris capitali accepiſſe.

ἀπώλετο] Atys, de quo Herodotus i. 34. deinde ſimplex ἐρωτῶ dat Altorf.

21. Ἐγὼ δὲ] Ita Stephaniana altera pro Ἐπεὶ δὲ ex libro Gabr. (cum quo facit Altorfinus) dedit: ſequens γε a Guelf. omiſſum, ut inutile, ſecluſi.

εἶναι, τοὺς δ' οὔ· ἑαυτὸν δὲ, ὅστις ἐστὶ, πάντα τινὰ ἐνό-
22 μιζον ἄνθρωπον εἰδέναι. Καὶ τὸν μετὰ ταῦτα δὴ χρό-
νον, ἕως μὲν εἶχον ἡσυχίαν, οὐδὲν ἐνεκάλουν μετὰ τὸν τοῦ παιδὸς θάνατον ταῖς τύχαις. Ἐπειδὴ δὲ ἀνεπείσθην ὑπὸ τοῦ Ἀσσυρίου ἐφ' ὑμᾶς στρατεύεσθαι, εἰς πάντα κίνδυνον ἦλθον· ἐσώθην μέντοι οὐδὲν κακὸν λαβών. Οὐκ αἰτιῶμαι δὲ οὐδὲ τάδε τὸν θεόν. Ἐπεὶ γὰρ ἔγνων ἐμαυτὸν μὴ ἱκανὸν ὑμῖν μάχεσθαι, ἀσφαλῶς σὺν τῷ
23 θεῷ ἀπῆλθον, καὶ αὐτὸς καὶ οἱ σὺν ἐμοί. Νῦν δ' αὖ
πάλιν ὑπό τε πλούτου τοῦ παρόντος διαθρυπτόμενος, καὶ ὑπὸ τῶν δεομένων μου προστάτην γενέσθαι, καὶ ὑπὸ τῶν δώρων, ὧν ἐδίδοσάν μοι, καὶ ὑπ' ἀνθρώπων, οἵ με κολακεύοντες ἔλεγον, ὡς, εἰ ἐγὼ ἐθέλοιμι ἄρχειν, πάντες ἂν ἐμοὶ πείθοιντο, καὶ μέγιστος ἂν εἴην ἀνθρώπων· ὑπὸ τοιούτων δὴ λόγων ἀναφυσώμενος, ὡς εἵλοντό με πάντες οἱ κύκλῳ βασιλεῖς προστάτην τοῦ πολέμου, ὑπεδεξάμην τὴν στρατηγίαν, ὡς ἱκανὸς ὢν μέγιστος γενέσθαι·
24 ἀγνοῶν ἄρα ἐμαυτὸν, ὅτι σοι ἀντιπολεμεῖν ἱκανὸς ᾤμην
εἶναι, πρῶτον μὲν ἐκ θεῶν γεγονότι, ἔπειτα δὲ διὰ βασιλέων πεφυκότι, ἔπειτα δ' ἐκ παιδὸς ἀρετὴν ἀσκοῦντι· τῶν δ' ἐμῶν προγόνων ἀκούω τὸν πρῶτον βασιλεύσαντα ἅμα τε βασιλέα καὶ ἐλεύθερον γενέσθαι. Ταῦτ' οὖν

ἑαυτὸν δὲ] Altorfinus δὲ omifit.

22. χρόνον—ἡσυχίαν] Hæc in Altorfino defunt, et paulo antea fcriptum eft καὶ τὸ μετὰ ταῦτα δὴ, fed ν literam ex articulo τὸν abrafam effe apparet. deinde ufus loquendi ἐπεὶ δὲ ἀνεπείσθην fcribere jubet.

οὐδὲ τάδε] Altorf. οὐδὲ ἄδε. Voluit fortaffe οὐδὲ ὧδε.

ἱκανὸν] Guelf. a prima manu ἱκανῶς fcriptum habet; deinceps εἶναι addit Altorf. recte, puto.

23. πάντες ἂν] Philelphus vertit: *omnibus in rebus:* quafi fcriptum legiffet πάντα ἂν, vel, quod eft in margine Steph. πάνυ τ' ἄν. Guelf. ἂν μοι.

τοιούτων δὴ] Ita pro δὲ Juntino, Caftalio et Steph. dederunt, affentiente Altorfino libro.

24. ἐκ θεῶν] Gentis enim regiæ Perfidarum auctor perhibebatur Perfeus, Jovis ex Danae filius. Cf. fupra i. 2, 1.

διὰ βασιλέων] A longa regum præcedentium ferie prognato et orto.

ἅμα τε] Altorf. τε omittit. De Gyge compara Herodotum i. 7. Platonem libro ii. de Republica, quem fequitur Cicero Officior. iii. 9. Juftinum i. 7, 17.

ἀγνοήσας, δικαίως, ἔφη, ἔχω τὴν δίκην. Ἀλλὰ νῦν 25
γὰρ, ἔφη, ὦ Κῦρε, γιγνώσκω μὲν ἐμαυτόν· σὺ δ', ἔφη,
δοκεῖς ἔτι ἀληθεύσειν τὸν Ἀπόλλω, ὡς εὐδαίμων ἔσομαι
γιγνώσκων ἐμαυτόν; Σὲ δ' ἐρωτῶ διὰ τοῦτο, ὅτι ἄριστ'
ἂν μοι δοκεῖς εἰκάσαι τοῦτο ἐν τῷ παρόντι· καὶ γὰρ δύ-
νασαι ποιῆσαι.

Καὶ ὁ Κῦρος εἶπε, Βουλήν μοι δὸς περὶ τούτου, ὦ 26
Κροῖσε· ἐγὼ γάρ σου ἐννοῶν τὴν πρόσθεν εὐδαιμονίαν,
οἰκτείρω τέ σε, καὶ ἀποδίδωμι ἤδη γυναῖκά τε ἔχειν, ἣν
ἔχεις, καὶ τὰς θυγατέρας, (ἀκούω γάρ σοι εἶναι) καὶ
τοὺς φίλους, καὶ τοὺς θεράποντας, καὶ τράπεζαν, σὺν
οἵαπερ ἐζῆτε· μάχας δέ σοι καὶ πολέμους ἀφαιρῶ.
Μὰ Δία μηδὲν τοίνυν, ἔφη ὁ Κροῖσος, σὺ ἐμοὶ ἔτι βουλεύου 27
ἀποκρίνασθαι περὶ τῆς ἐμῆς εὐδαιμονίας· ἐγὼ γὰρ ἤδη
σοι λέγω, ἢν ταῦτά μοι ποιήσῃς, ἃ σὺ λέγεις, ὅτι, ἣν
ἄλλοι τε μακαριωτάτην ἐνόμιζον εἶναι βιοτὴν, καὶ ἐγὼ
συνεγίγνωσκον αὐτοῖς, ταύτην καὶ ἐγὼ νῦν ἔχων διάξω.
Καὶ ὁ Κῦρος εἶπε, Τίς δὴ ὁ ἔχων ταύτην τὴν μακαρίαν 28

Cyri clementia erga Crœſum.

25. *ἀλλὰ νῦν γὰρ*] Edd. pr. et Codd. plurimorum lectionem *ἀλλὰ νῦν δὴ* deſeruit Hutchinſon et in *δὲ* mutavit *δὴ*, quem ſequitur Weiſke, in Altorfino eſt *ἀλλὰ νῦν γὰρ δέ*.

σὺ δ', ἔφη] Ita cum Philelpho et Guelf. Zeune pro *σὺ δ' ἔτι δοκεῖς ἀληθεύειν*. Altorf. *σὺ δ', ἔφη, εἰ δοκεῖς ἔτι ἀληθεύειν*.

ὅτι ἄριστ' ἂν μοι δοκεῖς] Guelf. omiſſo *ὅτι* in litura *δοκῇς* ſcriptum habet. *τούτῳ ἐν τῷ παρόντι* Altorf.

26. *ἐγὼ γὰρ*] Altorf. *ἐγὼ δέ*. ſequens *ἔχεις* pro *εἶχες* Guelf. et Philel. dedit.

ἐζῆτε] Edd. pr. Guelf. Altorf. *ἐζῶτε*, quod ex libris ſuis correxit Brodæus.

δέ σοι] Ex Guelf. *δέ σε* recepit Zeune anteſtatus loca Xenophontis aliena, ubi *ἀφαιρεῖσθαι τινά τι* dicitur. Similis eſt ſupra vii. 1, 44. *τὸ ἐπὶ Κροῖσον συστρατεύειν ἀφελεῖν σφίσι ἐδεήθησαν*. hoc ſibi remittere, vel ex conditionibus detrahere rogabant.

27. *τοίνυν*] Caſtalio *τὰ νῦν* dedit; deinde *σὺ ἐμοῦ* Altorf. *nihil tu igitur profecto jam conſultes mecum, de meæ felicitatis reſponſione* vertit Camerarius. *Ergo nihil tu profecto amplius deliberes, quid mihi de mea felicitate reſpondeas.* Mihi tamen græcæ orationi durities quædam ineſſe videtur; quæ mollius flueret, ſi eſſet *μηδὲν ἔτι βουλεύου ὅτι ἐμοὶ ἀποκρίναιο ἂν περὶ τῆς ἐμῆς εὐδαιμονίας*; diſplicet etiam *τοίνυν*, et videtur id Caſtalio corrigere voluiſſe.

ποιήσῃς, ἃ σὺ λέγεις] Guelf. *ποιήσαις ἃ λέγεις*. Malim *εἰ—ποιήσεις, ἃ λέγεις*.

μακαριωτάτην] Altorf. *μακαριστοτάτην*. recte, puto. et ſic eſt Memorab. ii. 1, 33. *τὴν μακαριστοτάτην εὐδαιμονίαν*.

28. *Τίς δὴ*] Ex libro Gabr. mar-

βιοτήν; Ἡ ἐμὴ γυνὴ, εἶπεν, ὦ Κῦρε· ἐκείνη γὰρ τῶν μὲν ἀγαθῶν καὶ τῶν μαλακῶν καὶ εὐφροσυνῶν πασῶν ἐμοὶ τὸ ἴσον μετεῖχε· φροντίδων δὲ, ὅπως ταῦτα ἔσται, καὶ πολέμου καὶ μάχης οὐ μετῆν αὐτῇ. Οὕτω δὴ καὶ σὺ δοκεῖς ἐμὲ κατασκευάζειν, ὥσπερ ἐγὼ, ἣν ἐφίλουν μάλιστ' ἀνθρώπων· ὥστε τῷ Ἀπόλλωνι ἄλλα μοι δοκῶ
29 χαριστήρια ὀφειλήσειν. Ἀκούσας δὲ ὁ Κῦρος τοὺς λόγους αὐτοῦ, ἐθαύμασε μὲν τὴν εὐθυμίαν· ἤγετο δὲ τὸ λοιπὸν, ὅποι καὶ αὐτὸς πορεύοιτο· εἴτ' ἄρα καὶ χρήσιμόν τι νομίζων αὐτὸν εἶναι, εἴτε καὶ ἀσφαλέστερον οὕτως ἡγούμενος.

CAP. III.

Cyrus audita morte Abradatæ funus ei ſplendidum parat: cumque Panthea prope maritum gladio incubuiſſet, utrique ampliſſimum poni jubet monumentum.

ΚΑΙ τότε μὲν οὕτως ἐκοιμήθησαν. Τῇ δ' ὑστεραίᾳ καλέσας ὁ Κῦρος τοὺς φίλους καὶ τοὺς ἡγεμόνας τοῦ στρατεύματος, τοὺς μὲν αὐτῶν ἔταξε τοὺς θησαυροὺς παραλαμβάνειν, τοὺς δ' ἐκέλευσεν, ὁπόσα παραδοίη Κροῖσος χρήματα, πρῶτον μὲν τοῖς θεοῖς ἐξελεῖν, ὁποῖα ἂν οἱ μάγοι ἐξηγῶνται, ἔπειτα τὰ ἄλλα χρήματα παραδεχομένους, ἐν ζυγάστροις στήσαντας ἐφ' ἁμαξῶν ἐπισκευάσαι καὶ διαλαχόντας τὰς ἁμάξας κομίζειν, ὅποιπερ ἂν αὐτοὶ πορεύωνται· ἵνα, ὅπῃ καιρὸς εἴη, διαλαμ-
2 βάνοιεν ἕκαστοι τὰ ἄξια. Οἱ μὲν δὴ ταῦτ' ἐποίουν.

gine Steph. et Altorfino Τίς δ' ἦν receperunt Zeune et Weiſke. deinde ταύτην Junt. omiſit; poſtea τῶν μὲν ἀγαθῶν ex libro Gabr. Guelf. dedit Zeune; vulgo μὲν poſt ἐκείνη poſitum legitur, in Altorf. bis adeſt et ſuo et alieno loco.

ἄλλα μοι] Altorf. deinceps ἔφη inſerit.

29. ἤγετο] Libri Brodæi, Guelf. Altorf. ἦγε. Media forma in eadem narratione utitur Herodotus i. 153. deinde λοιπὸν omiſſo τὸ Juntina; poſtea ὅπου Altorf.

1. Κροῖσος] Ex Zonara articulum ὁ addidit Zeune: χρήματα a θησαυροῖς, id eſt numis adſervatis vel auro et argento cuſo, diſtinguuntur.

τοῖς θεοῖς] Juntina τοῖς omiſit: deinde verba ἁμαξῶν—διαλ. τὰς omiſit Philelphus, Guelf. et Suidas in ζυγάστροις, qui ἐφ' ἁμάξης dat. Plura omiſit Zonaras in Lexico apud Valckenarium ad Theocrit. p. 335. qui cum Suida, Juntina, Guelf. ὅπῃ dedit pro ὅποι Aldinæ et Steph.

τὰ ἄξια] Aldina τὰ δεξιὰ, quod repetiit margo Steph. *ut tempore oppor-*

Ὁ δὲ Κῦρος, καλέσας τινὰς τῶν παρόντων ὑπηρετῶν,
Εἴπατέ μοι, ἔφη, ἑώρακέ τις ὑμῶν Ἀβραδάταν; θαυ-
μάζω γὰρ, ἔφη, ὅτι, πρόσθεν θαμίζων ἐφ' ἡμᾶς, νῦν
οὐδαμοῦ φαίνεται. Τῶν οὖν ὑπηρετῶν τις ἀπεκρίνατο, 3
ὅτι, ὦ δέσποτα, οὐ ζῇ, ἀλλ' ἐν τῇ μάχῃ ἀπέθανεν, ἐμ-
βαλὼν τὸ ἅρμα εἰς τοὺς Αἰγυπτίους· οἱ δ' ἄλλοι, πλὴν
τῶν ἑταίρων αὐτοῦ, ἐξέκλιναν, ὥς φασιν, ἐπεὶ τὸ στίφος
εἶδον τὸ τῶν Αἰγυπτίων. Καὶ νῦν γε, ἔφη, λέγεται αὐ- 4
τοῦ ἡ γυνὴ, ἀνελομένη τὸν νεκρὸν, καὶ ἐνθεμένη εἰς τὴν
ἁρμάμαξαν, ἐν ἧπερ αὐτὴ ὠχεῖτο, προσκεκομικέναι αὐ-
τὸν ἐνθάδε πη πρὸς τὸν Πακτωλὸν ποταμόν. Καὶ τοὺς 5
μὲν εὐνούχους καὶ τοὺς θεράποντας αὐτοῦ ὀρύττειν φασὶν
ἐπὶ λόφου τινὸς θήκην τῷ τελευτήσαντι· τὴν δὲ γυναῖκα
λέγουσιν, ὡς κάθηται χαμαὶ, κεκοσμηκυῖα, οἷς εἶχε,
τὸν ἄνδρα, τὴν κεφαλὴν αὐτοῦ ἔχουσα ἐπὶ τοῖς γόνασι.
Ταῦτα ἀκούσας ὁ Κῦρος ἐπαίσατο ἄρα τὸν μηρὸν, καὶ 6
εὐθὺς ἀναπηδήσας ἐπὶ τὸν ἵππον, λαβὼν χιλίους ἱππέας
ἤλαυνεν ἐπὶ τὸ πάθος. Γαδάταν δὲ καὶ Γωβρύαν ἐκ- 7
έλευσεν, ὅ τι δύναιντο λαβόντας καλὸν κόσμημα ἀν-
δρὶ φίλῳ καὶ ἀγαθῷ τετελευτηκότι μεταδιώκειν· καὶ
ὅστις εἶχε τὰς ἑπομένας ἀγέλας, καὶ βοῦς καὶ ἵπ-
πους εἶπε τούτῳ καὶ ἄλλα πρόβατα πολλὰ ἐλαύνειν,

tuno quæ meriti ſunt quique ea partiendo accipiant, vertit Camerarius. Mihi loci ſententia dubia etiamnum manet propter verba, quanquam de Cyri conſilio conſtat etiam ex cap. iv. ſect. 13.

2. ἑώρακε] Altorf. ἑωράκει. deinde Ἀβραδάταν pro τὴν ex Philel. Guelf. et Zonara dedit Zeune.

4. ἐνθάδε πη] Guelf. et Altorf. ἐνθάδε ποι.

5. αὐτοῦ ὀρύττειν] Altorf. αὐτοῦ φασιν ὀρύττειν.

6. ἀκούσας] Altorf. δὲ deinceps addit, contra ἄρα omiſſo ἔπαισεν.

7. καὶ ἄλλα] Libri Gabr. Philel. Brodæi. Guelf. καὶ ἅμα. deinde ἐλαύνειν πολλὰ Altorf. Vulgo poſt ἵππους incidunt, quaſi ἀγέλαι ſint minoris pecoris, et equos boveſque excludant: verum tum oritur maxima difficultas ex verbis ἄλλα πρόβατα, quæ genus pecoris ab equis, bobus, et eo, cujus ἀγέλαι dicuntur ſequi exercitum, diverſum ſignificare videntur. In Memorab. ii. 9, 7. ἀγέλας ἱστάναι οἱ νομεῖς dicuntur; qui ſunt greges ovium. Verum ἀγελαίας ἵππους etiam Xenophon dixit; et ταῦρος ἀτιμάγελος notus eſt. Qui

ὅπῃ ἂν αὐτὸν πυνθάνηται ὄντα, ὡς ἐπισφαγείη τῷ Ἀβρα-
δάτᾳ.

8 Ἐπεὶ δὲ εἶδε τὴν γυναῖκα χαμαὶ καθημένην καὶ τὸν
νεκρὸν κείμενον, ἐδάκρυσέ τε ἐπὶ τῷ πάθει, καὶ εἶπε,
Φεῦ, ὦ ἀγαθὴ καὶ πιστὴ ψυχὴ, οἴχῃ δὴ ἀπολιπὼν
ἡμᾶς; καὶ ἅμα ἐδεξιοῦτο αὐτὸν, καὶ ἡ χεὶρ τοῦ νεκροῦ
ἐπηκολούθησεν· ἀπεκέκοπτο γὰρ κοπίδι ὑπὸ τῶν Αἰ-
9 γυπτίων. Ὁ δὲ, ἰδὼν, πολὺ ἔτι μᾶλλον ἤλγησε· καὶ ἡ
γυνὴ δὲ ἀνωδύρατο, καὶ δεξαμένη τὴν χεῖρα παρὰ τοῦ
Κύρου ἐφίλησέ τε καὶ πάλιν ὡς οἷόν τ' ἦν προσήρμοσε.
10 Καὶ εἶπε, καὶ τἄλλα τοι, ὦ Κῦρε, οὕτως ἔχει· ἀλλὰ τί
δεῖ σε ὁρᾶν; Καὶ ταῦτ', ἔφη, οἶδ', ὅτι δι' ἐμὲ οὐχ ἥκι-
στα ἔπαθεν, ἴσως δὲ καὶ διὰ σὲ, ὦ Κῦρε, οὐδὲν ἧττον.
Ἐγώ τε γὰρ ἡ μωρὰ πολλὰ διεκελευόμην αὐτῷ οὕτω
ποιεῖν, ὅπως σοι φίλος ἄξιος λόγου φανείη· αὐτός τε οἶδ'
ὅτι οὗτος οὐ τοῦτο ἐνενόει, ὅ τι πείσοιτο, ἀλλὰ τί ἂν ποιήσας

lectionem ἅμα pro ἄλλα induxerunt, difficultatem loci ſenſiſſe videntur; verum ea mutatione nihil proficitur. Igitur diſtinctione mutata loco laboranti ſuccurrere conatus ſum; itaque curatorem gregum jubet præter equos et boves reliqua etiam quadrupedia magno numero adducere.

πυνθάνηται] Altorfinus cum Budenſi πυνθάνωνται. Ex Guelf. ὅπῃ pro ὅποι ductum eſt.

8. ἐδάκρυσέ τι] Altorf. τε omittit: deinde vulgatum ante Zeunium ἀποκέκοπτο correctum eſt ex Guelf. ἀπεκέκοπται Altorf. poſtea ὑπὸ τῷ Αἰγυπτίων liber Budenſis; in Altorf. eſt etiam τῷ ſed in fine verſus: ut adeo extrema litera facile abradi potuerit.

9. γυνὴ δὲ] Male Guelf. γυνὴ δή. deinde vulgatum δεξαμένη δὴ παρὰ τοῦ Κύρου ἐφίλησέ τε τὴν χεῖρα, καὶ πάλιν. ex Altorfino correxi. Nimis tetrum et horridum Xenophon ſpectaculum animo Weiſkii præbuit, ut, ſi res vera ſit, mallet fere ſilentio prætermiſiſſe: ſin ficta, non magis feliciter fictam eſſe cenſet, quam ſi in theatro Medea coram populo pueros trucidet. Quid, precor, ſimile caſus hic Abradatæ cum facinore Medeæ habet, quo poſſit animus ſenſu honeſti imbutus exhorreſcere?

10. οἶδ' ὅτι] Edd. pr. οἶδα omittunt. Brodæus οἶδα, ἔφη, ſcribi voluit.

οὕτω ποιεῖν] Vocabulum οὕτω Edd. Steph. et Leoncl. aſteriſco appoſito ſuſpectum fecerunt, et plane ut ex ſcholio natum damnavit Zeune. Facile enim et eleganter intelligi poſſe. Quæ ratio criticam artem exercendi et elegantias ſcriptorum græcorum inveſtigandi mihi plane ridicula ſemper in Zeunio et quibuſdam aliis noſtratium virorum doctorum viſa eſt. Ego οὕτω, ſi abeſſet, tantopere deſiderarem, ut ſupra vi. 3, 18. locum ſuſpectum habuerim, ubi omiſſo οὕτω eſt: ἐποίουν ὡς ἂν ἀσφαλέστατα εἰδείην.

λόγου φανείη] Altorf. ἄξιος γενήσοιτο habet, in quo γενήσεται latet.

ὅ τι πείσοιτο] Altorf. τί ποίσειτο. Vulgatum ποιήσοιτο ex libro Philel.

σοι χαρίσοιτο. Καὶ γὰρ οὖν, ἔφη, αὐτὸς μὲν ἀμέμπτως
τετελεύτηκεν, ἐγὼ δ' ἡ παρακελευομένη, ζῶσα παρακά-
θημαι. Καὶ ὁ Κῦρος χρόνον μέν τινα σιωπῇ κατεδά- 11
κρυσεν, ἔπειτα δὲ ἐφθέγξατο· Ἀλλ' οὗτος μὲν δὴ, ὦ
γύναι, ἔχει τὸ κάλλιστον τέλος· νικῶν γὰρ τετελεύτηκε·
σὺ δὲ λαβοῦσα τοῖσδε ἐπικόσμει αὐτὸν τοῖς παρ' ἐμοῦ·
(παρῆν δὲ ὁ Γωβρύας καὶ ὁ Γαδάτας πολὺν καὶ καλὸν
κόσμον φέροντες) ἔπειτα δ', ἔφη, ἴσθι, ὅτι οὐδὲ τὰ
ἄλλα ἄτιμος ἔσται, ἀλλὰ καὶ τὸ μνῆμα πολλοὶ χώ-
σουσιν ἀξίως ὑμῶν, καὶ ἐπισφαγήσεται αὐτῷ, ὅσα εἰκὸς
ἀνδρὶ ἀγαθῷ. Καὶ σὺ δὲ, ἔφη, οὐκ ἔρημος ἔσῃ, ἀλλ' 12
ἐγώ σε καὶ σωφροσύνης ἕνεκα καὶ πάσης ἀρετῆς καὶ
τἄλλα τιμήσω, καὶ συστήσω, ὅστις ἀποκομιεῖ σε, ὅποι
ἂν αὐτὴ ἐθέλῃς· μόνον, ἔφη, δήλωσον, πρὸς ὅντινα χρῄ-
ζεις κομισθῆναι. Καὶ ἡ Πάνθεια εἶπεν, Ἀλλὰ θάῤῥει,
ἔφη, ὦ Κῦρε, οὐ μή σε κρύψω, πρὸς ὅντινα βούλομαι
ἀφικέσθαι.

Ὁ μὲν δὴ ταῦτα εἰπὼν ἀπῄει, κατοικτείρων τήν τε 13
γυναῖκα, οἵου ἀνδρὸς στεροῖτο, καὶ τὸν ἄνδρα, οἵαν γυ-
ναῖκα καταλιπὼν οὐκέτ' ὄψοιτο. Ἡ δὲ γυνὴ τοὺς μὲν
εὐνούχους ἐκέλευσεν ἀποστῆναι· ἕως ἂν, ἔφη, τόνδε ἐγὼ
ὀδύρωμαι, ὡς βούλομαι· τῇ δὲ τροφῷ εἶπε παραμένειν,

Gabr. Budensi, Guelf. recte jam correxit Hutchinson. πήσοιτο Bodl.

ποιήσας σοι] Ita Guelf. vulgo σοι ποιήσας. sequens χαρίσοιτο ex Juntina, Guelf. et Zonara a Zeunio ductum est: antiquum χαρίσαιτο revocavit Weiske.

παρακελευομένη] An Xenophon dedit παρακελευσαμένη?

11. ὁ Γωβρύας] Articulum ex Guelf. restituit Zeune; sed Codex Γοβρίας dat. deinde ἴσθι ὡς οὐδέ.

ἀξίως ὑμῶν] Ita cum Budensi Altorf. ἡμῶν Edd. pr. Philel. Guelf.

12. ἀποκομιεῖ] Guelf. ἀποκομίσει. Juntina ἀποκομεῖ.

δήλωσον] Liber Philelphi, Guelf. Bud. Altorf. δήλωσον πρὸς ἐμὲ, πρὸς ὅντινα. Altorf. præterea ὅντινα ἂν χρῄζεις.

13. οἵου ἀνδρὸς στεροῖτο] Intellige λογιζόμενος, reputans vel simile verbum. Liber Altorfinus verba οἵου— οἵαν γυναῖκα omisit, et post καταλιπὼν insertum habet καὶ ὅν.

ἔφη, τόνδε ἐγὼ] Altorf. ἐγὼ, ἔφη, τόνδε. deinde αὐτὴν καὶ τὸν ἄνδρα.

τροφῷ] Nutricem honoratam a τρο-

καὶ ἐπέταξεν αὐτῇ, ἐπειδὰν ἀποθάνῃ, περικαλύψαι αὐ-
14 τήν τε καὶ τὸν ἄνδρα ἐν ἑνὶ ἱματίῳ. Ἡ δὲ τροφὸς πολ-
λὰ ἱκετεύουσα, μὴ ποιεῖν τοῦτο, ἐπεὶ οὐδὲν ἤνυε καὶ χα-
λεπαίνουσαν ἑώρα, ἐκάθητο κλαίουσα. Ἡ δὲ ἀκινάκην
πάλαι παρεσκευασμένον σπασαμένη σφάττει ἑαυτὴν,
καὶ ἐπιθεῖσα ἐπὶ τὰ στέρνα τοῦ ἀνδρὸς τὴν ἑαυτῆς
κεφαλὴν ἀπέθνησκεν. Ἡ δὲ τροφὸς ἀνωλοφύρατό τε
καὶ περιεκάλυπτεν ἄμφω, ὥσπερ ἡ Πάνθεια ἐπέστειλεν.
15 Ὁ δὲ Κῦρος, ὡς ᾔσθετο τὸ ἔργον τῆς γυναικὸς, ἐκπλα-
γεὶς ἵεται, εἴ τι δύναιτο βοηθῆσαι. Οἱ δὲ εὐνοῦχοι,
ἰδόντες τὸ γεγενημένον, τρεῖς ὄντες, σπασάμενοι κἀκεῖνοι
τοὺς ἀκινάκας, ἀποσφάττονται, οὗπερ ἔταξεν αὐτοὺς,
16 ἑστηκότες. Ὁ δὲ Κῦρος, ὡς ἐπλησίασε τῷ πάθει,
ἀγασθείς τε τὴν γυναῖκα καὶ κατολοφυράμενος ἀπῄει·
καὶ τούτων μὲν ᾗ εἰκὸς ἐπεμελήθη, ὡς τύχοιεν πάντων
τῶν καλῶν, καὶ τὸ μνῆμα ὑπερμέγεθες ἐχώσθη, ὥς
17 φασι. Καὶ νῦν τὸ μνῆμα μέχρι τοῦ νῦν τῶν εὐνούχων

φίμῳ tribuit Xenophon barbaris ex Græcorum moribus; quanquam Weiſke e Geneſi xxxv. 8. Deboram Rebeccæ τροφὸν in honore fuiſſe ſimili docere conatur.

14. ἤνυε] Ob Atticiſmum ἤνυτε cum Zeunio repoſuit Weiſke.

παρεσκευασμένον] Ita ex Altorfino vulgatum παρεσκευασμένη correxi et interpolavi addito σπασαμένη. Juntina, Iſingr. Steph. 2. παρασκευασαμένη dant.

τοῦ ἀνδρὸς] Hæc verba Guelf. poſt κεφαλὴν reponit.

ἐπέστειλεν] Libri Brodæi ἐπέτεχεν. Voluit ἐπέταχεν dare. Vulgatum ex Altorfino libro correxi ἐπέστελλεν.

15. ἵεται] Budenſis et Altorf. ἵετο.

16. ἐχώσθη, ὥς φασι.] His verbis vulgo concluditur caput; verum ſectionem hanc alienum in locum tranſlatam fuiſſe, et præcedere debere, non ſequi poſt eam, quæ nunc ſequitur, egregia eſt Weiſkii conjectura.

17. Καὶ νῦν] Omnes interpretes in eo conſentiunt, ut verba ſequentia μέχρι τοῦ νῦν vitioſa eſſe cenſeant; nec juvat magnopere, quod Budenſis liber et Altorf. verba τοῦ νῦν omittunt. Vel μέχρι τοῦ νῦν cum Zeunio omitte, tamen manebit magna difficultas. Quid enim? poſt factam mentionem tumuli in honorem Abradatæ mariti et uxoris excitati, ſubito de traditione loquitur Xenophon, quæ ſuo ævo obtinebat de tumulo in honorem trium eunuchorum excitato. Quin prius memorare decebat, etiam eorum rationem fuiſſe tum habitam, et in honorem trium eunuchorum tres tumulos minores fuiſſe excitatos; hiſque omnibus impoſitas columnas nomina mariti et uxoris, tres vero inferiores deinceps poſitas trium eunuchorum nomina et memoriam ſervaſſe. In reliquiis verborum καὶ νῦν—μέχρι τοῦ νῦν forte latet mentio traditionis vel nominis, quod ex antiquitate ſu-

κεχῶσθαι λέγεται· καὶ ἐπὶ μὲν τῇ ἄνω στήλῃ τοῦ ἀνδρὸς καὶ τῆς γυναικὸς ἐπιγεγράφθαι φασὶ τὰ ὀνόματα, Σύρια γράμματα· κάτω δὲ εἶναι τρεῖς λέγουσι στήλας, καὶ ἐπιγεγράφθαι, ΣΚΗΠΤΟΥΧΩΝ.

CAP. IV.

Carum controverſias callide componit Aduſius.

ΕΚ δὲ τούτου στασιάζοντες οἱ Κᾶρες καὶ πολεμοῦντες πρὸς ἀλλήλους, ἅτε τὰς οἰκήσεις ἔχοντες ἐν ἐχυροῖς χωρίοις, ἑκάτεροι ἐπεκαλοῦντο τὸν Κῦρον. Ὁ δὲ Κῦρος αὐτὸς μὲν μένων ἐν Σάρδεσι μηχανὰς ἐποιεῖτο καὶ κριοὺς, ὡς τῶν μὴ πειθομένων κατερείψων τὰ τείχη, Ἀδούσιον δὲ, ἄνδρα Πέρσην, καὶ τἄλλα οὐκ ἄφρονα οὐδ' ἀπόλεμον, καὶ πάνυ δὴ εὔχαριν, πέμπει ἐπὶ τὴν Καρίαν, στράτευμα δούς· καὶ Κίλικες δὲ καὶ Κύπριοι πάνυ προθύμως αὐτῷ συνεστράτευσαν. Ὧν ἕνεκα οὐδ' ἔπεμψε
2 πώποτε Πέρσην σατράπην οὔτε Κιλίκων οὔτε Κυπρίων, ἀλλ' ἤρκουν αὐτῷ ἀεὶ οἱ ἐπιχώριοι βασιλεύοντες· δασμὸν μέντοι ἐλάμβανε, καὶ στρατείας, ὁπότε δέοιτο, ἐπήγγελλεν αὐτοῖς. Ὁ δὲ Ἀδούσιος ἄγων τὸ στράτευμα ἐπὶ τὴν
3 Καρίαν ἦλθε, καὶ ἀπ' ἀμφοτέρων τῶν Καρῶν παρῆσαν

perſtes hæſerat monumento: deinde ſequebatur de tumulo uno vel tergemino tribus eunuchis excitato: καὶ τῶν εὐνούχων μνῆμα κεχῶσθαι λέγεται· καὶ ἐπὶ μὲν τῇ ἄνω στήλῃ. ita ſcilicet dicitur columna majori tumulo impoſita; infra hunc minor eunuchorum tumulus columnam cum nominibus eorum ſuſtinebat.

Σύρια] Guelf. Σύρεια. deinde καὶ τῶν δὲ εἶναι τρεῖς στήλας λέγουσι.

σκηπτούχων] Ex libro Brodæi probante Mureto Stephanus εὐνούχων recepit. Leonclavius monet hodieque eunuchos gynæcei Turcici eſſe vere σκηπτούχους, ſceptrigeros. Eodem nomine utitur infra viii. 1, 38. viii. 3, 15.

1. ὁ δὲ Κῦρος] Ὁ δ' αὖ Κῦρος αὐτὸς μὲν μένων. unde μὲν adſcivi.

κατερείψων] Ita Budenſis liber: καταρείψων Altorfinus. Vulgatum ſimplex verbum ἐρείψων vereor, ut extra poetarum carmina reperiatur.

Ἀδούσιον] Ita cum Budenſi Altorf. et infra viii. 6, 7. Guelf. ante Hutchinſonum erat Καδούσιον. Herodoti diſſenſum i. 162—177. annotavit Zeune. Carum res obiter tetigit Xenophon; nec urbium nomina ponere, ad rem pertinere exiſtimabat.

συνεστράτευσαν] Altorfinus liber συνεστρατεύσαντο dat, deinde ἔπεμψε cum Guelf. pro vulgari ἔπεμπε.

2. Κιλίκων] Altorfinus locum priorem Cypriis dat, deinde στρατιᾶς præfert.

3. ἀπ' ἀμφοτέρων] Altorf. ἀπὸ omi-

πρὸς αὐτὸν, ἕτοιμοι ὄντες δέχεσθαι εἰς τὰ τείχη, ἐπὶ
κακῷ τῶν ἀντιστασιαζόντων. Ὁ δὲ Ἀδούσιος πρὸς ἀμ-
φοτέρους ταυτὰ ἐποίει· δικαιότερά τε ἔφη λέγειν τούτους,
ὁποτέροις διαλέγοιτο, λαθεῖν τε ἔφη δεῖν τοὺς ἐναντίους,
φίλους σφᾶς γενομένους, ὡς δὴ οὕτως ἂν μᾶλλον ἐπι-
πεσὼν ἀπαρασκεύοις τοῖς ἐναντίοις. Πιστὰ δ' ἠξίου
γενέσθαι, καὶ τοὺς μὲν Κᾶρας ὀμόσαι ἀδόλως τε δέξα-
σθαι εἰς τὰ τείχη σφᾶς, καὶ ἐπ' ἀγαθῷ τοῦ Κύρου καὶ
Περσῶν· αὐτὸς δὲ ὀμόσαι θέλειν ἀδόλως ἰέναι εἰς τὰ
4 τείχη, καὶ ἐπ' ἀγαθῷ τῶν δεχομένων. Ταῦτα δὲ ποιή-
σας, ἀμφοτέροις λάθρα ἑκατέρων νύκτα συνέθετο τὴν
αὐτὴν, καὶ ἐν ταύτῃ εἰσῆλθεν εἰς τὰ τείχη, καὶ παρέ-
λαβε τὰ ἐρύματα ἀμφοτέρων. Ἅμα δὲ τῇ ἡμέρᾳ
καθεζόμενος εἰς τὸ μέσον σὺν τῇ στρατιᾷ, ἐκάλεσεν
ἑκατέρων τοὺς ἐπικαιρίους. Οἱ δὲ, ἰδόντες ἀλλήλους,
5 ἠχθέσθησαν, νομίζοντες ἐξηπατῆσθαι ἀμφότεροι. Ὁ
μέντοι Ἀδούσιος ἔλεξε τοιάδε· Ἐγὼ ὑμῖν, ὦ ἄνδρες,
ὤμοσα ἀδόλως εἰσιέναι εἰς τὰ τείχη, καὶ ἐπ' ἀγαθῷ τῶν
δεχομένων. Εἴπερ οὖν ἀπολῶ ὁποτέρους ὑμῶν, νομίζω
ἐπὶ κακῷ εἰσεληλυθέναι Καρῶν· ἢν δὲ εἰρήνην ὑμῖν ποιή-
σω καὶ ἀσφάλειαν ἐργάζεσθαι ἀμφοτέροις τὴν γῆν, νο-
μίζω ὑμῖν ἐπ' ἀγαθῷ παρεῖναι. Νῦν δὲ χρὴ ἀπὸ τῆσδε

ſit ; deinde τὰ αὐτὰ ἐποίει dat. vulgatum ταῦτα cum Caſtalione Stephanus correxit.

δικαιότερά τε] Altorf. δικαιότερα δὲ, deinde λαθεῖν τ' ἔφη.

οὕτως ἂν] Ex Altorf. ἂν addidi ſuadente Fiſchero ad Weller. ii. p. 274. Ita non opus eſt Stephaniana altera ἐπιπεσῶν.

τοῦ Κύρου] Ita Guelf. pro τῷ Κύρου. Altorfinus liber dat εἰς τὰ τείχη καὶ ἐπ' ἀγαθῷ σφᾶς τοῦ Κύρου. elegantius, ut puto. deinde εἰσιέναι εἰς τὰ τείχη dat Altorf.

4. εἰσῆλθεν] Hoc aptius vulgato εἰσήλατο Mureto etiam viſum ex Budenſi et Altorfino recepi. Leonclavius εἰσήλασεν finxerat, quod Welſiana recepit.

σὺν τῇ στρατιᾷ] Articulum Guelf. omiſit. τὸ μέσον Weiſke interpretatur *agrum inter caſtella et urbes inimicas medium.*

5. ἔλεξε] Altorf. ante hoc verbum εἰς μέσον inſerit ; deinde ὤμοσα, ὦ ἄνδρες, ἀδόλως.

Εἴπερ οὖν] Altorf. εἰ μὲν οὖν rectius, ut puto. idem cum Guelf. deinde Νῦν οὖν χρὴ dat, quod et margo Steph. retulit.

τῆς ἡμέρας ἐπιμίγνυσθαί τε ἀλλήλοις φιλικῶς, ἐργά-
ζεσθαί τε τὴν γῆν ἀδεῶς, διδόναι τε τέκνα καὶ λαμβά-
νειν παρ' ἀλλήλων· ἢν δὲ παρὰ ταῦτα ἀδικεῖν τις ἐπι-
χειρῇ, τούτοις Κῦρός τε καὶ ἡμεῖς πολέμιοι ἐσόμεθα.
Ἐκ τούτου πύλαι μὲν ἀνεῳγμέναι ἦσαν τῶν τειχῶν, 6
μεσταὶ δὲ αἱ ὁδοὶ πορευομένων παρ' ἀλλήλους, μεστοὶ
δὲ οἱ χῶροι ἐργαζομένων· ἑορτὰς δὲ κοινῇ ἦγον, εἰρήνης
δὲ καὶ εὐφροσύνης πάντα πλέα ἦν. Ἐν δὲ τούτῳ ἧκον 7
οἱ παρὰ Κύρου, ἐρωτῶντες, εἴ τι στρατιᾶς προσδέοιτο, ἢ
μηχανημάτων· ὁ δὲ Ἀδούσιος ἀπεκρίνατο, ὅτι καὶ τῇ
παρούσῃ ἔχει ἀλλαχόσε χρῆσθαι στρατιᾷ· καὶ ἅμα
ταῦτα λέγων ἀπῆγε τὸ στράτευμα, φρουροὺς ἐν ταῖς
ἄκραις καταλιπών. Οἱ δὲ Κᾶρες ἱκέτευον μένειν αὐτόν·
ἐπεὶ δ' οὐκ ἤθελεν, ἔπεμψαν πρὸς τὸν Κῦρον, δεόμενοι
πέμψαι Ἀδούσιον σφίσι σατράπην.

Ὁ δὲ Κῦρος ἐν τούτῳ ἀπεστάλκει Ὑστάσπαν, στρά- 8
τευμα ἄγοντα ἐπὶ Φρυγίαν τὴν περὶ Ἑλλήσποντον. Ἐπεὶ
δ' ἧκεν ὁ Ἀδούσιος, μετάγειν αὐτὸν ἐκέλευσεν, ᾗπερ ὁ
Ὑστάσπας προῴχετο, ὅπως μᾶλλον πείθοιντο τῷ Ὑστά-
σπᾳ, ἀκούσαντες ἄλλο στράτευμα προσιόν. Οἱ μὲν οὖν 9
Ἕλληνες οἱ ἐπὶ θαλάττῃ οἰκοῦντες, πολλὰ δόντες δῶρα,

Phrygiam minorem domat Hystaspas.

πολέμιοι] Guelf. mutato ordine ἐσόμεθα πολέμιοι.

6. πάντα πλέα] Altorf. τὰ πάντα. voluit forte ἅπαντα dare.

7. Ἐν δὲ τούτῳ] Liber Brodæi ἐπὶ τούτῳ. deinde οἱ omittit Altorf.

στρατιᾶς] Sic Altorf. cum Leoncl. στρατείας Edd. pr. et libri ſcripti ceteri. deinde καὶ μηχανημάτων margo Steph.

ἔχει] Edd. pr. et Guelf. ἔχειν, quod Caſtalio correxit. ἕξει Altorf.

φρουροὺς] Caſtalio φρουρὰς dedit: deinde συνέπεμψαν Juntina et Altorf. ἔπεμψαν Aldina et Steph. προσέπεμψαν ex Guelf. dedit Zeune.

τὸν Κῦρον] Guelf. articulum omiſit: deinde δεόμενοι Ἀδούσιον σφίσι πέμψαι σατράπην Altorf.

8. Ὑστάσπαν] Hujus nominis terminationem hanc pro Ὑστάσπης, η, ην ex Philelphi libro ubique mutavit Zeune: et ſectione 10. noſtra forma eſt in libris omnibus. Ὑστάσπᾳ etiam mox Altorf.

περὶ Ἑλλ.] Margo Steph. Zonaras et Guelf. ἐπὶ præferunt. Eſt quæ minor dicebatur Phrygia. Mox Altorf. δὲ poſt ἐπεὶ omittit.

9. Ἕλληνες] Iones nominat Herodotus, cujus locum appoſuit Camerarius. Deinceps δῶρα διδόντες Altorfinus liber.

διεπράξαντο, ὥστε εἰς μὲν τὰ τείχη βαρβάρους μὴ δέχε-
σθαι, δασμὸν δὲ ἀποφέρειν, καὶ στρατεύειν, ὅποι Κῦρος
10 ἐπαγγέλλοι. Ὁ δὲ τῶν Φρυγῶν βασιλεὺς παρεσκευά-
ζετο μὲν ὡς καθέξων τὰ ἐρυμνὰ, καὶ οὐ πεισόμενος, καὶ
παρήγγειλεν οὕτως· ἐπεὶ δὲ ἀφίσταντο αὐτοῦ οἱ ὕπαρ-
χοι, καὶ ἔρημος ἐγίγνετο, τελευτῶν εἰς χεῖρας ἦλθεν
Ὑστάσπα, ἐπὶ τῇ Κύρου δίκῃ. Καὶ ὁ Ὑστάσπας, κα-
ταλιπὼν ἐν ταῖς ἄκραις ἰσχυρὰς Περσῶν φρουρὰς, ἀπῄει
ἄγων σὺν τοῖς ἑαυτοῦ καὶ Φρυγῶν πολλοὺς ἱππέας καὶ
11 πελταστάς. Ὁ δὲ Κῦρος ἐπέστελλε Ἀδουσίῳ, συμμί-
ξαντα πρὸς Ὑστάσπαν, τοὺς μὲν ἑλομένους Φρυγῶν τὰ
σφέτερα, σὺν τοῖς ὅπλοις ἄγειν· τοὺς δ' ἐπιθυμήσαντας
πολεμεῖν, τούτων ἀφελομένους τοὺς ἵππους καὶ τὰ ὅπλα,
σφενδόνας ἔχοντας πάντας κελεύειν ἕπεσθαι.
12 Οὗτοι μὲν δὴ ταῦτ' ἐποίουν. Κῦρος δὲ ὡρμᾶτο ἐκ
Σάρδεων, φρουρὰν μὲν Περσικὴν καταλιπὼν πολλὴν ἐν
Σάρδεσι, [Κροῖσον δὲ ἔχων,] ἄγων δὲ πολλὰς ἁμάξας
πολλῶν καὶ παντοδαπῶν χρημάτων. Ἧκε δὲ καὶ ὁ
Κροῖσος, γεγραμμένα ἔχων ἀκριβῶς, ὅσα ἐν ἑκάστῃ ἦν
τῇ ἁμάξῃ· καὶ διδοὺς τῷ Κύρῳ τὰ γράμματα, εἶπε·
Ταῦτα, ἔφη, ἔχων, ὦ Κῦρε, εἴσῃ τόν τέ σοι ὀρθῶς ἀπο-

Cyrus cum Crœſo ejuſque theſauris profectus Sardibus, in itinere Phrygibus, Cappadocibus, Arabibuſque bello ſubactis, petit Babylonem.

ἀποφέρειν] Hoc ex margine Leoncl. et Zonara cum Hutchinſono dedit Zeune pro ὑποφέρειν. Scilicet hæc fuit conjectura Budæi auctore Stephano. Cf. Oudendorp ad Thomam M. p. 105.

ὅποι] Ita pro ὅπη Guelf. et Philel. Zeune ſcripſit.

10. παρήγγειλεν] Ita cum Caſtal. Guelf. deinde ἐπειδὴ ἀφίσταντο Guelf.

ἐπὶ τῇ Κύρου δίκῃ] *Tandem in poteſtatem Hyſtaſpæ venit, ut judicium eſſet penes Cyrum*, ut vertit Camerarius.

11. Ὑστάσπαν] Ita Philel. Bodl. Guelf. pro πην.

πάντας κελεύειν] Altorfinus tranſponit verba κελ. πάντας.

12. Κῦρος δὲ] Altorf. Ὁ δὲ Κῦρος ὡρμᾶτο—πολλὴν καταλιπών. Etiam Guelf. πολλὴν καταλ.

Περσικὴν] Ex libro Brodæi cum Zeunio hoc prætuli vulgato πεζὴν, quoniam etiam Herodotus i. 153. Sardes commiſſas narrat Ταβάλῳ ἀνδρὶ Πέρσῃ.

Κροῖσον δὲ ἔχων] Deſiderari μετ' αὐτοῦ vel ſimile ſupplementum recte vidit Weiſke: majorem etiam difficultatem facit ſequens Ἧκε δὲ καὶ ὁ Κροῖσος, quam minime tolles ſcribendo cum Weiſkio Κροίσου δὲ ἄγων πολλὰς etc. Equidem dum libri ſuppetias ferant, verba ſuſpecta incluſi.

εἴσῃ τόν τέ σοι] Ita cum Philelpho, Budenſi et Altorf. Stephanus. ἴσθι

διδόντα, ἃ ἄγει, καὶ τὸν μή. Καὶ ὁ Κῦρος ἔλεξεν, 13
Ἀλλὰ σὺ μὲν καλῶς ποιεῖς, ὦ Κροῖσε, προνοῶν· ἔμοιγε
μέντοι ἄξουσι τὰ χρήματα, οἵπερ καὶ ἔχειν αὐτὰ ἄξιοί
εἰσιν· ὥστε, ἤν τι καὶ κλέψωσι, τὰ ἑαυτῶν κλέψονται.
Καὶ ἅμα ταῦτα λέγων, ἔδωκε τὰ γράμματα τοῖς φί-
λοις καὶ τοῖς ἄρχουσιν, ὅπως εἰδεῖεν τῶν ἐπιτρόπων οἵ τε
σῶα αὐτοῖς ἀποδιδοῖεν, οἵ τε μή. Ἦγε δὲ καὶ Λυδῶν, 14
οὓς μὲν ἑώρα καλλωπιζομένους καὶ ὅπλοις καὶ ἵπποις
καὶ ἅρμασι, καὶ πάντα πειρωμένους ποιεῖν, ὅ τι ᾤοντο
αὐτῷ χαριεῖσθαι, τούτους μὲν σὺν τοῖς ὅπλοις· οὓς δὲ
ἑώρα ἀχαρίστως ἑπομένους, τοὺς μὲν ἵππους αὐτῶν παρέ-
δωκε Πέρσαις τοῖς πρώτοις συστρατευσαμένοις, τὰ δὲ
ὅπλα κατέκαυσε· σφενδόνας δὲ καὶ τούτους ἠνάγκασεν
ἔχοντας ἕπεσθαι. Καὶ πάντας δὲ τοὺς ἀόπλους τῶν 15
ὑποχειρίων γενομένων σφενδονᾶν ἠνάγκαζε μελετᾶν, νομί-
ζων τοῦτο τὸ ὅπλον δουλικώτατον εἶναι· σὺν μὲν γὰρ
ἄλλῃ δυνάμει μάλα ἐστὶν ἔνθα ἰσχυρῶς ὠφελοῦσι σφεν-

Edd. pr. ſed σοι eædem recte additum ſervant cum Guelf. quod pronomen cum Stephano omiſit Weiſke.

13. ποιεῖς] Guelf. ἐποίεις, Zonaras ἐποίησας. deinde προνοῶν, ὦ Κροῖσε Altorf.

τὰ ἑαυτῶν] Altorf. τῶν ἑαυτοῦ.

οἵ τε σῶα] Ita libri Gabr. Budenſis et Altorf. Ante Leonclavianam 2. vulgabatur εἴ τε—εἴ τε.

14. Λυδῶν] Suidas in voc. ἀχαρίστως addit deinceps αἰχμαλώτους.

ὅ τι ᾤοντο] Leoncl. εἴ τι malebat ſcriptum.

τούτους μὲν] Suidas in vocab. ἀχαρίστως laudat ex h. l. τούτους εἴα.

ἀχαρίστως] Guelf. a prima manu ἀχαρίτως ſcriptum habet; eſt pro *invitus* poſitum vocabulum.

ἑπομένους] Suidas ἐπιμένοντας retulit ex h. l.

συστρατευσαμένοις] Ita Stephanus aſſentiente libro Altorfino ſcripſit pro Edd. pr. et Guelf. συστρατευομένοις. quod operoſe defendere conatur Zeune, ita ut πρῶτοι συστρατευόμενοι dicantur Perſæ, qui recentes ex Perſia ſucceſſerant et primis Cyri comitibus acceſſerant; qui adeo prima ſtipendia merebant. Verum recte monuit Weiſke ex græcis verbis reliquos Perſas, quibuſcum Cyrus priorem expeditionem ſuſceperat, non minus intelligi quam ſupplementum quod acceſſerat. Atqui priores illi Perſæ, Cyri exeuntis comites, omnes equitum ornamenta jam diu acceperant et munia fungebantur a prima inde expeditione. Iis igitur equis opus non erat. Latet igitur alicubi vitium in ſcriptura librorum omnium.

15. τοῦτο τὸ] Altorf. τὸ omittit. δουλικώτατον pro comparativo dedit liber Philelphi, Camerarii, Bodl. Guelf. Suidas in σφενδόνη, Pollux iii. 75. Supra ii. 1, 18. arcus cum jaculo dicuntur ὅπλα ὑπηρετικά. Cf. Interpretes ad Iliadem ν. 600.

μάλα] Altorf. μᾶλλον. deinde αὐτοὶ δὲ καθ' αὐτούς.

δονῆται παρόντες· αὐτοὶ δὲ καθ' ἑαυτοὺς οὐδ' ἂν οἱ πάντες σφενδονῆται μείνειαν πάνυ ὀλίγους ὁμόσε ἰόντας σὺν ὅπλοις ἀγχεμάχοις.

16 Προϊὼν δὲ τὴν ἐπὶ Βαβυλῶνος, κατεστρέψατο μὲν Φρύγας τοὺς ἐν τῇ μεγάλῃ Φρυγίᾳ, κατεστρέψατο δὲ Καππαδόκας, ὑποχειρίους δὲ ἐποιήσατο Ἀραβίους· ἐξέπλησε δὲ ἀπὸ πάντων τούτων Περσῶν μὲν ἱππέας οὐ μεῖον ἢ τετρακισμυρίους, πολλοὺς δὲ ἵππους τῶν αἰχμαλώτων καὶ πᾶσι τοῖς συμμάχοις διέδωκε· καὶ πρὸς Βαβυλῶνα ἀφίκετο παμπόλλους μὲν ἱππέας ἄγων, παμπόλλους δὲ τοξότας καὶ ἀκοντιστάς, σφενδονήτας δὲ ἀναρίθμους.

CAP. V.

Babylonem corona cingit et inde se caute recipit.

ΕΠΕΙ δὲ πρὸς Βαβυλῶνι ἦν ὁ Κῦρος, περιέστησε μὲν πᾶν τὸ στράτευμα περὶ τὴν πόλιν, ἔπειτα αὐτὸς περιήλαυνε τὴν πόλιν σὺν τοῖς φίλοις τε καὶ ἐπικαιρίοις τῶν
2 συμμάχων. Ἐπεὶ δὲ κατεθεάσατο τὰ τείχη, ἀπάγειν παρεσκευάσατο τὴν στρατιὰν ἀπὸ τῆς πόλεως· ἐξελθὼν δέ τις αὐτόμολος εἶπεν, ὅτι ἐπιτίθεσθαι μέλλοιεν αὐτῷ, ὁπότε ἀπάγοι τὸ στράτευμα· καταθεωμένοις γάρ, ἔφη, αὐτοῖς ἀπὸ τοῦ τείχους ἀσθενὴς ἐδόκει εἶναι ἡ φάλαγξ.

16. προϊὼν] Guelf. προσιών. Zonaras ἰὼν ἐπὶ Βαβυλῶνα.

ἐν τῇ μεγάλῃ] Ita cum Zonara Guelf. Vulgo eſt ἐπὶ τῇ μεγάλῃ. quæ ſcriptura vicinos Phrygiæ majori populos, non incolas illius ipſius majoris ſignificat.

Ἀραβίους] Arabas Scenitas Meſopotamiæ intelligit, de quibus Anabaſis i. 5, 1. et vii. 8, 25. Strabo xvi. p. 514. Ammianus xxiii. 6.

ἐξέπλησε] Ita cum Guelf. et margine Steph. Zeune ſcripſit pro ἐξώπλισε. Ita v. 3, 24. ἱππέας ἐξεπλήρωσεν. Guelf. præterea δὲ omiſit.

παμπόλλους] Margo Steph. μάλα πολλοὺς dat. Altorf. μάλα πολλοὺς μὲν ἱππέας ἔχων. Etiam Guelf. ἔχων præfert. deinde ex Guelf. ἀναριθμήτους dedit Zeune.

1. περιέστησε] Ita Philel. Brodæi libri, Bodl. Guelf. Zonaras, Altorf. pro περιέστη. deinde πρῶτον τὸ στράτευμα libri Gabr.

2. παρεσκευάσατο] Caſtalio κατεσκευάσατο. deinde στρατείαν Guelf.

δέ τις] Altorf. αὐτῷ ſubjungit: deinde εἶναι omiſit cum Philel. Guelf. Babylonios egreſſionem ex urbe feciſſe, ſed prælio victos refert Herodotus i. 190.

Καὶ οὐδὲν θαυμαστὸν ἦν οὕτως ἔχειν· περὶ γὰρ πολὺ
τεῖχος κυκλουμένους ἀνάγκη ἦν ἐπ' ὀλίγον τὸ βάθος
γενέσθαι τὴν φάλαγγα. Ἀκούσας οὖν ὁ Κῦρος ταῦτα, 3
στὰς κατὰ μέσον τῆς αὐτοῦ στρατιᾶς σὺν τοῖς περὶ
αὐτὸν, παρήγγειλεν, ἀπὸ τοῦ ἄκρου ἑκατέρωθεν τοὺς
ὁπλίτας ἀναπτύσσοντας τὴν φάλαγγα ἀπιέναι παρὰ
τὸ ἑστηκὸς τοῦ στρατεύματος, ἕως γένοιτο ἑκατέρωθεν τὸ
ἄκρον καθ' ἑαυτὸν καὶ κατὰ τὸ μέσον. Οὕτως οὖν ποι- 4
ούντων, οἵ τε μένοντες εὐθὺς θαῤῥαλεώτεροι ἐγίγνοντο,
ἐπὶ διπλάσιον τὸ βάθος γιγνόμενοι· οἵ τ' ἀπιόντες,
ὡσαύτως θαῤῥαλεώτεροι· εὐθὺς γὰρ οἱ μένοντες αὐτῶν
πρὸς τοῖς πολεμίοις ἐγίγνοντο. Ἐπεὶ δὲ πορευόμενοι
ἑκατέρωθεν συνῆψαν τὰ ἄκρα, ἔστησαν ἰσχυρότεροι
γεγενημένοι, οἵ τε ἀπεληλυθότες, διὰ τοὺς ἔμπροσθεν, οἵ
τ' ἔμπροσθεν, διὰ τοὺς ὄπισθεν προσγεγενημένους. Ἀν- 5

γενέσθαι τὴν φάλαγγα] Aldina *τῆς φαλάγγες*. Mihi vulgata diſplicet. Pro *περὶ* Brodæus *πέριξ* ſcribere juſſit.

3. *τῆς αὐτοῦ*] Edd. pr. Guelf. *τῆς αὑτοῦ*. deinde *παρήγγελλεν* Altorf. rectius, ut puto; poſtea *καθ' ἑαυτὸν* edidit Stephanus. Eadem res paulo poſt dicitur *ἐπεὶ πορευόμενοι ἑκατέρωθεν συνῆψαν τὰ ἄκρα*.

4. *διπλάσιον*] Altorf. *διπλασίων*.

εὐθὺς γὰρ] Zeunius hæc ita interpretatur: *nam ſimul atque qui adhuc ab extrema phalange verſus mediam ſe moverant, ſubſtitiſſent, alii dextrorſum, alii ſiniſtrorſum converſi ora obverterunt hoſtibus.* Camerarius vertit: *augebatur et abeuntibus confidentia, quod remanentes tunc propius ab hoſtibus abeſſent: procedentes autem cum extrema continuaſſent* etc. Videtur igitur diverſam a vulgari ſcripturam reddidiſſe, talem fere: *ἐγγύτερον* vel *μᾶλλον γὰρ οἱ μένοντες [αὐτῶν] πρὸς τοῖς πολεμίοις ἐγίγνοντο*. Zeunianam rationem amplexus Weiſke hac annotatione adjuvare conatus eſt. *Aliqua laude illis verbis ornantur, quod tum demum ſuus illis animus rediiſſe dicitur, cum e directo fuerint hoſtibus oppoſiti; quo quidem tempore ignaviſſimus quiſque animum maxime deſpondet.* Verum vir doctus nulla ratione unquam docere poterit magis, quam fecit Zeune, verba *οἱ μένοντες πρὸς τοῖς πολεμίοις ἐγίγνοντο* ſignificare: *ſimul atque ſubſtitiſſent, converſi ora obverterunt hoſtibus.* Mihi ratio Camerarii magis placet, quanquam græcis non ſanis, ut puto, non ſatis reſpondens. *οἱ ἀπιόντες*, qui a lateribus utrinque poſt terga manentium, *τῶν μενόντων*, ſucceſſerant, erant fere ignaviores, *οἱ κάκιστοι*, quibus animum firmare et confidentiam addere debebat ordo præcedentium militum, qui hoſtium impetum primi excepturi eſſent. Mihi vero totus hic locus *Οὕτως οὖν ποιούντων—ἐγίγνοντο* ab aliena manu profectus eſſe videtur. Sententiam enim eandem multo obſcurius et jejunius explicat, quæ ſtatim verbis luculentis elegantiuſque ſubjicitur.

προσγεγενημένους] Altorf. *γεγενημένους* ſimplex dat: deinde ſect. 5. *δοκεῖ εὖ παρεσκευάσθαι*, quam ſcripturam reddidit etiam Camerarius. De ſententia comparabis Memorab. iii. 1, 8.

απτυχθείσης δ᾽ οὕτω τῆς φάλαγγος, ἀνάγκη τοὺς πρώτους ἀρίστους εἶναι καὶ τοὺς τελευταίους, ἐν μέσῳ δὲ τοὺς κακίστους τετάχθαι· ἡ δ᾽ οὕτως ἔχουσα τάξις, καὶ πρὸς τὸ μάχεσθαι ἐδόκει εὖ παρεσκευάσθαι, καὶ πρὸς τὸ μὴ φεύγειν. Καὶ οἱ ἱππεῖς δὲ καὶ οἱ γυμνῆται ὅσῳ ἀπὸ τῶν κεράτων ἀεὶ ἐγγύτερον ἐγίγνοντο τοῦ ἄρχοντος, τοσούτῳ ἡ φάλαγξ βραχυτέρα ἐγίγνετο ἀναδιπλουμένη.
6 Ἐπεὶ δὲ οὕτω συνεσπειράθησαν, ἀπῄεσαν, ἕως μὲν ἐξικνεῖτο τὰ βέλη ἀπὸ τοῦ τείχους, ἐπὶ πόδα· ἐπεὶ δὲ ἔξω βελῶν ἐγένοντο, στραφέντες, καὶ τὸ μὲν πρῶτον ὀλίγα βήματα προϊόντες μετεβάλλοντο ἐπ᾽ ἀσπίδα, καὶ ἵσταντο πρὸς τὸ τεῖχος βλέποντες· ὅσῳ δὲ προσωτέρω ἐγίγνοντο, τοσῷδε μανότερον μετεβάλλοντο. Ἐπεὶ δὲ ἐν τῷ ἀσφαλεῖ ἐδόκουν εἶναι, ξυνεῖρον ἀπιόντες, ἔστε ἐπὶ ταῖς σκηναῖς ἐγένοντο.

7 Ἐπεὶ δὲ κατεστρατοπεδεύσαντο, συνεκάλεσεν ὁ Κῦρος τοὺς ἐπικαιρίους, καὶ ἔλεξεν· Ἄνδρες σύμμαχοι, τεθεάμεθα μὲν κύκλῳ τὴν πόλιν· ἐγὼ δὲ, ὅπως μὲν ἄν τις τείχη οὕτως ἰσχυρὰ καὶ ὑψηλὰ προσμαχόμενος ἕλοι, οὐκ ἐνορᾷν μοι δοκῶ· ὅσῳ δὲ πλέονες ἄνθρωποι ἐν τῇ πόλει εἰσὶν, ἐπείπερ οὐ μάχονται ἐξιόντες, τοσούτῳ ἂν θᾶττον

Quaſi ad obſidendam urbem, foſſa lata profundaque circumducitur.

5. γυμνῆται] Guelf. γυμνῆτες. Eadem ſcripturæ varietas eſt in Anabaſi iv. 1, 6. Bodleianus καὶ γυμνῆτες dat.

ὅσῳ ἀπὸ] Egregiam ſcripturam debes Altorfino libro pro οἱ ἀπὸ τῶν κεράτων αἰεὶ—τοσούτῳ ὅσῳ ἡ φάλαγξ. Vulgatam reddidit Camerarius.

βραχυτέρα] Stephanus cum Brodæo βαθυτέρα dedit: margo Steph. βραδυτέρα refert.

6. Ἐπεὶ δὲ] Guelf. ἐπειδὴ—συνεπειράθησαν. deinde καὶ τὸ πρῶτον Altorf. omiſſo μέν. recte, puto. μετεβάλοντο ἐπ᾽ ἀσπίδα poſtea Guelf.

πρὸς τὸ τεῖχος] Articulum omiſit Guelf.

μανότερον] Male Steph. μανώτερον, quem imitatus eſt Weiſke. Attici enim vocabuli μανὸς priorem ſyllabam producunt, monente Phrynicho apud Ruhnk. ad Timæum pag. 177. et Fiſchero Animadv. ad Welleri Grammat. ii. p. 84.

ξυνεῖρον ἀπιόντες] ſc. τὴν ὁδὸν, ſeu τὰ βήματα, i. e. recto et continuo itinere pergebant. Ita Venat. vi. 21. καὶ ἀπὸ τούτου συνείρειν, ubi opponitur verbum περιάγειν αὐτὰς κύκλους πολλοὺς καὶ πυκνοὺς ποιούμενον.

ἔστε] Altorf. ἔστ᾽ ἐπὶ—ἐγίγνοντο.

7. κατεστρατοπεδεύσαντο] Guelf. a prima manu ſingularem habet, Altorf. κατεστρατόπευσαν, deinde ξύμμαχοι cum Guelf. Zeune.

λιμῷ αὐτοὺς ἡγοῦμαι ἁλῶναι. Εἰ μή τινα οὖν ἄλλον
τρόπον ἔχετε λέγειν, τούτῳ πολιορκητέους φημὶ εἶναι τοὺς
ἄνδρας. Καὶ ὁ Χρυσάντας εἶπεν· Ὁ δὲ ποταμὸς, ἔφη, 8
οὗτος οὐ διὰ μέσης τῆς πόλεως ῥεῖ, πλάτος ἔχων πλεῖον,
ἢ ἐπὶ δύο στάδια; Ναὶ μὰ Δί', ἔφη ὁ Γωβρύας καὶ
βάθος γε ὡς οὐδ' ἂν δύο ἄνδρες, ὁ ἕτερος ἐπὶ τοῦ ἑτέρου
ἑστηκὼς, τοῦ ὕδατος ὑπερέχοιεν· ὥστε τῷ ποταμῷ ἔτι
ἰσχυροτέρα ἐστὶν ἡ πόλις, ἢ τοῖς τείχεσι. Καὶ ὁ Κῦρος, 9
Ταῦτα μὲν, ἔφη, ὦ Χρυσάντα, ἐῶμεν, ὅσα κρείττω ἐστὶ
τῆς ἡμετέρας δυνάμεως· διαμετρησαμένους δὲ χρὴ ὡς
τάχιστα τὸ μέρος ἑκάστου ἡμῶν, ὀρύττειν τάφρον ὡς
πλατυτάτην καὶ βαθυτάτην, ὅπως ὅτι ἐλαχίστων ἡμῖν
τῶν φυλάκων δέοι. Οὕτω δὴ κύκλῳ διαμετρήσας περὶ 10
τὸ τεῖχος, ἀπολιπὼν ὅσον τύρσεσι μεγάλαις ἀπὸ τοῦ
ποταμοῦ, ὤρυσσεν ἔνθεν καὶ ἔνθεν τοῦ τείχους τάφρον
ὑπερμεγέθη, καὶ τὴν γῆν ἀνέβαλλον πρὸς ἑαυτούς. Καὶ 11
πρῶτον μὲν πύργους ἐπὶ τῷ ποταμῷ ᾠκοδόμει, φοίνιξι
θεμελιώσας οὐ μεῖον ἢ πλεθριαίοις· (εἰσὶ γὰρ καὶ μεί-

8. ἔφη, οὗτος] Altorf. οὗτος, ἔφη. Euphratem Babylonem mediam perlabentem tradit Herodotus i. 180.

δύο στάδια] Latitudinem unius ftadii pofuit Strabo libro xvi. fed ponti, qui utramque urbis partem jungebat fluvio impofitus, ftadiorum quinque longitudinem affignat Diodorus libro ii. monente Zeunio.

δύο ἄνδρες] Altorf. δύο ἄνδρ'. Voluit igitur dualem dare.

9. Καὶ ὁ Κῦρος] Altorf. εἶπεν adjungit, ex more Xenophontis.

ἑκάστου] Ita liber Philel. Gabr. Caftal. Bryl. Guelf. Altorf. ἕκαστον Steph. 2. Bodl. aliqui libri etiam ὑμῶν dant.

πλατυτάτην] Altorf. βαθυτάτην καὶ πλατυτάτην.

ἐλαχίστων ἡμῖν—δέοι] Altorf. ἐλάχιστον—δέῃ. Etiam Guelf. δέῃ. Quidam libri ὑμῖν dant.

10. ὅσον τύρσεσι] Intellige διάστημα ἱκανόν ἐστιν. Zonaras μέτριόν τι τοῦ ποταμοῦ ἀφιστάμενοι. Altorfinus καὶ addit ante ἀπολιπών.

ὤρυσσεν] A prima manu ὤρυσσον fcriptum habet Guelf. deinde ἐνθένδε τοῦ τείχους, ut Suidas, qui h. l. excerpfit in vocabulo τύρσις. Altorf. ὤρυττεν ἔνθα καὶ ἔνθα.

πρὸς ἑαυτοὺς] Zonaras τὸν δὲ χοῦν ἀνέβαλον πρὸς τὸ στρατόπεδον. Philelphus ἀνέβαλλεν vertit.

11. πλεθριαίοις] Hunc locum laudant Scholia græca ad Ariftophanis Vefpas et ex iis Suidas in vocabulo Κανθήλιος (Cf. Gatakeri Adverf. Mifcell. i. cap. 17.) iterumque in πλέθρον, ubi eft: Ξενοφῶν φησι πλεθριαίους φοίνικας φύεσθαι ἐν Βαβυλῶνι ἢ καὶ μείζονας σταδίου πηχῶν υ'. i. e. cubitis CD. Ceterum rem eandem tradunt Theophraftus hiftoriæ plantarum v. 6. ex eo Plinius xvi. cap. 42. Strabo xiv. p. 1063. Plutarchus Q. S. viii.

ζονες, ἢ τοσοῦτοι τὸ μῆκος πεφυκότες· καὶ γὰρ δὴ πιε-
ζόμενοι οἱ Φοίνικες ὑπὸ βάρους ἄνω κυρτοῦνται, ὥσπερ οἱ
12 ὄνοι οἱ κανθήλιοι·) τούτους δ' ὑπετίθει τούτου ἕνεκα,
ὅπως ὅτι μάλιστα ἐοίκοι πολιορκήσειν παρασκευαζομένῳ,
ὡς, εἰ καὶ διαφύγοι ὁ ποταμὸς εἰς τὴν τάφρον, μὴ ἀνέλοι
τοὺς πύργους. Ἀνίστη δὲ καὶ ἄλλους πολλοὺς πύργους ἐπὶ
13 τῆς ἀμβολάδος γῆς, ὅπως ὅτι πλεῖστα φυλακτήρια εἴη.
Οἱ μὲν δὴ ταῦτ' ἐποίουν· οἱ δὲ ἐν τῷ τείχει κατεγέλων
τῆς πολιορκίας, ὡς ἔχοντες τὰ ἐπιτήδεια πλέον, ἢ εἴκοσιν
ἐτῶν. Ἀκούσας δὲ ταῦτα ὁ Κῦρος, τὸ στράτευμα κατέ-
νειμε δώδεκα μέρη, ὡς μῆνα τοῦ ἐνιαυτοῦ ἕκαστον τὸ μέ-

probl. 4. Gellius Noct. Attic. iii. 6. Joannes Sarisberiensis Polycrat. v. p. 270.

καὶ γὰρ δὴ] Hæc alienum in locum immigrasse non dubito, etsi interpretes omnes tacent. Nihil enim præcessit, cujus nunc sit ratio reddenda. Contra post traditum usum trabium palmearum recte subjungetur causa cur palmeæ fuerint adhibitæ, non alia materies. Igitur post verba *ἀνέλοι τοὺς πύργους* recte sequentur omnia ista *καὶ γὰρ δὴ—κανθήλιοι.*

πιεζόμενοι] Altorf. *αὐξόμενοι*, mira varietate.

κανθήλιοι] Asini clitellarii, quorum comparationem non satis intelligo, nec scio an spina dorsulis oneri imposito ita cedat, ut surgat potius, quam deorsum curvetur.

12. *ἕνεκα*] Guelf. *εἵνεκα.* deinde *πολιορκοῦσι* Altorf.

διαφύγοι ὁ ποταμὸς] Brodæus addi voluit *ἐκχυθείς.* Scilicet et illi, ut postea Stephano, merito displicuit verbum *διαφύγοι* de flumine redundante positum.

ἀνέλοι] Ita cum Budensi Altorfinus. Muretus ex libris *ἀνέλοιτο* attulit. Ante Hutchinsonum erat *ἂν ἕλοι.* Fluvius si perrupto aggere turrium fundamenta subruat, turres cum terra subsidant, onere desuper increscente. Verum substructio trabibus palmeis facta turres impedit, quominus desidant: trabes enim istæ potius sursum se curvando oneri resistent, quam deorsum cedent. Alium trabium palmearum usum excogitavit et ita tradidit Weiske. Arbores in librato solo posuit ut stylobatarum loco essent; (*Schwellen nostri vocant*) et binas saltem earum parallelas alveo fluminis, ut si vis aquarum ea ripæ parte perrupta in fossam recens factam se effunderet, capita tamen arborum, quas ita jacentes et pondere aliquo pressas non deorsum sed sursum curvari constaret, ab utraque parte fossæ longius porrecta (*dass sie viel Auflage hatten*) turrim sustinerent. Sic ripa forte dejecta, et aqua subter mediam labente turrim hæc dejici aut abripi non poterat, cum palmæ fundamenti loco jactæ super mediam fossam, qua maxime curvarentur, non versus aquam depressæ vergerent, sed flexu suo, quasi spasmo quodam, inde recedentes se attollerent.

ἀνίστη δὲ καὶ] Altorf. *καὶ* omisit; deinde *ἔτι πλεῖστα* Guelf. Ceterum h. l. laudant Pollux vii. sect. 100. et Suidas in vocab. *ἀμβολάς.*

13. *κατεγέλων*] Cf. Herodoti i. 190. *πλέον εἴκοσιν* omisso *ἢ* Guelf.

κατένειμε δώδεκα] Ex conjectura Brodæi et Porti Castalio, Hutchinson et Weiske *εἰς* interferciunt, quod etiam in libris veteribus adesse testatur Muretus. In nostris quidem omnibus et editis et scriptis abest, et commode abesse posse docuit post Abre-

ρος φυλάξον. Οἱ δὲ αὖ Βαβυλώνιοι, ἀκούσαντες ταῦτα, 14
πολὺ ἔτι μᾶλλον κατεγέλων, ἐννοούμενοι, εἰ σφᾶς Φρύ-
γες καὶ Λυδοὶ καὶ Ἀράβιοι καὶ Καππαδόκαι φυλά-
ξοιεν, οὓς σφίσιν ἐνόμιζον πάντας εὐμενεστέρους εἶναι ἢ
Πέρσαις.

Καὶ αἱ μὲν τάφροι ἤδη ὀρωρυγμέναι ἦσαν. Ὁ δὲ 15
Κῦρος, ἐπεὶ ἑορτὴν τοιαύτην ἐν Βαβυλῶνι ἤκουσεν εἶναι, ἐν
ᾗ πάντες οἱ Βαβυλώνιοι ὅλην τὴν νύκτα πίνουσι καὶ κω-
μάζουσιν, ἐν ταύτῃ, ἐπεὶ τάχιστα συνεσκότασε, λαβὼν
πολλοὺς ἀνθρώπους, ἀνεστόμωσε τὰς τάφρους πρὸς τὸν
ποταμόν. Ὡς δὲ τοῦτο ἐγένετο, τὸ ὕδωρ κατὰ τὰς τά- 16
φρους ἐχώρει ἐν τῇ νυκτί· ἡ δὲ διὰ τῆς πόλεως τοῦ
ποταμοῦ ὁδὸς πορεύσιμος ἀνθρώποις ἐγίγνετο. Ὡς δὲ 17
τὸ τοῦ ποταμοῦ οὕτως ἐπορσύνετο, παρηγγύησεν ὁ Κῦρος

Urbs tandem, Euphrate in fossas derivato, vino somnoque sepulta capitur.

schium Thucyd. p. 612. Auctar. Thucyd. p. 366. Fischerus ad Platonis Politic. 24. et Parmenid. 14. Igitur conjectura Mori ad Hellenica p. 47. proposita, τοῦ στρατεύματος non magis opus est. Deinde ἕκαστον μέρος Guelf.

14. κατεγέλων] Ex libris Brod. Philel. et Guelf. τούτων κατεγέλων dedit Zeune; Altorfinus liber non solum τούτων sed etiam verbum κατεγέλων omisit. Pro Λύκιοι Budensis liber et Altorf. Λυδοὶ, quod recepit Zeune ideo, quod Lycii antea nunquam commemorati fuerint. Deinde Καππαδόκες Guelf. in quo a prima manu Φρύγιοι scriptum fuerat.

φυλάξοιεν] Ex Guelf. ineptum tempus φυλάξειαν ob Atticismum, ut ait, recepit Zeune eumque secutus Weiske.

15. ἐπεὶ ἑορτὴν] Ita Altorf. pro ἐπειδή.

τοιαύτην] Ex Guelf. ἐπειδὴ ἑορτὴν ἐν τῇ Βαβυλ. dedit Zeune. Margo Steph. ἑορτὴ αὐτῶν ἐν τῇ Βαβυλῶνι ἦν refert nescio unde. Altorf. ἑορτὴ ἑαυτῶν ἐν Βαβ. ἦν. Festo die captam urbem refert etiam Herodotus i. 191. Festum fuisse τὰ Σάκαια ex Athenæo xiv. p. 639. conjecit Jo. Vorstius Exercit. Academ. IV. admonente Zeunio.

πάντες οἱ] Articulum ex Altorf. adjeci; eodemque auctore ἐπεὶ τάχιστα scripsi pro ἐπειδὴ τάχ.

τάφρους πρὸς] Juntina, Philelphi versio Steph. 2. Guelf. τάφρους τὰς οὔσας. sed in Guelf. corrector verba τὰς οὔσας supplevit, omissa a primo librario ut in Altorfino. Igitur utrumque vocabulum omisi; οὔσας excluserat cum Zeunio Weiske.

16. ἐγένετο, τὸ] Articulum Guelf. omisit. Aquam per fossas in lacunam ingentem a Nitocri regina factam derivat Zeune præeunte Herodoto i. 185. et 191. cujus in sententiam transiit etiam Weiske, cujus rationem priorem equidem probo. "E "Xenophontis," inquit, "narratio-"ne flumen in duas partes divisum "ex anfractu fossarum, in quas de-"ductum erat, infra urbem videtur "alveum suum repetiisse."

ἐγίγνετο] Guelf. ἐγένετο. Altorf. ἀνθρώποις πορεύσιμος dat.

17. ἐπορσύνετο] Guelf. a prima manu scriptum habet ἐπορσύετο, deinde χιλιάρχαις dat. Altorf. πεζῶν ἱππέων habet, ut Guelf. postea πεζοὺς ἱππέας, et sect. 19. cum Juntina πεζῶν τῶν

Πέρσαις χιλιάρχοις καὶ πεζῶν καὶ ἱππέων, εἰς δύο
ἄγοντας τὴν χιλιοστὺν παρεῖναι πρὸς αὐτὸν, τοὺς δ' ἄλ-
λους συμμάχους κατ' οὐρὰν τούτων ἕπεσθαι, ᾗπερ πρό-
18 σθεν τεταγμένους. Οἱ μὲν δὴ παρῆσαν· ὁ δὲ, καταβι-
βάσας εἰς τὸ ξηρὸν τοῦ ποταμοῦ τοὺς ὑπηρέτας καὶ πε-
ζοὺς καὶ ἱππέας, ἐκέλευσε σκέψασθαι, εἰ πορεύσιμον
19 εἴη τὸ ἔδαφος τοῦ ποταμοῦ. Ἐπεὶ δὲ ἀπήγγειλαν, ὅτι
πορεύσιμον εἴη, ἐνταῦθα δὴ, συγκαλέσας τοὺς ἡγεμόνας
τῶν πεζῶν καὶ τῶν ἱππέων, ἔλεξε τοιάδε.

20 Ἄνδρες, ἔφη, φίλοι, ὁ μὲν ποταμὸς ἡμῖν παρακεχώ-
ρηκε τῆς εἰς τὴν πόλιν ὁδοῦ· ἡμεῖς δὲ θαῤῥοῦντες εἰσίωμεν
δὴ εἴσω, ἐννοούμενοι, ὅτι οὗτοι, ἐφ' οὓς νῦν πορευσόμεθα,
ἐκεῖνοί εἰσιν, οὓς ἡμεῖς καὶ συμμάχους πρὸς ἑαυτοῖς
ἔχοντας, καὶ ἐγρηγορότας ἅπαντας καὶ νήφοντας, καὶ
21 ἐξωπλισμένους καὶ συντεταγμένους ἐνικῶμεν· νῦν δ' ἐπ'
αὐτοὺς ἴμεν, ἐν ᾧ πολλοὶ μὲν αὐτῶν καθεύδουσι, πολλοὶ
δ' αὐτῶν μεθύουσι, πάντες δὲ ἀσύντακτοί εἰσιν· ὅταν δὲ
καὶ αἴσθωνται ἡμᾶς ἔνδον ὄντας, πολὺ ἂν ἔτι μᾶλλον ἢ
22 νῦν ἀχρεῖοι ἔσονται ὑπὸ τοῦ ἐκπεπλῆχθαι. Εἰ δέ τις
τοῦτο ἐννοεῖται, ὃ δὴ λέγεται φοβερὸν εἶναι τοῖς εἰς πόλιν

ἱππέων dat. Altorf. postremo loco πεζῶν ἱππέων habet.

19. τοιάδε] Margo Steph. et Altorf. τάδε.

20. ἄνδρες, ἔφη] Ex Guelf. et Altorf. ἔφη inserui.

εἰσίωμεν] Vulgo erat εἰσίωμεν, μηδὲν φοβούμενοι εἴσω, ἐνν. Sed jam olim Stephanus verba μηδὲν φοβούμενοι orta vidit esse ex interpretatione verbi θαῤῥοῦντες. Recte igitur omisit Editio Etonensis, Hutchinson et Weiske. Ante Stephanum Camerarius etiam cum libro Budensi et Altorf. omisit verba, quæ merito damnant omnes præter Zeunium, qui verba εἴσω ἐννοούμενοι seclusit veluti supervacua, quoniam in margine Guelf. a secunda manu addita leguntur. Ex eodem is libro et Philelpho δὴ addidit post εἰσίωμεν.

πρὸς ἑαυτοῖς] Altorf. πρὸς ἑαυτούς. deinde συμπορευσόμεθα a prima manu Guelf. scriptum habet.

21. ἴμεν] Ita recte Altorf. Vulgo editur ἴωμεν, Junt. Ald. ἴομεν, margo Steph. εἶμεν refert. deinde καθεύδουσιν αὐτῶν Guelf.

πολλοὶ δ' αὐτῶν] Ex libris antiquis πολλοὶ δ' ἂν posuit Muretus, cui repetitum αὐτῶν displicuisse videtur; et merito quidem.

δὲ καὶ] Altorf. copulam omisit; rectius, ut puto.

22. τις—ἐννοεῖται] Altorf. τι—ἐννοεῖτε.

εἰσιοῦσι, μὴ ἐπὶ τὰ τέγη ἀναβάντες βάλλωσιν ἔνθεν καὶ
ἔνθεν, τοῦτο μάλιστα θαῤῥεῖτε· ἢν γὰρ ἀναβῶσί τινες
ἐπὶ τὰς οἰκίας, ἔχομεν σύμμαχον θεὸν Ἥφαιστον. Εὔ-
φλεκτα δὲ τὰ πρόθυρα αὐτῶν, φοίνικος μὲν αἱ θύραι
πεποιημέναι, ἀσφάλτῳ δὲ ὑπεκκαύματι κεχρισμέναι.
Ἡμεῖς δ' αὖ πολλὴν μὲν δᾷδα ἔχομεν, ἣ ταχὺ πολὺ 23
πῦρ τέξεται, πολλὴν δὲ πίτταν καὶ στυππεῖον, ἃ ταχὺ
παρακαλεῖ πολλὴν φλόγα· ὥστε ἀνάγκην εἶναι, ἢ φεύ-
γειν ταχὺ τοὺς ἀπὸ τῶν οἰκιῶν, ἢ ταχὺ κατακεκαῦσθαι.
Ἀλλ' ἄγετε, λαμβάνετε τὰ ὅπλα· ἡγήσομαι δὲ ἐγὼ 24
σὺν τοῖς θεοῖς. Ὑμεῖς δ', ἔφη, ὦ Γαδάτα καὶ Γω-
βρύα, δείκνυτε τὰς ὁδούς· ἴστε γάρ· ὅταν δὲ ἐντὸς γενώ-
μεθα, τὴν ταχίστην ἄγετε ἐπὶ τὰ βασίλεια. Καὶ μὴν, 25
ἔφασαν οἱ ἀμφὶ τὸν Γωβρύαν, οὐδὲν ἂν εἴη θαυμαστὸν,
εἰ καὶ ἄκλειστοι αἱ πύλαι αἱ τοῦ βασιλείου εἶεν· ὡς ἐν
κώμῳ γὰρ δοκεῖ ἡ πόλις πᾶσα εἶναι τῇδε τῇ νυκτί.

βάλλωσι] Ita Altorf. Vulgo *βάλωσιν* legitur. deinde *ἢν γὰρ ἀναβῶσιν ἐπὶ τὰς οἰκίας τινές*. Altorf. omittens poſtea *σύμμαχον*.

φοίνικος] Caſtalio ἐκ φ. dedit: *φοίνικας* habet Altorf.

ἀσφάλτῳ] Strabo xvi. p. 1073. *διὰ τὴν ὕλης σπάνιν ἐκ φοινικίνων ξύλων αἱ οἰκοδομαὶ συντελοῦνται καὶ δοκοῖς καὶ στύλοις· περὶ δὲ τοὺς στύλους στρέφοντες, ἐκ τῆς καλάμης σχοινία περιτιθέασιν, εἶτ' ἐπαλείφοντες χρώμασι καταγράφουσι, τὰς δὲ θύρας ἀσφάλτῳ* etc.

23. *μὲν δᾷδα*] Ex Guelf. *μὲν* Zeune addidit; deinde *στυπεῖον* Caſtal. et Guelf. poſtea *πολλὴν παρακαλεῖ φλόγα*.

τοὺς ἀπὸ τῶν] Stephani et Leonclavii conjectura *αὐτοὺς ἀπὸ* non opus eſt, et recte a Stephano ipſo comparatur Anabaſis v. 2, 17.

24 *τὰ ὅπλα*] Articulum ex Guelf. et Altorf. addidi.

βασίλεια] Poſt hanc vocem deeſſe quædam ſuſpicantur Leonclavius et Stephanus, cauſa ſuſpicionis non edita.

25. *εἰ καὶ ἄκλειστοι*] Ita Budenſis liber et Altorf. quam ſcripturam vulgari *καὶ γὰρ ἄκλ.* Hutchinſonianæ *εἰ εἶεν*, et conjecturæ Leonclavianæ *εἰ καὶ εἶεν* prætulit Zeune. *εἶναι* Guelf. in quo *εἰ καὶ* latet.

ὡς ἐν κώμῳ] Vulgatam *βασιλείου, ὡς ἐν κώμῳ· δοκεῖ γὰρ ἡ πόλις* etc. miris modis variant libri editi, ſcripti et virorum doctorum conjecturæ. Brodæus ex libris ſuis *εἶεν* poſt *βασιλείου* inſeri juſſit, et deinde ſcribi *οὕτω ἡ πόλις*. Budenſis liber dat: *εἶεν· κωμοδοκεῖ γὰρ ἡ πόλις πᾶσα τῇδε τῇ νυκτί*. Altorf. *εἶεν. κώμῳ δοκεῖ γὰρ πᾶσα ἡ πόλις τῇδε τῇ νυκτί*. Et Camerarius verbum *κωμοδοκεῖ* analogia tueri conatur. Guelf. *βασιλείου ὡς ἐν κώμῳ. δοκεῖ γὰρ ἡ πόλις πᾶσα τῇδε νυκτί*. Leonclavius *ὡς ἐν κώμῳ γὰρ* malebat ſcriptum; Muretus *εἶεν, ὡς ἐν κώμῳ, ἐν κώμῳ γὰρ δοκεῖ ἡ πόλις πᾶσα*; Stephanus *εἶεν· κωμῳδεῖ γὰρ ἡ πόλις πᾶσα τ. τ. ν.* vel *ὡς ἐν κώμῳ δεῖ·* (voluit, credo, *δὴ*) *κωμάζει γὰρ ἡ πόλις πᾶσα*. vel denique *ὡς ἐν κώμῳ· ἐν κώμῳ γὰρ δοκεῖ ἡ πόλις πᾶσα εἶναι*. Equidem præ-

φυλακῇ μέντοι πρὸ τῶν πυλῶν ἐντευξόμεθα· ἔστι γὰρ
αἰεὶ τεταγμένη. Οὐκ ἂν ἀμελεῖν δέοι, ἔφη ὁ Κῦρος,
ἀλλ᾿ ἰέναι, ἵνα ἀπαρασκεύους ὡς μάλιστα λάβωμεν τοὺς
ἄνδρας.
26 Ἐπεὶ δὲ ταῦτα ἐῤῥήθη, ἐπορεύοντο· τῶν δὲ ἀπαντών-
των οἱ μὲν ἀπέθνησκον παιόμενοι, οἱ δ᾿ ἔφευγον πάλιν
ὀπίσω· οἱ δ᾿ ἐβόων. Οἱ δ᾿ ἀμφὶ τὸν Γωβρύαν συνεβόων
αὐτοῖς, ὡς κωμασταὶ ὄντες καὶ αὐτοί· καὶ ἰόντες ᾗ ἐδύ-
27 ναντο ὡς τάχιστα ἐπὶ τοῖς βασιλείοις ἐγένοντο. Καὶ οἱ
μὲν σὺν τῷ Γωβρύᾳ καὶ Γαδάτᾳ τεταγμένοι κεκλεισμέ-
νας εὑρίσκουσι τὰς πύλας τοῦ βασιλείου· οἱ δ᾿ ἐπὶ τοὺς
φύλακας ταχθέντες ἐπεισπίπτουσιν αὐτοῖς πίνουσι πρὸς
φῶς πολὺ, καὶ εὐθὺς ὡς πολεμίοις ἐχρῶντο αὐτοῖς.
28 Ὡς δὲ κραυγὴ καὶ κτύπος ἐγίγνετο, αἰσθόμενοι οἱ ἔνδον
τοῦ θορύβου, κελεύσαντος τοῦ βασιλέως σκέψασθαι, τί
εἴη τὸ πρᾶγμα, ἐκθέουσί τινες ἀνοίξαντες τὰς πύλας.
29 Οἱ δ᾿ ἀμφὶ τὸν Γαδάταν ὡς εἶδον τὰς πύλας χαλώ-
σας, εἰσπίπτουσι, καὶ τοῖς πάλιν φεύγουσιν εἴσω ἐφεπό-
μενοι, καὶ παίοντες ἀφικνοῦνται πρὸς τὸν βασιλέα· καὶ

eunte Hemfterhufio ad Lucianum tom. ii. p. 526. ed. Bipont. vulgatam lectionem reftitui, ut fententiæ omnium optime congruentem poftquam præcedens fententia εἰ καὶ—εἶεν ex libro Budenfi et Altorfino fuit redintegrata.

πυλῶν] Edd. pr. θυρῶν. cum Stephano facit Guelf. Altorf. deinde ἔστη γὰρ Guelf. a prima manu fcriptum habet.

Οὐκ ἂν] Muretus ingeniofe et verofimiliter οὐκ ἄρα μέλλειν conjecit: Vide infra fect. 76. Philelphus *non negligendum enim eft* vertens οὐ γὰρ ἀμελεῖν legiffe in fuo libro fcriptum videtur. Guelf. οὐκ ἀμελεῖν. Verum ἂν videtur effe tenendum. Ita enim ὥρα ἂν εἴη pro ὥρα οὖν εἴη fupra i. 4, 13. et iv. 4, 5. ubi vide annotata.

μάλιστα] Guelf. μάλιστα ἂν λάβωμεν.

26. πάλιν ὀπίσω] Ita cum Budenfi Altorf. pro πάλιν εἴσω. deinde οἱ ἀμφὶ Γωβρύαν—ὡς κωμασταὶ καὶ αὐτοὶ ὄντες.

ᾗ ἐδύναντο] Zonaras ὡς ἠδύναντο τάχιστα, ut conjecit Stephanus; fed vulgata præftare mihi videtur, eftque qua poterant via et ratione.

27. καὶ Γαδάτᾳ] Ex Zonara articulum τῷ inferuit Zeune. deinde θύρας pro πύλας Altorf.

ὡς πολεμίοις] Ita ex Guelf. fuadente Brodæo et Mureto fcripfit pro πολέμιοι Zeune, qui fequens αὐτοῖς in Guelf. omiffum feclufit.

28. κελεύσαντος] Copulam καὶ anteponit Altorf. non inepte.

29. εἰσπίπτουσι] Philel. Guelf. Zonaras εἰς ἃς εἰσπίπτουσι. margo Steph. ἐπεισπίπτουσι.

βασιλέα] De nomine difputant viri docti. Tempus urbis captæ Hero-

ἤδη ἑστηκότα αὐτὸν καὶ σπασάμενον, ὃν εἶχεν, ἀκινάκην
εὑρίσκουσι. Καὶ τοῦτον μὲν οἱ σὺν Γαδάτᾳ καὶ Γωβρύᾳ 30
πολλοὶ ἐχειροῦντο· καὶ οἱ σὺν αὐτῷ δὲ ἀπέθνησκον, ὁ μὲν
προβαλλόμενός τι, ὁ δὲ φεύγων, ὁ δέ γε καὶ ἀμυνόμενος
ὅτῳ ἐδύνατο. Ὁ δὲ Κῦρος διέπεμπε τὰς τῶν ἱππέων 31
τάξεις κατὰ τὰς ὁδούς· καὶ προεῖπεν, οὓς μὲν ἔξω λαμ-
βάνοιεν κατακαίνειν, τοὺς δ' ἐν ταῖς οἰκίαις κηρύττειν
τοὺς Συριστὶ ἐπισταμένους ἔνδον μένειν· εἰ δέ τις ἔξω
ληφθήσοιτο, ὅτι θανατώσοιτο.

Οἱ μὲν δὴ ταῦτα ἐποίουν. Γαδάτας δὲ καὶ Γωβρύας 32
ἧκον· καὶ θεοὺς μὲν πρῶτον προσεκύνουν, ὅτι τετιμωρη-
μένοι ἦσαν τὸν ἀνόσιον βασιλέα, ἔπειτα δὲ Κύρου κατε-
φίλουν καὶ χεῖρας καὶ πόδας, πολλὰ δακρύοντες ἅμα
χαρᾷ καὶ εὐφραινόμενοι. Ἐπεὶ δὲ ἡμέρα ἐγένετο, καὶ 33
ᾔσθοντο οἱ τὰς ἄκρας ἔχοντες ἑαλωκυῖάν τε τὴν πόλιν
καὶ τὸν βασιλέα τεθνηκότα, παραδιδόασι καὶ τὰς
ἄκρας. Ὁ δὲ Κῦρος τὰς μὲν ἄκρας εὐθὺς παρελάμ- 34
βανε, καὶ φρουράρχους τε καὶ φρουροὺς εἰς ταύτας ἀνέ-
πεμπε· τοὺς δὲ τεθνηκότας θάπτειν ἐφῆκε τοῖς προσή-
κουσι· τοὺς δὲ κήρυκας κηρύττειν ἐκέλευσεν, ἀποφέρειν
πάντας τὰ ὅπλα Βαβυλωνίους· ὅπου δὲ ληφθήσοιτο

Res captæ urbis ordinantur.

dotus Reizianus ad i. 191. ad annum 536. ante C. N. refert.

σπασάμενον] Ita cum libris Brodæi et Altorf. scripsi pro ἐσπασμένον.

30. προβαλλόμενός τι] Guelf. a prima manu προβαλόμενός τις habet. deinde ὅτῳ δύναιτο Altorf.

31. τὰς τῶν ἱππέων τάξεις] Altorfinus liber διέπεμπε τάξεις ἱππέων, non inepte.

ληφθήσοιτο] Ita Guelf. pro ληφθείη. Vide mox ad sect. 34. deinde θανεῖται Zonaras dedit.

33. τὰς ἄκρας] Plures ἀκροπόλεις in urbe Babylone adfuisse aliunde non constat: sed potuit ἀκρόπολις habuisse plura castella seu ἐρύματα.

34. φρουράρχους] Ita pro φρουράρχας Guelf. et Zonaras. deinde αὐτὰς ἔπεμπε Zonaras dat.

θάπτειν ἐφῆκε] Verbum θάπτειν omisit Altorf. et Edd. Steph. Leoncl. asterisco apposito notarunt. ἀνῆκε Edd. pr. et margo Guelf.

ληφθήσοιτο] Ita cum Welsio Hutchinson. Junt. Ald. Isingr. Leoncl. Steph. λειφθήσοιτο in notis Stephanus præferre se ait assentiente libro vetere ληφθήσοιτο, quod est in Altorf. probante Fischero ad Weller ii. p. 270. Ex Guelf. ληφθεῖεν dedit Zeune; in margine Steph. est λειφθεῖεν. Cf. sect. 31.

ὅπλα ἐν οἰκίᾳ, προηγόρευεν, ὡς πάντες οἱ ἔνδον ἀποθα-
νοῖντο. Οἱ μὲν δὴ ἀπέφερον· ὁ δὲ Κῦρος ταῦτα μὲν εἰς
τὰς ἄκρας κατέθετο, ὡς εἴη ἕτοιμα, εἴ τί ποτε δέοι χρῆ-
35 σθαι. Ἐπεὶ δὲ ταῦτ' ἐπέπρακτο, πρῶτον μὲν τοὺς μά-
γους καλέσας, ὡς δορυαλώτου τῆς πόλεως οὔσης, ἀκρο-
θίνια τοῖς θεοῖς καὶ τεμένη ἐκέλευσεν ἐξελεῖν· ἐκ τούτου
δὲ καὶ οἰκίας διεδίδου καὶ ἀρχεῖα τούτοις, οὕσπερ κοινω-
νοὺς ἐνόμιζε τῶν καταπεπραγμένων· οὕτω δὲ διένειμεν,
ὥσπερ ἐδέδοκτο, τὰ κράτιστα τοῖς ἀρίστοις. Εἰ δέ τις
36 οἴοιτο μεῖον ἔχειν, διδάσκειν προσιόντα ἐκέλευε. Προεῖπε
δὲ, Βαβυλωνίοις μὲν τὴν γῆν ἐργάζεσθαι, καὶ τοὺς δασ-
μοὺς ἀποφέρειν, καὶ θεραπεύειν τούτους, οἷς ἕκαστοι αὐ-
τῶν ἐδόθησαν· Πέρσας δὲ τοὺς κοινωνοῦντας, καὶ τῶν

προηγόρευεν] Ita cum libro Philel. Budenſi, margine Steph. et Guelf. Zeune pro προηγόρευον, quod revocavit Weiſke.

ἀποθανοῖντο] Hoc ex Guelf. et Altorf. propter orationis obliquam formam vulgari ἀποθανοῦται prætulit Zeune probante Fiſchero ad Weller. ii. p. 270. Compara ſect. 31. et ad i. 2, 32.

35. ἀκροθίνια] Edd. pr. ἀκροθήνια. deinde ἐκ τούτου δὲ οἰκίας omiſſo καὶ Altorf.

οὕσπερ κοινωνοὺς] Non auſus ſum cum Zeunio et Weiſkio recipere quod liber Guelf. cum Suida dat κοινῶνας, rarius vocabulum, quoniam in Altorf. οἷς κοινωνεῖν, per notam ſcripto κοινωνεῖν, eſt: unde ſuſpicio naſcitur mihi, ex nota non intellecta ortam varietatem eſſe illam.

ἐνόμιζε] Guelf. a prima manu cum Suida in κοινὼν dat ἐνομίζετο.

οὕτω δὲ] Ita cum Caſtal. liber Gabr. et Altorf. καὶ οὕτω Philel. et Guelf. Ante Zeunium δὲ aberat.

προσιόντα] Guelf. προσιόντας habet, referente Zeunio, tacente tamen Fiſchero. προσιόντα διδάσκειν ἐκέλευε Altorfinus liber.

36. Βαβυλωνίοις] Ex Edd. pr. Philel. Guelf. Altorf. veterem lectionem pro Stephani Βαβυλωνίους revocavit Zeune comparans viii. 6, 10. et 15.

τοὺς κοινωνοῦντας] Vulgo erat καὶ τοὺς κοινωνοῦντας. Guelf κοινωνούς. Perſas dici participes rerum geſtarum propterea, quod inprimis horum opera Cyrus rem bene geſſiſſet, cenſebat Zeune, recte mirante Weiſkio, qui dubitanter Medos intelligit. Dubitationem præcidit Altorf. liber καὶ omittens. Supra ſect. 35. κοινωνοὺς τῶν καταπεπραγμένων vocavit eoſdem Perſas: infra viii. 1, 76. κοινῶνας vel κοινωνοὺς vel κοινωνοῦντας iterum vocat, quos hodie publicæ rei adminiſtros appellamus, ſignificatione ab hoc loco aliena.

καὶ τῶν συμμάχων] Etiam his, ut Perſis, quos κοινῶνας dicit Xenophon, οἰκίας καὶ ἀρχεῖα Cyrus Babylone dederat. De ſociis iterum eſt viii. 4, 28. ὅσοι αὐτῶν οἰκεῖν ἐβούλοντο παρ' αὐτῷ, τούτοις δὲ χώραν καὶ οἴκους ἔδωκε. additur Medos et Hyrcanios maximam partem fuiſſe. Adhuc de Babylonia terra ſermo eſt. Cyaxari ipſi Babylone erat ἐξῃρημένος οἶκος καὶ ἀρχεῖα ut eſt viii. 5, 17. Cum mittere vult Cyrus ſatrapas in provincias cap. 6. ἐφόροις ſeu legatis in provincias mittendis extra ordinem ſimiliter χώρας νέμεσθαι καὶ οἴκους in provinciis aſſignat; quod utrumque munus ſect. 5. dicit οἴκους καὶ ὑπη-

συμμάχων, ὅσοι μένειν ᾑροῦντο παρ' αὐτῷ, ὡς δεσπότας
ὧν ἔλαβον προηγόρευε διαλέγεσθαι.

Ἐκ δὲ τούτου ἐπιθυμῶν ὁ Κῦρος ἤδη κατασκευάσα- 37
σθαι, καὶ αὐτὸς, ὡς βασιλεῖ ἡγεῖτο πρέπειν, ἔδοξεν
αὐτῷ τοῦτο σὺν τῇ τῶν φίλων γνώμῃ ποιῆσαι, ὡς ὅτι
ἥκιστα ἂν ἐπιφθόνως σπάνιός τε καὶ σεμνὸς φανείη.
Ὧδε οὖν ἐμηχανᾶτο τοῦτο· ἅμα τῇ ἡμέρᾳ στὰς, ὅπου
ἐδόκει ἐπιτήδειον εἶναι, προσεδέχετο τὸν βουλόμενον λέγειν
τι, καὶ ἀποκρινόμενος ἀπέπεμπεν. Οἱ δ' ἄνθρωποι, 38
ὡς ἔγνωσαν, ὅτι προσδέχοιτο, ἧκον ἀμήχανοι τὸ πλῆθος·
καὶ ὠθουμένων περὶ τοῦ προσελθεῖν, μηχανή τε πολλὴ
καὶ μάχη ἦν. Οἱ δὲ ὑπηρέται ὡς ἠδύναντο διακρίναντες,
προσίεσαν. Ὁπότε δέ τις καὶ τῶν φίλων διωσάμενος 39
τὸν ὄχλον προφανείη, προτείνων ὁ Κῦρος τὴν χεῖρα προσή-

Callida ratione Cyrus instituit, ut amici intelligant, ipsum raro in conspectum populi venire debere.

κόους κατὰ τὰς καταστραφείσας χώρας. Satraparum imperio ſubjicit eos *ὁπόσοι γῆν καὶ ἀρχεῖα λάβωσι* in provinciis ſect. x. cap. 6. eoſque aulam ſatrapæ colere jubet; quos iterum ſect. 13. intelligere nos voluiſſe videri poſſit Xenophon, ubi ait ad ſatrapas: *οὕτω καὶ ὑμεῖς τοὺς ὑφ' ὑμῶν ἀρχὰς ἔχοντας μιμεῖσθαι ὑμᾶς διδάσκετε.* Ibi enim Codices quidam *ἀρχεῖα* habent ſcriptum. Verum ita etiam *ὑφ' ὑμᾶς* eſſe deberet. Supereſt, ut diſpiciamus, quæ dicantur *ἀρχεῖα.* Supra i. 2, 3. ſunt *τά τε βασίλεια καὶ τὰ ἄλλα ἀρχεῖα.* ubi ædes regiæ et palatia procerum ſeu officiorum palatinorum ſignificari videntur. Et vii. 5, 85. eſt *ἐν Πέρσαις ἐπὶ τοῖς ἀρχείοις οἱ ὁμότιμοι διάγουσιν* et viii. 1, 5. *τόδε τὸ ἀρχεῖον* regiam Cyri Babylone vocat, et ſect. 6. *θύρας,* paulo vero poſt *τὰς τῶν ἀρχόντων θύρας* dicit pro *ἀρχεῖα.* Alibi dubitari poteſt quid ſit *ἀρχεῖον* apud Xenophontem, veluti Hellenicorum v. 4, 58. ubi vide annotationem. In Cyropædiæ locis appoſitis videtur vocabulum fere ædes et palatia procerum, magiſtratuum et officiorum palatinorum ſignificare.

παρ' αὐτῷ] Altorf. *παρ' ἑαυτῷ.* deinde *οἷς ἔλαβον* cum Zeunio ſcriptum mallem.

37. *ἐπιθυμῶν*] Guelf. ex correctione *ἐπεθύμει* habet, quod dat Junt. et Iſingr. quæ poſterior deinde *ἔδοξε δ' αὐτῷ* dedit. In tam brevi oratione *ἀνακόλουθον* ſatis eſt inſuave. Altorf. *ἤδη* omiſit. Ceterum ab hac ſectione rectius initium libri octavi mihi duci videtur, ubi bellis finitis pacis artes explicantur.

ἂν ἐπιφθόνως] Ita ex Mureti ſententia primus Hutchinſon vulgatum *ἀνεπιφθόνως* diſtinxit. Ita ſect. 25. *ἵνα ἀπαρασκεύους ὡς μάλιστ' ἂν λάβωμεν τοὺς ἄνδρας* in Guelf. eſt.

ἀποκρινόμενος] Altorf. *ἀποκρινάμενος.* Sequens *ἀμήχανοι* ex h. l. tranſtuliſſe Suidas in voc. *ἀμηχάνητοι, ἀντὶ τοῦ πολλοὶ, Ξενοφῶν* corrigenduſque hinc videbatur Kuſtero.

38. *μηχανὴ*] Altorf. *πολλὴ μηχανὴ ἦν,* omiſſis verbis *καὶ μάχη,* quæ non videntur cum verbo *ὠθουμένων* nec cum ipſo loco congruere: denique nec ſatis bene coeunt *μηχανὴ καὶ μάχη.*

προσίεσαν] Ita recte Steph. vulgatum antea *προσήεσαν* correxit, aſſentiente Philel. Guelf. Altorf.

γετο αὐτοὺς, καὶ οὕτως ἔλεγεν, Ἄνδρες Φίλοι, περιμένετε, ἕως τὸν ὄχλον διωσώμεθα· ἔπειτα δὲ καθ' ἡσυχίαν συγγενησόμεθα. Οἱ μὲν δὴ Φίλοι περιέμενον, ὁ δ' ὄχλος πλείων καὶ πλείων ἐπέῤῥει, ὥστ' ἔφθασεν ἑσπέρα γενομένη, πρὶν τοῖς Φίλοις αὐτὸν σχολάσαι καὶ
40 συγγενέσθαι. Οὕτω δὴ ὁ Κῦρος λέγει, Ἄρα, ἔφη, ὦ ἄνδρες, νῦν μὲν καιρὸς διαλυθῆναι· αὔριον δὲ πρωῒ ἔλθετε· καὶ γὰρ ἐγὼ βούλομαι ὑμῖν τι διαλεχθῆναι. Ἀκούσαντες ταῦτα οἱ Φίλοι, ἄσμενοι ᾤχοντο ἀποθέοντες, δίκην δεδωκότες ὑπὸ πάντων τῶν ἀναγκαίων. Καὶ τότε μὲν οὕτως ἐκοιμήθησαν.

41 Τῇ δ' ὑστεραίᾳ ὁ μὲν Κῦρος παρῆν εἰς τὸ αὐτὸ χωρίον· ἀνθρώπων δὲ πολὺ πλεῖον πλῆθος περιειστήκει, βουλομένων προσιέναι, καὶ πολὺ πρότερον, ἢ οἱ Φίλοι παρῆσαν. Ὁ οὖν Κῦρος περιστησάμενος τῶν ξυστοφόρων Περσῶν κύκλον μέγαν, εἶπε μηδένα παριέναι ἄλλον, ἢ τοὺς Φίλους τε καὶ ἄρχοντας τῶν Περσῶν τε καὶ τῶν
42 συμμάχων. Ἐπεὶ δὲ συνῆλθον αὐτοὶ, ἔλεξεν ὁ Κῦρος αὐτοῖς τοιάδε· Ἄνδρες Φίλοι καὶ σύμμαχοι, τοῖς μὲν

39. ἄνδρες φίλοι] Hæc omiſit Guelf. qui deinde cum Ald. Brodæi libris, Bodl. παραμένετε habet, ut paulo poſt cum ipſa adeo Juntina παρέμενον.

ἕως] Edd. pr. et Altorf. ὡς. deinde διωσώμεθα Edd. pr. Guelf.

πλείων καὶ πλείων] Guelf. a prima manu πλείω καὶ πλείω. Edd. Steph. Leoncl. verba καὶ πλείων ſtella appoſita notarunt.

ὥστ' ἔφθασεν] Guelf. pro ἕως παρέφθασεν, ἕωσπερ ἔφθ. dat eamque ipſam ſcripturam conjectura fuit aſſecutus Steph. qui loca Homerica tria comparavit, ubi παραφθάνω eſt pro προφθάνω. Margo Steph. ὥστε ἔφθασεν. Altorf. ὥστ' ἔφθασεν dant, quam ſcripturam ut omnium aptiſſimam recepi. Male Edd. pr. et Guelf. ἑσπέρα τε γενομένη habent.

40. Ἀκούσαντες] Altorf. δὲ adjunxit. deinde ἀπὸ πάντων ἀναγκαίων Altorf. ἀπὸ etiam ceteri omnes libri editi et ſcripti dant, præter Bodl. et Guelf. quod Stephani admonitu mutarunt in ὑπὸ Edd. Eton. et Hutchinſoniana, comparato loco Anabaſ. iv. 4, 14. ὑπὸ τῆς αἰθρίας δίκην ἐδίδοσαν κακῶς σκηνοῦντες qui tamen non plane convenit. ἀναγκαῖα ſunt cupido cibi et potus, et ſi quid præterea natura humana flagitat. Cf. Abreſch. Thucyd. p. 301.

41. περιειστήκει] Guelf. περιεστήκει. deinde βουλόμενον Altorf. Poſt μηδένα παριέναι cum Brodæo ex libro Altorf. ἄλλον ſupplevi. Articulum τῶν ante συμμάχων Juntina omiſit.

42. τοιάδε] Guelf. τοιαῦτα—ξύμμαχοι—ὑφ' αὐτὸν σχολὴν ἔχειν.

θεοῖς οὐδὲν ἂν ἔχοιμεν μέμψασθαι, τὸ μὴ οὐχὶ μέχρι
τοῦδε πάντα, ὅσα εὐχόμεθα, καταπεπραχέναι· εἰ μέν-
τοι τοιοῦτον ἔσται τὸ μεγάλα πράσσειν, ὥστε μὴ οἷόν τε
εἶναι, μήτε ἀμφ' αὑτὸν σχολὴν ἔχειν, μήτε μετὰ τῶν φί-
λων εὐφρανθῆναι, ἐγὼ μὲν χαίρειν ταύτην τὴν εὐδαιμο-
νίαν κελεύω. Ἐνενοήσατε γὰρ, ἔφη, καὶ χθὲς δήπου, 43
ὅτι ἕωθεν ἀρξάμενοι ἀκούειν τῶν προσιόντων, οὐκ ἐλήξα-
μεν πρόσθεν ἑσπέρας· καὶ νῦν ὁρᾶτε τούτους, καὶ ἄλλους
πλείονας τῶν χθὲς παρόντων, ὡς πράγματα ἡμῖν παρ-
έξοντας. Εἰ οὖν τις τούτοις ὑφέξει ἑαυτὸν, λογίζομαι 44
μικρὸν μέν τι ὑμῖν μέρος ἐμοῦ μετεσόμενον, μικρὸν δέ τι
ἐμοὶ ὑμῶν· ἐμαυτοῦ μέντοι σαφῶς οἶδ' ὅτι οὐδ' ὁτιοῦν μοι
μετέσται. Ἔτι δ', ἔφη, καὶ ἄλλο ὁρῶ γελοῖον πρᾶγ- 45
μα. Ἐγὼ γὰρ δήπου ὑμῖν μὲν, ὥσπερ εἰκὸς, διάκει-
μαι· τούτων δὲ τῶν περιεστηκότων ἤ τινα ἢ οὐδένα οἶδα,
καὶ οὗτοι πάντες οὕτω παρεσκευασμένοι εἰσὶν, ὡς, ἢν
νικῶσιν ὑμᾶς ὠθοῦντες, πρότεροι ἃ βούλονται ὑμῶν παρ'
ἐμοῦ διαπραξόμενοι. Ἐγὼ δὲ ἠξίουν τούτους, εἴ τίς τι
ἐμοῦ δέοιτο, θεραπεύειν ὑμᾶς τοὺς ἐμοὺς φίλους δεομέ-
νους προσαγωγῆς. Ἴσως ἂν οὖν εἴποι τις, τί δῆτα οὐχ 46

πράσσειν] Altorf. πράττειν. recte, puto.

43. Ἐνενοήσατε] Ita Stephanus assentiente Altorf. correxit ἐννοήσατε scripturam Edd. pr. Philelphi et Guelf.

δήπου] Altorf. δήπουθεν—ὁρᾶτε τούτους ἄλλους πλείονας τῶν ἐχθὲς παρόντων.

44. ἐμοῦ] Altorf. omisit: paulo antea ὑφέξει αὐτοῖς Guelf. a prima manu scriptum habet. μικρὸν μέντοι Edd. pr.

ἐμοὶ] Guelf. a prima manu scriptum non habet, μικρὸν μέν τι ὑμῶν continuans, deinde οὐδ' ὁτιοῦν μετέσται. sed corrector ἐμοὶ et posteriore loco μοι supplevit.

45. τινα ἢ οὐδένα οἶδα] Formulam Herodoto familiarem et Æliano egregie illustravit Valckenaer ad Herodot. p. 270. et in hoc Xenophontis loco Canter Nov. Lect. vii. 6. Pro οἶδα margo Steph. cum Altorf. γιγνώσκω præfert.

νικῶσιν] Brodæus ex libris suis νικήσωσι laudat.

πρότεροι] Ita Altorf. pro πρότερον. sequens διαπραξόμενοι Castalio jam recte substituit Juntino et Aldino διαπραξάμενοι.

τούτους] Altorf. τοὺς τοιούτους. Guelf. τούτους τοὺς τοιούτους.

δεομένους] Veram scripturam pro Edd. pr. δεόμενος e libris suis protulit Brodæus, quam servant etiam Bodl. Guelf. Altorf.

οὕτως ἐξ ἀρχῆς παρεσκευασάμην, ἀλλὰ παρεῖχον ἐν τῷ
μέσῳ ἐμαυτόν. Ὅτι τὰ τοῦ πολέμου τοιαῦτα ἐγίγνω-
σκον ὄντα, ὡς μὴ ὑστερίζειν δέον τὸν ἄρχοντα, μήτε τὸ
εἰδέναι, ἃ δεῖ, μήτε τὸ πράττειν, ἃ ἂν καιρὸς ᾖ· τοὺς δὲ
σπανίους ἰδεῖν στρατηγοὺς πολλὰ ἐνόμιζον, ὧν δεῖ πραχ-
47 θῆναι, παριέναι. Νῦν δ᾽ ἐπεὶ καὶ ὁ φιλοπονώτατος
πόλεμος ἀναπέπαυται, δοκεῖ μοι καὶ ἡ ἐμὴ ψυχὴ ἀνα-
παύσεώς τινος ἀξιοῦν τυγχάνειν. Ὡς οὖν ἐμοῦ ἀπο-
ροῦντος, ὅ τι ἂν τύχοιμι ποιῶν, ὥστε καλῶς ἔχειν τά τε
ἡμέτερα καὶ τὰ τῶν ἄλλων, ὧν ἡμᾶς δεῖ ἐπιμελεῖσθαι,
συμβουλευέτω ὅ τι τις ὁρᾷ συμφορώτατον.

Artabazus dum exponit, quibus de rebus ipse adhuc Cyri consuetudine frui non potuerit, summam rerum a Cyro gestarum repetit.

48 Κῦρος μὲν οὕτως εἶπεν· ἀνίσταται δ᾽ ἐπ᾽ αὐτῷ Ἀρτά-
βαζος, ὁ συγγενής ποτε φήσας εἶναι, καὶ εἶπεν, Ἦ κα-
λῶς, ἔφη, ἐποίησας, ὦ Κῦρε, ἄρξας τοῦ λόγου. Ἐγὼ
γὰρ, ἔτι νέου μὲν ὄντος σοῦ πάνυ, ἀρξάμενος ἐπεθύμουν
φίλος γενέσθαι, ὁρῶν δέ σε οὐδὲν δεόμενον ἐμοῦ, κατώ-
49 κνουν σοι προσιέναι. Ἐπεὶ δὲ ἔτυχές ποτε καὶ ἐμοῦ
δεηθεὶς, προθύμως ἐξαγγεῖλαι πρὸς Μήδους τὰ παρὰ
τοῦ Κυαξάρους, ἐλογιζόμην, εἰ ταῦτα προθύμως σοι
συλλάβοιμι, ὡς οἰκεῖός τέ σοι ἐσοίμην, καὶ ἐξέσοιτό μοι,
50 διαλέγεσθαί σοι, ὁπόσον ἂν χρόνον βουλοίμην. Καὶ
ἐκεῖνα μὲν δὴ ἐπράχθη, ὥστε σε ἐπαινεῖν. Μετὰ δὲ
τοῦτο Ὑρκάνιοι μὲν πρῶτοι φίλοι ἡμῖν ἐγένοντο, καὶ

46. ἐν τῷ μέσῳ] Altorf. ἐμαυτὸν ἐν τῷ μέσῳ. deinde τὰ τοῦ πολέμου γιγνώσκω τοιαῦτα, ὡς μή.

τὸ εἰδέναι] Intellige hic et paulo poſt κατὰ vel εἰς. ſed malim cum Stephano τοῦ εἰδέναι ſcribere; huc ducere videtur Altorf. libri τῷ εἰδέναι.

τοὺς δὲ σπανίους] Inepta eſt lectio margo Steph. τὸ δὲ σπανίους.

47. ἐπεὶ καὶ] Ita cum Altorf. ſcripſi pro ἐπειδὴ ὁ φιλ. Ex Guelf. ἐπειδὴ καὶ ὁ φιλ. dedit Zeune.

ὡς οὖν] Altorf. οὖν omittit: ſequens ὅτι τις ex Guelf. duxit Zeune pro vulgato τις, ὅτι ὁρᾷ.

48. τοῦ λόγου] Brodæus τοῦδε τοῦ λόγου ſcribere juſſit, dubium ſua an libri ſcripti auctoritate.

νέου μὲν] Juntina μὲν omiſit.

49. τοῦ Κυαξάρους] Articulum ex Guelf. addidit Zeune.

προθύμως] Ita cum Stephano Hutchinſon et Altorf. Libri ceteri editi et ſcripti πρόθυμος dant, quod revocavit Zeunio præeunte Weiſke.

μάλα πεινῶσι συμμάχων· ὥστε μόνον οὐκ ἐν ταῖς
ἀγκάλαις περιεφέρομεν αὐτοὺς ἀγαπῶντες. Μετὰ δὲ
τοῦτο, ἐπεὶ ἑάλω τὸ πολέμιον στρατόπεδον, οὐκ, οἶμαι,
σχολή σοι ἦν ἀμφ' ἐμὲ ἔχειν· καὶ ἐγώ σοι συνεγίγνω-
σκον. Ἐκ δὲ τούτου Γωβρύας ἡμῖν φίλος ἐγένετο, καὶ 51
ἐγὼ ἔχαιρον· καὶ αὖθις Γαδάτας· καὶ ἤδη ἔργον σου ἦν
μεταλαβεῖν. Ἐπεί γε μέντοι καὶ Σάκαι καὶ Καδού-
σιοι σύμμαχοι ἐγεγένηντο, θεραπεύειν ἔδει τούτους εἰκό-
τως· καὶ γὰρ οὗτοί σε ἐθεράπευον. Ὡς δ' ἤλθομεν 52
πάλιν, ἔνθεν ὡρμήθημεν, ὁρῶν σε ἀμφ' ἵππους ἔχοντα,
ἀμφ' ἅρματα, ἀμφὶ μηχανὰς, ἡγούμην, ἐπεὶ ἀπὸ τού-
του σχολάσαις, τότε σε καὶ ἀμφ' ἐμὲ ἕξειν σχολήν.
Ὥς γε μέντοι ἦλθεν ἡ δεινὴ ἀγγελία, τὸ πάντας ἀνθρώ-
πους ἐφ' ἡμᾶς συλλέγεσθαι, ἐγίγνωσκον, ὅτι ταῦτα
μέγιστα εἴη· εἰ δὲ ταῦτα καλῶς γένοιτο, εὖ ἤδη ἐδόκουν
εἰδέναι, ὅτι πολλὴ ἔσοιτο ἀφθονία τῆς ἐμῆς καὶ τῆς σῆς
συνουσίας. Καὶ νῦν δὴ νενικήκαμέν τε τὴν μεγάλην μά- 53
χην, καὶ Σάρδεις καὶ Κροῖσον ὑποχείριον ἔχομεν, καὶ
Βαβυλῶνα ᾑρήκαμεν, καὶ πάντα κατεστράμμεθα· καὶ
μὰ τὸν Μίθρην ἐγώ τοι ἐχθὲς εἰ μὴ πολλοῖς διεπύ-

50. πεινῶσι] Juntina et Guelf πινῶσι. Eadem Juntina ἀγγάλαις dedit, Altorf. ἀνάγκαις.

μόνον οὐκ] Guelf. μονονοὺ κἂν ταῖς ἀγκάλαις. Altorf. paulo antea φίλοι ἡμῖν φίλοι ἐγένοντο dat.

σχολή σοι ἦν] Ita cum Mureto et Hutchinſono ex Philel. libro, Gabr. et Budenſi Zeune. ὤμην σχολήν σοι εἶναι conjecerat Stephanus. σχολὴ ποιεῖν ἀμφ' ἐμὲ ἔχειν Altorf. qui ſequens καὶ omiſit.

51. καὶ αὖθις] Altorf. καὶ πάλιν. deinde καὶ ἤδη ex eodem libro et margine Steph. poſui pro καὶ δή. Sequens μεταλαβεῖν eſt pro μετέχειν ſect. 54.

Σάκαι] Altorf. τε adjungit: ex eodem vulgatam εἰκότως ἔδει τούτους mutavi.

52. ἀπὸ τούτου] Altorf. ἀπὸ τούτων. recte, ut puto

ὥς γε] Guelf. ὥς τε. ſequens εἰδέναι pro εἶναι Edd. pr. et Guelf. monente Brodæo dedit Stephanus, aſſentiente libro Philel. Camer. Altorf.

53. Σάρδεις] Altorf. Σάρδις. deinde χθὲς dat. πάντα pro πάντας ex libro Philelphi et Guelf. duxit Zeune.

Μίθρην] Ita ſolem Perſæ vocabant. Darius apud Plutarchum Alex. 30. εἰπέ μοι σεβόμενος Μίθρου τε φῶς μέγα καὶ δεξιὰν βασίλειον. Etiam Artaxerxes Plutarchi c. 4. νὴ τὸν Μίθραν jurat, et Cyrus minor Xenophontis Œcon. iv. 24.

κτευσα, οὐκ ἂν ἐδυνάμην σοι προσελθεῖν. Ἐπεί γε μέντοι ἐδεξιώσω με, καὶ παρά σοι ἐκέλευσας μένειν, ἤδη περίβλεπτος ἦν, ὅτι μετὰ σοῦ ἄσιτος καὶ ἄποτος διημέ-
54 ρευον. Νῦν οὖν, εἰ μὲν ἔσται πῃ, ὅπως οἱ πλείστου ἄξιοι γεγενημένοι πλεῖστόν σου μέρος μεθέξομεν· εἰ δὲ μὴ, πάλιν αὖ ἐγὼ ἐθέλω παρὰ σοῦ ἐξαγγέλλειν ἀπιέναι πάντας ἀπὸ σοῦ, πλὴν ἡμῶν τῶν ἐξ ἀρχῆς φίλων.

Chryſantas exſiſtit ſuaſor eorum, quæ Cyrus maxime expetebat.

55 Ἐπὶ τούτῳ ἐγέλασε μὲν ὁ Κῦρος καὶ ἄλλοι πολλοί. Χρυσάντας δὲ ἀνέστη ὁ Πέρσης, καὶ ἔλεξεν ὧδε. Ἀλλὰ τὸ μὲν πρόσθεν, ὦ Κῦρε, εἰκότως ἐν τῷ φανερῷ σαυτὸν παρεῖχες, δι' ἅ τε αὐτὸς εἶπες, καὶ ὅτι οὐχ ἡμᾶς σοι μάλιστα ἦν θεραπευτέον. Ἡμεῖς μὲν γὰρ καὶ ἡμῶν αὐτῶν ἕνεκα παρῆμεν· τὸ δὲ πλῆθος ἀνακτᾶσθαι ἔδει ἐκ παντὸς τρόπου, ὅπως ὅτι ἥδιστα συμπονεῖν καὶ συγ-
56 κινδυνεύειν ἡμῖν ἐθέλοιεν. Νῦν δ', ἐπειδὴ οὐχ οὕτω τρόπου μόνον ἔχεις, ἀλλὰ καὶ ἄλλους ἀνακτᾶσθαι δύνασαι, οὓς καιρὸς εἴη, ἤδη καὶ οἰκίας σε τυχεῖν ἄξιον·

ἐδυνάμην σοι] Ita Altorf. cum libro Brodæi et Guelf. *ἄν σοι* Ald. Steph. omiſit *σοι* Juntina,

ἐδεξιώσω] Ita cum Philel. Budenſis liber, Brodæi, Gabr. Guelf. et Altorf. *ἐξιδιώσω* Edd. pr. et Bodl. quo verbo utitur noſter in Hellenicis ii. 4, 5.

54. *σου μέρος*] Margo Steph. *μοὶ* refert neſcio unde. Poſt *μεθέξομεν* Editio Stephani ex verſione Philelphi et liber Bodl. addunt *εὖ ἔχει*, quæ rectius ex more Atticorum omittuntur, uti jam olim cenſuit Muretus.

55. *ὦ Κῦρε, εἰκότως*] Altorf. *εἰκότως ὦ Κῦρε.* deinde *ἔδει ἀνακτᾶσθαι* cum Guelf.

56. *ἐπειδὴ*] Guelf. *ἐπεὶ οὖν τρόπῳ μόνῳ ἔχεις.* margo dat *ἐπειδὴ οὐχ οὕτω τρόπον μόνον ἔχεις.* Altorf. *ἐπεὶ οὐχ οὕτω τρόπου μόνον ἔχεις, ἀλλὰ καὶ ἄλλους δύνασαι ἀνακτᾶσθαι.* Budenſis *οὐχ οὕτω τρόπον μόνον ἔχεις.* Muretus corrigebat: *ἐπειδὴ οὐ τούτους μόνον ἔχεις.* Brodæus locum interpretatur *quoniam vero non ſolum ita ſentis.* Camerarius: *poſtquam non ſolum tenes modum iſtum:* et in annotatione locum explicat ita: *modum ſeu rationem multitudinis conciliandæ cum jam teneas ſeu conſecutus ſis quod volueris:* Leonclavius vertit: *cum non modo talis ſis:* Zeune: *poſtquam non ſolum hac ſorte frueris* i. e. *hoc es conſecutus ut tanta hominum multitudo tibi ſit dedita.* Weiſke *τρόπον* interpretatur *ingenium, indolem, Cyri humanitatem,* et locum ita vertit: *cum non modo ſumma humanitate adverſus tuos omnes utaris, ſed etiam alios, ſi commodum fuerit, conciliare poſſis.* Quæ quidem poſtremæ interpretationes omnium minime cum loci ſententia et cum verbis græcis congruere videntur. Mihi unice placet Mureti ſententia, quam ſequar, dum libri ſcripti meliorem lectionem obtulerint.

οἰκίας σε] *Poſtquam amicis tuis omnibus* (ſect. 35.) *domus et ἀρχεῖα aſſignaſti, te ipſum nunc etiam decet acquieſcere in palatio aliquo.*

ἢ τί ἀπολαύσαις ἂν τῆς ἀρχῆς, εἰ μόνος ἄμοιρος εἴης ἑστίας, οὗ οὔτε ὁσιώτερον χωρίον ἐν ἀνθρώποις, οὔτε ἥδιον, οὔτε οἰκειότερόν ἐστιν οὐδέν; Ἔπειτα δ', ἔφη, οὐκ ἂν οἴει [καὶ] ἡμᾶς αἰσχύνεσθαι, εἰ σὲ μὲν ὁρῴημεν ἔξω καρτεροῦντα, αὐτοὶ δ' ἐν οἰκίαις εἴημεν, καὶ σοῦ δοκοίημεν πλεονεκτεῖν; Ἐπεὶ δὲ Χρυσάντας ταῦτα ἔλεξε, συνηγό- 57
ρευον αὐτῷ κατὰ ταὐτὰ πολλοί. Ἐκ τούτου δὴ εἰσέρχεται εἰς τὰ βασίλεια, καὶ τὰ ἐκ Σάρδεων χρήματα ἐνταῦθ' οἱ ἄγοντες ἀπέδοσαν. Ἐπεὶ δὲ εἰσῆλθεν ὁ Κῦρος, πρῶτον μὲν Ἑστίᾳ ἔθυσεν, ἔπειτα Διῒ βασιλεῖ, καὶ εἴ τινι ἄλλῳ θεῷ οἱ μάγοι ἐξηγοῦντο.

Ποιήσας δὲ ταῦτα, τὰ ἄλλα ἤδη ἤρχετο διοικεῖν. 58
Ἐννοῶν δὲ τὸ αὐτοῦ πρᾶγμα, ὅτι ἐπιχειροίη μὲν ἄρχειν πολλῶν ἀνθρώπων, παρασκευάζοιτο δὲ οἰκεῖν ἐν πόλει τῇ μεγίστῃ τῶν φανερῶν, αὕτη δὲ οὕτως ἔχοι αὐτῷ, ὡς ἂν πολεμιωτάτη γένοιτο ἀνδρὶ πόλις, ταῦτα δὴ λογιζόμενος, φυλακῆς περὶ τὸ σῶμα ἡγήσατο δεῖσθαι. Γνοὺς δ', 59
ὅτι οὐδαμοῦ ἄνθρωποι εὐχειρωτότεροί εἰσιν, ἢ ἐν σίτοις καὶ

Corporis custodes eligit Cyrus eunuchos.

ἢ τί ἀπολαύσαις] Margo Steph. ἢ ἀπολαύσαις γ' ἂν οὐδὲν nescio unde refert. In Altorf. est ἢ τί ἀπολαύσαιο γ' ἂν οὐδὲν τῆς σῆς ἀρχῆς.

οὗ οὔτε] Libri Brodæi et Altorf. ἧς οὐδέν.

οὐκ ἂν οἴει] Ita cum Stephano Guelf. et Altorf. εἴη Junt. οἴη Ald. sequens καὶ omisit Altorf. equidem ut inutile seclusi.

ὁρῴημεν] Hanc ex margine Steph. lectionem pro ὁρῷμεν recepit Zeune

57. κατὰ ταὐτὰ] Ita cum Philelpho et Camerario Muretus et Zeune; mihi tamen verba hæc duo suspecta, certe supervacua sunt.

Ἑστίᾳ] Nisi mores Græcorum Persis assignavit Xenophon, licebit cum Zeunio de igne sacro Persarum interpretari præeunte Procopio i. 24. ubi de igne isto: τοῦτ' ἐστι τὸ πῦρ, ὅπερ Ἑστίαν ἐκάλουν τε καὶ ἐσέβοντο ἐν τοῖς ἄνω χρόνοις Ῥωμαῖοι.

βασιλεῖ] Regi ipsi deorum et regum tutori. deinde margo Steph. refert lectionem εἴ τινα ἄλλον θεῶν.

58. αὐτοῦ] Edd. pr. et Guelf. αὐτοῦ.

παρασκευάζοιτο] Ita etiam Guelf. sed ex correctione: antea enim παρεσκευάζετο fuit.

ἐν πόλει] Ex Guelf. ἐν τῇ πόλει dedit Zeune.

ὡς ἂν] Guelf. ὡς ἀπολεμωτάτη ἂν γένοιτο sed correctum ὡς ἂν πολεμιωτάτη. Mihi videbatur ὡς ἢ πολεμιωτάτη ἂν γένοιτο ἀνδρὶ commodius legi posse hoc quidem in loco. In Guelf. verba ἀνδρὶ πόλις margo addita habet.

59. εὐχειρωτότεροι] Edd. primæ εὐχειροτώτεροι. Cf. i. 6, 36. Sequens verbum εἰσιν omisit Altorfinus liber.

ποτοῖς καὶ λουτροῖς καὶ κοίτῃ καὶ ὕπνῳ, ἐσκόπει, τίνας
ἂν ἐν τούτοις περὶ ἑαυτὸν πιστοτάτους ἔχοι. Ἐνόμισε
δὲ, μὴ ἂν γενέσθαι ποτὲ πιστὸν ἄνθρωπον, ὅστις ἄλλον
60 μᾶλλον φιλήσει τοῦ τῆς φυλακῆς δεομένου. Τοὺς μὲν
οὖν ἔχοντας παῖδας ἢ γυναῖκας συναρμοζούσας, ἢ παι-
δικὰ, ἔγνω φύσει συνηναγκάσθαι ταῦτα μάλιστα φι-
λεῖν· τοὺς δὲ εὐνούχους ὁρῶν πάντων τούτων στερομένους,
ἡγήσατο τούτους ἂν περὶ πλείστου ποιεῖσθαι, οἵτινες δύ-
νανται πλουτίζειν μάλιστα αὐτοὺς, καὶ βοηθεῖν, εἴ τι
ἀδικοῖντο, καὶ τιμὰς περιάπτειν αὐτοῖς· τούτους δὲ εὐερ-
γετοῦντα ὑπερβάλλειν αὐτὸν οὐδέν' ἂν ἡγεῖτο δύνασθαι.
61 Πρὸς δὲ τούτοις, ἄδοξοι ὄντες οἱ εὐνοῦχοι παρὰ τοῖς ἄλ-
λοις ἀνθρώποις, καὶ διὰ τοῦτο δεσπότου ἐπικούρου προσ-
δέονται· οὐδεὶς γὰρ ἂν ἦν, ὅστις οὐκ ἂν ἀξιώσειεν εὐνού-
χου πλέον ἔχειν ἐν παντὶ, εἰ μή τι ἄλλο κρεῖττον ἀπείρ-
γοι· δεσπότῃ δὲ πιστὸν ὄντα οὐδὲν κωλύει πρωτεύειν καὶ
62 τὸν εὐνοῦχον. Ὃ δ' ἂν μάλιστά τις οἰηθείη, ἀνάλκιδας
τοὺς εὐνούχους γίγνεσθαι, οὐδὲ τοῦτο ἐφαίνετο αὐτῷ.
Ἐτεκμαίρετο δὲ καὶ ἐκ τῶν ἄλλων ζώων, ὅτι οἵ τε ὑβρι-
σταὶ ἵπποι ἐκτεμνόμενοι τοῦ μὲν δάκνειν καὶ ὑβρίζειν
ἀποπαύονται, πολεμικοὶ δὲ οὐδὲν ἧττον γίγνονται· οἵ τε

λουτροῖς] Hoc pro λουτρῷ ex Guelf. et Philel. dedit Zeune.

κοίτῃ] Quoniam sit nimis affinis lectus somno, *coitum* interpretari malebat Weiske.

φιλήσει] Ex Guelf. φιλήσοι dedit Zeune.

60. συναρμοζούσας] Nescio quid incommodi verbum adjunctum soli nomini, γυναῖκας habere mihi videtur: quare abesse malim. γυναῖκα συναρμόζουσαν dat liber Altorfinus.

συνηναγκάσθαι] Guelf. simplex ἠναγκ. præfert. *natura cogente ista omnium maxime amare.* Ita supra vi. 1, 31. ἠναγκάσθη λόγους προσφέρειν περὶ συνηθείας, *amor vehemens eum coegit consuetudinem mulieris verbis petere.*

εὐεργετοῦντα] Ita Bodl. Guelf. cum Edd. εὐεργετοῦντας in Steph. priore, in omnibus Leonclavianis, et Budensi et Altorfino libro. deinde οὐδὲν ἂν Ald. Junt. Bodl. Guelf. sed οὐδένα Philelphi versio, Editio Castal. Bryl. Steph. Equidem ex Isingr. (quæ οὐδένα ἂν habet) Budensi et Altorfino οὐδέν' ἂν restitui, quod ingenium sermonis postulat.

61. οὐδεὶς γὰρ ἂν ἦν] Guelf. ἂν omisit. deinde τις ἄλλος κρείττων Altorf.

62. ἀνάλκιδας τοὺς] Ex Guelf. ante articulum copulam καὶ inseruit Zeune.

τοῦ μὲν δάκνειν] Guelf. τὸ μ. δ. deinde ἀπολιπεῖν habet cum Alt.

ταῦροι ἐκτεμνόμενοι τοῦ μὲν μέγα φρονεῖν καὶ ἀπειθεῖν
ὑφίενται, τοῦ δὲ ἰσχύειν καὶ ἐργάζεσθαι οὐ στερίσκον-
ται· καὶ οἱ κύνες δὲ ὡσαύτως τοῦ μὲν ἀπολείπειν τοὺς
δεσπότας ἀποπαύονται ἐκτεμνόμενοι, φυλάττειν δὲ καὶ
θηρᾶν οὐδὲν κακίους γίγνονται. Καὶ οἵ γε ἄνθρωποι 63
ὡσαύτως ἠρεμέστεροι γίγνονται, στερισκόμενοι ταύτης τῆς
ἐπιθυμίας, οὐ μέντοι ἀμελέστεροί γε τῶν προσταττομέ-
νων, οὐδ' ἧττόν τι ἱππικοὶ, οὐδὲ ἧττόν τι ἀκοντιστικοὶ, οὐδὲ
ἧττόν τι φιλότιμοι. Κατάδηλοι δὲ γίγνονται ἐν τοῖς πο- 64
λέμοις καὶ ἐν ταῖς θήραις, ὅτι ἔσωζον τὸ φιλόνεικον ἐν
ταῖς ψυχαῖς. Τοῦ δὲ πιστοὶ εἶναι, ἐν τῇ φθορᾷ τῶν
δεσποτῶν μάλιστα βάσανον ἐδίδοσαν· οὐδένες γὰρ πιστό-
τερα ἔργα ἀπεδείκνυντο ἐν ταῖς δεσποτικαῖς συμφοραῖς
τῶν εὐνούχων. Εἰ δέ τι ἄρα τῆς τοῦ σώματος ἰσχύος 65
μειοῦσθαι δοκοῦσιν, ὁ σίδηρος ἀνισοῖ τοὺς ἀσθενεῖς τοῖς
ἰσχυροῖς ἐν τῷ πολέμῳ. Ταῦτα δὴ γιγνώσκων, ἀρξά-
μενος ἀπὸ τῶν θυρωρῶν, πάντας τοὺς περὶ τὸ ἑαυτοῦ σῶ-
μα θεραπευτῆρας, ἐποιήσατο εὐνούχους.

καὶ θηρᾶν] Ita ex libro Gabr. adde Altorfinum, dedit Zeune ſuadente H. Stephano. Antea erat καὶ εἰς θήραν. In Guelf. eſt κἂν εἰς θήραν.

63. ἧττον τι ἱππικοὶ] Formam Atticam ex Ald. Junt. Iſingr. Zeune reſtituit, minus Atticam revocavit Weiſke. In Altorfino libro verba γίγνονται—ἀμελέστεροι deſunt, deinde pro ſequente γε ibi legitur τε ſcriptum.

ἧττον τι φιλότιμοι] Ita recte Altorf. monente Fiſchero Animadv. ad Welleri Gramm. ii. p. 142.

64. Κατάδηλοι] Altorf. κατάλληλοι δὲ ἐγίγνοντο. verbi tempus ſpeciem veri habet ob ſequens ἐδίδοσαν, et præfert Fiſcher ad Welleri Grammat. ii. p. 258.

πολέμοις] Hanc Philelphi, libri Budenſis ſcripturam cum Mureto prætulit Zeune; πολεμίοις eſt in Ald. Junt. et reliquis Edd. πολεμικοῖς ex Stephani conjectura habet margo Leoncl. et Steph.

φιλόνεικον] Stephanus φιλόνικον recte præferebat: quamvis Zeunius ex libro viii. 7, 12. φιλονεικίαν ſimili notione comparat.

πιστοὶ εἶναι] Eandem cauſam obiter commemorat Herodotus viii. 105.

βάσανον] i. e. documentum, velut aurum lapidi attritum, dederunt.

ἀπεδείκνυντο] Ita recte Guelf. pro vulgari omnium Edd. ἐπεδ. Sunt autem ἔργα πιστότερα eadem quæ μείζου πίστεως ἔργα.

65. ἀνισοῖ] Ita ſcribi jam olim voluit Brodæus pro ἂν ἰσοῖ. deinde vulgarem ordinem verborum ἐν τῷ πολέμῳ τοῖς ἰσχυροῖς ex Guelf. (addo Altorfinum) mutavit Zeune.

ἀρξάμενος] Ita Budenſis, Altorf. et Guelf. δεξάμενος Philel. Junt. Aldina.

εὐνούχους ἐποιήσατο] Zonaras ἐξίτεμε καὶ εὐνούχους ἐποίησε. quocum Ca-

Satellites regiæ et præſidium urbicum inſtituit.

66 Ἡγησάμενος δὲ οὐχ ἱκανὴν εἶναι τὴν φυλακὴν ταύτην πρὸς τὸ πλῆθος τῶν δυσμενῶς ἐχόντων, ἐσκόπει, τίνας τῶν ἄλλων ἂν πιστοτάτους περὶ τὸ βασίλειον φύλακας
67 λάβοι. Εἰδὼς οὖν Πέρσας τοὺς οἴκοι κακοβιωτάτους μὲν ὄντας διὰ πενίαν, ἐπιπονώτατα δὲ ζῶντας διὰ τὴν τῆς χώρας τραχύτητα, καὶ διὰ τὸ αὐτουργοὺς εἶναι, τούτους ἐνόμισε μάλιστ' ἂν ἀγαπᾷν τὴν παρ' ἑαυτῷ δίαι-
68 ταν. Λαμβάνει οὖν τούτων μυρίους δορυφόρους, οἳ κύκλῳ μὲν νυκτὸς καὶ ἡμέρας ἐφύλαττον περὶ τὰ βασίλεια, ὁπότε ἐπὶ χώρας εἴη· ὁπότε δὲ ἐξίοι που, ἔνθεν καὶ ἔν-
69 θεν τεταγμένοι ἐπορεύοντο. Νομίσας δὲ, καὶ Βαβυλῶνος ὅλης φύλακας δεῖν εἶναι ἱκανοὺς, εἴτ' ἐπιδημῶν αὐτὸς τυγχάνοι, εἴτε καὶ ἀποδημῶν, κατέστησε καὶ ἐν Βαβυλῶνι φρουροὺς ἱκανούς· μισθὸν δὲ καὶ τούτοις Βαβυλωνίους ἔταξε παρέχειν, βουλόμενος αὐτοὺς ὡς ἀμηχανωτάτους εἶναι, ὅπως ὅτι ταπεινότατοι καὶ εὐκαθεκτότατοι εἶεν.

merarius et Philelphus faciunt. *Contra ex eunuchis delegit miniſtros aulæ ſuæ* interpretatur Leonclavius : quam rationem linguæ legibus adverſari dixit Zeune ; primum enim ob articulum τοὺς non minus quam ob ordinem enunciationis ſubjectum eſſe θεραπευτῆρας ; deinde ποιεῖσθαι εὐνούχους nihil aliud ſignificare poſſe niſi εὐνουχίζειν, caſtrare, ut προνομὰς, δίωξιν, μελέτην, ἐξέτασιν, ὑπόμνησιν ποιεῖσθαι pro προνομεύειν etc. At magna eſt differentia phraſium a viro docto poſitarum, ut exemplo vocabulorum cognatorum πόλεμον et πολέμιον manifeſtum fiet, ſi πόλεμον ποιεῖσθαι pro πολεμεῖν, comparaveris cum πολέμιον ποιεῖσθαι, quod non eſt ſimpliciter pro πολεμίζειν, ſed potius *ſibi inimicum reddere*. Recte etiam rationes Zeunii refutavit Weiſke. Eſt igitur *adſcivit eunuchos ad miniſteria omnia aulæ*.

66. ἱκανὴν] Altorf. ἱκανὸν—τῶν ἄλλων αὖ πιστοτάτους ἂν περὶ—λάβοι.

67. τραχύτητα] Compara ſupra i. 3. 2. et 3. Herodoti i. 71. inprimis ix. 122. cum annotatione Valckenarii.

ἐνόμισε] Ita cum Ald. Junt. Iſingr. Steph. Altorfino Zeune pro ἐνόμιζε.

68. ἐπὶ χώρας εἴη] Ita Budenſis liber, quam lectionem in ſecundam editionem recepit etiam Stephanus ; alteram ὁπότε ἔσω ῥαΐσειεν Philelphus vertit : *cum intus otium ageret*, et recepit cum Zeunio Weiſke, nullo tamen ſignificationis ejus poſito alio exemplo. Hujus, utpote formulæ raræ et tropicæ, ſcholion eſſe illam lectionem cum Leonclavio cenſebat Zeune ; at pluribus docet Stephanus in Inquiſ. Autoſched. in errores Leoncl. p. 10. verba ἐπὶ χ. εἴη non eſſe interpretamentum lectionis ἔσω ῥαΐσειεν, imo hanc ex illa ortam eſſe.

69. δεῖν εἶναι ἱκανοὺς] Altorf. δεῖν ἱκανοὺς εἶναι.

τυγχάνοι] Ita cum Guelf. et Steph. Zeune.

Αὕτη μὲν δὴ περὶ αὐτόν τε φυλακὴ καὶ ἡ ἐν Βαβυ- 70
λῶνι τότε κατασταθεῖσα καὶ νῦν ἔτι οὕτως ἔχουσα δια-
μένει. Σκοπῶν δ', ὅπως ἂν καὶ ἡ πᾶσα ἀρχὴ κατέ-
χοιτο, καὶ ἄλλη ἔτι προσγίγνοιτο, ἡγήσατο, τοὺς μὲν
μισθοφόρους τούτους οὐ τοσοῦτον βελτίονας τῶν ὑπηκόων
εἶναι, ὅσον ἐλάττονας· τοὺς δ' ἀγαθοὺς ἄνδρας ἐγίγνω-
σκε συνεκτέον εἶναι, οἵπερ σὺν τοῖς θεοῖς τὸ κρατεῖν παρ-
έσχον, καὶ ἐπιμελητέον, ὅπως μὴ ἀνήσουσι τὴν τῆς ἀρετῆς
ἄσκησιν. Ὅπως δὲ μὴ ἐπιτάττειν αὐτοῖς δοκοίη, ἀλλὰ 71
γνόντες καὶ αὐτοὶ ταῦτα ἄριστα εἶναι, οὕτως ἐμμένοιέν τε
καὶ ἐπιμελοῖντο τῆς ἀρετῆς, συνέλεξε τούς τε ὁμοτίμους,
καὶ πάντας, ὁπόσοι ἐπικαίριοι ἦσαν, καὶ ἀξιοχρεώτατοι
αὐτῷ ἐδόκουν κοινωνοὶ εἶναι καὶ πόνων καὶ ἀγαθῶν.
Ἐπεὶ δὲ συνῆλθον, ἔλεξε τοιάδε· 72
Ἄνδρες φίλοι καὶ σύμμαχοι, τοῖς μὲν θεοῖς μεγίστη
χάρις, ὅτι ἔδοσαν ἡμῖν τυχεῖν, ὧν ἐνομίζομεν ἄξιοι εἶναι.
Νῦν μὲν γὰρ δὴ ἔχομεν καὶ γῆν πολλὴν καὶ ἀγαθὴν,
καὶ οἵτινες ταύτην ἐργαζόμενοι θρέψουσιν ἡμᾶς· ἔχομεν
δὲ καὶ οἰκίας, καὶ ἐν ταύταις κατασκευάς. Καὶ μη- 73
δείς γε ὑμῶν ἔχων ταῦτα νομισάτω ἀλλότρια ἔχειν· νό-
μος γὰρ ἐν πᾶσιν ἀνθρώποις ἀΐδιός ἐστιν, ὅταν πολε-

Cyri oratio ad amicos de disciplina procerum constituenda.

70. *κατασταθεῖσα*] In Guelf. a prima manu scriptum est *κατασχεθεῖσα*; idem deinceps *ἔτι* omittit.

τοὺς μὲν μισθοφόρους] Ex lectione Brodæi et interpretatione Camerarii *μὲν* recte adscivit Zeune, quod præbet etiam Altorfinus. *τούτους* refer ad Persas in satellitium et custodiam Babylonis adscitos.

οἵπερ σὺν] Altorf. *εἴπερ σύν*.

μὴ ἀνήσουσι] Hanc lectionem libri Budensis (ubi tamen *ἀνήσωσι* exstat) cum Mureto recte prætulit Zeune antiquarum Edd. scripturæ *μηνύσωσι*; quam scripturam servat Altorfinus liber. Ex versione Philelphi *ut perficerent exercitationem virtutis* lectionem *ὅπως ἀνύσωσι* in marginem suæ primæ Leoncl. retulit. *ἀνύσωσι* probarunt etiam Steph. et Leoncl. ille tamen *ἀνῶσι* maluit scribi. Ita infra sect. 75. est *ἀνῇ τὴν ἄσκησιν*.

71. *ἐπιτάττειν*] Edd. pr. *ἐπιτάσσειν*. deinde *ἄριστοι* Ald. et Steph.

ἐμμένοιεν] Ald. Bodl. Guelf. Altorf. *συμμένοιεν*.

ἀξιοχρεώτατοι] Libri Brodæi et margo Steph. *ἀξιολογιώτατοι*. deinde *ἐδόκουν αὐτῷ* Guelf.

72. *ἔδοσαν ἡμῖν*] Altorf. *ἡμῖν ἔδοσαν* —*ἔχομεν καὶ πόλιν ἀγαθὴν καὶ οἵτινες*.

73. *ἀλλότρια*] Guelf. cum Edd. pr. *ἀλλοτρίαν*.

μούντων πόλις ἁλῷ, τῶν ἑλόντων εἶναι καὶ τὰ σώματα τῶν ἐν τῇ πόλει καὶ τὰ χρήματα. Οὔκουν ἀδικίᾳ γε ἕξετε, ὅ τι ἂν ἔχητε, ἀλλὰ φιλανθρωπίᾳ οὐκ ἀφαιρή-
74 σεσθε, ἤν τι ἐᾶτε ἔχειν αὐτούς. Τὸ μέντοι ἐκ τοῦδε οὕτως ἐγὼ γιγνώσκω, ὅτι, εἰ μὲν τρεψόμεθα ἐπὶ ῥᾳδιουργίαν καὶ τὴν τῶν κακῶν ἀνθρώπων ἡδυπάθειαν (οἳ νομίζουσι τὸ μὲν πονεῖν ἀθλιώτατον, τὸ δὲ ἀπόνως βιοτεύειν ἡδυπάθειαν) ταχὺ ἡμᾶς φημὶ ὀλίγου ἀξίους ἡμῖν αὐτοῖς ἔσεσθαι, καὶ ταχὺ πάντων τῶν ἀγαθῶν στερήσεσθαι.
75 Οὐ γάρ τοι τὸ ἀγαθοὺς ἄνδρας γενέσθαι, τοῦτο ἀρκεῖ, ὥστε καὶ διατελεῖν ὄντας ἀγαθούς, ἤν μή τις αὐτοῦ διὰ τέλους ἐπιμελῆται· ἀλλὰ ὥσπερ καὶ αἱ ἄλλαι τέχναι ἀμεληθεῖσαι μείονος ἄξιαι γίγνονται, καὶ τὰ σώματά γε αὐτὰ εὖ ἔχοντα, ὁπόταν τις αὐτὰ ἀνῇ ἐπὶ ῥᾳδιουργίαν, πονήρως πάλιν ἔχει· οὕτω καὶ ἡ σωφροσύνη καὶ ἡ ἐγκράτεια καὶ ἡ ἀλκή, ὁπόταν τις αὐτῶν ἀνῇ τὴν ἄσκη-
76 σιν, ἐκ τούτου εἰς τὴν πονηρίαν πάλιν τρέπεται. Οὔκουν δεῖ μέλλειν, οὐδ' ἐπὶ τὸ αὐτίκα ἡδὺ προϊέναι αὐτούς. Μέγα μὲν γάρ, οἶμαι, ἔργον καὶ τὸ ἀρχὴν καταπρᾶξαι, πολὺ δ' ἔτι μεῖζον, τὸ λαβόντα διασώσασθαι. Τὸ

ὅ τι ἂν ἔχητε] Ita cum Guelf. et Altorfino ſcripſi pro ἔχοιτε, ſuadente linguæ uſu. Idem Altorf. paulo antea Οὔκουν οὐκ ἀδικίᾳ dat, ut margo Steph.

74. τρεψόμεθα] Guelf. προτρεψόμεθα. deinde ἀθλιότητα Altorf.

75. οὐ γάρ τοι] Edd. pr. οὐ γάρ τι. Altorf. τοι omittit. deinde verba ὄντας ἀγαθοὺς in Guelf. margine leguntur adſcripta. poſtea ἐπιμέληται Altorf. ἐπιμελεῖται Guelf.

αἱ ἄλλαι] Guelf. cum Altorfino libro αἱ omiſit.

σώματά γε] Altorf. σώματά γε τὰ εὖ ἔχοντα ὅτ' ἂν τις—πονηρῶς. Guelf. deinde a prima manu ῥᾳδιουργία habet ſcriptum. Mihi γε poſt σώματα diſplicet, et in δὲ mutandum videtur.

ὁπόταν τις αὐτῶν] Altorf. ὅτ' ἂν τις αὐτῶν—εἰς πονηρίαν.

76. δεῖ μέλλειν] Liber Gabr. Altorf. et Philelphi ἀμελεῖν, Guelf. μέλλειν. Cf. ſupra ſect. 25.

προϊέναι αὐτοὺς] Guelf. omiſit, quod Zeune ſecluſit pronomen αὐτούς, quoniam προϊέναι nunquam aliter dicatur niſi ſenſu procedendi, progrediendi. Mihi προΐεσθαι ſcribendum videtur, fere ut Anabaſ. v. 8, 14. προϊέμενον ἑαυτὸν τοῖς πολεμίοις.

οἶμαι, ἔργον] Altorf. ἔργον οἶμαι εἶναι καὶ τὸ ἀρχήν. Budenſis ἔργον καὶ δὲ χρῆν καταπρᾶξαι. Margo Steph. τὸ ἔχειν refert. καταπρᾶξαι hic et ſect. 80. eſſe pro καταπράξασθαι monuit Weiſke.

μὲν γὰρ λαβεῖν πολλάκις τῷ τόλμαν μόνον παρασχομένῳ
ἐγένετο· τὸ δὲ λαβόντα κατέχειν, οὐκέτι τοῦτο ἄνευ σωφρο-
σύνης, οὐδ᾽ ἄνευ ἐγκρατείας, οὐδ᾽ ἄνευ πολλῆς ἐπιμελείας
γίγνεται. Ἃ χρὴ γιγνώσκοντας, νῦν πολὺ μᾶλλον ἀσκεῖν 77
τὴν ἀρετὴν, ἢ πρὶν τάδε τἀγαθὰ κτήσασθαι· εὖ εἰδότας,
ὅτι, ὅταν πλεῖστά τις ἔχῃ, τότε πλεῖστοι καὶ φθονοῦσι
καὶ ἐπιβουλεύουσι καὶ πολέμιοι γίγνονται, ἄλλως τε κἂν
παρ᾽ ἀκόντων τά τε κτήματα καὶ τὴν θεραπείαν, ὥσπερ
ἡμεῖς, ἔχῃ. Τοὺς μὲν οὖν θεοὺς οἴεσθαι χρὴ σὺν ἡμῖν
ἔσεσθαι· οὐ γὰρ ἐπιβουλεύσαντες ἀδίκως ταῦτα ἔχο-
μεν, ἀλλ᾽ ἐπιβουλευθέντες ἐτιμωρησάμεθα. Τὸ μέντοι 78
μετὰ τοῦτο κράτιστον ἡμῖν αὐτοῖς παρασκευαστέον· τοῦτο
δέ ἐστι, τὸ βελτίονας ὄντας τῶν ἀρχομένων, ἄρχειν
ἀξιοῦν. Θάλπους μὲν οὖν καὶ ψύχους καὶ σίτων καὶ
ποτῶν καὶ πόνων καὶ ὕπνου ἀνάγκη καὶ τοῖς δούλοις
μεταδιδόναι· μεταδιδόντας γε μέντοι πειρᾶσθαι δεῖ ἐν
τούτοις πρῶτον βελτίονας αὐτῶν φαίνεσθαι. Πολεμι- 79
κῆς δὲ ἐπιστήμης καὶ μελέτης παντάπασιν οὐ μεταδο-
τέον τούτοις, οὕστινας ἐργάτας τε ἡμετέρους καὶ δασμο-
φόρους βουλόμεθα καταστήσασθαι, ἀλλ᾽ αὐτοὺς δεῖ
τούτοις τοῖς ἀσκήμασι πλεονεκτεῖν, γιγνώσκοντας, ὅτι
ἐλευθερίας ταῦτα ὄργανα καὶ εὐδαιμονίας οἱ θεοὶ τοῖς
ἀνθρώποις ἀπέδειξαν· καὶ ὥσπερ γε ἐκείνους τὰ ὅπλα
ἀφῃρήμεθα, οὕτως ἡμᾶς αὐτοὺς δεῖ μὴ τῶν ὅπλων ποτ᾽

πολλάκις τῷ τόλμαν] Altorf. εἰ τὸ τολμᾷν μόνον παράσχομεν. ubi saltem παράσχοιμεν scribendum erat.

77. γιγνώσκοντας] Guelf. γιγνώσκοντα, deinde πλεῖστοι τούτῳ καὶ φθονοῦσι—ἄλλως τε καὶ ἂν παρ᾽ ἀκόντων—ἔχει.

ταῦτα ἔχομεν] Edd. pr. Guelf. et Altorf. ταῦτα omittunt: τούτους inseri voluit Brodæus. Cum Stephano facit Philel. et Altorf.

79. πολεμικῆς] Hæc fuit Lacedæmoniorum disciplina, uti refert noster de Republ. Laced. vii. 2. xii. 4. Compara etiam de Lydis Herodotum i. 155.

καταστήσασθαι] Ita cum margine Steph. et Guelf. Zeune; antiquum κτήσασθαι revocavit Weiske. Copulam τε post ἡμετέρους idem Guelf. omisit.

μὴ τῶν ὅπλων ποτ᾽ ἐρήμους] Guelf. et Altorf. μήποτ᾽ ἐρήμους ὅπλων.

ἐρήμους γίγνεσθαι, εὖ εἰδότας, ὅτι τοῖς ἀεὶ ἐγγυτάτω
τῶν ὅπλων οὖσι, τούτοις καὶ οἰκειότατά ἐστιν, ἃ ἂν βού-
80 λωνται. Εἰ δέ τις τοιαῦτα ἐννοεῖται, τί δῆτα ἡμῖν ὄφε-
λος καταπρᾶξαι, ἃ ἐπεθυμοῦμεν, εἰ ἔτι δεήσει καρτερεῖν
καὶ πεινῶντας καὶ διψῶντας καὶ πονοῦντας καὶ ἐπιμε-
λομένους; ἐκεῖνο δεῖ καταμαθεῖν, ὅτι τοσούτῳ τἀγαθὰ
μᾶλλον εὐφραίνει, ὅσῳ ἂν μᾶλλον προπονήσας τις ἐπ'
αὐτὰ ἀπίοι· (οἱ γὰρ πόνοι ὄψον τοῖς ἀγαθοῖς) ἄνευ δὲ
τοῦ δεόμενον τυγχάνειν τινὸς, οὐδὲν οὕτω πολυτελῶς παρα-
81 σκευασθείη ἂν, ὥσθ' ἡδὺ εἶναι. Εἰ δὲ, ὧν μὲν μάλιστα
ἄνθρωποι ἐπιθυμοῦσιν, ὁ δαίμων ἡμῖν ταῦτα συμπαρε-
σκεύακεν, ὡς δ' ἂν ἥδιστα ταῦτα φαίνοιτο, αὐτός τις
αὑτῷ ταῦτα παρασκευάσει, ὁ τοιοῦτος ἀνὴρ τοσούτῳ πλεο-
νεκτήσει τῶν ἐνδεεστέρων βίου, ὅσῳ πεινήσας τῶν ἡδίστων
σίτων τεύξεται, καὶ διψήσας τῶν ἡδίστων ποτῶν ἀπο-
λαύσεται, καὶ δεηθεὶς ἀναπαύσεως, ἥδιστον ἀναπαύσε-
82 ται. Ὧν ἕνεκα φημὶ χρῆναι νῦν ἐπιταθῆναι ἡμᾶς εἰς
ἀνδραγαθίαν, ὅπως τῶν τε ἀγαθῶν, ᾗ ἄριστον καὶ ἥδι-
στον, ἀπολαύσωμεν, καὶ ὅπως τοῦ πάντων χαλεπωτάτου
ἄπειροι γενώμεθα. Οὐ γὰρ τὸ μὴ λαβεῖν τὰ ἀγαθὰ
οὕτω χαλεπὸν, ὥσπερ τὸ λαβόντα στερηθῆναι, λυπηρόν.
83 Ἐννοήσατε δὲ κἀκεῖνο, τίνα πρόφασιν ἔχοντες ἂν προσιέ-
μεθα κακίονες, ἢ πρόσθεν, γενέσθαι. Πότερον ὅτι ἀρ-

80. τοιαῦτα] Quin ipſa hæc cogitans, ergo ταῦτα. deinde ἐπιθυμοῦμεν Guelf. poſtea εἴ τι δεήσει Altorf.

πονοῦντας καὶ ἐπιμελ.] Hoc ordine Guelf. et Altorf. ἐπιμ. καὶ πον. vulgo. Guelf. tamen ἐπιμελουμένους habet.

ἀπίοι] Margo Steph. ἴοι dat, quod præferam ſcripturæ Altorfinæ εἴη.

δεόμενον] Altorf. δεομένους.

81. ὧν μὲν μάλιστα] Guelf. ὧν μάλιστα μέν. deinde ὧν δ' ἂν ἥδιστα Altorf.

παρασκευάσει] Edd. pr. παρασκευάσοι. Mihi utrumque tempus diſplicet.

ὅσῳ πεινήσας] Guelf. a prima manu ὡς πεινάσας ſcriptum habet. ὡς ὁ πεινήσας Altorf. deinde idem Altorf. δεηθεὶς ἀναπαύεσθαι.

82. ὥσπερ τὸ] Altorf. ὡς τό. deinde οὕτω γε χαλεπὸν ex Guelf. dedit Zeune.

83. προσιέμεθα] Ex libris Brodæi et Altorfino προειλόμεθα ſcripſit Stephanus, quod poſtrema Editio Leoncl. in προελόμεθα, Welſiana Lipſiæ repetita in προελοίμεθα mutavit.

χομεν; Ἀλλ᾽ οὐ δήπου τὸν ἄρχοντα τῶν ἀρχομένων πο-
νηρότερον προσήκει εἶναι. Ἀλλ᾽ ὅτι εὐδαιμονέστεροι δοκοῦ-
μεν νῦν, ἢ πρότερον, εἶναι; Ἔπειτα τῇ εὐδαιμονίᾳ φήσει
τις τὴν κακίαν ἐπιπρέπειν; Ἀλλ᾽ ὅτι, ἐπεὶ κεκτήμεθα
δούλους, τούτους κολάσομεν, ἢν πονηροὶ ὦσι; Καὶ τί
προσήκει, αὐτὸν ὄντα πονηρὸν πονηρίας ἕνεκα ἢ βλακείας
ἄλλους κολάζειν; Ἐννοεῖτε δὲ ἔτι καὶ τοῦτο, ὅτι τρέφειν 84
μὲν παρεσκευάσμεθα πολλοὺς καὶ τῶν ἡμετέρων οἴκων
φύλακας καὶ τῶν σωμάτων· αἰσχρὸν δὲ πῶς οὐκ ἂν
εἴη, εἰ δι᾽ ἄλλους μὲν δορυφόρους τῆς σωτηρίας οἰησόμεθα
χρῆναι τυγχάνειν, αὐτοὶ δὲ ἡμῖν αὐτοῖς οὐ δορυφορήσομεν;
Καὶ μὴν εὖ γε δεῖ εἰδέναι, ὅτι οὐκ ἔστιν ἄλλη φυλακὴ
τοιαύτη, οἵα αὐτόν τινα καλὸν κἀγαθὸν ὑπάρχειν· τοῦτο
γὰρ δεῖ συμπαρομαρτεῖν· τῷ δὲ ἀρετῆς ἐρήμῳ οὐδὲ ἄλλο
καλῶς ἔχειν οὐδὲν προσήκει. Τί οὖν φημι χρῆναι ποιεῖν, 85
καὶ ποῦ τὴν ἀρετὴν ἀσκεῖν, καὶ ποῦ τὴν μελέτην ποιεῖ-
σθαι; Οὐδὲν καινὸν, ὦ ἄνδρες, ἐρῶ· ἀλλ᾽ ὥσπερ ἐν
Πέρσαις ἐπὶ τοῖς ἀρχείοις οἱ ὁμότιμοι διάγουσιν, οὕτω
καὶ ἡμᾶς φημὶ χρῆναι ἐνθάδε ὄντας τοὺς ὁμοτίμους

ἐπιπρέπειν] Ita cum Castalione Muretus Hutchinson et Zeune, assentiente Altorf. Vulgo erat ἐπιτρέπειν. Altorfinus paulo antea τίς φησὶ dat.

πονηρίας ἕνεκα] Guelf. πον. ἕνεκεν habet.

84. ἔτι καὶ τοῦτο] Edd. pr. ἐννοεῖτε δὲ καί. Brodæus ἔτι καὶ τοῦτο e libris suis posuit. ἐννοεῖται δὲ τοῦτο a prima manu Guelf. sed corrector ἐννοεῖτε dedit.

καὶ τῶν ἡμετέρων] Altorf. liber καὶ τῶν οἰκιῶν τῶν ἡμετέρων, quæ mihi elegantior scriptura videtur.

αἰσχρὸν] Guelf. cum Philel. Junt. Ald. αἴσχιον.

εἰ δι᾽ ἄλλους] Ita liber Gabr. ceteri omnes εἰ δὴ ἄλλους, quod qui defendunt, saltem ἡμῖν adjungere debebant. deinde χρῆν Guelf. postea δορυφορήσωμεν Altorf.

γὰρ δεῖ] Margo Steph. γὰρ δὴ συμπαρομαρτεῖ nescio unde refert. Altorfinus liber solum δὴ præfert.

οὐδὲ ἄλλο] Guelf. οὐδὲν ἄλλο. Altorf. οὐδὲν ἄλλῳ.

85. ποῦ τὴν] Altorf. καὶ ποῖ. deinde καινὸν, ἄνδρες, Guelf.

ἐπὶ τοῖς ἀρχείοις] Cf. i. 2, 4. seqq. Qui hic sunt ὁμότιμοι, iidem in Anabasi i. 9, 2. ἄριστοι vocantur, ubi eadem narratio est de pueris Persarum nobilium.

ἡμᾶς—ὁμοτίμους] Ex Guelf. ὑμᾶς ἐντίμους ut viii. 1, 6. prætulit Zeune; ὑμᾶς etiam Junt. Philel. et Altorf. Verum hoc loco se ceteris Persis æquiparans Cyrus deinde distinguit ὑμᾶς γε—ἐγώ τε. Pro πάντας Stephanus πάντα scriptum malebat; recte, puto.

πάντας ἅπερ καὶ ἐκεῖ ἐπιτηδεύειν, καὶ ὑμᾶς γε ἐμὲ ὁρῶντας κατανοεῖν παρόντας, εἰ ἐπιμελόμενος, ὧν δεῖ, διάξω· ἐγώ τε ὑμᾶς κατανοῶν θεάσομαι, καὶ οὓς ἂν ὁρῶ τὰ καλὰ καὶ τὰ ἀγαθὰ ἐπιτηδεύοντας, τούτους τι-
86 μήσω. Καὶ τοὺς παῖδας δὲ, οἳ ἂν ἡμῖν γίγνωνται, ἐνθάδε παιδεύωμεν· αὐτοί τε γὰρ βελτίονες ἐσόμεθα, βουλόμενοι τοῖς παισὶν ὡς βέλτιστα παραδείγματα ἡμᾶς αὐτοὺς παρέχειν· οἵ τε παῖδες, οὐδ᾽ ἂν εἰ βούλοιντο, ῥᾳδίως πονηροὶ γένοιντο, αἰσχρὸν μὲν μηδὲν μήτε ὁρῶντες μήτε ἀκούοντες, ἐν δὲ καλοῖς κἀγαθοῖς ἐπιτηδεύμασι διημερεύοντες.

ὑμᾶς γε] Altorf. ὑμᾶς τε, quod ipſum ſcriptum malebat Weiſke. deinde ἐμοὶ ὁρῶντας a prima manu Guelf.

δεῖ, διάξω] Edd. pr. δεῖ, διδάξω. quæ varietas in margine Guelf. annotata eſt.

ἂν ὁρῶ] Libri Brodæi ἂν εὕρω; Altorf. ἂν omiſſo τὰ καλὰ κἀγαθά. Guelf. καὶ τἀγαθά.

86. οἳ ἂν ἡμῖν] Guelf. a prima manu ſcriptum habet οἷς ἂν ἡμῶν.

παιδεύωμεν] Edd. pr. παιδεύομεν, (quod a ſecunda manu eſt etiam in Altorf. ſcriptum) correxit Brodæus, Caſtalio et Leonclaviana 3.

αὐτοί τε γὰρ] Ita cum Guelf. et Philel. Zeune. antea τε aberat; Altorf. γὰρ omiſit et τε inſeruit ejus in locum.

γένοιντο] Guelf. γίγνοιντο. deinde καὶ ἀγαθοῖς Altorf. Pro οἵ τε παῖδες Junt. Ald. ὅτε παῖδες, Iſingr. ὅτι παῖδες, quod vitium correxit Brodæus.

ΞΕΝΟΦΩΝΤΟΣ

ΚΥΡΟΥ ΠΑΙΔΕΙΑΣ Η΄.

CAP. I.

Chryſantas aſſentitur Cyro, et perſuadet aliis obſervantiam cultumque regis.

ΚΥΡΟΣ μὲν οὖν οὕτως εἶπεν· ἀνέστη δὲ ἐπ' αὐτῷ Χρυσάντας, καὶ εἶπεν ὧδε· Ἀλλὰ πολλάκις μὲν δὴ, ὦ ἄνδρες, καὶ ἄλλοτε κατενόησα, ὅτι ἄρχων ἀγαθὸς οὐδὲν διαφέρει πατρὸς ἀγαθοῦ. Οἵ τε γὰρ πατέρες προνοοῦσι τῶν παίδων, ὅπως μήποτε αὐτοὺς τἀγαθὰ ἐπιλείψει, Κῦρός τέ μοι δοκεῖ νῦν συμβουλεύειν ἡμῖν, ἀφ' ὧν μάλιστ' ἂν εὐδαιμονοῦντες διατελοίημεν. Ὃ δέ μοι δοκεῖ 2 ἐνδεέστερον, ἢ ὡς ἐχρῆν, δηλῶσαι, τοῦτο ἐγὼ πειράσομαι τοὺς μὴ εἰδότας διδάξαι. Ἐννοήσατε γὰρ δὴ, τίς ἂν πόλις πολεμία ὑπὸ μὴ πειθομένων ἁλοίη; τίς δὲ ἂν φιλία ὑπὸ μὴ πειθομένων διαφυλαχθείη; ποῖον δὲ ἂν ἀπειθούντων στράτευμα νίκης τύχοι; πῶς δὲ ἂν μᾶλλον ἐν μάχαις ἡττῷντο ἄνθρωποι, ἢ ἐπειδὰν ἄρξωνται ἰδίᾳ ἕκαστος περὶ τῆς αὐτοῦ σωτηρίας βουλεύεσθαι; τί δὲ ἂν ἄλλο ἀγαθὸν τελεσθείη ὑπὸ τῶν μὴ πειθομέ-

1. ἐπιλείψει] ἐπιλείψῃ Junt. Altorf. et Stobæus.

μάλιστ' ἂν] Stob. ἂν μάλιστα, ex quo vulgatum διατελοῖμεν mutavit Zeune. ἂν omiſit Altorf.

2. ἐχρῆν] Altorf. χρή. deinde ἐννοήσατε γὰρ, ἔφη. vere, ut puto.

τίς δ' ἂν] ἤ τις δ' ἂν Stob. deinde idem habet διαρκεσθείη in margine vulgatum. poſtea habet ἀπειθοῦν Stob. ἡττῶνται ἐν ταῖς μάχαις idem. ἡττῶνται etiam J. A. Iſ margg. St. πῶς δὲ ἄλλως ἂν μᾶλλον Brodæus ex aliis Codd. affert: unde margg. Steph. Leoncl. m. Lond. πῶς δ' ἄλλως μᾶλλον. Altorf. πῶς δ' ἄλλως μᾶλλον ἡττῶνται ἐν μάχαις.

τῆς αὐτοῦ] Guelf. cum Altorf. αὐτοῦ, Stob. τῆς αὐτοῦ omittit, ſed margo Steph. π. τῆς αὐτοῦ. Paulo antea Guelf. ἄρξονται, Weiſke ἄρχονται.

τῶν μὴ] τῶν omittit Stob. Altorf.

νων τοῖς κρείττοσι; ποῖαι δὲ πόλεις νομίμως ἂν οἰκή-
σειαν; ἢ ποῖοι οἶκοι σωθείησαν; πῶς δ' ἂν νῆες, ὅποι
3 δεῖ, ἀφίκοιντο; Ἡμεῖς δὲ, ἃ νῦν ἀγαθὰ ἔχομεν, διὰ τί
ἄλλο μᾶλλον κατεπράξαμεν, ἢ διὰ τὸ πείθεσθαι τῷ
ἄρχοντι; Διὰ τοῦτο γὰρ καὶ νυκτὸς καὶ ἡμέρας ταχὺ
μὲν, ὅποι ἔδει, παρεγιγνόμεθα, ἀθρόοι τε τῷ ἄρχοντι
ἑπόμενοι, ἀνυπόστατοι ἦμεν, τῶν δ' ἐπιταχθέντων οὐδὲν
ἡμιτελὲς κατελείπομεν. Εἰ τοίνυν μέγιστον ἀγαθὸν τὸ
πειθαρχεῖν φαίνεται εἰς τὸ καταπράττειν τἀγαθὰ, εὖ
ἴστε, ὅτι τὸ αὐτὸ τοῦτο καὶ εἰς τὸ διασώζειν, ἃ δεῖ, μέ-
4 γιστον ἀγαθόν ἐστι. Καὶ πρόσθεν μὲν δὴ πολλοὶ ἡμῶν
ἦρχον οὐδενὸς, ἤρχοντο δέ· νῦν δὲ κατεσκεύασθε οὕτω
πάντες οἱ παρόντες, ὥστε ἄρχετε οἱ μὲν πλειόνων, οἱ δὲ
μειόνων. Ὥσπερ τοίνυν αὐτοὶ ἀξιώσετε ἄρχειν τῶν ὑφ'
ὑμῖν, οὕτω καὶ αὐτοὶ πειθώμεθα, οἷς ἂν ἡμῖν καθήκοι.
Τοσοῦτον δὲ διαφέρειν ἡμᾶς δεῖ τῶν δούλων, ὅσον οἱ μὲν

et Guelf. hic etiam τοῖς κρείττοσι: correctum tamen utrumque.

οἰκήσειαν] Ita J. A. Is. Steph. Leoncl. Lond. Welf. Stob. Guelf. Altorf. Margo Lond. οἰκηθεῖεν f. οἰκηθείησαν. Stephanus, et cum eo Hutchinson probabat passivum, quod fuit in Philel. libris. Quod Weiskius nec membrorum rationem (concinnitatem, credo, dicere voluit) nec usum Xenophontis commode admittere ait lectionem οἰκήσειαν, in eo fallitur. Usum certe approbabunt loca Hellenicorum iv. 8, 5. vii. 5, 5. Et Leonclavius in Mem. i. 2, 64. ἢ πόλεις τε καὶ οἶκοι εὖ οἰκοῦσι malebat scribi, ubi nunc οἴκους est. Sunt etiam Platonis loca multa similia, veluti Polit. iv. pag. 329. ὁρᾷς ὅτι πᾶσαν ἄρδην πόλιν ἀπολλύουσιν, ἂν τοῦ εὖ οἰκεῖν καὶ εὐδαιμονεῖν μόνοι τὸν καιρὸν ἔχωσιν. et p. 335. ὡς ἂν ἡ πόλις σοι οἰκῇ σωφρόνως.

ἢ ποῖοι οἶκοι] Stob. et Altorf. ποῖοι δ' οἶκοι omisso ἢ.

3. Ἡμεῖς δὲ ἃ] Margo Guelf. Steph. Leoncl. δ' ἅ. Sequens ἔχομεν ἀγαθὰ ordine mutato ex Stobæo dedit Zeune, cum quo facit Altorf.

ὅποι] Altorf. ὅπου.

κατελείπομεν] Guelf.—λίπομεν.

τἀγαθὰ] τὰ ἀγαθὰ Stob. Guelf. Altorf.

εὖ ἴστε] οὕτως εὖ ἴστε Guelf. ut Philelphi libri, J. A. Is. οὕτως omittit Stob. et Altorf. probante Stephano; unde Eton. Lond. et Hutchins. omiserunt.

τὸ αὐτὸ] Articulum ex Stobæo addidi.

4. μὲν δὴ] Ex vulgata scriptura ante Zeunium μὲν δὴ πολλοὶ ἡμῶν ἦρχον, οὐδενὸς δ' ἤρχομεν revocavi μὲν omissum etiam in Guelf. a Zeunio post ἦρχον positum a Weiskio omissum, qui Zeunii tamen lectionem sequebatur. Gabrielii lectionem et Altorf. ἦρχον μὲν οὐδενὸς, ἤρχοντο δὲ probabat etiam Steph. et sequentia πάντες οἱ παρόντες—ἄρχετε sane eam postulare quasi videntur.

ἡμῖν καθήκοι] Guelf. ἡμᾶς καθήκει. Altorf. οἷς ἂν καὶ ἡμᾶς καθήκοι, non inepte.

ἡμᾶς δεῖ] Guelf. pronomen omittit.

δοῦλοι ἄκοντες τοῖς δεσπόταις ὑπηρετοῦσιν· ἡμᾶς δὲ, εἴπερ ἀξιοῦμεν ἐλεύθεροι εἶναι, ἑκόντας δεῖ ποιεῖν, ὅ τι πλείστου ἄξιον φαίνεται εἶναι. Εὑρήσετε δὲ, ἔφη, καὶ ἔνθα ἄνευ μοναρχίας πόλις οἰκεῖται, τὴν μάλιστα τοῖς ἄρχουσιν ἐθέλουσαν πείθεσθαι, ταύτην ἥκιστα τῶν πο-
λεμίων ἀναγκαζομένην ὑπακούειν. Παρῶμέν τε οὖν, 5
ὥσπερ Κῦρος κελεύει, ἐπὶ τόδε τὸ ἀρχεῖον, ἀσκῶμέν τε, δι' ὧν μάλιστα δυνησόμεθα κατέχειν, ἃ δεῖ, παρέχωμέν τε ἡμᾶς αὐτοὺς χρῆσθαι Κύρῳ, ὅ τι ἂν δέῃ. Καὶ τοῦτο γὰρ εὖ εἰδέναι χρὴ, ὅτι οὐ μὴ δύνηται Κῦρος εὑρεῖν, ὅ τι αὐτῷ μὲν ἐπ' ἀγαθῷ χρήσεται, ἡμῖν δὲ οὔ· ἐπείπερ τά γε αὐτὰ ἡμῖν συμφέρει, καὶ οἱ αὐτοί εἰσιν ἡμῖν πολέμιοι.

Ἐπεὶ δὲ ταῦτα εἶπε Χρυσάντας, οὕτω δὴ καὶ ἄλλοι 6
ἀνίσταντο πολλοὶ καὶ Περσῶν καὶ τῶν συμμάχων συνεροῦντες· καὶ ἔδοξε τοὺς ἐντίμους ἀεὶ παρεῖναι ἐπὶ θύρας, καὶ παρέχειν αὐτοὺς χρῆσθαι, ὅ τι βούληται, ἕως ἂν ἀφίῃ Κῦρος. Ὡς δὲ τότε ἔδοξεν, οὕτω καὶ νῦν ἔτι ποιοῦσιν οἱ κατὰ τὴν Ἀσίαν ὑπὸ βασιλεῖ ὄντες, θεραπεύουσί
τε τὰς τῶν ἀρχόντων θύρας. Ὅσα δ' ἐν τῷ λόγῳ δεδή- 7

ὅ τι πλείστου] Guelf. ὅ. Altorf. ὃ πλείστου φαίνεται ἄξιον omisso εἶναι. deinceps πόλεις οἰκοῦνται alicunde annotavit Steph.

ἥκιστα] Guelf. οὐ μάλιστα margo γρ. ἥκιστα. Brodæus ὑπὸ τῶν πολεμίων malebat legi.

5. ἃ δεῖ] Altorf. ἃ δεῖν, παρέχομεν.

δύνηται] Guelf. δυνήσεται, quod ut exquisitius reposuit Zeune. χρῆται deinde Altorf. et τὰ αὐτὰ omisso γε. Postea Guelf. συμφέρει habet.

6. καὶ ἄλλοι] Junt. et Altorf. καὶ οἱ ἄλλοι, quod revocavit Zeune. In Guelf. corrector οἱ inseruit.

τῶν συμμάχων] Margo Steph. τῶν ἄλλων συμμ. quod est in Altorfino libro.

συνεροῦντες] Aliud exemplar συνδοκοῦντες annotante Brodæo.

αὐτοὺς] J. A. If. αὐτοῖς, quod etiam in Guelf. ex correctione est.

ὅ τι βούληται] Guelf. ὅ τι ἂν βούληται omisso ἂν deinceps post ἕως. Altorf. verba præscripta omnino omittit.

ἀφίῃ] Ex Guelf. ἀφείη dedit Zeune.

τότε] Junt. τόδε, rejectum etiam a Brodæo. τοῦτο τότε Altorf. postea βασιλέα ὄντες.

θεραπεύουσί τε] Copulam ex libro Budensi cum Welsio addidit Zeune. Budæus γὰρ addi volebat.

7. Ὅσα] Ita scripsi pro vulgato ὡς. Accusativum postulat verbum καταστησάμενος et sequens ταῦτα: *eadem insecuti etiam nunc reges veluti more et consuetudine comprobata facere per-*

λωται Κῦρος καταστησάμενος εἰς τὸ διαφυλάττειν ἑαυτῷ
τε καὶ Πέρσαις τὴν ἀρχὴν, ταῦτα καὶ οἱ μετ᾽ ἐκεῖνον βα-
8 σιλεῖς νόμιμα ἔτι καὶ νῦν διατελοῦσι ποιοῦντες. Οὕτω
δ᾽ ἔχει καὶ ταῦτα, ὥσπερ καὶ τἄλλα· ὅταν μὲν ὁ ἐπι-
στάτης βελτίων γένηται, καθαρώτερον τὰ νόμιμα πράτ-
τεται· ὅταν δὲ χείρων, φαυλότερον. Ἐφοίτων μὲν οὖν
ἐπὶ τὰς θύρας Κύρου οἱ ἔντιμοι σὺν τοῖς ἵπποις καὶ ταῖς
αἰχμαῖς, συνδόξαν πᾶσι τοῖς ἀρίστοις τῶν συγκαταστρε-
ψαμένων τὴν ἀρχήν.

Munera palatina instituuntur a Cyro.

9 Κῦρος δ᾽ ἐπὶ μὲν τἄλλα καθίστη ἄλλους ἐπιμελη-
τὰς, καὶ ἦσαν αὐτῷ καὶ προσόδων ἀποδεκτῆρες, καὶ
δαπανημάτων δοτῆρες, καὶ ἔργων ἐπιστάται, καὶ κτημά-
των φύλακες, καὶ τῶν εἰς τὴν δίαιταν ἐπιτηδείων ἐπιμε-
ληταί· καὶ ἵππων δὲ καὶ κυνῶν ἐπιμελητὰς καθίστη, οὓς
ἐνόμιζε καὶ ταῦτα τὰ βοσκήματα βέλτιστ᾽ ἂν παρέχειν
10 αὐτῷ χρῆσθαι. Οὓς δὲ συμφύλακας τῆς εὐδαιμονίας
οἱ ᾤετο χρῆναι ἔχειν, τούτους, ὅπως ὡς βέλτιστοι ἔσονται,
αὐτὸς ἐσκόπει, καὶ οὐκέτι τούτου τὴν ἐπιμέλειαν ἄλλοις
προσέταττεν, ἀλλ᾽ αὐτοῦ ἐνόμιζε τοῦτο ἔργον εἶναι. Ἤδει
γὰρ, ὅτι, εἴ τι μάχης ποτὲ δέησοι, ἐκ τούτων αὐτῷ καὶ
παραστάτας καὶ ἐπιστάτας ληπτέον εἴη, σὺν οἷσπερ οἱ

gunt. Postea vidi eandem fuisse Weiskio sententiam. In Altorfino libro est τὰ αὐτὰ καὶ οἱ—ὡς νόμιμα ἔτι καὶ νῦν.

8. καὶ ταῦτα, ὥσπερ καὶ] Geminati καὶ usum Atticum exemplis illustravit Weiske.

σὺν τοῖς ἵπποις] Altorfinus liber σὺν ταῖς αἰχμαῖς καὶ τοῖς ἵπποις.

9. αὐτῷ] Ita J. A. Is. Guelf. αὑτῷ dedit Steph. βέλτιστα χρῆσθαι jungenda sunt. Altorf. ἐνόμιζε ταῦτα omissa copula inutili; deinde ἑαυτῷ habet.

10 συμφύλακας] Eosdem κοινῶνας dicit §. 16. Pronomen poeticum οἱ Altorf. omittit.

ἔσονται] Guelf. Bodl. Altorf. ἔσοιντο. Margo Steph. Leoncl. M. Lond. ἔσοιντο αὐτῷ (Leoncl. 2. m. αὐτὸς) ἐσκόπει καὶ οὐκέτι. Etiam §. 39 et 43. est ὅπως cum eodem tempore, item c. iv. §. 26. et h. l. idem probavit Fischer ad Weller. ii. p. 276.

αὐτὸς ἐσκόπει καὶ] Hæc verba omittunt Edd. veteres cum Guelf. et Philel. ex libro Budensi et Altorfino restituit Camerarius et Zeune propter τούτους.

αὐτοῦ ἐνόμιζε] Castalio et Steph. αὑτοῦ.

εἴ τι] Ita cum Guelf. margo Steph. Leoncl. et Weiske. Vulgo εἴ γε. Altorf. εἴ τι μάχης omisso sequente εἴη.

μέγιστοι κίνδυνοι· καὶ ταξιάρχους δὲ καὶ πεζῶν καὶ ἱπ-
πέων ἐγίγνωσκεν ἐκ τούτων καταστατέον εἶναι. Εἰ δέοι 11
δὲ καὶ στρατηγῶν που ἄνευ αὐτοῦ, ᾔδει, ὅτι ἐκ τούτων
πεμπτέον εἴη· καὶ πόλεων δὲ καὶ ὅλων ἐθνῶν φύλαξι
καὶ σατράπαις ᾔδει, ὅτι τούτων τισὶν εἴη χρηστέον, καὶ
πρέσβεις γε τούτων τινὰς πεμπτέον· ὅπερ ἐν τοῖς μεγί-
στοις ἡγεῖτο εἶναι εἰς τὸ ἄνευ πολέμου τυγχάνειν, ὧν δέ-
οιτο. Μὴ ὄντων μὲν οὖν, οἵων δεῖ, δι' ὧν αἱ μέγισται 12
καὶ πλεῖσται πράξεις ἔμελλον εἶναι, κακῶς ἡγεῖτο τὰ
αὐτοῦ ἕξειν· εἰ δ' οὗτοι εἶεν, οἵους δέοι, πάντα ἐνόμιζε
καλῶς ἔσεσθαι. Ἐνέδυ μὲν οὖν, οὕτω γνοὺς, εἰς ταύτην
τὴν ἐπιμέλειαν· ἐνόμιζε δὲ τὴν αὐτὴν καὶ αὐτῷ ἄσκησιν
εἶναι τῆς ἀρετῆς. Οὐ γὰρ ᾤετο οἷόν τε εἶναι, μὴ αὐτόν
τινα ὄντα, οἷον δεῖ, ἄλλους παρορμᾷν ἐπὶ τὰ καλὰ καὶ
ἀγαθὰ ἔργα.

Ὡς δὲ ταῦτα διενοήθη, ἡγήσατο σχολῆς πρῶτον δεῖν, εἰ 13
μέλλοι δυνήσεσθαι τῶν κρατίστων ἐπιμελεῖσθαι. Τὸ
μὲν οὖν προσόδων ἀμελεῖν οὐχ οἷόν τε ἐνόμισεν εἶναι, προ-
νοῶν, ὅτι πολλὰ καὶ τελεῖν ἀνάγκη ἔσοιτο εἰς μεγάλην
ἀρχήν· τὸ δ' αὖ, πολλῶν κτημάτων ὄντων, ἀμφὶ ταῦτα

καὶ πεζῶν] In Guelf. καὶ corrector inseruit.

11. καὶ στρατηγῶν] In Guelf. καὶ corrector inseruit. Paulo antea εἰ δὲ δέοι—ἄνευ ἑαυτοῦ Altorf.

πεμπτέον εἴη] J. A. Is. εἶναι; sed margo Is. εἴη.

εἴη χρηστέον] Ita cum Codd. Brodæi et Guelf. Zeune. Vulgo τισὶ χρ. Altorf. τισὶν ἦν χρ.

ὅπερ ἐν] Guelf. ὅτι περ.

δέοιτο] Leoncl. est emendatio loco δέοιντο librorum scriptorum, quam Hutchinson et Zeune secuti sunt, approbante Altorfino libro.

12. ἔμελλον] Guelf. ἤμελλον.

τὰ αὐτοῦ] Guelf. αὐτοῦ. Altorf. ἑαυτοῦ.

Ἐνέδυ μὲν οὖν] Altorf. οὖν omisso deinde ἐνόμισε dat.

ἐνόμιζε] Ex margg. Steph. Leoncl. ἐλογίζετο prætulit Zeune, quod statim ἐνόμιζε sequatur idem.

ἄσκησιν εἶναι] δεῖν addi volebat Stephanus, ex versione scilicet Philelphi, assentiente Hutchinsono. ἑαυτῷ habet Altorf.

ἀγαθὰ ἔργα] Guelf. τὰ ἀγαθὰ ἔργα. J. A. Is. Altorf. τὰ ἀγαθὰ καὶ καλά.

13. τῶν κρατίστων] i. e. τῆς τῶν ὅλων σωτηρίας quod statim sequitur, id est summæ rei. Ceterum narratio, quæ hic parenthesi diffinditur, repetitur infra §. 16.

ἐνόμισεν] Ex Guelf. ἐνόμιζεν restituit Zeune propter §. 9. At ἡγήσατο proxime antecessit.

πολλὰ καὶ τελεῖν] καὶ omisit Weiske.

αὐτὸν ἀεὶ ἔχειν, ᾔδει, ὅτι ἀσχολίαν παρέξοι τῆς τῶν ὅλων
14 σωτηρίας ἐπιμελεῖσθαι. Οὕτω δὴ σκοπῶν, ὅπως ἂν τά
τε οἰκονομικὰ καλῶς ἔχοι, καὶ ἡ σχολὴ γένοιτο, κατε-
νόησέ πως τὴν στρατιωτικὴν σύνταξιν. Ὡς γὰρ τὰ
πολλὰ δεκάδαρχοι μὲν δεκαδέων ἐπιμέλονται, λοχαγοὶ
δὲ δεκαδάρχων, χιλίαρχοι δὲ λοχαγῶν, μυρίαρχοι δὲ
χιλιάρχων· καὶ οὕτως οὐδεὶς ἀτημέλητος γίγνεται, οὐδ᾽
ἢν πάνυ πολλαὶ μυριάδες ἀνθρώπων ὦσι· καὶ ὅταν ὁ
στρατηγὸς βούληται χρήσασθαί τι τῇ στρατιᾷ, ἀρκεῖ,
15 ἢν τοῖς μυριάρχοις παραγγείλῃ. Ὥσπερ οὖν ταῦτα
ἔχει, οὕτω καὶ ὁ Κῦρος συνεκεφαλαιώσατο τὰς οἰκονομι-
κὰς πράξεις· ὥστε καὶ τῷ Κύρῳ ἐγένετο, ὀλίγοις δια-
λεγομένῳ, μηδὲν τῶν οἰκείων ἀτημελήτως ἔχειν· καὶ ἐκ
τούτου ἤδη σχολὴν ἦγε πλείω, ἢ ἄλλος μιᾶς οἰκίας καὶ
μιᾶς νεὼς ἐπιμελόμενος. Οὕτω δὲ καταστησάμενος τὰ
αὑτοῦ, ἐδίδαξε καὶ τοὺς περὶ αὐτὸν ταύτῃ τῇ καταστάσει
χρῆσθαι.

Quibus artibus effecerit Cyrus, ut sæpe in regiæ atrio comparerent optimates.

16 Τὴν μὲν δὴ σχολὴν οὕτω κατεσκευάσατο ἑαυτῷ τε καὶ
τοῖς περὶ αὐτόν. Ἤρχετο δ᾽ ἐπιστατεῖν τοῦ οἵους δεῖ
εἶναι τοὺς κοινῶνας. Πρῶτον μὲν οὖν ὁπόσοι ὄντες ἱκανοὶ
ἄλλων ἐργαζομένων τρέφεσθαι μὴ παρεῖεν ἐπὶ τὰς θύ-
ρας, τούτους ἐπεζήτει· νομίζων τοὺς μὲν παρόντας οὐκ ἂν

αὐτὸν ἀεὶ] Ita cum Guelf. Weiſke. Vulgo ἀεὶ αὐτόν. Altorf. omiſſo αἰεὶ habet ἑαυτόν.

14. ἔχοι] J. A. Iſ. ἔχῃ. Paulo antea ὅπως ἂν omiſit Altorf.

δεκαδέων] Ita ſolus Altorf. pro δεκάδων. Eadem varietas ſupra ii. 3, 30. Scilicet Codex δέκα δὲ ὧν habet vitioſe ſcriptum.

ἢν πάνυ] Altorf. ἂν ἡ πάλιν. in quo vitio quid veri lateat, non exputo.

15. οὕτω καὶ] Altorf. οὗτος καί.

μηδὲν] Ita pro μηδὲ ex libris Gabrielii et verſione Camerarii ſcripſit Zeune.

ἐπιμελόμενος] Ita Altorf. pro ἐπιμελούμενος. deinde ex eodem vulgatum δὴ poſt οὕτω mutavi in δὲ aptius rei. poſtea idem ἐδίδασκε dat.

αὐτὸν] Weiſke cum Steph. αὑτὸν Zeune ex Edd. vetuſtis et Guelf. αὐτὸν reſtituit.

16. κοινῶνας] Budenſis et Altorf. κοινωνοὺς, Guelf. τοῦ εἶναι οἵους δεῖ τοὺς κοινωνοῦντας, margo κοινῶνας.

μὲν οὖν] Ex Mureti libris vett. et Camerarii verſione οὖν addidit Zeune. Equidem non tam hic deſidero οὖν, quam paulo antea, ubi redit oratio ad narrationem ſupra §. 13. abruptam, ἤρχετο δ᾽ ἤδη vel ſimile vinculum addi malo.

ἐθέλειν οὔτε κακὸν οὔτε αἰσχρὸν οὐδὲν [ἂν] πράττειν, καὶ
διὰ τὸ παρὰ ἄρχοντι εἶναι, καὶ διὰ τὸ εἰδέναι, ὅτι ὁρῷντ'
ἄν, ὅ τι πράττοιεν, ὑπὸ τῶν βελτίστων· οἱ δὲ μὴ παρεῖεν,
τούτους ἡγεῖτο ἢ ἀκρατείᾳ τινὶ ἢ ἀδικίᾳ ἢ ἀμελείᾳ ἀπεῖ-
ναι. Τοῦτο οὖν πρῶτον ἡγησάμενος, προσηνάγκαζε τοὺς 17
τοιούτους παρεῖναι· τῶν γὰρ παρ' ἑαυτῷ μάλιστα φίλων
ἐκέλευσεν ἄν τινα λαβεῖν τὰ τοῦ μὴ φοιτῶντος, φάσκον-
τα λαμβάνειν τὰ ἑαυτοῦ. Ἐπεὶ οὖν τοῦτο γένοιτο, ἧκον
ἂν εὐθὺς οἱ στερόμενοι, ὡς ἠδικημένοι. Ὁ δὲ Κῦρος πο- 18
λὺν μὲν χρόνον οὐκ ἐσχόλαζε τοῖς τοιούτοις ὑπακούειν·
ἐπεὶ δὲ ἀκούσειεν αὐτῶν, πολὺν χρόνον ἀνεβάλλετο τὴν
διαδικασίαν. Ταῦτα δὲ ποιῶν ἡγεῖτο προσεθίζειν αὐ-
τοὺς θεραπεύειν, ἧττον δὲ ἐχθρῶς, ἢ εἰ αὐτὸς κολάζων
ἠνάγκαζε παρεῖναι. Εἷς μὲν διδασκαλίας τρόπος ἦν 19
αὐτῷ οὗτος τοῦ παρεῖναι· ἄλλος δὲ, τὸ τὰ ῥᾷστα καὶ
κερδαλεώτατα τοῖς παροῦσι προστάττειν· ἄλλος δὲ, τὸ
μηδέν ποτε τοῖς ἀποῦσι νέμειν. Ὁ δὲ δὴ μέγιστος τρό- 20

κακὸν οὔτε αἰσχρὸν] Guelf. αἰσχρὸν οὔτε κακόν. sequens ἂν omissum in Altorf. seclusi.

ὁρῷντ' ἂν] Ita cum margine Steph. Altorf. probante etiam Fischero ad Welleri Gr. ii. p. 275. deinde βελτίων a prima manu Altorf.

ἀδικίᾳ] τινὶ repetit Guelf. Primum ἢ post ἡγεῖτο omisit Altorf.

17. προσηνάγκαζε] Guelf.—ναγκάζετο. Est: *necessitate aliqua inducebat et adsuefaciebat*; quod deinceps προσεθίζειν leniore vocabulo dicitur. Sed ulcus latens arguit lectio Altorf. ἡγησόμεθα ὥσπερ ἀκάζετε, ex quo verum alii extundant.

τῶν—φίλων—ἄν τινα λαβεῖν] Ald. τὸν—φίλον—ἀντιλαβεῖν. Cod. Bodl. τῶν—φίλων ἐκέλευσεν ἀντιλαβεῖν. recipere est in versione Philelphi. Steph. malebat ἐκέλευέ τινα ἀντιλ. vel ἐκέλευσεν ἄν τινα ἀντιλ. quam posteriorem lectionem habent Eton. et Hutchins. Altorf. τῶν γὰρ ἑαυτοῦ μάλιστα φ. ἐκέλευσεν ἀντιλαβεῖν.

εὐθὺς οἱ] Altorf. οἱ στερόμενοι εὐθύς.

18. ἀκούσειεν] Altorf. adjecit μὲν inutile.

θεραπεύειν] Frequentare τὰς θύρας, ut est §. 6. παρεῖναι ἐπὶ τὰς θύρας ut est §. 16. Aliter hunc locum expediebat Steph. ut sequens annotatio docebit.

ἐχθρῶς] J. A. Is. Steph. Leoncl. Lond. (et Guelf. ex correctione) ἐχθροὺς, nobiscum Budensis, Guelf. Bodl. Altorf. Ad ἐχθροὺς Stephanus deesse putabat εἶναι, legens antecedentia αὐτοὺς αὐτὸν θεραπεύειν vel αὐτοὺς ἑαυτόν. Etiam Philel. αὐτοὺς θερ. legit. Weiske αὐτοὺς κολάζων malebat; at ita non opus erat repeti, quod in priore membro adest.

19. διδ. τρ.] Guelf. τρ. διδ. Altorf. εἷς μὲν τρόπος οὗτος διδασκαλίας ἦν αὐτῷ τοῦ παρεῖναι rectius, puto. pergit idem liber ἄλλως δὲ τῷ τὰ ῥᾷστα.

τὰ ῥᾷστα] Guelf. τἀριστά: margo γρ. τὰ ῥᾷστα.

κερδαλεώτατα] Margg. Steph. Leoncl. κερδαλεώτερα.

20. ὁ δὲ δὴ] Guelf. ὁ μὲν δή.

πος τῆς ἀνάγκης ἦν, εἴ τις τούτων μηδενὸς ὑπακούοι, ἀφελόμενος ἂν τοῦτον, ἃ ἔχοι, ἄλλῳ ἐδίδου, ὃν ᾤετο δύνασθαι ἂν ἐν τῷ δέοντι παρεῖναι· καὶ οὕτως ἐγίγνετο αὐτῷ φίλος χρήσιμος ἀντὶ ἀχρήστου. Ἐπιζητεῖ δὲ καὶ ὁ νῦν βασιλεὺς, ἤν τις ἀπῇ, οἷς παρεῖναι καθήκει.

Ut eoſdem ad virtutis ſtudium excitaret, ipſe virtutem coluit omnem.

21 Τοῖς μὲν δὴ μὴ παροῦσιν οὕτω προσεφέρετο. Τοὺς δὲ παρέχοντας ἑαυτοὺς ἐνόμισε μάλιστ' ἂν ἐπὶ τὰ καλὰ καὶ ἀγαθὰ ἐπαίρειν, [ἐπείπερ ἄρχων αὐτῶν ἐνόμιζε δικαίως εἶναι,] εἰ αὐτὸς ἑαυτὸν ἐπιδεικνύειν πειρῷτο τοῖς ἀρχομένοις πάντων μάλιστα κεκοσμημένον τῇ ἀρετῇ.

22 Αἰσθάνεσθαι μὲν γὰρ ἐδόκει, καὶ διὰ τοὺς γραφομένους νόμους βελτίους γιγνομένους ἀνθρώπους· τὸν δὲ ἀγαθὸν ἄρχοντα, βλέποντα νόμον ἀνθρώποις ἐνόμιζεν, ὅτι καὶ τάττειν ἱκανός ἐστι, καὶ ὁρᾶν τὸν ἀτακτοῦντα καὶ κολά-
23 ζειν. Οὕτω δὴ γιγνώσκων, πρῶτον μὲν τὰ περὶ τοὺς θεοὺς μᾶλλον ἐκπονοῦντα ἐπεδείκνυεν ἑαυτὸν ἐν τούτῳ τῷ χρόνῳ, ἐπεὶ εὐδαιμονέστερος ἦν. Καὶ τότε πρῶτον κατε-

εἴ τις τούτων] Omittit τις Philel. Guelf. et Altorf.

Ἐπιζητεῖ—καθήκει] Qui uncis hæc incluſit Weiſke, idem ſimilia verba §. 24. debebat ſecludere.

ὁ νῦν] Brodæus ὁ νῦν ἔτι malebat.

21. μάλιστ' ἂν] Altorf. μάλιστ' ἂν παρορμᾷν ἐπὶ τὰ καλὰ καὶ ἀγαθὰ ἔργα. ſed ex Guelf. ἐπαίρειν pro παρορμᾷν dedit Zeune, omiſſo ἔργα poſt παρορμᾷν vulgo poſito, ut ſupra ſect. 12.

ἐνόμιζε δικαίως εἶναι] Hæc verba ex verſione Philelphi et Guelf. addidit Zeune; J. A. Iſ. ἄρχων αὐτῶν: Steph. 2. ἦν addidit ex verſione Gabrielis, cum qua facit Budenſis liber. Margo Iſ. et Leoncl. ἐπείπερ ἦν ἄρχων. Muretus ex libris vett. ἄρχων ἦν αὐτῶν poſuit. Mihi totum colon ab aliena manu hoc certe in loco eſſe videtur, quippe a loci ſententia alienum; igitur incluſi.

κεκοσμημένον] Budenſis libri κεκοσμημένος ut magis Atticum præferebat Camerarius, repudiabat Steph. quoniam ἑαυτὸν requirat accuſativum, ut §. 32.

22. γιγνομένους] J. Iſ. Steph. Leoncl. γενομένους. Muretus ex libris vett. poſuit: γενομένους ἂν τοὺς ἀνθρώπους. Articulum ante ἀνθρώπους præfero.

ἐνόμιζεν] Ita cum Stephano et Leoncl. Welſius, Hutchinſ. Weiſke, propter antecedens ἐδόκει· libri ſcripti ἐνόμισεν habent.

23. ἐκπονοῦντα] Hunc vulgato ordini ἐπεδ. ἑαυτὸν ἐκπ. ex Guelf. et Altorfino prætulit Zeune.

ἐπεὶ] Cum Leoncl. Steph. 2. Welſ. Hutchinſ. ἐπειδή. Noſtrum ἐπεὶ Budenſis, Bodl. Guelf. Philelphus, Altorf. quæ ſcriptura Camerario etiam vera videbatur. ἐπεὶ δὲ εὐδαιμονέστερον J. A. Iſ. St. 1. Leoncl. εὐδαιμονέστερος correxit Brodæus, recepit Stephani ſecunda. Muretus ex libris vett. τῷ χρόνῳ ἐπειδὴ εὐδαιμονέστερος ἦν affert, quæ eſt lectio librorum Gabrielis.

στάθησαν οἱ μάγοι, ὕμνει τε ἀεὶ ἅμα τῇ ἡμέρᾳ τοὺς
θεοὺς, καὶ ἔθυε ἂν ἑκάστην ἡμέραν, οἷς οἱ μάγοι θεοῖς
εἴποιεν. Οὕτω δὴ τὰ τότε κατασταθέντα ἔτι καὶ νῦν 24
διαμένει παρὰ τῷ ἀεὶ ὄντι βασιλεῖ. Ταῦτα οὖν πρῶτον
ἐμιμοῦντο αὐτὸν καὶ οἱ ἄλλοι Πέρσαι, νομίζοντες καὶ αὐ-
τοὶ εὐδαιμονέστεροι ἔσεσθαι, ἢν θεραπεύωσι τοὺς θεοὺς,
ὥσπερ ὁ εὐδαιμονέστατός τε ὢν καὶ ἄρχων· καὶ Κύρῳ
δ' ἂν ἡγοῦντο ταῦτα ποιοῦντες ἀρέσκειν.

Ὁ δὲ Κῦρος τὴν τῶν μεθ' αὐτοῦ εὐσέβειαν καὶ ἑαυτῷ 25
ἀγαθὸν ἐνόμιζε, λογιζόμενος, ὥσπερ οἱ πλεῖν αἱρούμενοι
μετὰ τῶν εὐσεβῶν μᾶλλον, ἢ μετὰ τῶν ἠσεβηκέναι τι
δοκούντων. Πρὸς δὲ τούτοις ἐλογίζετο, εἰ πάντες οἱ κοι-
νῶνες θεοσεβεῖς εἶεν, ἧττον ἂν αὐτοὺς ἐθέλειν περί τε ἀλ-
λήλους ἀνόσιόν τι ποιεῖν καὶ περὶ αὐτὸν, εὐεργέτης νομί-
ζων εἶναι τῶν κοινώνων. Ἐμφανίζων δὲ καὶ τοῦτο, ὅτι 26
περὶ πολλοῦ ἐποιεῖτο, μηδένα μήτε φίλον ἀδικεῖν, μήτε
σύμμαχον, ἀλλὰ τὸ δίκαιον ἰσχυρῶς ὁρῶν, μᾶλλον καὶ
τοὺς ἄλλους ᾤετ' ἂν τῶν μὲν αἰσχρῶν κερδῶν ἀπέχε-
σθαι, διὰ τοῦ δικαίου δ' ἐθέλειν πορίζεσθαι. Καὶ 27

Eton. habet ἐπεὶ δὲ—ρος ἦν. Zeune Edd. veterum diſtinctionem χρόνῳ· ἐπεὶ δὲ—ἦν, καὶ τότε—revocavit, δὲ referens ad πρῶτον μὲν, inepte! Verba καὶ τότε—οἱ μάγοι, niſi ſint aut loco ſuo mota aut e ſcholio nata, ita defendebat Zeune, ut magos nunc demum apud Aſſyrios inſtitutos eſſe dicat Xenophon. Apud Perſas enim magorum religiones memorari ab ipſo Xenophonte. Sed loci poſiti a viro docto ſunt de Medis, a quibus religiones iſtas primum ſub imperio Cyri tranſlatas ad Perſas fuiſſe ex hoc Xenophontis loco collegit *Heeren Ideen* etc. tom ii. p. 425.

ὕμνει—ἔθυε] Ita ex libris Philelphi et Guelf. Zeune pro ὑμνεῖν—θύειν· quam lectionem ut adjuvaret Stephanus, οἱ μάγοι ex Scholio irrepſiſſe aut poſt εἴποιεν intelligendum eſſe κατεστάθη putabat; quod poſterius etiam Camerario in mentem venit.

τοὺς θεοὺς] Margg. Steph. Leoncl. θεοὺς ἅπαντας, quæ ſcriptura eſt in Altorfino libro. deinde εἶπον pro εἴποιεν Altorf.

24. ὄντι βασιλεῖ] Margo Steph. βασιλεύοντι, quod eſt in Altorfino libro, qui paulo antea τότε τὰ κατασταθέντα.

25. ἀγαθὸν] In Guelf. ἀγαθὴν corrigitur.

ἐλογίζετο, εἰ] ὡς, εἰ Guelf. ut J. A. II. Altorf. probante Zeunio.

περὶ αὐτὸν] Edd. veteres, Guelf. et Altorf. περὶ ἑαυτόν. deinde κοινωνῶν Altorf. Reliqua εὐεργέτης—κοινώνων mihi plane aliena a loci ſententia eſſe videntur.

26. ὁρῶν] Altorf. ἀθρῶν, cujus interpretatio videri poteſt lectio vulgaris.

πορίζεσθαι] Budenſis, Altorf. et

αἰδοῦς δ' ἂν ἡγεῖτο μᾶλλον πάντας ἐμπιπλάναι, εἰ αὐ-
τὸς φανερὸς εἴη πάντας οὕτως αἰδούμενος, ὡς μήτ' εἰπεῖν
28 ἂν μήτε ποιῆσαι μηδὲν αἰσχρόν. Ἐτεκμαίρετο δὲ τοῦτο
οὕτως ἔχειν ἐκ τοῦδε· μὴ γὰρ ὅτι ἄρχοντα, ἀλλὰ καὶ οὓς
οὐ φοβοῦνται, μᾶλλον τοὺς αἰδουμένους αἰδοῦνται τῶν
ἀναιδῶν οἱ ἄνθρωποι· καὶ γυναῖκας δὲ, ἃς ἂν αἰδουμέ-
νας αἰσθάνωνται, ἀνταιδεῖσθαι μᾶλλον ἐθέλουσιν ὁρῶν-
29 τες. Τὸ δ' αὖ πείθεσθαι οὕτω μάλιστ' ἂν ᾤετο ἔμ-
μονον εἶναι τοῖς περὶ αὐτὸν, εἰ τοὺς ἀπροφασίστως πειθο-
μένους φανερὸς εἴη μᾶλλον τιμῶν, τῶν τὰς μεγίστας
ἀρετὰς καὶ ἐπιπονωτάτας δοκούντων παρέχεσθαι. Γι-
30 γνώσκων δ' οὕτω καὶ ποιῶν διετέλει. Καὶ σωφροσύνην
δ' αὐτοῦ ἐπιδεικνὺς, μᾶλλον ἐποίει καὶ ταύτην πάντας
ἀσκεῖν. Ὅταν γὰρ ὁρῶσιν, ᾧ μάλιστα ἔξεστιν ὑβρίζειν,
τοῦτον σωφρονοῦντα, οὕτω μᾶλλον οἵ γε ἀσθενέστεροι ἐθέ-
31 λουσιν οὐδὲν ὑβριστικὸν ποιοῦντες φανεροὶ εἶναι. Διῄρει
δὲ αἰδῶ καὶ σωφροσύνην τῇδε, ὡς τοὺς μὲν αἰδουμένους
τὰ ἐν τῷ φανερῷ αἰσχρὰ φεύγοντας, τοὺς δὲ σώφρονας
32 καὶ τὰ ἐν τῷ ἀφανεῖ. Καὶ ἐγκράτειαν δὲ οὕτω μάλιστ'
ἂν ᾤετο ἀσκεῖσθαι, εἰ αὐτὸς ἐπιδεικνύοι ἑαυτὸν μὴ ὑπὸ
τῶν παραυτίκα ἡδονῶν ἑλκόμενον ἀπὸ τῶν ἀγαθῶν,
ἀλλὰ προπονεῖν ἐθέλοντα πρῶτον σὺν τῷ καλῷ τῶν εὐ-

margo Bodl. πορεύεσθαι, quod etſi græce dici poteſt, diverſo tamen ſenſu dicitur, quam qui huic loco convenit, judice etiam Mureto. In libris Brodæi erat ſcholion πόρους λαμβάνειν.

27. οὕτως αἰδούμενος] Altorf. οὕτως omiſit.

28. τοῦτο οὕτως] Altorf. οὕτως τοῦτο habet. deinde negationem οὐ ante φοβοῦνται omittit.

29. ἐπιπονωτάτας] Edd. antiquæ—τάτους habent. Paulo antea φανερῶς Altorf.

30. ἀσκεῖν] Altorf. λέγειν. deinde τούτῳ σωφρονοῦντα, οὐ μάλα οἵγε σωφρονέστεροι οὐ θέλουσιν οὐδὲν etc.

31. φεύγοντας] Antecedit ἴσως in libro Budenſi, idem addi volebat Brodæus; ſed Stephanus fuiſſe gloſſatoris notam ſuſpicatur ἴσως, qui μόνον addi voluerat. Altorfinus liber poſt αἰδουμένους inſertum habet ἴσως.

32. Καὶ ἐγκράτειαν] Altorf. copulam omittit.

ἐπιδεικνύοι] J. A. Iſ. Guelf. ἐπιδεικνύει. deinceps αὐτὸν Altorf.

φροσυνῶν. Τοιγαροῦν τοιοῦτος ὢν ἐποίησεν ἐπὶ ταῖς θύ- 33
ραις πολλὴν μὲν τῶν χειρόνων εὐταξίαν, ὑπεικόντων τοῖς
ἀμείνοσι, πολλὴν δ' αἰδῶ καὶ εὐκοσμίαν πρὸς ἀλλήλους.
Ἐπέγνως δ' ἂν ἐκεῖ οὐδένα οὔτε ὀργιζόμενον κραυγῇ, οὔτε
χαίροντα ὑβριστικῶς γέλωτι· ἀλλὰ ἰδὼν ἂν αὐτοὺς ἡγή-
σω τῷ ὄντι εἰς κάλλος ζῆν.

Τοιαῦτα μὲν δὴ ποιοῦντες καὶ ὁρῶντες ἐπὶ θύραις διῆ- 34
γον. Τῆς πολεμικῆς δ' ἕνεκα ἀσκήσεως ἐπὶ θήραν ἐξῆ-
γεν, οὕσπερ ἀσκεῖν ταῦτα ᾤετο χρῆναι· ταύτην ἡγούμενος
καὶ ὅλως ἀρίστην ἄσκησιν πολεμικῶν εἶναι, καὶ ἱππικῆς
δὲ ἀληθεστάτην. Καὶ γὰρ ἐπόχους ἐν παντοδαποῖς χω- 35
ρίοις αὕτη μάλιστα ἀποδείκνυσι, διὰ τὸ θηρίοις φεύγου-
σιν ἐφέπεσθαι· καὶ ἀπὸ τῶν ἵππων ἐνεργοὺς αὕτη μά-
λιστα ἀπεργάζεται, διὰ τὴν τοῦ λαμβάνειν φιλοτιμίαν
καὶ ἐπιθυμίαν. Καὶ τὴν ἐγκράτειαν δὲ, καὶ πόνους, 36
καὶ ψύχη καὶ θάλπη, καὶ λιμὸν καὶ δίψος δύνασθαι
φέρειν, ἐνταῦθα μάλιστα προσείθιζε τοὺς κοινῶνας.
Καὶ νῦν δ' ἔτι βασιλεὺς, καὶ οἱ ἄλλοι οἱ περὶ βασιλέα,
ταῦτα ποιοῦντες διατελοῦσιν. Ὅτι μὲν οὖν οὐκ ᾤετο 37
προσήκειν οὐδενὶ ἀρχῆς, ὅστις μὴ βελτίων εἴη τῶν ἀρχο-
μένων, καὶ τοῖς προειρημένοις πᾶσι δῆλον· καὶ ὅτι, οὕ-
τως ἀσκῶν τοὺς περὶ ἑαυτὸν, πολὺ μάλιστα αὐτὸς ἐξε-
πόνει καὶ τὴν ἐγκράτειαν, καὶ τὰς πολεμικὰς τέχνας

Se suosque exercuit venando.

33. ἐπὶ ταῖς θύραις] In aula sua et aulæ ministris.

ἐπέγνως] Altorf. ἐπέγνωσαν dat.

εἰς κάλλος] i. e. καλῶς.

34. ἐπὶ θύραις διῆγον] Hæc omissa in Junt. Is. ex libro suo addidit Brodæus.

ἀρίστην ἄσκησιν] Guelf. ἀρετὴν, vulgata in marg.

35. ἐφέπεσθαι] Ita cum Ald. Guelf. et Alt. Zeune pro ἕπεσθαι.

αὕτη] Ita cum Steph. Weiske. J. A. Is. Guelf. αὐτή.

36. ἐγκράτειαν] In Guelf. est ἐπικράτησιν, vulgata in margine: Camerarius πρὸς ἐγκράτειαν ex Budensi posuit; ἐγκράτειαν δὲ καὶ πρὸς πόνους καὶ ψύχη καὶ θάλπη καὶ πρὸς λιμὸν Altorf. verum ἐγκράτειαν πρὸς λιμὸν καὶ δίψος ferrem equidem, non item πρὸς πόνους καὶ ψύχη; sed potius καὶ τὸ πόνους scribendum censeo.

37. περὶ ἑαυτὸν] Guelf. περὶ αὐτόν, Altorfinus πάντας τοὺς περὶ ἑαυτὸν dat.

38 καὶ τὰς μελέτας. Καὶ γὰρ ἐπὶ θήραν τοὺς μὲν ἄλλους
ἐξῆγεν, ὁπότε μὴ μένειν ἀνάγκη τις εἴη· αὐτὸς δὲ καὶ
ὁπότε ἀνάγκη εἴη, οἴκοι ἐθήρα τὰ ἐν τοῖς παραδείσοις
θηρία τρεφόμενα· καὶ οὔτε αὐτός ποτε, πρὶν ἱδρῶσαι,
δεῖπνον ᾑρεῖτο, οὔτε ἵπποις ἀγυμνάστοις σῖτον ἐνέβαλλε·
συμπαρεκάλει δὲ καὶ εἰς ταύτην τὴν θήραν τοὺς περὶ αὐ-
39 τὸν σκηπτούχους. Τοιγαροῦν πολὺ μὲν αὐτὸς διέφερεν
ἐν πᾶσι τοῖς καλοῖς ἔργοις, πολὺ δὲ οἱ περὶ ἐκεῖνον, διὰ
τὴν ἀεὶ μελέτην. Παράδειγμα μὲν δὴ τοιόνδε ἑαυτὸν
παρείχετο. Πρὸς δὲ τούτῳ, καὶ τῶν ἄλλων οὕστινας
μάλιστα ὁρῴη τὰ καλὰ διώκοντας, τούτους καὶ δώροις
καὶ ἀρχαῖς καὶ ἕδραις καὶ πάσαις τιμαῖς ἐγέραιρεν·
ὥστε πολλὴν πᾶσι φιλοτιμίαν ἐνέβαλλεν, ὅπως ἕκαστος
ὅτι ἄριστος φανήσοιτο Κύρῳ.

Suum et amicorum cultum habitumque ad splendorem instituit.

40 Καταμαθεῖν δὲ τοῦ Κύρου δοκοῦμεν, ὡς οὐ τούτῳ μόνῳ
ἐνόμιζε χρῆναι τοὺς ἄρχοντας τῶν ἀρχομένων διαφέρειν,
τῷ βελτίονας αὐτῶν εἶναι, ἀλλὰ καὶ καταγοητεύειν ᾤετο
χρῆναι αὐτούς. Στολήν τε γοῦν εἵλετο τὴν Μηδικὴν αὐ-
τός τε φορεῖν, καὶ τοὺς κοινῶνας ταύτην ἔπεισεν ἐνδύε-
σθαι· αὕτη γὰρ αὐτῷ συγκρύπτειν ἐδόκει, εἴ τίς τι ἐν τῷ
σώματι ἐνδεὲς ἔχοι, καὶ καλλίστους καὶ μεγίστους ἐπι-
41 δεικνύναι τοὺς φοροῦντας. Καὶ γὰρ τὰ ὑποδήματα τοι-
αῦτα ἔχουσιν, ἐν οἷς μάλιστα λαθεῖν ἔστι καὶ ὑποτι-
θεμένους τι, ὥστε δοκεῖν μείζους εἶναι, ἢ εἰσί. Καὶ

38. θήραν] Guelf. θήρας.
μένειν] οἴκοι addit margo Steph. cum Altorfino; recte, puto.
καὶ ὁπότε] Guelf. καὶ omittit.
περὶ αὐτὸν] Altorf. περὶ ἑαυτὸν habet.
39. τοιόνδε] Altorf. τοιοῦτον dat.
τούτους καὶ] Altorf. τούτοις καὶ inepte.
ὅτι ἄριστος] Ex libro Brodæi et Altorf. ὅτι adjunxi.
φανήσοιτο] Guelf. φανείη, quod recepit Zeune. Confer §. 43. et supra 10.
40. τούτῳ μόνῳ ἐνόμιζε] Altorfinus liber τοῦτο μόνον ἐνόμισε.
αὐτοὺς] Scilicet τοὺς ἀρχομένους.
Μηδικὴν] Idem testatur Herodotus i. 135. Strabo xi. pag. 797. Cf. Ammiani xxiii. 6.
αὕτη] Ita pro αὐτὴ cum Guelf. et Philelpho Zeune. deinde συγκρύπτειν τε ἐδόκει Altorf.
41. λαθεῖν] Altorf. λανθάνειν habet.

ὑποχρίεσθαι δὲ τοὺς ὀφθαλμοὺς προσίετο, ὡς εὐοφθαλ-
μότεροι φαίνοιντο, ἢ εἰσί· καὶ ἐντρίβεσθαι, ὡς εὐχροώτε-
ροι ὁρῷντο, ἢ πεφύκασιν. Ἐμελέτησε δὲ καὶ ὡς μηδὲ 42
πτύοντες, μηδὲ ἀπομυττόμενοι φανεροὶ εἶεν· μηδὲ με-
ταστρεφόμενοι ἐπὶ θέαν μηδενὸς, ὡς οὐδὲν θαυμάζον-
τες. Πάντα δὲ ταῦτα ᾤετο φέρειν τι εἰς τὸ δυσκατα-
φρονητοτέρους φαίνεσθαι τοῖς ἀρχομένοις.

Οὓς μὲν δὴ ἄρχειν ᾤετο χρῆναι δι' ἑαυτοῦ, οὕτω κατε- 43
σκεύασε καὶ μελέτῃ καὶ τῷ σεμνῶς προεστάναι αὐτῶν·
οὓς δ' αὖ κατεσκεύαζεν εἰς τὸ δουλεύειν, τούτους οὔτε
μελετᾷν τῶν ἐλευθερίων πόνων οὐδένα παρώρμα, οὔτε
ὅπλα κεκτῆσθαι ἐπέτρεπεν· ἐπεμελεῖτο δ', ὅπως μήτε
ἄσιτοι μήτε ἄποτοί ποτε ἔσοιντο ἐλευθερίων ἕνεκα μελε-
τημάτων. Καὶ γὰρ ὁπόταν ἐλαύνοιεν τὰ θηρία τοῖς ἱπ- 44
πεῦσιν εἰς τὰ πεδία, φέρεσθαι σῖτον εἰς θήραν τούτοις
ἐπέτρεπε, τῶν δὲ ἐλευθέρων οὐδενί· καὶ ὁπότε πορεία εἴη,
ἦγεν αὐτοὺς πρὸς τὰ ὕδατα, ὥσπερ τὰ ὑποζύγια. Καὶ
ὁπότε δὲ ὥρα εἴη ἀρίστου, ἀνέμενεν αὐτοὺς, ἔστ' ἂν φά-
γοιέν τι, ὡς μὴ βουλιμιῷεν· ὥστε καὶ οὗτοι αὐτὸν, ὥσπερ
οἱ ἄριστοι, πατέρα ἐκάλουν, ὅτι ἐπεμέλετο αὐτῶν, ὅπως
ἀναμφιλόγως ἀεὶ ἀνδράποδα διατελοῖεν.

Servituti fub ipfius imperio a dictos ab armorum ufu et ab omni liberali exercitatione removit.

Τῇ μὲν δὴ ὅλῃ Περσῶν ἀρχῇ οὕτω τὴν ἀσφάλειαν 45

ὑποχρίεσθαι—ἐντρίβεσθαι] Vide i. 3, 2.

42. πτύοντες] Cf. fupra i. 2, 16.

43. μελέτῃ καὶ τῷ] Budenfis liber μεμελέτηκε, male. Altorf. μελέτη καὶ σεμνῶς πρ. ἑαυτῶν—κατεσκεύασεν.

τούτους οὔτε] Guelf. οὐδέ. deinde οὔθ' ὅπλα Altorf.

μήτε ἄσιτοι] Ita pro μήποτε ἄσ. ex Philelpho, Bodl. Guelf. cum Hutchinf. Zeune. μὴ ἄσιτοι μηδὲ ἄποτοι Altorf.

44. ὁπόταν] Altorf. ὁπότε—εἰς τὴν θήραν.

πρὸς τὰ ὕδατα] εἰς τὰ ὕδ. Guelf. deinde καὶ ὁπότε ὥρα εἴη omiffo δὲ Altorf.

ἔστ' ἂν φάγοιέν τι] ἔστε ἐμφάγοιέν τι Guelf. quam fcripturam præfero. Idem verbum cum celeritatis nota adhibet fupra vii. 1, 1. H. Græca iv. 5, 8. Anab. iv. 2, 1. iv. 5, 7.

πατέρα] Teftatur Herodotus i. 89. Sequentia funt ex judicio Xenophontis non Perfarum interpretanda.

Principes ne quid novarum rerum molirentur, effecit amore civium, quem ſibi conciliavit ita, ut magis ſibi, quam inter ſe eſſent amici; et id quidem his uſus artibus:

κατεσκεύαζεν. Ἑαυτῷ δὲ ὅτι μὲν οὐχ ὑπὸ τῶν κατα-
στραφέντων κίνδυνος εἴη παθεῖν τι, ἰσχυρῶς ἐθάῤῥει· καὶ
γὰρ ἀνάλκιδας ἡγεῖτο εἶναι αὐτοὺς, καὶ ἀσυντάκτους
ὄντας ἑώρα, καὶ πρὸς τούτοις οὐδὲ ἐπλησίαζε τούτων οὐ-
46 δεὶς αὐτῷ οὔτε νυκτὸς οὔτε ἡμέρας. Οὓς δὲ κρατίστους
τε ἡγεῖτο, καὶ ὡπλισμένους καὶ ἀθρόους ὄντας ἑώρα,
καὶ τοὺς μὲν αὐτῶν ᾔδει ἱππέων ἡγεμόνας ὄντας, τοὺς δὲ,
πεζῶν· πολλοὺς δὲ αὐτῶν καὶ φρονήματα ἔχοντας ᾐσθά-
νετο, ὡς ἱκανοὺς ὄντας ἄρχειν· καὶ τοῖς φύλαξι δὲ αὐ-
τοῦ οὗτοι μάλιστα ἐπλησίαζον, καὶ αὐτῷ δὲ Κύρῳ τούτων
πολλοὶ πολλάκις συνεμίγνυσαν· (ἀνάγκη γὰρ ἦν, ὅτι
καὶ χρῆσθαι ἔμελλεν αὐτοῖς) ὑπὸ τούτων οὖν καὶ κίνδυ-
νος ἦν αὐτὸν μάλιστα παθεῖν τι κατὰ πολλοὺς τρόπους.
47 Σκοπῶν οὖν, ὅπως ἂν αὐτῷ καὶ τὰ ἀπὸ τούτων ἀκίνδυνα
γένοιτο, τὸ μὲν περιελέσθαι αὐτῶν τὰ ὅπλα καὶ ἀπο-
λέμους ποιῆσαι, ἀπεδοκίμασε, καὶ ἄδικον ἡγούμενος,
καὶ κατάλυσιν τῆς ἀρχῆς τοῦτο νομίζων· τὸ δ᾽ αὖ μὴ
προσίεσθαι αὐτοὺς, καὶ τὸ ἀπιστοῦντα φανερὸν εἶναι, ἀρ-
48 χὴν ἡγήσατο πολέμου· ἐν δ᾽ ἀντὶ πάντων τούτων ἔγνω
καὶ κράτιστον εἶναι πρὸς τὴν αὑτοῦ ἀσφάλειαν καὶ κάλ-

45. κατεσκεύαζεν] Altorf. κατεσκεύασεν habet.

ἑαυτῷ] Altorf. αὐτῷ—καὶ γὰρ ἂν ἀνάλκιδας εἶναι ἡγεῖτο αὐτοὺς καὶ ἀσυντάκτους ἑώρα. omiſſo ὄντας.

ἀσυντάκτους] Ipſe deinceps interpretatur ὡπλισμένους καὶ ἀθρόους ὄντας.

46. κρατίστους τε] Altorf. τε omittit.

καὶ τοὺς μὲν] Anacoluthum eſt; debebat ſequi καὶ ὧν τοὺς μὲν ᾔδει—πολλοὺς δὲ καὶ—καὶ οἳ τοῖς φύλαξιν αὐτοῦ etc.

δὲ αὐτοῦ οὗτοι] Altorf. δ᾽ αὐτοῦ οὗτοι γάρ.

αὐτῷ δὲ Κύρῳ] τῷ Κύρῳ ex Guelf. Zeune, cum quo facit Altorf.

ὅτι καὶ χρ.] εἴ τι καὶ Bodl. Guelf. ſed in Guelf. correctum. ὅτι γε χρῆσθαι Budenſis. εἴ τι κεχρῆσθαι ἐμμελῶς Bodl. κεχρῆσθαι etiam Edd. antiquæ. Mihi εἴ τι καὶ placet.

αὐτὸν μάλιστα παθεῖν τι κατὰ] Altorf. αὐτῷ μάλιστα πολλοὺς τρόπους reliquis omiſſis. deinde Σκοπεῖν ὅπως idem liber.

47. ἀπὸ τούτων] Junt. Iſ. ὑπὸ τούτων.

γένοιτο] Ita Guelf. liber Gabrielis et Altorf. pro γένοιντο.

περιελέσθαι] Margo Steph. Leoncl. παρελέσθαι, quod eſt in Altorf.

ἀρχῆς τοῦτο] Guelf. et Altorf. ταύτην.

πολέμου] ἀντὶ πολ. Guelf.

48. αὑτοῦ ἀσφ.] Guelf. αὐτοῦ ut

λιστον, εἰ δύναιτο ποιῆσαι τοὺς κρατίστους ἑαυτῷ μᾶλλον φίλους ἢ ἀλλήλοις. Ὡς οὖν ἐπὶ τὸ φιλεῖσθαι δοκεῖ ἡμῖν ἐλθεῖν, τοῦτο πειρασόμεθα διηγήσασθαι.

CAP. II.

ΠΡΩΤΟΝ μὲν γὰρ διὰ παντὸς ἀεὶ τοῦ χρόνου φιλανθρωπίαν τῆς ψυχῆς ὡς ἠδύνατο μάλιστα ἐνεφάνιζεν· ἡγούμενος, ὥσπερ οὐ ῥᾴδιόν ἐστι φιλεῖν τοὺς μισεῖν δοκοῦντας, οὐδ' εὐνοεῖν τοῖς κακονόοις, οὕτω καὶ τοὺς γνωσθέντας, ὡς φιλοῦσι καὶ εὐνοοῦσιν, οὐκ ἂν δύνασθαι
μισεῖσθαι ὑπὸ τῶν φιλεῖσθαι ἡγουμένων. Ἕως μὲν 2
οὖν χρήμασιν ἀδυνατώτερος ἦν εὐεργετεῖν, τῷ τε προνοεῖν τῶν συνόντων, καὶ τῷ προπονεῖν, καὶ τῷ συνηδόμενος μὲν ἐπὶ τοῖς ἀγαθοῖς φανερὸς εἶναι, συναχθόμενος δὲ ἐπὶ τοῖς κακοῖς, τούτοις ἐπειρᾶτο τὴν φιλίαν θηρεύειν· ἐπειδὴ δὲ ἐγένετο αὐτῷ, ὥστε χρήμασιν εὐεργετεῖν, δοκεῖ ἡμῖν γνῶναι, πρῶτον μὲν, ὡς εὐεργέτημα ἀνθρώποις πρὸς ἀλλήλους οὐδέν ἐστιν ἀπὸ τῆς αὐτῆς δαπάνης ἐπιχαριτώτερον, ἢ σίτων καὶ ποτῶν μετάδοσις. Τοῦτο δ' οὕτω νομί- 3
σας, πρῶτον μὲν [ἐπὶ] τὴν αὐτοῦ τράπεζαν συνέταξεν, ὅπως, οἷς αὐτὸς σιτοῖτο σίτοις, τούτοις ὅμοια ἀεὶ παρατίθοιτο αὐτῷ, ἱκανὰ παμπόλλοις ἀνθρώποις· ὅσα δὲ παρατεθείη, ταῦτα πάντα, πλὴν οἷς αὐτὸς καὶ οἱ σύνδειπνοι χρήσαιντο, διεδίδου οἷς ἀεὶ βούλοιτο τῶν φίλων μνήμην ἐνδείκνυσθαι ἢ φιλοφροσύνην. Διέπεμπε δὲ καὶ

a) multis cibos de sua mensa mittebat.

Edd. veteres. ἑαυτοῦ dedit Zeune, ut Altorf.

φιλεῖσθαι] Altorf. liber mira varietate φείδεσθαι ἡμῖν δοκεῖ.

1. μὲν γὰρ] Altorf. μὲν διὰ—ὡς ἐδύνατο.

2. τῷ τε—καὶ τῷ] Altorf. τὸ προνοεῖν—καὶ τὸ προπονεῖν—θηρεύειν τὴν φιλίαν.

3. [ἐπὶ] Ut inutilem seclusi præpositionem. deinde ὅμοια δὴ παρατίθοιτο.

διεδίδου οἷς ἀεὶ] i. e. ἀεὶ διεδίδου οἷς recte monente Weiske; ita non opus est ἂν reponere ex Guelf. cum Zeunio.

τούτοις, οὓς ἀγασθείη, ἢ ἐν φυλακαῖς ἢ ἐν θεραπείαις ἢ
ἐν αἱστισινοῦν πράξεσιν· ἐνσημαινόμενος τοῦτο, ὅτι οὐκ ἂν
4 λανθάνοιεν χαρίζεσθαι βουλόμενοι. Ἐτίμα δὲ καὶ τῶν
οἰκετῶν ἀπὸ τῆς τραπέζης ὁπότε τινὰ ἐπαινέσειε· καὶ τὸν
πάντα δὲ σῖτον τῶν οἰκετῶν ἐπὶ τὴν αὑτοῦ τράπεζαν ἐπε-
τίθετο, οἰόμενος, ὥσπερ καὶ τοῖς κυσὶν, ἐμποιεῖν τινα καὶ
τοῦτο εὔνοιαν. Εἰ δὲ καὶ θεραπεύεσθαί τινα βούλοιτο
τῶν φίλων ὑπὸ πολλῶν, καὶ τούτοις ἔπεμπεν ἀπὸ τρα-
πέζης· καὶ νῦν γὰρ ἔτι οἷς ἂν ὁρῶσι πεμπόμενα ἀπὸ τῆς
βασιλέως τραπέζης, τούτους πάντες μᾶλλον θεραπεύ-
ουσι· νομίζοντες αὐτοὺς ἐντίμους εἶναι, καὶ ἱκανοὺς δια-
πράττειν, ἤν τι δέωνται. Ἔτι δὲ καὶ οὐ τούτων μόνον
ἕνεκα τῶν εἰρημένων εὐφραίνει τὰ πεμπόμενα παρὰ βα-
σιλέως, ἀλλὰ τῷ ὄντι καὶ ἡδονῇ πολὺ διαφέρει τὰ ἀπὸ
5 τῆς βασιλέως τραπέζης. Καὶ τοῦτο μέντοι οὕτως ἔχειν
οὐδέν τι θαυμαστόν· ὥσπερ γὰρ καὶ ἄλλαι τέχναι δια-
φερόντως ἐν ταῖς μεγάλαις πόλεσιν ἐξειργασμέναι εἰσὶ,
κατὰ τὸν αὐτὸν τρόπον καὶ τὰ παρὰ βασιλεῖ σῖτα πολὺ
διαφερόντως ἐκπεπόνηται. Ἐν μὲν γὰρ ταῖς μικραῖς
πόλεσιν οἱ αὐτοὶ ποιοῦσι κλίνην, θύραν, ἄροτρον, τράπε-
ζαν· πολλάκις δ' ὁ αὐτὸς οὗτος καὶ οἰκοδομεῖ, καὶ
ἀγαπᾷ, ἢν καὶ οὕτως ἱκανοὺς αὐτὸν τρέφειν ἐργοδότας

οὓς ἀγασθείη] Guelf. *οἷς*, quod recepit Zeune.

αἱστισινοῦν] Vett. Edd. *ταῖς τισινοῦν*. Steph. *ἄλλαις τισὶ* cum libro Camerarii et Altorf. Noſtrum eſt in libro Budæi, Philelphi, Bodl. Guelf.

οὐκ ἂν] Hoc vulgato *οὐχὶ* ex Bodl. et Guelf. prætulit Z.

λανθάνοιεν—βουλόμενοι] Brodæi libri *λανθάνοι—βουλόμενος*, quam lectionem arripuit Stephanus.

4. *κυσὶν*] Ita Ald. liber Brodæi, Philelphi, Bodl. Guelf. reliqui libri *παισίν*. Altorf. verba *καὶ τοῖς κυσὶν—θεραπεύεσθαι* omiſit.

τινα βούλοιτο] Stephanus *τινὰς* ob ſequens *τούτοις* dedit. Altorf. *βούλοιτό τινας* dat.

μᾶλλον θεραπεύουσι] Ex Guelf. ordinem mutavit Zeune.

ἕνεκα τῶν εἰρημένων] Altorf. *τῶν εἰρημένων ἕνεκα* dat, deinde *πάνυ διαφέρει*.

5. *ἄροτρον*] *ὕννιν, ἄροτρον* Budenſis liber omiſſo *τράπεζαν*. Altorf. locum primum *θύραν* dat.

οἰκοδομεῖ] Guelf. *οἰκονομεῖ*, vero ſupra ſcripto. deinde *λαμβάνει* Altorf. poſtea *ἅπαντα καλῶς*.

λαμβάνῃ· ἀδύνατον οὖν πολλὰ τεχνώμενον ἄνθρωπον
πάντα καλῶς ποιεῖν. ἐν δὲ ταῖς μεγάλαις πόλεσι, διὰ
τὸ πολλοὺς ἑκάστου δεῖσθαι, ἀρκεῖ καὶ μία ἑκάστῳ
τέχνη εἰς τὸ τρέφεσθαι· πολλάκις δὲ οὐδ᾽ ὅλη μία·
ἀλλ᾽ ὑποδήματα ποιεῖ ὁ μὲν ἀνδρεῖα, ὁ δὲ γυναικεῖα·
ἔστι δὲ ἔνθα καὶ ὑποδήματα ὁ μὲν νευροραφῶν μόνον τρέ-
φεται, ὁ δὲ σχίζων· ὁ δὲ χιτῶνας μόνον συντέμνων, ὁ δέ
γε τούτων οὐδὲν ποιῶν, ἀλλὰ συντιθεὶς ταῦτα. Ἀνάγκη
οὖν, τὸν ἐν βραχυτάτῳ διατρίβοντα ἔργῳ, τοῦτον καὶ
ἄριστα διηναγκάσθαι τοῦτο ποιεῖν. Τὸ αὐτὸ δὲ τοῦτο 6
πέπονθε καὶ τὰ ἀμφὶ τὴν δίαιταν. Ὧι μὲν γὰρ ὁ αὐ-
τὸς κλίνην στρώννυσι, τράπεζαν κοσμεῖ, μάττει, ὄψα
ἄλλοτε ἀλλοῖα ποιεῖ, ἀνάγκη, οἶμαι, τούτῳ, ὡς ἂν ἕκα-
στον προχωρῇ, οὕτως ἔχειν· ὅπου δὲ ἱκανὸν ἔργον ἑνὶ ἕψειν
κρέα, ἄλλῳ ὀπτᾶν, ἄλλῳ δὲ ἰχθὺν ἕψειν, ἄλλῳ ὀπτᾶν,
ἄλλῳ ἄρτους ποιεῖν, καὶ μηδὲ τούτους παντοδαπούς,
ἀλλὰ ἀρκεῖ, ἂν ἓν εἶδος εὐδοκιμοῦν παράσχῃ· ἀνάγκη,
οἶμαι, ταῦτα οὕτω ποιούμενα πολὺ διαφερόντως ἐξειργά-
σθαι ἕκαστον.

Τῇ μὲν δὴ τῶν σίτων θεραπείᾳ τοιαῦτα ποιῶν πολὺ 7
ὑπερεβάλετο πάντας. Ὡς δὲ καὶ τοῖς ἄλλοις πᾶσι
θεραπεύων πολὺ ἐκράτει, τοῦτο νῦν διηγήσομαι· πολὺ

b) aliis eos ornabat donis.

ἀρκεῖ καὶ μία] Altorf. ἀρκεῖ ἑκάστῳ μία omiſſa copula καί.

ὁ μὲν ἀνδρεῖα] Altorf. ὁ μὲν δὴ ἀνδρεῖα. non inepte.

ταῦτα] Quid? χιτῶνας præceſſit. Voluitne τὰ μέρη dicere? Stephanus in χιτῶνας etiam dubius adhæſit. *Concidere pannum ad tunicas* interpretatur Weiſke.

τοῦτον καὶ ἄριστα] In litura Budenſis Camerarius legebat τοῦτ᾽ ἂν vel τούτῳ vel τούτων ἄριστα διενέγκασθαι. At τοῦτον ἄριστα διενέγκασθαι Altorf. omiſſis verbis τοῦτο ποιεῖν. Guelf. ποιεῖν τοῦτο ordine diverſo habet. Verbum διηναγκάσθαι nec διενέγκασθαι ſanum puto; forte δύνασθαι fuit olim ejus loco vel δὴ ἠναγκάσθαι.

6. μάττει] Brodæi liber πέττει, quod Altorf. poſt μάττει adjungit πέττει. deinde ἄλλοτε ἄλλα præbet.

παράσχῃ] Margo Steph. παράσχηται et παρέχῃ.

ἐξειργάσθαι] Budenſis liber ἐξεργάζεσθαι. Paulo antea καὶ ταῦτα οὕτως Altorf. Ceterum comma poſt ποιούμενα ſuſtuli, ne quis cum Zeunio accuſativos abſolutos eſſe putet.

7. ὑπερεβάλετο] Guelf. ὑπερεβάλλετο. deinde πολὺ γὰρ δὴ διενεγκὼν Altorf.

γὰρ διενεγκὼν ἀνθρώπων τῷ πλείστας προσόδους λαμ-
βάνειν, πολὺ ἔτι πλέον διήνεγκε τῷ πλεῖστα ἀνθρώπων
δωρεῖσθαι. Κατῆρξε μὲν οὖν τούτου Κῦρος· διαμένει δὲ
8 ἔτι καὶ νῦν τοῖς βασιλεῦσιν ἡ πολυδωρία. Τίνι μὲν γὰρ
φίλοι πλουσιώτεροι ὄντες φανεροὶ, ἢ Περσῶν βασιλεῖ;
Τίς δὲ κοσμῶν κάλλιον φαίνεται στολαῖς τοὺς περὶ αὐ-
τὸν, ἢ βασιλεύς; Τίνος δὲ δῶρα γιγνώσκεται, ὥσπερ
ἔνια τῶν βασιλέως,

ψέλλια καὶ στρεπτοὶ καὶ ἵπποι χρυσοχάλινοι;

οὐ γὰρ δὴ ἔξεστιν ἐκεῖ ταῦτα ἔχειν, ᾧ ἂν μὴ βασιλεὺς
9 δῷ. Τίς δ᾽ ἄλλος λέγεται δώρων μεγέθει ποιεῖν αἱ-
ρεῖσθαι αὐτὸν καὶ ἀντ᾽ ἀδελφῶν καὶ ἀντὶ παίδων; Τίς
δ᾽ ἄλλος ἐδυνάσθη ἐχθροὺς ἀπέχοντας πολλῶν μηνῶν
ὁδὸν τιμωρεῖσθαι, ὡς Περσῶν βασιλεύς; Τίς δὲ ἄλλος,
καταστρεψάμενος ἀρχὴν, ὑπὸ τῶν ἀρχομένων πατὴρ
καλούμενος ἀπέθανεν, ἢ Κῦρος; Τοῦτο δὲ τοὔνομα δῆλον
10 ὅτι εὐεργετοῦντός ἐστι μᾶλλον, ἢ ἀφαιρουμένου. Κατε-
μάθομεν δὲ, ὡς καὶ τοὺς βασιλέως καλουμένους ὀφθαλ-
μοὺς καὶ τὰ βασιλέως ὦτα οὐκ ἄλλως ἐκτήσατο, ἢ τῷ
δωρεῖσθαί τε καὶ τιμᾷν· τοὺς γὰρ ἀπαγγείλαντας, ὅσα
καιρὸς αὐτῷ εἴη πεπύσθαι, μεγάλως εὐεργετῶν, πολ-
λοὺς ἐποίησεν ἀνθρώπους καὶ ὠτακουστεῖν καὶ κατοπτεύ-
11 ειν, τί ἂν ἀγγείλαντες ὠφελήσειαν βασιλέα. Ἐκ τού-
του δὴ καὶ πολλοὶ ἐνομίσθησαν βασιλέως ὀφθαλμοὶ,

8. κάλλιον] Edd. veteres κάλλιστον. nostrum Philelphus, Steph. Guelf.

Τίνος δὲ] Budensis et Altorf. liber τὰ τίνος, probante Stephano.

τῶν βασιλέως] Brodæus τοῦ β. malebat. Cf. Anabasis i. 2, 27. Ceterum Alexander de Figuris p. 78. h. l. ita laudat: ἢ τῶν Περσῶν—τίς δὲ κοσμῶν φ. ἀεὶ τοὺς περὶ αὐτὸν μᾶλλον ὡς βασιλεύοντας;—γινώσκεται μᾶλλον ἢ τὰ βασιλέως. Altorf. ψέλια dat.

9. αὐτὸν] Sic Edd. vett. et Guelf. Alii αὑτὸν cum Stephano. ἑαυτὸν Altorf.

μηνῶν] Philel. et margo Steph. ἡμερῶν.

10. κατεμάθομεν] Margo Steph. κατέμαθον. quod est in Altorf.

ἄλλως] Ita cum Steph. Guelf. alii libri ἄλλῳ.

κατοπτεύειν] Guelf. διοπτεύειν, sed correctum. deinde ἀπαγγείλαντες Altorf.

καὶ πολλὰ ὦτα. Εἰ δέ τις οἴεται, ἕνα αἱρετὸν εἶναι ὀφθαλμὸν βασιλεῖ, οὐκ ὀρθῶς οἴεται· ὀλίγα γὰρ εἷς γ' ἂν ἴδοι καὶ εἷς ἀκούσειε· καὶ τοῖς ἄλλοις ὥσπερ ἀμελεῖν ἂν παραγγελλόμενον εἴη, εἰ ἑνὶ τοῦτο προστεταγμένον εἴη· πρὸς δὲ καὶ ὅντινα γιγνώσκοιεν ὀφθαλμὸν ὄντα, τοῦτον ἂν εἰδεῖεν ὅτι φυλάττεσθαι δεῖ. Ἀλλ' οὐχ οὕτως ἔχει, ἀλλὰ τοῦ φάσκοντος ἀκοῦσαί τι ἢ ἰδεῖν ἄξιον ἐπιμελείας παντὸς βασιλεὺς ἀκούει. Οὕτω δὴ πολλὰ μὲν βασι- 12
λέως ὦτα πολλοὶ δὲ ὀφθαλμοὶ νομίζονται· καὶ φοβοῦνται πανταχοῦ λέγειν τὰ μὴ σύμφορα βασιλεῖ, ὥσπερ αὐτοῦ ἀκούοντος, καὶ ποιεῖν, ἃ μὴ σύμφορα, ὥσπερ αὐτοῦ παρόντος. Οὔκουν ὅπως μνησθῆναι ἄν τις ἐτόλμησε πρός τινα περὶ Κύρου φλαῦρόν τι, ἀλλ' ὡς ἐν ὀφθαλμοῖς πᾶσι καὶ ὠσὶ βασιλέως τοῖς ἀεὶ παροῦσιν οὕτως ἕκαστος διέκειτο. Τοῦ δὲ οὕτω διακεῖσθαι τοὺς ἀνθρώπους πρὸς αὐτὸν, ἐγὼ μὲν οὐκ οἶδ', ὅ τι ἄν τις αἰτιάσαιτο μᾶλλον, ἢ ὅτι μεγάλα ἤθελεν ἀντὶ μικρῶν εὐεργετεῖν.

Καὶ τὸ μὲν δὴ μεγέθει δώρων ὑπερβαλέσθαι, πλου- 13
σιώτατον ὄντα, οὐ θαυμαστόν· τὸ δὲ τῇ θεραπείᾳ καὶ τῇ ἐπιμελείᾳ τῶν φίλων βασιλεύοντα περιγίγνεσθαι,

c) omnino se benevolum et liberalem adversus eos præbebat.

11. οἴεται—οἴεται] Liber Budensis cum Altorfino εἰ δέ τινες ᾤοντο—οἴονται.

ἕνα αἱρετὸν] Loca scriptorum posuit Brissonius p. 126. Cf. infra viii. 6, 16.

εἷς γ' ἂν] γε ex Guelf. addidit Zeune, quod addi jam voluerat Brodæus, et habet Altorf.

πρὸς δὲ] Scilicet τούτοις, præterea.

παντὸς] Budensis liber cum Altorfino πάντως.

12. πολλὰ μὲν] Altorf. membra transponit, et posteriore loco πολλὰ δὲ βασιλέως ὦτα νομίζεται collocat.

ποιεῖν ἃ μὴ] Verba duo postrema Altorf. liber omisit: verum sic etiam tertium σύμφορα omitti debuit.

τοῦ δὲ οὕτω] Hoc vulgato τὸ δὲ οὕτω ex Guelf. prætulit Z. sed exemplum non posuit verbi αἰτιᾶσθαί τινα τινὸς sic juncti.

οὐκ οἶδ' ὅ τι] Margo Steph. οὐκ οἶμαι ὅτι, quæ est lectio Altorfini libri.

13. Καὶ τὸ] Ita cum Altorfino libro scripsi pro καὶ τῷ—ὑπερβάλλειν. Huc ducit etiam Zonaras ἀλλὰ τὸ μὲν referens, et deinde τὸ δὲ τῇ θεραπείᾳ quare non dubitavi cum eodem Altorf. τὸ δὲ τῇ θερ. scribere. Vulgo τῇ δὲ θεραπείᾳ legitur. Steph. ὑπερβαλεῖν dedit propter sequens περιγενέσθαι, quod contra Zeune ex Guelf. Zonara, Ald. et Altorf. in περιγίγνεσθαι mutavit. Equidem ὑπερβαλλεσθαι malim.

τοῦτο ἀξιολογώτερον. Ἐκεῖνος τοίνυν λέγεται κατάδηλος εἶναι μηδενὶ ἂν οὕτως αἰσχυνθεὶς ἡττώμενος, ὡς φίλων
14 θεραπείᾳ. Καὶ λόγος δὲ αὐτοῦ ἀπομνημονεύεται, ὡς λέγοι, παραπλήσια ἔργα εἶναι νομέως ἀγαθοῦ καὶ βασιλέως ἀγαθοῦ· τόν τε γὰρ νομέα χρῆναι ἄρα ἔφη εὐδαίμονα τὰ κτήνη ποιοῦντα, χρῆσθαι αὐτοῖς, (ᾗ δὴ προβάτων εὐδαιμονία) τόν τε βασιλέα ὡσαύτως εὐδαίμονας πόλεις καὶ ἀνθρώπους ποιοῦντα, χρῆσθαι αὐτοῖς. Οὐδὲν οὖν θαυμαστὸν, εἴπερ ταύτην εἶχε τὴν γνώμην, τὸ φιλονείκως ἔχειν πάντων ἀνθρώπων θεραπείᾳ περιγίγνεσθαι.

15 Καλὸν δὲ ἐπίδειγμα καὶ τοῦτο λέγεται Κῦρος ἐπιδεῖξαι Κροίσῳ, ὅτε ἐνουθέτει αὐτὸν, ὡς διὰ τὸ πολλὰ διδόναι πένης ἔσοιτο, ἐξὸν αὐτῷ θησαυροὺς χρυσοῦ πλείστους ἑνί γε ἀνδρὶ ἐν τῷ οἴκῳ καταθέσθαι· καὶ τὸν Κῦρον λέγεται ἐρέσθαι· Καὶ πόσα ἂν ἤδη οἴει μοι χρήματα εἶναι, εἰ συνέλεγον χρυσίον, ὥσπερ σὺ κελεύεις, ἐξ ὅτου ἐν τῇ ἀρχῇ εἰμί; Καὶ τὸν Κροῖσον εἰπεῖν πολύν τινα ἀριθ-
16 μόν. Καὶ τὸν Κῦρον πρὸς ταῦτα, Ἄγε δὴ φάναι, ὦ Κροῖσε, σύμπεμψον ἄνδρα σὺν Ὑστάσπᾳ τούτῳ, ὅτῳ σὺ πιστεύεις μάλιστα. Σὺ δὲ, ὦ Ὑστάσπα, ἔφη, ἐλθὼν

κατάδηλος] Brodæus πᾶσι κατ. malebat, quod eſt in Altorf. libro.

14. Καὶ λόγος] Copulam omittit liber Altorfinus.

ὡς λέγοι] Stob. ὃς λέγει. Guelf. ὡς λέγοι καὶ ſed καὶ punctis notatum.

χρῆναι ἄρα] ἄρα ex libro Budenſi, Altorf. et Stobæo addidit Z. Pro εὐδαίμονα Zonaras εὐτραφῆ dixit.

ᾗ δὴ] Philel. et Stob. εἰ δή. Verba hæc omnia ᾗ δὴ—εὐδαιμονία ſequi debebant ſtatim poſt ποιοῦντα, et forte ſcribenda ᾗ δὴ, *quatenus pecorum felicitas dicitur.* Certe pecorum felicitas non domini uſu et fructu, ſed cura et victus abundantia ſpectatur.

εἶχε] Ita cum Steph. Philelphus; reliqui libri ἔχει.

φιλονείκως ἔχειν] Id eſt, φιλονικεῖν. Sed duriuſcula oratio hæc mihi quidem videtur. Saltem αὐτὸν additum eſſet. Altorf. liber θεραπείᾳ πάντων ἀνθρώπων habet.

15. ἤδη] Ald. omittit. οἴει ἤδη Altorf.

ὅτου] Guelf. ὅσου. deinde τὸν δὲ Κῦρον πρὸς ταῦτα Altorf.

16. σύμπεμψον] Margo Steph. σὺ πέμψον.

ἔφη, ἐλθὼν] Altorf. ἔφατο ἄρα ἐλθὼν πρός. Zonaras πρὸς omiſit. Vulgo περιελθὼν πρός

πρὸς τοὺς φίλους, λέγε αὐτοῖς, ὅτι δέομαι χρυσίου πρὸς
πρᾶξίν τινα· (καὶ γὰρ τῷ ὄντι προσδέομαι) καὶ κέλευε
αὐτοὺς, ὁπόσα ἂν ἕκαστος δύναιτο, πορίσαι μοι χρή-
ματα· γράψαντας δὲ καὶ κατασημηναμένους δοῦναι τὴν
ἐπιστολὴν τῷ Κροίσου θεράποντι φέρειν. Ταῦτα δὲ, ὅσα 17
ἔλεγε, καὶ γράψας καὶ σημηνάμενος, ἐδίδου τῷ Ὑστά-
σπᾳ φέρειν πρὸς τοὺς φίλους, προσενέγραφε δὲ πρὸς
πάντας, καὶ Ὑστάσπαν ὡς φίλον αὐτοῦ δέχεσθαι.
Ἐπεὶ δὲ περιῆλθε, καὶ ἤνεγκεν ὁ Κροίσου θεράπων τὰς
ἐπιστολὰς, ὁ μὲν δὴ Ὑστάσπας εἶπεν· Ὦ Κῦρε βασι-
λεῦ, καὶ ἐμοὶ ἤδη χρὴ ὡς πλουσίῳ χρῆσθαι· πάμ-
πολλα γὰρ ἔχων πάρειμι δῶρα, διὰ τὰ σὰ γράμματα.
Καὶ ὁ Κῦρος εἶπεν· Εἷς μὲν τοίνυν καὶ οὗτος ἤδη θησαυρὸς 18
ἡμῖν, ὦ Κροῖσε· τοὺς δὲ ἄλλους καταθεῶ, καὶ λόγισαι,
πόσα ἐστὶν ἕτοιμα χρήματα, ἤν τι δέωμαι χρῆσθαι.
Λέγεται δὴ λογιζόμενος ὁ Κροῖσος πολλαπλάσια εὑρεῖν,
ἢ ἔφη Κύρῳ ἂν εἶναι ἐν τοῖς θησαυροῖς ἤδη, εἰ συνέλεγεν.
Ἐπεὶ δὲ τοῦτο φανερὸν ἐγένετο, εἰπεῖν λέγεται ὁ Κῦρος, 19
Ὁρᾷς, φάναι, ὦ Κροῖσε, ὡς εἰσὶ καὶ ἐμοὶ θησαυροί;
Ἀλλὰ σὺ μὲν κελεύεις με, παρ' ἐμοὶ αὐτοὺς συλλέγον-
τα, φθονεῖσθαί τε δι' αὐτοὺς καὶ μισεῖσθαι, καὶ, φύ-
λακας αὐτοῖς ἐφιστάντα μισθοφόρους, τούτοις πιστεύειν·
ἐγὼ δὲ, τοὺς φίλους πλουσίους ποιῶν, τούτους μοι νομίζω

δέομαι] Budensis liber et margo Steph. προσδεήσομαι. Altorf. προσδέομαι χρυσίον.

κέλευε] Ex Castalionis ἐκέλευε Editio Bryl. ἐκέλευσε fecit.

δὲ καὶ κατασημηναμένους] δὲ omittit Junt. Guelf. et Altorf. τοῦτο pro καὶ Isingr. Castal. nostrum est in Ald. Philelpho, Steph.

17. ἔλεγε, καὶ] Omittit καὶ Ald. quæ bis Ὑστάσπην,—ης habet. Verba ταῦτα δὲ ὅσα—φέρειν omisit Altorfinus liber.

προσενέγραφε] Ita cum Altorfino libro pro ἐνέγραψε scripsi.

ὁ μὲν δὴ] Ex libro Altorfino μὲν accessit.

γράμματα] Junt. πράγματα, quod ex correctione est etiam in Guelf.

18. πόσα ἐστὶν] Zonaras ἐμοὶ interserit.

Λέγεται δὴ] Guelf. λέγεται δέ. deinde λογισάμενος Altorf.

19. τούτοις πιστεύειν] Intellige φύλαξι. Altorf. τούτους πιστεύειν.

θησαυροὺς καὶ φύλακας ἅμα ἐμοῦ τε καὶ τῶν ἡμετέρων ἀγαθῶν πιστοτέρους εἶναι, ἢ εἰ φρουροὺς μισθοφόρους
20 ἐπεστησάμην. Καὶ ἄλλο δέ σοι ἐρῶ· ἐγὼ γὰρ, ὦ Κροῖσε, ὃ μὲν οἱ θεοὶ δόντες εἰς τὰς ψυχὰς τοῖς ἀνθρώποις ἐποίησαν ὁμοίως πένητας πάντας, τούτου μὲν οὐδὲ αὐτὸς δύναμαι περιγενέσθαι, ἀλλ' εἰμὶ ἄπληστος κἀγὼ,
21 ὥσπερ οἱ ἄλλοι, χρημάτων· τῇ δέ γε μέντοι διαφέρειν μοι δοκῶ τῶν πλείστων, ὅτι οἱ μὲν, ἐπειδὰν τῶν ἀρκούντων περιττὰ κτήσωνται, τὰ μὲν αὐτῶν κατορύττουσι, τὰ δὲ κατασήπουσι, τὰ δὲ ἀριθμοῦντες καὶ μετροῦντες καὶ ἱστάντες καὶ διαψύχοντες καὶ φυλάττοντες πράγματα ἔχουσι, καὶ ὅμως, ἔνδον ἔχοντες τοσαῦτα, οὔτε ἐσθίουσι πλείω, ἢ δύνανται φέρειν, (διαῤῥαγεῖεν γὰρ ἂν) οὔτ' ἀμφιέννυνται πλείω, ἢ δύνανται φέρειν, (ἀποπνιγεῖεν γὰρ ἂν) ἀλλὰ τὰ περιττὰ χρήματα πράγματα ἔχουσιν.
22 Ἐγὼ δὲ ὑπηρετῶ μὲν τοῖς θεοῖς, καὶ ὀρέγομαι ἀεὶ πλειόνων· ἐπειδὰν δὲ κτήσωμαι, ἃ ἂν ἴδω περιττὰ ὄντα τῶν ἐμοὶ ἀρκούντων, τούτοις τάς τ' ἐνδείας τῶν φίλων ἐξακοῦμαι, καὶ πλουτίζων καὶ εὐεργετῶν ἀνθρώπους εὔνοιαν ἐξ αὐτῶν κτῶμαι καὶ φιλίαν, καὶ ἐκ τούτων καρποῦμαι ἀσφάλειαν καὶ εὔκλειαν· ἃ οὔτε κατασήπεται, οὔτε ὑπερπληροῦντα λυμαίνεται· ἀλλὰ ἡ εὔκλεια, ὅσῳ ἂν

φρουροὺς μισθοφόρους] In libris quibusdam deeſſe ait μισθ. Stephanus. Medium verbum hic adeſt, ubi antea activum ἐφιστάντι.

20. ἄλλο] Guelf. ἄλλα. deinde ἃ μὲν οἱ θεοὶ — πάντας ὁμοίως πένητας. πάντας πένητας Guelf. Ad ὃ Brodæus κατὰ intelligi volebat. Male. Dicit Xenophon habendi cupiditatem naturæ humanæ inſitam.

21. αὐτῶν κατορύττουσι] Ex Guelf. αὖ κατορύττουσι laudat Zeune: deinde ἃ δὲ ἀριθμοῦντες καὶ ἱστάντες καὶ μετροῦντες.

διαψύχοντες] Brodæus διαψήχοντες, purgantes, detergentes, laudat, et probat Steph. in Theſ. G. L.

τοσαῦτα] Hoc pro αὐτὰ ex Philelpho et Guelf. dedit Z. deinceps iidem libri bis πλεῖον dant pro πλείω probatum Zeunio.

22. ἐξακοῦμαι] Hoc vulgato ἐξαρκοῦμαι in Cod. Budenſi, Altorfino et Mureti repertum prætulit jam olim Budæus et Stephanus.

ὑπερπληροῦντα λυμαίνεται] Leonclavii verſio *neque nimium excreſcendo vitiantur* Weiſkio anſam diſputandi de loci ſententia præbuit, quam præcidiſſet Camerarii verſio inſpecta:

πλείων ᾖ, τοσούτῳ καὶ μείζων καὶ καλλίων καὶ κουφοτέρα φέρειν γίγνεται, πολλάκις δὲ καὶ τοὺς φέροντας αὐτὴν κουφοτέρους παρέχεται. Ὅπως δὲ καὶ τοῦτο εἰ- 23
δῇς, ἔφη, ὦ Κροῖσε, ἐγὼ οὐ τοὺς πλεῖστα ἔχοντας καὶ φυλάττοντας πλεῖστα εὐδαιμονεστάτους ἡγοῦμαι· (οἱ γὰρ τὰ τείχη φυλάττοντες οὕτω γ' ἂν εὐδαιμονέστατοι εἴησαν· πάντα γὰρ τὰ ἐν ταῖς πόλεσι φυλάττουσιν) ἀλλ' ὃς ἂν κτᾶσθαί τε πλεῖστα δύνηται σὺν τῷ δικαίῳ, χρῆσθαί τε πλείστοις σὺν τῷ καλῷ, τοῦτον ἐγὼ εὐδαιμονέστατον νομίζω· [καὶ τὰ χρήματα.] Καὶ ταῦτα μὲν δὴ φανερὸς ἦν, ὥσπερ καὶ ἔλεγε, πράττων.

Πρὸς δὲ τούτοις κατανοήσας τοὺς πολλοὺς τῶν ἀνθρώ- 24
πων, ὅτι, ἢν μὲν ὑγιαίνοντες διατελῶσι, παρασκευάζονται, ὅπως ἕξουσι τὰ ἐπιτήδεια, καὶ κατατίθενται τὰ χρήσιμα εἰς τὴν τῶν ὑγιαινόντων δίαιταν· ὅπως δέ, ἢν ἀσθενήσωσι, τὰ σύμφορα παρέσται, τούτου οὐ πάνυ ἐπιμελουμένους ἑώρα· ἔδοξεν οὖν καὶ ταῦτα ἐκπονῆσαι

d) etiam medicos constituebat, qui ægrotantes curarent.

neque lædunt vel maximo pondere copiæ suæ.

ἀλλὰ ἢ] Brodæus ἀλλὰ ἡ μὲν corrigebat, quæ eſt lectio in Altorfino libro.

πλείων] Guelf. πλείω, deinceps καὶ ante μείζων omittit.

αὐτὴν] Ita pro αὐτὰ Edd. vett. Philel. et Guelf.

κουφοτέρους] Sententia non tam abdita, quam putabat Weiſke, ſi comparationem cum cibo memineris. Significat leviores agilioreſque et ad res gerendas aptiores; quorum corpus non eſt veluti nimia ciborum copia ingeſta grave, languidum et labori ineptum redditum.

23. εἰδῇς] Stob. εἰδείης. quæ eſt ſcriptura libri Altorfini.

ἐγὼ οὐ] ἐγὼ γὰρ οὐ Guelf.

οὕτω γ' ἂν] Stobæus οὗτοι ἄν. Vulgatum οὕτως ἂν ex Altorfino correxi, qui paulo ante οἱ τείχη omiſſo articulo τά.

κτᾶσθαι] Stob. πλεῖστά τε κτᾶσθαι. Guelf. τις pro τε. Altorf. πλεῖστα κτᾶσθαι δύνηται. Junt. δυνήσεται.

χρῆσθαί τε] Ita Steph. Libri editi et ſcripti κεχρῆσθαί τε. Stob. cum Altorf. καὶ χρ. quod Zeune probavit.

καὶ τὰ χρήματα] Brodæus Stobæi κατὰ χρήματα probabat, ut Steph. mihi verba hæc aliena a ſententia et a manu gloſſatoris eſſe videntur; igitur ſecluſi. Idem viſum fuit Weiſkio.

ἔλεγε, πράττων] Plene dicere ſolet οὕτω καὶ πράττων. Conf. ſupra viii. 1, 8. Hiſt. gr. ii. 4, 9. iii. 4, 5. Symp. ii. 25.

24. ἢν μὲν] J. Iſ. ἢν μὴ, quod in Guelf. ſupra ſcriptum. Correxit Brodæus.

ὅπως δὲ] Altorfinus liber ἐὰν δὲ ἀσθενήσωσιν, ὅπως τὰ σ. π. qui verborum ordo mihi et verus et elegantior videtur eſſe.

οὐ πάνυ] Guelf. οὐ πάντας, verum in margine et Philelpho.

αὐτῷ, τούς τε ἰατροὺς τοὺς ἀρίστους συνεκομίσατο πρὸς
αὐτὸν, τῷ τελεῖν ἐθέλειν, καὶ ὁπόσα ἢ ὄργανα χρήσιμα
ἔφη τις ἂν αὐτῷ γενέσθαι ἢ φάρμακα ἢ σῖτα ἢ ποτὰ,
οὐδὲν τούτων ὅ τι οὐχὶ παρασκευάσας ἐθησαύριζε παρ'
25 αὐτῷ. Καὶ ὁπότε δέ τις ἀσθενήσειε τῶν θεραπεύεσθαι
ἐπικαιρίων, ἐπεσκόπει, καὶ παρεῖχε πάντα, ὅτου ἔδει·
καὶ τοῖς ἰατροῖς δὲ χάριν ᾔδει, ὁπότε τις ἰάσαιτό τινα τῶν
παρ' ἐκείνου λαμβάνων.

Eodem consilio, ut nempe aliquid dissen-

26 Ταῦτα μὲν δὴ καὶ τοιαῦτα πολλὰ ἐμηχανᾶτο πρὸς τὸ
πρωτεύειν, παρ' οἷς ἐβούλετο ἑαυτὸν φιλεῖσθαι. Ὧν δὲ
προηγόρευέ τε ἀγῶνας, καὶ ἆθλα προυτίθει, φιλονεικίας

τούς τε] Altorf. καὶ ἰατροὺς τοὺς ἀρίστους ἐνεκομίσατο.

τῷ τελεῖν] Ita libri Gabr. Camer. margo Bodl. et Steph. ſed τῷ τε λέγειν Guelf. Bodl. cum libris vulgatis. In Guelf. τῷ eſt a recentiore manu additum. *Ut cum his loqueretur* eſt in Philelphi interpretatione. τὸ τελεῖν ἐθέλειν καὶ ὁπόσα τε ἢ ὄργανα Altorfinus liber. Mihi verbum συγκομίζεσθαι diſplicet, quod noſter ſupra iv. 3, 18. adhibet ita: πάντα ταῦτα συγκομίζομαι πρὸς ἐμαυτὸν ἱππεὺς γενόμενος h. e. *hæc omnia complectar et poſſidebo una.* Proprio ſenſu eſt i. 5, 12. κάλλιστον κτῆμα εἰς τὰς ψυχὰς συγκεκόμισθε.

χρήσιμα ἔφη] Ita Edd. vett. Philel. Guelf. ante γενέσθαι repoſuit χρ. Stephanus et Weiſke.

ἂν αὐτῷ] Ita Steph. αὐτῶν Edd. vett. Philel. Guelf.

ἐθησαύριζε] Altorf. ἐθησαύρισε παρ' ἑαυτῷ.

25. ἐπικαιρίων] *Quos coli Cyri intererat*, interpretatur Zeune. *Homines publice aut privatim utiles* intelligit Weiſke; itaque decrepitos et homines nequitia laborantes excludit. Quæ mihi ſententia in græcis ineſſe non videtur. Sed videamus de vocabulo ipſo, cujus uſum Xenophon frequentavit. In Cyropædia, Hiſtoria græca et Anabaſi ἐπικαιρίους principes viros copiarum ſuarum, præcipue duces prudentiſſimos rebuſque gerendis aptos vocat, quod bene docuit Index Zeunianus Cyropædiæ. Atque ita in Œconomico xv. 11. eſt οἱ τεχνῖται ἀποκρύπτονται τὰ ἐπικαιριώτατα ἧς ἕκαστος ἔχει τέχνης, *celant artifices excellentiſſimas et præcipuas artis ſuæ partes et quaſi capita.* Hinc omnes res, quarum in tempore aliquo certo maximus aut præcipuus eſt uſus, ἐπικαίρια dicuntur, veluti χωρία ἐπικαίρια, Hieronis x. 5. in libro Brodæi, ubi ἐπίκαιρα editur, ut Œconom. xx. 9. *loca opportuna* dicunt latini. Hinc *utilis* vel *neceſſarius* verti poteſt, ut Memorab. iii. 6, 10. ὁπόσαι φυλακαὶ ἐπίκαιροί εἰσι καὶ ὅσαι μή. ubi paulo poſt αἱ περιτταὶ opponuntur. In libro de Re Equeſtri xii. 7. ἐν τῷ ἐπικαιροτάτῳ ἀφύλακτον ἔσται. *in loco vulneribus letalibus maxime omnium obnoxio.* ubi ἐπικαιριωτάτῳ malim, uti vulnus ipſum καίριον, et πληγὴ καιρία dicitur. Hinc Œcon. v. 4. καὶ γὰρ ἐν τῷ χώρῳ καὶ ἐν τῷ ἄστει ἀεὶ ἐν ὥρᾳ αἱ ἐπικαιριώταται πράξεις εἰσιν. *Opera enim ruſtica et urbana, quibus ſumma rei domeſticæ continetur, ſuum quæque tempus ad agendum opportunum habent, quod ſi omittatur, res cum occaſione dilabitur.*

ᾔδει] J. Iſ. ἤδη, correxit Brodæus. Paulo antea ὅτου ἐδόκει Altorf.

ἰάσαιτο] Ita Junt. ἰάσατο Alt. Iſ.

τῶν παρ'] τοῖς παρ' Guelf.

26. ἀγῶνας] Altorf. ἀγῶνα—προστίθει.

ἐμποιεῖν βουλόμενος περὶ τῶν καλῶν καὶ ἀγαθῶν ἔργων,
ταῦτα τῷ μὲν Κύρῳ ἔπαινον παρεῖχεν, ὅτι ἐπεμέλετο,
ὅπως ἀσκοῖτο ἡ ἀρετή· τοῖς μέντοι ἀρίστοις οἱ ἀγῶνες οὗ-
τοι πρὸς ἀλλήλους καὶ ἔριδας καὶ φιλονεικίας ἐνέβαλ-
λον. Πρὸς δὲ τούτοις, ὥσπερ νόμον κατεστήσατο ὁ Κῦ- 27
ρος, ὅσα διακρίσεως δέοιτο εἴτε δίκῃ εἴτε ἀγωνίσματι,
τοὺς δεομένους διακρίσεως συντρέχειν τοῖς κριταῖς. Δῆ-
λον οὖν, ὅτι ἐστοχάζοντο μὲν οἱ ἀνταγωνιζόμενοί τι ἀμφό-
τεροι τῶν κρατίστων καὶ τῶν μάλιστα φίλων κριτῶν· ὁ
δὲ μὴ νικῶν τοῖς μὲν νικῶσιν ἐφθόνει, τοὺς δὲ μὴ ἑαυτὸν
κρίνοντας ἐμίσει· ὁ δ᾽ αὖ νικῶν, τῷ δικαίῳ προσεποιεῖτο
νικᾶν, ὥστε χάριν οὐδενὶ ἡγεῖτο ὀφείλειν. Καὶ οἱ πρω- 28
τεύειν δὲ βουλόμενοι φιλίᾳ παρὰ Κύρῳ, ὥσπερ ἄλλοι ἐν
πόλεσιν, καὶ οὗτοι ἐπιφθόνως πρὸς ἀλλήλους εἶχον· ὥσθ᾽
οἱ πλέονες ἐκποδὼν ἐβούλοντο ὁ ἕτερος τὸν ἕτερον γενέσθαι
μᾶλλον, ἢ συνέπραξαν ἄν τι ἀλλήλοις ἀγαθόν. Καὶ
ταῦτα μὲν δεδήλωται, ὡς ἐμηχανᾶτο, τοὺς κρατίστους
αὐτὸν μᾶλλον πάντας φιλεῖν ἢ ἀλλήλους.

sionis inter eos aleretur, certamina instituit.

CAP. III.

ΝΥΝ δὲ ἤδη διηγησόμεθα, ὡς τὸ πρῶτον ἐξήλασε Κῦρος ἐκ τῶν βασιλείων· καὶ γὰρ αὐτῆς τῆς ἐξελάσεως ἡ

Pompa Cyri primum e regia prodeuntis ad loca sacra.

27. ἀγωνίσματι] Oppositum δίκῃ videtur esse judicium publicum.

συντρέχειν] *Concurrere ad judices* Index Zeunii interpretatur, ut Abresch ad Aristænet. p. 71. sed sequens ἐστοχάζοντο ἀμφότεροι τῶν κρατίστων arguit judices a litigantibus electos fuisse, et utramque partem in judicibus consentire debuisse. Est ergo *convenire*, *consentire*.

ἀνταγωνιζόμενοι] Guelf. ἀγωνιζόμενοι, vulgata supra scripta. Paulo antea μὲν omittit Altorf.

κρατίστων] *Optimates*, *principes* interpretatur Weiske.

28. ἐν πόλεσι] *In democratiis*. Camerarii versio *civitates* nominat, et annotat, quæ a Xenophonte tradantur de eunuchis propter diffidentiam, de armis ademtis et dissidio inter proceres, ea ab Aristotele libro v. Politicorum tanquam tyrannica instituta commemorari.

ὥσθ᾽ οἱ] Altorf. ὥστε καὶ οἱ πλέονες — κρατίστους πάντας μᾶλλον ἑαυτὸν φιλεῖν. Etiam Edd. pr. et Guelf. αὐτὸν, Stephanus αὑτὸν dedit.

σεμνότης ἡμῖν δοκεῖ μία τῶν τεχνῶν εἶναι τῶν μεμηχανη-
μένων, τὴν ἀρχὴν μὴ εὐκαταφρόνητον εἶναι. Πρῶτον μὲν
οὖν πρὸ τῆς ἐξελάσεως εἰσκαλέσας πρὸς αὐτὸν τοὺς τὰς
ἀρχὰς ἔχοντας Περσῶν τε καὶ τῶν ἄλλων, διέδωκεν αὐ-
τοῖς τὰς Μηδικὰς στολάς· (καὶ τότε πρῶτον Πέρσαι
Μηδικὴν στολὴν ἐνέδυσαν) διαδιδούς τε, ἅμα τάδε ἔλεγεν
αὐτοῖς, ὅτι ἐλάσαι βούλοιτο εἰς τὰ τεμένη τὰ τοῖς θεοῖς
2 ἐξῃρημένα, καὶ θῦσαι μετ' ἐκείνων. Πάρεστε οὖν, ἔφη,
αὔριον ἐπὶ τὰς θύρας, κοσμηθέντες ταῖς στολαῖς ταύ-
ταις, πρὶν ἥλιον ἀνατέλλειν, καὶ καθίστασθε, ὡς ἂν
ὑμῖν Φεραύλας ὁ Πέρσης ἐξαγγείλῃ παρ' ἐμοῦ· καὶ ἐπει-
δὰν, ἔφη, ἐγὼ ἡγῶμαι, ἕπεσθε ἐν τῇ ῥηθείσῃ χώρᾳ.
Ἣν δ' ἄρα τινὶ δοκῇ ὑμῶν ἄλλῃ κάλλιον εἶναι, ἢ ὡς ἂν
νῦν ἐλαύνωμεν, ἐπειδὰν πάλιν ἔλθωμεν, διδασκέτω με·
ὅπῃ γὰρ ἂν κάλλιστον καὶ ἄριστον ὑμῖν δοκῇ εἶναι, ταύτῃ
3 ἕκαστα δεῖ καταστήσασθαι. Ἐπεὶ δὲ τοῖς κρατίστοις
διέδωκε τὰς καλλίστας στολὰς, ἐξέφερε δὴ καὶ ἄλλας
Μηδικὰς στολάς· (παμπόλλας γὰρ παρεσκευάσατο,
οὐδὲν φειδόμενος, οὔτε πορφυρίδων, οὔτε ὀρφνίνων, οὔτε
φοινικίδων, οὔτε καρυκίνων, ἱματίων) νείμας δὲ τούτων τὸ

1. τῶν μεμηχανημένων] Si ſenſu paſſivo acceperis, tum ὥστε deinceps intelligere oportebit; ſi activo, comma deinceps tollendum et tamen poſt ἀρχὴν erit ὥστε intelligendum. Paulo antea Altorf. δοκεῖ ἡμῖν μία.

πρὸς αὐτὸν] Altorf. πρὸς ἑαυτόν.

ἄλλων] Margo Steph. addit συμμάχων ut liber Altorfinus.

πρῶτον Πέρσαι] Ita pro Πέρσαι πρ. Philel. Guelf. Zon. Altorf.

ἐνέδυσαν] Medium ἐνεδύσαντο ex Zonara recepit Zeune. At ἔνδυμι idem eſt atque ἐνδύομαι.

διαδιδοὺς] Ita Guelf. pro διαδούς. Altorfinus liber ſimplex διδοὺς dat, deinde βουλήσοιτο.

2. ἐπὶ] αὔριον ἐπὶ malebat Brodæus. In Altorfino etiam eſt πάρεστε οὖν αὔριον ἐπί. unde αὔριον inſerui. deinde καθίστατε Guelf.

ἐξαγγείλῃ] Guelf. ἐξαγγέλλειν, correctum ἐξαγγέλλῃ. ſequens καὶ ante ἐπειδὰν omittit Altorf.

τινι δοκῇ] Guelf. τινὶ δοκεῖ et mox ἡμῖν δοκεῖ. Altorf. ἐὰν δ' ἄρα δοκῇ τινι ὑμῶν.

3. ὀρφνίνων] Cf. ad Pollucem vii. 69. mixtum ex rubro albo et nigro combuſtis colorem, ubi tamen nigredo prævaleat, docet Platonis Timæus p. 383. Cf. etiam Ariſtoteles de Coloribus c. ii.

καρυκίνων] A καρύκη, quam αἱματώδη τὴν χρόαν habere ait Erotianus in Gloſſario. Brodæus et Camerarius a καρύοις derivare malebant et genus coloris viridis obſcurioris ac nigrantis interpretari.

μέρος ἑκάστῳ τῶν ἡγεμόνων, ἐκέλευσεν αὐτοὺς τούτοις
κοσμεῖν τοὺς αὑτῶν φίλους, ὥσπερ, ἔφη, ἐγὼ ὑμᾶς
κοσμῶ. Καί τις τῶν παρόντων ἐπήρετο αὐτὸν, Σὺ δὲ, ὦ 4
Κῦρε, ἔφη, πότε κοσμήσῃ; Ὁ δ᾽ ἀπεκρίνατο, Οὐ γὰρ
νῦν, ἔφη, δοκῶ ὑμῖν αὐτὸς κοσμεῖσθαι, ὑμᾶς κοσμῶν;
Ἀμέλει, ἔφη, ἢν δύνωμαι ὑμᾶς τοὺς φίλους εὖ ποιεῖν,
ὁποίαν ἂν ἔχων στολὴν τυγχάνω, ἐν ταύτῃ καλὸς φανοῦ-
μαι. Οὕτω δὴ οἱ μὲν ἀπελθόντες, μεταπεμπόμενοι τοὺς 5
φίλους, ἐκόσμουν ταῖς στολαῖς.

Ὁ δὲ Κῦρος, νομίζων, Φεραύλαν τὸν ἐκ τῶν δημοτῶν
καὶ συνετὸν εἶναι, καὶ φιλόκαλον καὶ εὔτακτον, καὶ τοῦ
χαρίζεσθαι αὐτῷ οὐκ ἀμελῆ, ὅς ποτε καὶ περὶ τοῦ
τιμᾶσθαι ἕκαστον κατὰ τὴν ἀξίαν συνεῖπε· τοῦτον δὴ
καλέσας συνεβουλεύετο αὐτῷ, πῶς ἂν τοῖς μὲν εὔνοις
κάλλιστα ἰδεῖν ποιοῖτο τὴν ἐξέλασιν, τοῖς δὲ δυσμενέσι
φοβερώτατα. Ἐπεὶ δὲ σκοποῦντοιν αὐτοῖν τὰ αὐτὰ ἔδο- 6
ξεν, ἐκέλευσε τὸν Φεραύλαν ἐπιμεληθῆναι, ὅπως ἂν οὕτω
γένηται αὔριον ἡ ἐξέλασις, ὥσπερ ἔδοξε καλῶς ἔχειν.
Εἴρηκα δὲ, ἔφη, ἐγὼ, πάντας πείθεσθαί σοι περὶ τῆς ἐν
τῇ ἐξελάσει τάξεως· ὅπως δ᾽ ἂν ἥδιον παραγγέλλοντός
σου ἀκούωσι, φέρε λαβὼν, ἔφη, χιτῶνας μὲν τουτουσὶ
τοῖς τῶν δορυφόρων ἡγεμόσι· κάσας δὲ τούσδε τοὺς ἐφιπ-
πείους, τοῖς τῶν ἱππέων ἡγεμόσι δὸς, καὶ τῶν ἁρμάτων

4. οὐ γὰρ νῦν] Altorf. omittit νῦν, quod abeſſe poteſt.

στολὴν τυγχάνω] Guelf. τυγχ. στ. Altorf. ὁποίαν ἔχων omiſſo ἂν. deinde καλῶς φανοῦμαι dat.

5. τὸν ἐκ τῶν] Altorf. τῶν ἐκ τῶν— ἑαυτῷ οὐκ ἀμελῆ, ὥς ποτε.

ἀμελῆ] Ita pro ἀμελεῖν libri Gabr. Philelphi et Altorf.

ποτε] Vide ii. 3, 7.

κάλλιστα ἰδεῖν] Altorf. ἰδεῖν omiſit.

6. ἔδοξεν] Guelf. et Altorfini libri συνέδοξεν probavit Zeune. Deinceps ἐκέλευε dedit Steph.

γένηται] Margo Steph. γένοιτο ex Aldina.

ἔφη, ἐγὼ] Guelf. ἐγὼ, ἔφη. deinde σου παραγγέλλοντος ἀκούωσιν Altorfinus liber.

κάσας] Librorum omnium καλέσας (τούτους ἐφ. Edd. vett. τούς δε τοὺς ἐφ. Bodl. τοὺς ἐφ. Guelf.) primus Brodæus ex ſequenti oratione et Polluce vii. 68. correxit, contra revocavit Weiſke, latere in eo nomen calaſiris ſuſpicatus. ἐφιππίους dat Altorf. deinde δὸς δὲ καί.

7 τοῖς ἡγεμόσιν ἄλλους τούσδε χιτῶνας. Ὁ μὲν δὴ ἔφερε λαβών· οἱ δὲ ἡγεμόνες, ἐπεὶ ἴδοιεν αὐτὸν, ἔλεγον, Μέγας δὴ σύ γε, ὦ Φεραύλα, ὁπότε γε καὶ ἡμῖν τάξεις, ἃ ἂν δέοι ποιεῖν. Οὐ μὰ Δί', ἔφη ὁ Φεραύλας, οὐ μόνον γε, ὡς ἔοικεν, ἀλλὰ καὶ συσκευοφορήσω· νῦν γοῦν φέρω τώδε δύω κάσα, τὸν μὲν σοὶ, τὸν δὲ ἄλλῳ· σὺ μέντοι
8 τούτων λάβε, ὁπότερον βούλει. Ἐκ τούτου δὴ ὁ μὲν λαμβάνων τὸν κάσαν τοῦ μὲν φθόνου ἐπελέληστο, εὐθὺς δὲ συνεβουλεύετο αὐτῷ, ὁπότερον λαμβάνοι. Ὁ δὲ συμβουλεύσας ἂν, ὁπότερος βελτίων εἴη, καὶ εἰπὼν, Ἤν μου κατηγορήσῃς, ὅτι αἵρεσίν σοι δέδωκα, εἰσαῦθις ὅταν διακονῶ, ἑτέρῳ χρήσῃ μοι διακόνῳ. Ὁ μὲν δὴ Φεραύλας οὕτω διαδοὺς, ᾗ ἐτάχθη, εὐθὺς ἐπεμελεῖτο τῶν εἰς τὴν ἐξέλασιν, ὅπως ὡς κάλλιστα ἕκαστα ἕξει.

9 Ἡνίκα δὲ ἡ ὑστεραία ἧκε, καθαρὰ μὲν ἦν πάντα πρὸ ἡμέρας, στοῖχοι δὲ εἱστήκεσαν ἔνθεν καὶ ἔνθεν τῆς ὁδοῦ, ὥσπερ καὶ νῦν ἔτι ἵστανται, ᾗ ἂν βασιλεὺς μέλλῃ ἐλαύνειν· ὧν ἐντὸς οὐδενί ἐστιν εἰσιέναι τῶν μὴ τετιμημένων· μαστιγοφόροι δὲ καθέστασαν, οἳ ἔπαιον, εἴ τις ἐνοχλοίη. Ἕστασαν δὲ πρῶτον μὲν τῶν δορυφόρων εἰς τετρακισχιλίους, ἔμπροσθεν τῶν πυλῶν, εἰς τέτταρας·

7. δὴ ἔφερε] Guelf. διέφερε.
δὴ σύ γε] Ita ex Guelf. et Philelpho Weiſke pro δέ σύ. Guelf. γε omittit, quod malim poſt ὁπότε abeſſet.
δέοι] Guelf. δέῃ.
συσκευοφορήσω] Guelf. σκευοφορήσω quod Philelphus vertit, et loco Pheraulæ melius convenire videtur ; vulgata tamen ſupra ſcripta adeſt.
νῦν γοῦν] Guelf. νῦν οὖν. deinde κασᾶ—κασᾶν Altorf. poſtea τοῦτον λάβε Guelf.
λάβε] Ex obſervatione Grammaticorum veterum λαβὲ ſcribendum eſſe docet Fiſcher ad Weller. ii. p. 382.
8. τοῦ μὲν] μὲν in J. Iſ. omiſſum addidit Brodæus. deinde συνεβουλεύσατο Altorf.
συμβουλεύσας] Stephanus συνεβούλευσεν ὁπότερος ἂν βελτίων εἴη, εἰπὼν, vel συμβουλεύσας—εἶπε, corrigit, probante Hutchinſ. meque ipſo. Ceterum Edd. vett. et Guelf. ὁπότερον.
ἑτέρῳ] Budenſis ἐν ᾧ, Altorf. ἐνῶ, in quo καινῷ latere ſuſpicabatur Steph. μοι χρήσῃ Guelf. ut Altorf.
ἕκαστα] Hoc in Edd. vett. omiſſum addidit Brodæus et Philelphus.
9. καθαρὰ μὲν ἦν] Ita Brodæi et Philelphi libri pro καθηράμενοι.
στοῖχοι] Ita cum Bodlei. cum quo Altorf. Budæus et Steph. pro στίχοι. ſequens ἔτι omittit Altorf.
ἔμπροσθεν] Sequebatur vulgo δὲ, quod auctoritate Gabr. et Philel.

δισχίλιοι δὲ ἑκατέρωθεν τῶν πυλῶν. Καὶ οἱ ἱππεῖς δὲ C
πάντες παρῆσαν καταβεβηκότες ἀπὸ τῶν ἵππων, καὶ δι-
ειρκότες τὰς χεῖρας διὰ τῶν κανδύων, ὥσπερ καὶ νῦν ἔτι
διείρουσιν, ὅταν ὁρᾷ βασιλεύς. Ἕστασαν δὲ Πέρσαι μὲν
ἐκ δεξιᾶς, οἱ δὲ ἄλλοι σύμμαχοι ἐξ ἀριστερᾶς τῆς ὁδοῦ,
καὶ τὰ ἅρματα ὡσαύτως τὰ ἡμίσεα ἑκατέρωθεν. Ἐπεὶ 11
δὲ ἀνεπετάννυντο αἱ τοῦ βασιλείου πύλαι, πρῶτον μὲν
ἤγοντο τῷ Διῒ ταῦροι πάγκαλοι εἰς τέσσαρας, καὶ οἷς
τῶν ἄλλων θεῶν οἱ μάγοι ἐξηγοῦντο· πολὺ γὰρ οἴονται
Πέρσαι χρῆναι τοῖς περὶ τοὺς θεοὺς μᾶλλον τεχνίταις
χρῆσθαι, ἢ περὶ τἄλλα. Μετὰ δὲ τοὺς βοῦς ἵπποι 12
ἤγοντο, θῦμα τῷ Ἡλίῳ· μετὰ δὲ τούτους ἐξήγετο ἅρμα
λευκὸν, χρυσόζυγον, ἐστεμμένον, Διὸς ἱερόν· μετὰ δὲ τόδε,
Ἡλίου ἅρμα λευκὸν, καὶ τοῦτο ἐστεμμένον, ὥσπερ τὸ
πρόσθεν· μετὰ δὲ τοῦτο, ἄλλο τρίτον ἅρμα ἐξήγετο, φοι-
νικίσι καταπεπταμένοι οἱ ἵπποι, καὶ πῦρ ὄπισθεν αὐτοῦ
ἐπ᾽ ἐσχάρας μεγάλης ἄνδρες εἵποντο φέροντες. Ἐπὶ δὲ 13
τούτοις ἤδη αὐτὸς ἐκ τῶν πυλῶν προὐφαίνετο ὁ Κῦρος ἐφ᾽
ἅρματος, ὀρθὴν ἔχων τὴν τιάραν, καὶ χιτῶνα πορφυροῦν
μεσόλευκον, (ἄλλῳ δ᾽ οὐκ ἔξεστι μεσόλευκον ἔχειν) καὶ

cum quo Altorf. primus Steph. delevit.

10. καὶ οἱ ἱππεῖς] Altorfinus liber copulam ab initio omittit.

διειρκότες] Vulgatum διηρκότες ex sequenti διείρουσιν et Histor. gr. ii. 1, 6. correxit primus Leonclavius. διηρκόντες a prima manu scriptum habet Altorf. deinde διειροῦσιν.

καὶ τὰ ἅρματα] Altorf. δὲ post ἅρματα inserit, non inepte.

11. οἷς τῶν ἄλλων θεῶν] Ita Ald. et Steph. τοῖς τῶν ἄλλων θεοῖς Junt. Guelf. οἷς ἄλλοις θεῶν Budensis et Altorf. liber. οἷς ἄλλοις θεοῖς liber Mureti.

ἐξηγοῦντο] Stephanus alicubi legi ait ἐξηγοῦνται.

πολὺ γὰρ] Edd. vett. et Guelf. πολλοί.

12. θῦμα] Margo Steph. θύματα, quæ est Altorf. scriptura. Cf. Herodotus 1. extremo. Ovidii Fast. i. 385. Xenoph. Anab. iv. 5, 24.

Διὸς ἱερὸν] Currus equis albis junctus est etiam apud Curtium iii. 3. et Herodotum vii. 40. de Xerxis exitu e Sardibus, ubi currus Jovis octojugis Xerxem in exercitu præcedit.

Ἡλίου ἅρμα] Hesychius ἀστέρων τέθριππος, τὸ ἅρμα ἡλίου, nisi alio pertineat. paulo antea μετὰ δὲ τοῦτο Altorf.

ἐσχάρας] Altaria vocat Curtius l. c. foculos Ammianus xxiii. 6.

13. ὀρθὴν] Quippe rex. Noster Anab. ii. 5, 3.

μεσόλευκον] Curtius iii. 3, 28. tuni-

περὶ τοῖς σκέλεσιν ἀναξυρίδας ὑσγινοβαφεῖς, καὶ κάνδυν ὁλοπόρφυρον. Εἶχε δὲ καὶ διάδημα περὶ τῇ τιάρᾳ· καὶ οἱ συγγενεῖς δὲ αὐτοῦ τὸ αὐτὸ τοῦτο σημεῖον εἶχον, καὶ νῦν
14 τὸ αὐτὸ τοῦτο ἔχουσι. Τὰς δὲ χεῖρας ἔξω τῶν χειρίδων εἶχε· Παρωχεῖτο δὲ αὐτῷ ἡνίοχος μέγας μὲν, μείων δ᾽ ἐκείνου, εἴτε καὶ τῷ ὄντι, εἴτε καὶ ὁπωσοῦν· μείζων δὲ ἐφάνη πολὺ Κῦρος. Ἰδόντες δὲ πάντες προσεκύνησαν, εἴτε καὶ ἄρξαι τινὲς κεκελευσμένοι, εἴτε καὶ ἐκπλαγέντες τῇ παρασκευῇ, καὶ τῷ δόξαι μέγαν τε καὶ καλὸν φανῆναι τὸν Κῦρον. Πρόσθεν δὲ Περσῶν οὐδεὶς Κῦρον προσ-
15 εκύνει. Ἐπεὶ δὲ προήει τὸ τοῦ Κύρου ἅρμα, προηγοῦντο μὲν οἱ τετρακισχίλιοι δορυφόροι, παρείποντο δὲ οἱ δισχίλιοι ἑκατέρωθεν τοῦ ἅρματος· ἐφείποντο δὲ οἱ περὶ αὐτὸν σκηπτοῦχοι ἐφ᾽ ἵππων, κεκοσμημένοι, σὺν τοῖς παλτοῖς,
16 ἀμφὶ τοὺς τριακοσίους. Οἱ δ᾽ αὖ τῷ Κύρῳ τρεφόμενοι ἵπποι παρήγοντο χρυσοχάλινοι, ῥαβδωτοῖς ἱματίοις καταπεπταμένοι, ἀμφὶ τοὺς διακοσίους· ἐπὶ δὲ τούτοις δισχίλιοι ξυστοφόροι· ἐπὶ δὲ τούτοις, ἱππεῖς οἱ πρῶτοι γενόμενοι, μύριοι, εἰς ἑκατὸν πανταχῇ τεταγμένοι, ἡγεῖτο δὲ αὐ-
17 τῶν Χρυσάντας. Ἐπὶ δὲ τούτοις μύριοι ἄλλοι Περσῶν ἱππεῖς τεταγμένοι ὡσαύτως, ἡγεῖτο δὲ αὐτῶν Ὑστάσπας·

cam purpuream, cui medium album intextum erat. Plutarchus Alex. 51. διάλευκον dixit; proprio nomine Σαράπιν Hesychius et Pollux vii. 61.

ὑσγινοβαφεῖς] Philelphus κισσινοβ. expressit, Junt. et Guelf. κυσσινοβ. margo Steph. βυσσινοβ. quod probavit Leoncl. et Welsius. ὑσσινοβαφεῖς posuit Brodæus. De hysgino viri docti ad Plinii ix. c. 41.

κάνδυν] Pallam Curtius dicit.

τὸ αὐτὸ] Guelf. δὴ addit.

χειρίδων] Guelf. ex correctione, θυρίδων, tyridas Philelphus. χειριδίων Altorf.

14. Περσῶν οὐδεὶς] Arriani Anab. iv. 11. paulo antea ἐκπλαγέντες τε Altorf.

15. ἐπεὶ δὲ] Guelf. ἐπειδή. De doryphoris his Curtius l. c.

ἐφείποντο δὲ—τριακοσίους] Hæc omisit Junt. et Guelf. addidit Brodæus.

16. αὖ τῷ] Edd. pr. Guelf. Altorf. αὐτῷ dant.

ῥαβδωτοῖς] Veterum Edd. ῥάβδῳ τοῖς jam Brodæus recte correxit, *virgatis sagulis* Virgilii comparatis.

εἰς ἑκατὸν πανταχῇ] Altorf. παντ. εἰς ἑκατὸν dat.

17. μύριοι ὡσαύτως] In libris Brodæi post μύριοι addita leguntur hæc: Περσῶν ἱππεῖς τεταγμένοι. In Altorf. post ὡσαύτως additur τεταγμένοι, quod uti necessarium adscivi.

ἐπὶ δὲ τούτοις ἄλλοι μύριοι ὡσαύτως τεταγμένοι, ἡγεῖτο
δ' αὐτῶν Δατάμας· ἐπὶ δὲ τούτοις ἄλλοι, ἡγεῖτο δ' αὐ-
τῶν Γαδάτας. Ἐπὶ δὲ τούτοις Μῆδοι ἱππεῖς, ἐπὶ δὲ τού- 18
τοις Ἀρμένιοι, μετὰ δὲ τούτους Ὑρκάνιοι, μετὰ δὲ τούτους
Καδούσιοι, ἐπὶ δὲ τούτοις Σάκαι. Μετὰ δὲ τοὺς ἱππέας
ἅρματα ἐπὶ τεττάρων τεταγμένα· ἡγεῖτο δὲ αὐτῶν Ἀρτα-
βάτης Πέρσης.

Πορευομένου δὲ αὐτοῦ, παρείποντο πάμπολλοι ἄνθρω- 19
ποι ἔξω τῶν σημείων, δεόμενοι Κύρου ἄλλος ἄλλης πρά-
ξεως. Πέμψας οὖν πρὸς αὐτοὺς τῶν σκηπτούχων τινάς,
οἳ παρείποντο αὐτῷ τρεῖς ἑκατέρωθεν τοῦ ἅρματος αὐτοῦ
τούτου ἕνεκα, τοῦ διαγγέλλειν, ἐκέλευσεν εἰπεῖν αὐτοῖς, εἴ
τίς τι αὐτοῦ δέοιτο, διδάσκειν τῶν ὑπάρχων τινά, ὅ τι τὶς
βούλοιτο, ἐκείνους δὲ ἔφη πρὸς αὐτὸν ἐρεῖν. Οἱ μὲν δὴ
ἀπιόντες εὐθὺς κατὰ τοὺς ἱππέας ἐπορεύοντο, καὶ ἐβου-
λεύοντο, τίνι ἕκαστος προσίοι. Ὁ δὲ Κῦρος, οὓς ἐβού- 20
λετο μάλιστα θεραπεύεσθαι τῶν φίλων ὑπὸ τῶν ἀνθρώ-
πων, τούτους, πέμπων τινά, πρὸς αὐτὸν ἐκάλει καθ'
ἕκαστον, καὶ ἔλεγεν αὐτοῖς οὕτως· Ἤν τις ὑμᾶς διδάσκῃ
τι τούτων τῶν παρεπομένων, ὃς μὲν ἂν μηδὲν δοκῇ ὑμῖν
λέγειν, μὴ προσέχετε αὐτῷ τὸν νοῦν· ὃς δ' ἂν δικαίων
δεῖσθαι δοκῇ, εἰσαγγέλλετε πρὸς ἐμέ, ἵνα κοινῇ βουλευ-
όμενοι διαπράττοιμεν αὐτοῖς.

ἡγεῖτο δ' αὐτῶν Δατάμας] Hæc in Edd. pr. et Guelf. omiſſa primus ex Philelphi et Budenſi libro, cum quo Altorf. inſeruit Stephanus.

ἐπὶ δὲ τούτοις Σάκαι] Hæc ex libris Brodæi primus Steph. addidit, omiſſa in Edd. pr. Guelf. et Philel.

19. παρείποντο] Altorf. πάμπολλοι ἄνθρωποι παρείποντο.

Οἱ—ἀπιόντες] Importuni flagitatores, puto; ſed quinam iſti ἱππεῖς? an iidem qui ὕπαρχοι, ad quos illos relegat Cyrus?

20. ὑπὸ τῶν ἀνθρώπων] Guelf. ἐπὶ τ. ἀνθρ. ſcriptum habet a prima manu.

πρὸς αὐτὸν] Edd. pr. Guelf. πρὸς αὐτὸν, Caſtal. πρὸς αὐτούς. deinde ἐκαλεῖτο Altorf.

καθ' ἕκαστον] Guelf. et margo Steph. καθ' ἕνα ἕκαστον. Deinceps οὕτως ex Philelpho addidit Steph. quod habet etiam Altorf. qui poſtea τούτων παρεπομένων dat.

εἰσαγγέλλετε] Budenſis et Altorf. προσάγετε—διαπράττωμεν. poſterius probante Stephano.

21 Οἱ μὲν δὴ ἄλλοι, ἐπεὶ καλέσειεν, ἀνὰ κράτος ἐλαύ-
νοντες ὑπήκουον, συναύξοντες τὴν ἀρχὴν τῷ Κύρῳ, καὶ ἐν-
δεικνύμενοι, ὅτι σφόδρα πείθοιντο· Δαϊφάρνης δέ τις ἦν,
σολοικότερος ἄνθρωπος τῷ τρόπῳ, ὃς ᾤετο, εἰ μὴ ταχὺ
22 ὑπακούοι, ἐλευθερώτερος ἂν φαίνεσθαι. Αἰσθόμενος οὖν
ὁ Κῦρος τοῦτο, πρὶν προσελθεῖν αὐτὸν καὶ διαλεχθῆναι
αὐτῷ, ὑποπέμψας τινὰ τῶν σκηπτούχων, εἰπεῖν ἐκέλευσε
πρὸς αὐτὸν, ὅτι οὐδὲν ἔτι δέοιτο· καὶ τολοιπὸν οὐκ ἐκάλει.
23 Ὁ δὲ ὕστερος κληθεὶς αὐτοῦ πρότερος αὐτῷ προσήλασε,
καὶ ὁ Κῦρος ἵππον αὐτῷ ἔδωκε τῶν παρεπομένων, καὶ
ἐκέλευσε τῶν σκηπτούχων τινὰ συναπαγαγεῖν αὐτῷ, ὅπου
κελεύσειε. Τοῖς δὲ ἰδοῦσιν ἔντιμόν τι τοῦτο ἔδοξεν εἶναι,
καὶ πολὺ πλείονες ἐκ τούτου αὐτὸν ἐθεράπευον ἀνθρώπων.
24 Ἐπεὶ δὲ ἀφίκοντο πρὸς τὰ τεμένη, ἔθυσαν τῷ Διῒ,
καὶ ὠλοκαύτωσαν τοὺς ταύρους· ἔπειτα τῷ Ἡλίῳ, καὶ
ὠλοκαύτωσαν τοὺς ἵππους. Ἔπειτα Γῇ σφάξαντες, ὡς
ἐξηγήσαντο οἱ μάγοι, ἐποίησαν· ἔπειτα δὲ, ἥρωσι τοῖς
25 Συρίαν ἔχουσι. Μετὰ δὲ ταῦτα, καλοῦ ὄντος τοῦ χωρίου,
ἔδειξε τέρμα ὡς ἐπὶ πέντε σταδίων χωρίου, καὶ εἶπε,
κατὰ φῦλα ἀνὰ κράτος ἐνταῦθα ἀφεῖναι τοὺς ἵππους.

Sacris peractis habentur ludi equestres.

21 κράτος] Altorf. κράτως. deinde συνάξοντες Junt. et Philel.

Δαϊφάρνης] Philelphus *Daiphernes*, margo Steph. Δατίνης, Altorf. Δάτινις.

τῷ τρόπῳ] Budensis et Altorf. τὸν τρόπον; recte, puto.

εἰ μὴ] Margo Steph. εἰ ταχὺ—ἀνελευθερώτερος. Altorf. εἰ ταχὺ ὑπακούσειεν, ἐλευθερώτερος.

23. Ὁ δὲ—ἵππον] Hanc libri Budensis scripturam cum Camerario, Leonclavio et Zeunio prætuli vulgari: ὡς δ' ὁ ὕστερον κληθεὶς αὐτοῦ πρότερος αὐτῷ ὑπήκουσε, προσήλασεν ὁ Κῦρος, καὶ ἵππον. quod credibile nullo modo est, Cyrum ex pompa ipsa deflexisse et homini ipsum occurrisse. Altorf. vulgatam scripturam sequitur.

τοῦτο] Ex Ald. cum qua Altorf. revocavit Steph. deinde πολὺ ἢ πλείονες τούτου αὐτὸν ἐθ. ἄνθρωποι Altorf.

24. ἀφίκοντο] J. A. Is. ἀφίκοιντο. deinde Altorf. τεμένη, εὐθὺς αὖ τῷ Διῒ ὠλοκαύτωσαν. De sacrificiorum ritu absque igne peragendorum Herodotus i. 132. contradicit.

Ἡλίῳ καὶ] Ald. καὶ omittit.

ἐξηγήσαντο] Steph. alicubi legi ἐξηγοῦντο ait, quod est in Altorfino libro.

25. σταδίων χωρίου] Alterum hoc χωρίου supervacuum est; si tamen toleretur, articulum rectius addideris τοῦ.

φῦλα] Ita cum Brodæi libris, Altorfino et Apostolio Zeune pro φυλάς.

ἀφεῖναι] Cum Altorfino Apostolius xx. 14. ἀφιέναι.

Σὺν μὲν οὖν τοῖς Πέρσαις αὐτὸς ἤλασε, καὶ ἐνίκα· πολὺ
μάλιστα γὰρ ἐμεμελήκει αὐτῷ ἱππικῆς· Μήδων δὲ Ἀρ-
τάβαζος ἐνίκα· (Κῦρος γὰρ αὐτῷ τὸν ἵππον ἐδεδώκει)
Σύρων δὲ, ὁ προστατῶν· Ἀρμενίων δὲ, Τιγράνης· Ὑρκα-
νίων δὲ, ὁ υἱὸς τοῦ ἱππάρχου· Σακῶν δὲ, ἰδιώτης ἀνὴρ,
ἀπέλιπεν ἄρα τῷ ἵππῳ τοὺς ἄλλους ἵππους ἐγγὺς τῷ
ἡμίσει τοῦ δρόμου. Ἔνθα δὴ λέγεται ὁ Κῦρος ἐρέσθαι 26
τὸν νεανίσκον, εἰ δέξαιτ᾽ ἂν βασιλείαν ἀντὶ τοῦ ἵππου.
Τὸν δ᾽ ἀποκρίνασθαι, ὅτι βασιλείαν μὲν οὐκ ἂν δεξαί-
μην, χάριν δὲ ἀνδρὶ ἀγαθῷ καταθέσθαι δεξαίμην ἄν.
Καὶ ὁ Κῦρος εἶπε, Καὶ μὴν ἐγὼ δεῖξαί σοι θέλω, ἔνθα, 27
κἂν μύων βάλῃς, οὐκ ἂν ἁμάρτοις ἀνδρὸς ἀγαθοῦ. Πάν-
τως τοίνυν, ὁ Σάκας ἔφη, δεῖξόν μοι· ὡς βαλῶ γε ταύτῃ
τῇ βώλῳ, ἔφη ἀνελόμενος. Καὶ ὁ μὲν Κῦρος δείκνυσιν 28
αὐτῷ, ὅπου ἦσαν πλεῖστοι τῶν φίλων· ὁ δὲ καταμύων
ἵησι τῇ βώλῳ, καὶ παρελαύνοντος Φεραύλα τυγχάνει·
ἔτυχε γὰρ ὁ Φεραύλας παραγγέλλων τι τακτὸς παρὰ
τοῦ Κύρου· βληθεὶς δὲ οὐδὲ μετεστράφη, ἀλλ᾽ ᾤχετο,
ἐφ᾽ ὅπερ ἐτάχθη. Ἀναβλέψας δὲ ὁ Σάκας, ἐρωτᾷ, 29

ἱππικῆς] Guelf. ἵππου, sed correctum. paulo antea ἐνίκα πολύ· μάλιστα γὰρ distinguit Altorfinus liber.

Ἀρτάβαζος] Hoc nomen ex libro Budensi, cum quo facit Altorf. cum Camerario alteri Ἀρταβάτης, quod Persæ erat supra §. 18. prætulit Zeune; idem Apostolius posuit.

ὁ προστατῶν] τῶν πάντων Γαδάτας alicunde laudat Brodæus et interpretatur Philelphus, quod glossema esse censuit Zeune. ὁ πάντων Γαδάτας Altorf.

ἀπέλιπεν] Guelf. ἀπέλειπεν. Pro ἄρα Brod. annotavit γὰρ, et deinceps quærit, an ἱππεῖς forte scribendum fuerit.

26. Ἔνθα δὴ] Narratio hic abrupta repetitur demum §. 30.

τοῦ ἵππου] Articulum omittit Junt. Guelf.

27. μύων] Budensis καμμύων. Altorf. σοι δεῖξαι θέλω—κἂν καμμύων—ἁμάρτῃς. supra scripto ἁμάρτοις. deinde Σακᾶς dat.

ἔφη ἀνελόμενος] Hæc est Budensis scriptura probata etiam a Steph. reliqui libri ἀνελόμενος δεῖξόν μοι—βώλῳ ἀνελών. Recte primus Weiske ἔφη cum ἀνελόμενος copulavit, antea disjunctum, interpretatus: *ut hac gleba (glebam enim hoc dicturus sustulerat) eum jaciam.*

28. τακτὸς] Ita Junt. Guelf. τεταγμένον Ald. παραγγελῶν τινὶ τακτικὸν Budensis: in quo fortasse τακτὸν latet, quod malim cum Brodæo, quanquam ex Thucydide τακτὸν σῖτον, ex Xenoph. h. gr. v. 2, 36. τακτὸν ἀργύριον laudari video. Apostolius etiam cum Altorf. τακτικὸν habet. ὑπὸ Κύρου Budensis cum Apostolio et Altorf.

τίνος ἔτυχεν. Οὐ μὰ τὸν Δί', ἔφη, οὐδενὸς τῶν παρόντων.
Ἀλλ' οὐ μέντοι, ἔφη ὁ νεανίσκος, τῶν γε ἀπόντων. Ναὶ
μὰ Δί', ἔφη ὁ Κῦρος, σύ γε ἐκείνου τοῦ παρὰ τὰ ἅρ-
ματα ταχὺ ἐλαύνοντος τὸν ἵππον. Καὶ πῶς, ἔφη, οὐ
30 μεταστρέφεται; Καὶ ὁ Κῦρος ἔφη, Μαινόμενος γάρ τίς
ἐστιν, ὡς ἔοικεν. Ἀκούσας δὲ ὁ νεανίσκος, ᾤχετο σκεψό-
μενος, τίς εἴη· καὶ εὑρίσκει τὸν Φεραύλαν γῆς τε κατά-
πλεων τὸ γένειον καὶ αἵματος· ἐῤῥύη γὰρ αὐτῷ ἐκ τῆς
31 ῥινὸς βληθέντι. Ἐπεὶ δὲ προσῆλθεν, ἤρετο αὐτὸν, εἰ
βληθείη. Ὁ δὲ ἀπεκρίνατο. Ὡς ὁρᾷς. Δίδωμι τοίνυν
σοι, ἔφη, τουτονὶ τὸν ἵππον. Ὁ δ' ἐπήρετο, Ἀντὶ τοῦ;
Ἐκ τούτου δὴ διηγεῖτο ὁ Σάκας τὸ πρᾶγμα, καὶ τέλος
εἶπε· Καὶ οἶμαί γε οὐχ ἡμαρτηκέναι ἀνδρὸς ἀγαθοῦ.
32 Καὶ ὁ Φεραύλας εἶπεν, Ἀλλὰ πλουσιωτέρῳ μὲν ἂν, εἰ
ἐσωφρόνεις, ἢ ἐμοὶ, ἐδίδους· νῦν δὲ κἀγὼ δέξομαι. ἐπεύ-
χομαι δὲ, ἔφη, τοῖς θεοῖς, οἵπερ με ἐποίησαν βληθῆναι
ὑπὸ σοῦ, δοῦναί μοι ποιῆσαι, μὴ μεταμέλειν σοι τῆς ἐμῆς
δωρεᾶς. Καὶ νῦν μὲν, ἔφη, ἀπέλα, ἀναβὰς ἐπὶ τὸν ἐμὸν
ἵππον. αὖθις δὲ ἐγὼ παρέσομαι πρὸς σέ. Οἱ μὲν δὴ
οὕτω διηλλάξαντο. Καδουσίων δὲ ἐνίκα Ῥαθονίκης.

29. ἔτυχεν] Junt. ἐτύχεσεν. Altorf. ἐρωτᾷ ὁ Σακᾶς dat. Poſt ἔφη Apoſtolius ὁ Κῦρος additum habet, ut Altorf.

μέντοι] Guelf. μέν τι, quod probo; deinde σὺ δὲ Altorf.

30. ἀκούσας δὲ] Junt. Guelf. Philel. Apoſtol. omittunt δέ.

31. προσῆλθεν] Apoſtolius συνῆλθεν deinceps ἀπεκρίνετο habet.

τουτονὶ] Ita Altorf. pro τοῦτον, probante etiam Fiſchero ad Welleri Grammat. ii. p. 216. deinde ἐκ τοῦ δὴ διηγεῖτο Guelf. cum Juntina. Σακᾶς Altorf.

καὶ οἶμαί γε] καὶ τ' οἶμαί γε Steph. Leoncl. εἶπεν· οἶμαί γε Apoſtol. deinde articulum ὁ ante Pheraulæ nomen omittit Altorf.

32. ἐδίδους] Brodæus ἐδίδως malebat, quod habet Apoſtol.

τοῖς θεοῖς] πᾶσιν addi in libris aliquot ait Brodæus. δὲ πᾶσι τοῖς θεοῖς Apoſtol.

μεταμέλειν] Guelf. καταμέλειν. Brodæus μεταμελήσειν malebat.

τῆς ἐμῆς] Ita iii. 1, 28. φιλίᾳ τῇ ἐμῇ i. e. τῇ εἰς ἐμέ. Platonis Gorgias εὐνοίᾳ τῇ σῇ habet ſimiliter; quare Leonclavii τῆς σῆς correctione non eſt opus. *deſiderio tuo*, ex Terentii Heaut. ii. 2, 26. *odio tuo* Phorm. v. 8, 27. *tua obſervantia* ex Ciceronis Epiſt. x. 24. laudavit Weiſke.

ἀπέλα] Brodæus ex libris ſuis ἀπέλασον laudat, quod habet Apoſtol. deinceps τόνδε τὸν ἐμὸν Apoſtol. cum Altorfino libro.

αὖθις] Margo Leoncl. εὐθὺς, quod habet Apoſtol.

Ῥαθονίκης] Philel. et Guelf. Ῥαδί-

Ἀφίει δὲ καὶ τὰ ἅρματα καθ' ἕκαστον· τοῖς δὲ νικῶσι 33
πᾶσιν ἐδίδου βοῦς τε, ὅπως ἂν θύσαντες ἑστιῶντο, καὶ
ἐκπώματα. Τὸν μὲν οὖν βοῦν ἔλαβε καὶ αὐτὸς τὸ νικη-
τήριον· τῶν δὲ ἐκπωμάτων τὸ αὐτοῦ μέρος Φεραύλᾳ ἔδω-
κεν, ὅτι καλῶς ἔδοξεν αὐτῷ τὴν ἐκ τοῦ βασιλείου ἔλασιν
διαταγεῦσαι. Οὕτω δὴ ἡ τότε ὑπὸ Κύρου κατασταθεῖσα 34
ἔλασις, οὕτως ἔτι καὶ νῦν διαμένει ἡ βασιλέως ἔλασις.
πλὴν τὰ ἱερὰ ἄπεστιν, ὅταν μὴ θύῃ. Ὡς δὲ ταῦτα τέλος
εἶχεν, ἀφικνοῦνται πάλιν ἐς τὴν πόλιν, καὶ ἐσκήνωσαν,
οἷς μὲν ἐδόθησαν οἰκίαι, κατ' οἰκίας· οἷς δὲ μή, ἐν
τάξει.

Καλέσας δὲ καὶ ὁ Φεραύλας τὸν Σάκαν, τὸν δόντα τὸν 35
ἵππον, ἐξένιζε, καὶ τἄλλα τε παρεῖχεν ἔκπλεω, καὶ ἐπεὶ
ἐδεδειπνήκεσαν, τὰ ἐκπώματα αὐτῷ, ἃ ἔλαβε παρὰ Κύ-
ρου, ἐκπιμπλὰς προὔπινε καὶ ἐδωρεῖτο. Καὶ ὁ Σάκας 36
ὁρῶν πολλὴν μὲν καὶ καλὴν στρωμνήν, πολλὴν δὲ καὶ
καλὴν κατασκευήν, καὶ οἰκέτας δὲ πολλούς, Εἰπέ μοι,
ἔφη, ὦ Φεραύλα, ἦ καὶ οἴκοι τῶν πλουσίων ἦσθα; Καὶ ὁ 37
Φεραύλας εἶπε, Ποίων πλουσίων; τῶν μὲν οὖν σαφῶς
ἀποχειροβιώτων. Ἐμὲ γάρ τοι ὁ πατὴρ τὴν μὲν τῶν
παίδων παιδείαν, γλίσχρως αὐτὸς ἐργαζόμενος καὶ τρέ-

Pheraulas cum homine plebeio e Sacis colloquitur de divitiarum pretio, eique omnia bona sua donat ita, ut ipse ab eo, quantum ſatis ſit ad victum et cultum, accipiat.

νης. Margo Steph. Leoncl. Ῥαθινίκης. Altorf. Ῥαθίνης, et paulo antea οὗτοι μὲν δὴ οὕτω.

33. ἐδίδου—ἂν] Hæc duo vocabula Altorf. omittit.

τὸ αὐτοῦ] Altorf. τὸ ἑαυτοῦ dat.

αὐτῷ] Stephani conjecturam lectioni librorum αὐτοῦ prætuli ob conſenſum Altorf.

διαταγεῦσαι] Hoc verbum Leonclaviana altera e margine Steph. cum qua facit Altorf. recepit probante Porto, rejecta in marginem vulgari ſcriptura διατάξαι tanquam gloſſemate. Eſt quidem in Noſtri H. Gr. vi. 1. verbum ταγεύειν, ſed diverſa notione; ταγεύειν ἄνδρας dixit Æſchylus Theb. 58.

34. οὕτως ἔτι] Alterum hoc οὕτως abeſſe malim. Sed ecce Altorf. liber hæc ita ordinavit: οὕτω δὴ τότε—ἡ ἔλασις ἔτι καὶ νῦν οὕτως διαμένει. qui ordo tolerabiliorem facit voculam.

ἐσκήνωσαν] Guelf. ἐσκήνησαν, vulgata ſupra ſcripta.

35. Σάκαν] Altorf. Σακᾶν ſcribit hic et ſtatim poſt hæc.

αὐτῷ] Brodæus malebat αὐτοῦ. deinceps margo Leoncl. ἐμπιπλὰς, Steph. 2. ἐμπιμπλὰς, ſed margo ἐκπιπλάς. Altorf. ἐμπιμπλὰς dat.

37. ἀποχειροβ.] Utitur vocabulo etiam Herodotus iii. 42. fortaſſe ex uſu plebis ducto.

φων, ἐπαίδευεν· ἐπεὶ δὲ μειράκιον ἐγενόμην, οὐ δυνάμενος τρέφειν ἀργὸν, εἰς ἀγρὸν ἀπαγαγὼν, ἐκέλευσεν ἐργάζεσθαι.
38 Ἔνθα δὴ ἐγὼ ἀντέτρεφον ἐκεῖνον, ἕως ἔζη, αὐτὸς σκάπτων καὶ σπείρων καὶ μάλα μικρὸν γήδιον, οὐ μέντοι πονηρόν γε, ἀλλὰ πάντων δικαιότατον· ὅ τι γὰρ ἂν λάβοι σπέρμα, καλῶς καὶ δικαίως ἀπεδίδου αὐτό τε καὶ τόκον οὐδέν τι πολύν· ἤδη δέ ποτε ὑπὸ γενναιότητος καὶ διπλάσια ἀποδέδωκεν, ὧν ἔλαβεν. Οἴκοι μὲν οὖν οὕτως ἔγωγε ἔζων· νῦν δὲ ταῦτα πάντα, ἃ ὁρᾷς, Κῦρός μοι
39 ἔδωκε. Καὶ ὁ Σάκας εἶπεν, Ὦ μακάριε σὺ τά τε ἄλλα, καὶ αὐτὸ τοῦτο, ὅτι ἐκ πένητος πλούσιος γεγένησαι· πολὺ γὰρ οἴομαί σε καὶ διὰ τοῦτο ἥδιον πλουτεῖν, ὅτι πεινήσας
40 χρημάτων πεπλούτηκας. Καὶ ὁ Φεραύλας εἶπεν· Ἦ γὰρ οὕτως, ὦ Σάκα, ὑπολαμβάνεις, ὡς ἐγὼ νῦν τοσούτῳ ἥδιον ζῶ, ὅσῳ πλείω κέκτημαι; Οὐκ οἶσθα, ἔφη, ὅτι ἐσθίω μὲν καὶ πίνω καὶ καθεύδω οὐδ᾽ ὁτιοῦν ἥδιον νῦν, ἢ τότε, ὅτε πένης ἦν. Ὅτι δὲ ταῦτα πολλά ἐστι, τοσοῦτον κερδαίνω, πλείω μὲν φυλάττειν δεῖ, πλείω δὲ ἄλλοις διανέμειν, πλείω δὲ πλειόνων ἐπιμελόμενον πράγ-
41 ματα ἔχειν. Νῦν γὰρ δὴ ἐμὲ πολλοὶ μὲν οἰκέται σῖτον αἰτοῦσι, πολλοὶ δὲ πιεῖν, πολλοὶ δὲ ἱμάτια· οἱ δὲ ἰατρῶν δέονται· ἥκει δέ τις ἢ τῶν προβάτων λελυκωμένα φέρων,

ἐγενόμην] Margo Steph. Leoncl. ἐγεγόνειν. Equidem vulgatum ἐγιγνόμην ex Altorfino libro correxi.

38. ἀντέτρεφον] Budensis ἦν τρέφων.

καὶ μάλα] Ex Stobæo, Philel. Guelf. et Altorf. καὶ restituit Zeune.

πολὺν] Margo Steph. πολύ. deinceps ἢ δή ποτε Stobæus, ubi in margine annotatum οὐδέποτε.

ἀποδέδωκεν] Altorf. ἀπέδωκεν. deinde οἴκοι μὲν δὴ ἔγωγε οὕτως ἔζων. postea Σακᾶς ut sect. 40. ὦ Σακᾶ.

40. πλείω κέκτημαι] Altorf. cum Stobæo πλείονα.

ἥδιον νῦν] Stobæi ordinem cum Zeunio prætuli vulgari νῦν ἥδιον. Altorf. habet etiam ἥδιον νῦν sed deinceps ἢ ὅτε omisso τότε. postea πολλὰ ταῦτά ἐστιν τοσοῦτο κερδαίνω.

πλείω] Ita Zeune cum Stephano. Vulgo πλείονα δὲ ἐπιμ. ut est in Guelf. Stobæus, Cod. Bodl. πλειόνων δὲ ἐπιμελούμενον. Altorfinus πλειόνων δὲ ἐπιμελόμενον, quam posteriorem formam restitui.

41. λελυκωμένα] Hesychius λυκόσπαστα interpretatur. deinceps Stephanus κατακεκρημνισμένους malebat legi, in Thesauro—νισμένων; vulgatum defendit Abresch. Thucyd. p. 282. non ego.

ἢ τῶν βοῶν κατακεκρημνισμένα, ἢ νόσον φάσκων ἐμπεπτωκέναι τοῖς κτήνεσιν· ὥστ' ἔμοι γε δοκῶ, ἔφη ὁ Φεραύλας, νῦν διὰ τὸ πολλὰ ἔχειν πλείω λυπεῖσθαι, ἢ πρόσθεν διὰ τὸ ὀλίγα ἔχειν. Καὶ ὁ Σάκας, Ἀλλὰ ναὶ 42
μὰ Δία, ἔφη, ὅταν σῶα ᾖ, πολλὰ ὁρῶν, πολλαπλάσια [ἐμοῦ] εὐφραίνῃ. Καὶ ὁ Φεραύλας εἶπεν, Οὔ τοι, ὦ Σάκα, οὕτως ἡδύ ἐστι τὸ ἔχειν χρήματα, ὥσπερ ἀνιαρὸν τὸ ἀποβάλλειν. Γνώσῃ δ', ὅ τι ἐγὼ τἀληθῆ λέγω· τῶν μὲν γὰρ πλουτούντων οὐδεὶς ἀναγκάζεται ὑφ' ἡδονῆς ἀγρυπνεῖν, τῶν δὲ ἀποβαλλόντων τι οὐδένα ἂν ἴδοις δυνάμενον καθεύδειν ὑπὸ λύπης. Μὰ Δί', ἔφη ὁ Σάκας, 43
οὐδέ γε τῶν λαμβανόντων τι νυστάζοντα οὐδένα ἂν ἴδοις ὑφ' ἡδονῆς. Ἀληθῆ, ἔφη, λέγεις· εἰ γάρ τοι τὸ ἔχειν 44
οὕτως, ὥσπερ τὸ λαμβάνειν, ἡδὺ ἦν, πολὺ ἂν διέφερον εὐδαιμονίᾳ οἱ πλούσιοι τῶν πενήτων. Καὶ ἀνάγκη δέ τοί ἐστιν, ἔφη, ὦ Σάκα, τὸν πολλὰ ἔχοντα, πολλὰ καὶ δαπανᾷν καὶ εἰς θεοὺς, καὶ εἰς φίλους, καὶ εἰς ξένους· ὅστις οὖν ἰσχυρῶς χρήμασιν ἥδεται, εὖ ἴσθι, τοῦτον, καὶ δαπανῶντα, ἰσχυρῶς ἀνιᾶσθαι. Μὰ Δί', ἔφη ὁ Σά- 45
κας. ἀλλ' οὐκ ἐγὼ τούτων εἰμὶ, ἀλλὰ καὶ εὐδαιμονίαν τοῦτο νομίζω, τὸ πολλὰ ἔχοντα πολλὰ καὶ δαπανᾷν.

ἔμοι γε] Ita cum Stobæo Zeune pro ὥστέ μοι. Altorf. ὥστ' ἐμοί.

42. Σάκας] Altorf. ὁ Σακᾶς εἶπεν. et deinde ὦ Σακᾶ.

ἐμοῦ] Muretus bene delendum cen. febat ; igitur feclufi. deinde Σακᾶ ἡδὺ—χρήματα οὕτως ὡς Junt. Guelf.

ὥσπερ ἀνιαρὸν] Vulgo eft ὡς. Steph. ὡς γε vel cum Stobæo ὥσπερ malebat: pofterius cum Altorf. prætuli. deinde ἀποβαλεῖν Altorf.

Γνώσῃ] Stobæus ἵν' ὡς εἰδότι ἐγὼ τἀληθῆ, vulgata in margine adfcripta ; unde articulum ante ἀληθῆ inferuit Zeune. ὅτι ἀληθῆ λέγω· τῶν γὰρ πλουτούντων Altorf.

ἀποβαλλόντων] Muretus malebat ἀποβαλόντων ; at enim ita etiam §. 43. λαβόντων oportebat. Guelf.—λλομένων.

οὐδένα ἂν ἴδοις] Junt. Guelf. Stob. ὄψει οὐδένα. Altorf. ὅτι οὐδένα δυνάμενον.

43. οὐδέ γε] Ita Stob. et Philel. οὐδέ τι Edd. vett. et Guelf. Σακᾶς—λαμβανόντων νυστάζοντα Altorfinus liber.

44. ἔφη, λέγεις] J. A. If. Guelf. δοκεῖς λέγειν, nobifcum Brodæi liber, Philel. Stob.

ἔφη ὦ Σακᾶ] Altorf. ἔφη, Σακᾶ, ut deinde fect. 45. ὁ Σακᾶς.

ὅστις οὖν] Stobæus ὅστις γάρ.

46 Τί οὖν, ἔφη, πρὸς τῶν θεῶν, ὁ Φεραύλας, οὐχὶ σύ γε αὐτίκα μάλα εὐδαίμων ἐγένου, καὶ ἐμὲ εὐδαίμονα ἐποίησας; λαβὼν γὰρ, ἔφη, ταῦτα πάντα κέκτησο, καὶ χρῶ, ὅπως βούλει, αὐτοῖς. ἐμὲ δὲ μηδὲν ἄλλο ἢ ὥσπερ ξένον τρέφε, καὶ ἔτι εὐτελέστερον ἢ ξένον· ἀρκέσει γάρ
47 μοι, ὅτι ἂν καὶ σὺ ἔχῃς, τούτων μετέχειν. Παίζεις, ἔφη ὁ Σάκας. Καὶ ὁ Φεραύλας ὀμόσας εἶπεν, ἦ μὴν σπουδῇ λέγειν. Καὶ ἄλλα γέ σοι, ὦ Σάκα, προσδιαπράξομαι παρὰ Κύρου, μήτε θύρας τὰς Κύρου θεραπεύειν, μήτε στρατεύεσθαι. Ἀλλὰ σὺ μὲν πλουτῶν οἴκοι μενεῖς· ἐγὼ δὲ ταῦτα ποιήσω καὶ ὑπὲρ σοῦ καὶ ὑπὲρ ἐμοῦ· καὶ ἐάν τι ἀγαθὸν προσλαμβάνω διὰ τὴν Κύρου θεραπείαν, ἢ καὶ ἀπὸ στρατείας τινὸς, οἴσω πρός σε, ἵνα ἔτι πλειόνων ἄρχῃς· μόνον, ἔφη, ἐμὲ ἀπόλυσον ταύτης τῆς ἐπιμελείας· ἢν γὰρ ἐγὼ σχολὴν ἄγω ἀπὸ τούτων, ἐμοί τέ σε οἴομαι πολλὰ καὶ Κύρῳ χρήσιμον ἔσε-
48 σθαι. Τούτων οὕτω ῥηθέντων, ταῦτα συνέθεντο, καὶ ταῦτα ἐποίουν. Καὶ ὁ μὲν ἡγεῖτο εὐδαίμων γεγενῆσθαι, ὅτι πολλῶν ἦρχε χρημάτων· ὁ δ᾽ αὖ ἐνόμιζε μακαριώτατος εἶναι, ὅτι ἐπίτροπον ἕξει, σχολὴν παρέχοντα πράττειν, ὅ τι ἂν αὐτῷ ἡδὺ εἴη.

49 Ἦν δὲ τοῦ Φεραύλα ὁ τρόπος φιλέταιρός τε, καὶ θεραπεύειν οὐδὲν ἡδὺ αὐτῷ οὕτως ἐδόκει εἶναι, οὐδ᾽ ὠφέ-

46. *αὐτίκα μάλα*] Stob. *αὐ. μᾶλλον.* deinceps idem rectius dedit pro vulgari *εὐδαιμονῶν.*

χρῶ] Junt. Guelf. *τε* addunt. deinceps *ὥσπερ βούλει* Stob. deinde *ἄλλο ὥσπερ ξένον* Altorf.

ἀρκέσει] Margo Steph. *ἀρέσκει.* deinde *ἔχεις* Altorf.

τούτων] Stobæi *τούτου* probavit Steph.

47. *Σάκας*] Altorf. *Σακᾶς*, deinde *Σακᾶ.*

μενεῖς] Hoc Steph. dedit pro *μένε*, et ſic eſt in Altorfino libro. deinde *ὑπὲρ ἐμαυτοῦ* margo Steph. et Altorf. liber.

ἢ καὶ ἀπὸ] Altorf. omiſſo *ἢ* habet deinde *ἵνα ἐπὶ πλειόνων.*

48. *εὐδαίμων*] Junt. Guelf. *εὐδαιμονίαν.*

ἕξει] Ita ex correctione etiam Guelf. antea fuerat *ἕξοι*, ut in Altorfino, quod præfert Fiſcher ad Weller. ii. p. 269. Recte, puto; ſic enim eſt ſect. 50. *ὑπερήδετο ὅτι ἐξέσοιτο αὐτῷ.*

παρέχοντα] Margo Steph. *παρέξοντα*, ut Altorfinus liber.

λιμον, ὡς ἀνθρώπους. Καὶ γὰρ βέλτιστον πάντων τῶν ζώων ἡγεῖτο ἄνθρωπον εἶναι καὶ εὐχαριστότατον, ὅτι ἑώρα, τούς τε ἐπαινουμένους ὑπό τινος ἀντεπαινοῦντας τούτους προθύμως, τοῖς τε χαριζομένοις πειρωμένους ἀντιχαρίζεσθαι· καὶ οὓς γνοῖεν εὐνοϊκῶς ἔχοντας, τούτοις ἀντευνοοῦντας· καὶ οὓς εἰδεῖεν φιλοῦντας αὐτοὺς, τούτους μισεῖν οὐ δυναμένους· καὶ γονέας δὲ πολὺ μᾶλλον ἀντιθεραπεύειν πάντων τῶν ζώων ἐθέλοντας καὶ ζῶντας καὶ τελευτήσαντας· τὰ δ' ἄλλα πάντα ζῶα καὶ ἀγνωμονέστερα καὶ ἀχαριστότερα ἀνθρώπων ἐγίγνωσκεν εἶναι.
Οὕτω δὴ ὅ τε Φεραύλας ὑπερήδετο, ὅτι ἐξέσοιτο αὐτῷ, 50
ἀπαλλαγέντι τῆς τῶν ἄλλων κτημάτων ἐπιμελείας, ἀμφὶ τοὺς φίλους ἔχειν· ὅ τε Σάκας, ὅτι ἔμελλε πολλὰ ἔχων πολλοῖς χρῆσεσθαι. Ἐφίλει δὲ ὁ μὲν Σάκας τὸν Φεραύλαν, ὅτι προσέφερέ τι ἀεί· ὁ δὲ, τὸν Σάκαν, ὅτι παραλαμβάνειν πάντα ἤθελε, καὶ, ἀεὶ πλειόνων ἐπιμελόμενος, οὐδὲν μᾶλλον αὐτῷ ἀσχολίαν παρεῖχε. Καὶ οὗτοι μὲν δὴ οὕτω διῆγον.

CAP. IV.

ΘΥΣΑΣ δὲ [καὶ] ὁ Κῦρος, καὶ νικητήρια ἑστιῶν, ἐκάλεσε τῶν φίλων, οἳ μάλιστ' αὐτὸν αὔξειν τε βουλόμενοι φανεροὶ ἦσαν καὶ τιμῶντες εὐνοϊκώτατα. Συνεκάλεσε δὲ αὐτοῖς καὶ Ἀρτάβαζον τὸν Μῆδον, καὶ Τιγράνην τὸν Ἀρμένιον, καὶ τὸν Ὑρκάνιον ἵππαρχον, καὶ Γωβρύαν.

Amicos excipit convivio Cyrus, ubi joci liberales non desiderantur.

49. ἑώρα, τούς τε] Altorf. ἑώρα, τοὺς omisso τε.

καὶ ἀγνωμονέστερα] Ex auctoritate Altorf. hæc anteposui membro alteri ex natura rerum posteriori: καὶ ἀχαριστότερα.

50. τοὺς φίλους τοὺς ἄλλους Ald. Brodæi liber, Philelphi, Gabriel. et Altorf. qui deinde Σακᾶς dat semper et Σακᾶν.

πάντα ἤθελε] Margo Steph. τε πάντα ἤθελε, καὶ δὴ, πλ. quæ ipsa est scriptura libri Altorfini, ex quo vulgatum ἐπιμελούμενος correxi.

οὗτοι] Edd. vett. Guelf. αὐτοί.

1. καὶ νικητήρια] καὶ omittunt Edd. vett. Guelf. Philel. et Altorf. alterum etiam καὶ ante ὁ Κῦρος abesse malebat Zeune; et omisit Weiske.

τὸν Ἀρμένιον] τὸν Μῆδον καὶ Τιγράνην

2 Γαδάτας δὲ τῶν σκηπτούχων ἦρχεν αὐτῷ, καὶ ὅπῃ ἐκεῖ-
νος διεκόσμησεν, ἡ πᾶσα ἔνδον δίαιτα καθειστήκει· καὶ
ὁπότε μὲν συνδειπνοῖέν τινες, οὐδ᾽ ἐκάθιζε Γαδάτας, ἀλλ᾽
ἐπεμελεῖτο· ὁπότε δὲ αὐτοὶ εἶεν, καὶ συνεδείπνει· ἥδετο
γὰρ αὐτῷ ξυνών· ἀντὶ δέ τούτων πολλοῖς καὶ μεγάλοις
ἐτιμᾶτο ὑπὸ τοῦ Κύρου· διὰ δὲ Κῦρον καὶ ὑπ᾽ ἄλλων.
3 Ὡς δ᾽ ἦλθον οἱ κληθέντες ἐπὶ τὸ δεῖπνον, οὐχ ὅπου ἔτυ-
χεν ἕκαστον ἐκάθιζεν, ἀλλ᾽ ὃν μὲν μάλιστα ἐτίμα,
παρὰ τὴν ἀριστερὰν χεῖρα, ὡς εὐεπιβουλευτοτέρας ταύτης
οὔσης, ἢ τῆς δεξιᾶς· τὸν δὲ δεύτερον παρὰ τὴν δεξιὰν, τὸν
δὲ τρίτον πάλιν παρὰ τὴν ἀριστερὰν, τὸν δὲ τέταρτον
4 παρὰ τὴν δεξιάν· καὶ ἦν πλέονες ὦσιν, ὡσαύτως. Σα-
φηνίζεσθαι δὲ, ὡς ἕκαστον ἐτίμα, τοῦτο ἐδόκει αὐτῷ
ἀγαθὸν εἶναι· ὅτι, ὅπου μὲν οἴονται οἱ ἄνθρωποι τὸν
κρατιστεύοντα μήτε κηρυχθήσεσθαι, μήτε ἆθλα λήψε-
σθαι, δῆλοί εἰσιν ἐνταῦθα οὐ φιλονείκως πρὸς ἀλλήλους
ἔχοντες· ὅπου δὲ μάλιστα πλεονεκτῶν ὁ κράτιστος φαί-
νεται, ἐνταῦθα προθυμότατα φανεροί εἰσιν ἀγωνιζόμενοι
5 πάντες. Καὶ ὁ Κῦρος δὲ οὕτως ἐσαφήνιζε μὲν τοὺς
κρατιστεύοντας παρ᾽ ἑαυτῷ, εὐθὺς ἀρξάμενος ἐξ ἕδρας
καὶ παραστάσεως. Οὐ μέντοι ἀθάνατον τὴν ταχθεῖσαν
ἕδραν κατεστήσατο, ἀλλὰ νόμιμον ἐποιήσατο, καὶ ἀγα-

τὸν Ἀρμ. Junt. Ald. Guelf. ſed in hoc punctis notatum ſupplementum hoc ineptum.

ἵππαρχον] Junt. Guelf. ὕπαρχον. male; Cf. ſupra viii. 3, 25. Ὑρκανίων malebat Weiſke. Supra cap. iii. 23. eſt Ὑρκανίων δὲ ὁ υἱὸς τοῦ ἱππάρχου quem locum annotavit etiam Zeune.

2. ὅπῃ] Guelf. ᾗ, margo vulgatum habet: Altorf. voculam omiſit.

αὐτοὶ] Ita Budenſis, Altorf. Gabriel. Bodl. reliqui μὴ αὐτοί; illud eſt *ſoli*. deinde συνὼν Altorf.

μεγάλως] Liber Brodæi δώροις addebat, ut Altorf.

3. ὅπου] Edd. vett. Guelf. ὅποι. deinde αὐτῆς οὔσης Altorf. Medium inter duos convivas locum apud Perſas honoratiſſimum memorat Plutarchus Q. S. i. 3.

4. προθυμότατα] Vulgatum φρονιμώτατα, (Bodl. φρονιμώτατοι) recte deſeruit auctore libro Brodæi Stephanus, cum quo facit Altorfinus, inepte defendit Zeune, quem ſequitur Weiſke; deinde πάντες ἀγωνιζόμενοι Altorf.

5. κρατιστεύοντας] Altorf. μὲν adjungit.

θοῖς ἔργοις προβῆναι εἰς τὴν τιμιωτάτην ἕδραν, καὶ, εἴ τις
ῥᾳδιουργοίη, ἀναχωρῆσαι εἰς τὴν ἀτιμοτέραν. Τὸν δὲ
πρωτεύοντα ἐν ἕδρᾳ ᾐσχύνετο μὴ οὐ πλεῖστα καὶ ἀγαθὰ
ἔχοντα παρ' αὐτοῦ φαίνεσθαι. Καὶ ταῦτα δὲ, ἐπὶ
Κύρου γενόμενα, οὕτως ἔτι καὶ νῦν διαμένοντα αἰσθανό-
μεθα.

Ἐπεὶ δὲ ἐδείπνουν, ἐδόκει τῷ Γωβρύᾳ τὸ μὲν πολλὰ 6
ἕκαστα εἶναι οὐδέν τι θαυμαστὸν παρ' ἀνδρὶ πολλῶν
ἄρχοντι· τὸ δὲ τὸν Κῦρον, οὕτω μεγάλα πράττοντα, εἴ
τι ἡδὺ δόξειε λαβεῖν, μηδὲν τούτων μόνον καταδαπανᾷν,
ἀλλὰ ἔργον ἔχειν δεόμενον τούτου κοινωνεῖν τοὺς παρόντας.
Πολλάκις δὲ καὶ τῶν ἀπόντων φίλων ἐστὶν οἷς ἑώρα
πέμποντα ταῦτα αὐτὸν, οἷς ἡσθεὶς τύχοι· ὥστε ἐπεὶ 7
ἐδεδειπνήκεσαν, καὶ τὰ πάντα πολλὰ ὄντα διαπεπόμφει
ὁ Κῦρος ἀπὸ τῆς τραπέζης, εἶπεν ἄρα ὁ Γωβρύας, Ἀλλ'
ἐγὼ, ὦ Κῦρε, πρόσθεν μὲν ἡγούμην, τούτῳ σε πλεῖστον
διαφέρειν ἀνθρώπων, τῷ στρατηγικώτατον εἶναι· νῦν δὲ
θεοὺς ὄμνυμι, ἦ μὴν ἐμοὶ δοκεῖν πλέον σε διαφέρειν φι-
λανθρωπίᾳ, ἢ στρατηγίᾳ. Νὴ Δί', ἔφη ὁ Κῦρος· καὶ 8
μὲν δὴ καὶ ἐπιδείκνυμαι τὰ ἔργα πολὺ ἥδιον φιλανθρω-

τιμιωτάτην] Ita Edd. vett. Guelf. Philel. τιμιωτέραν Steph. dedit.

εἴ τις] Ita pro εἴ τι libri Brodæi, Philel. Caftal.

ἕδρᾳ] Libri Brodæi cum Altorfino ἕδραις.

μὴ οὐ πλεῖστα] Ex libro Brodæi et Altorfino οὐ interferui.

αὐτοῦ] Guelf. αὐτῷ, fed correctum. deinde ὑπὸ Κύρου Altorfinus liber.

6. οὐδέν τι] Ex Guelf. τι addidit Zeune, cum quo facit Altorf.

μηδὲν τούτων] Ita pro τοῦτον Guelf. Bodl.

δεόμενον τούτου] Ita Junt. et Guelf. τοῦ δεόμενον τὸν κ. Ald. τὸν δ. τοῦ κ. Bodl. τὸν δεόμενον τούτου κ. Budenfis et Altorf. τῶν ἐδομένων τοῦ κ. libri Gabr.

7. τὰ πάντα πολλὰ] Edd. vett. Guelf. πάντα τὰ πολλά. Margo Steph. πάμπολλα, quæ eft fcriptura libri Altorfini; fect. 6. eft πολλὰ ἕκαστα.

πλεῖστον] Guelf. πλείστων. Paulo ante πρόσθεν ἡγούμην Altorf.

νῦν δὲ θεοὺς] Junt. Guelf. τοὺς δὲ θεούς. Deinceps ἐμοὶ δοκεῖ Guelf. fed correctum δοκεῖν. Margo Steph. ἦ μὴν δοκεῖ. Altorf. ὄμνυμι ὑμῖν, ἦ μήν.

8. ἐπιδείκνυμαι] Ita Guelf. margo Steph. γε addit; vulgo ἐπιδεικνῦναι. Altorf. καὶ μὲν δὴ ἐπιδεικνῦμαι dat omiffo καί. Verbum adhibet quod oftentationem cum delectatione conjunctam fignificat: alias ἀποδείκνυσθαι ἔργα folemne eft.

πίας ἢ στρατηγίας. Πῶς δή; ἔφη ὁ Γωβρύας. Ὅτι,
ἔφη, τὰ μὲν, κακῶς ποιοῦντα ἀνθρώπους, δεῖ ἐπιδείκνυ-
σθαι, τὰ δὲ, εὖ.

9 Ἐκ τούτου δὴ, ἐπεὶ ὑπέπινον, ἤρετο ὁ Ὑστάσπας τὸν
Κῦρον, Ἆρ' ἂν, ἔφη, ὦ Κῦρε, ἀχθεσθείης μοι, εἴ σε ἐροί-
μην, ὃ βούλομαί σου πυθέσθαι; Ἀλλὰ ναὶ μὰ τοὺς
θεοὺς, ἔφη, τοὐναντίον τούτου, ἀχθοίμην ἄν σοι, εἰ αἰ-
σθοίμην σιωπῶντα, ἃ ἂν βούλοιο ἐρέσθαι. Λέγε δή
μοι, ἔφη, ἤδη πώποτε καλέσαντός σου οὐκ ἦλθον; Εὐ-
φήμει, ἔφη ὁ Κῦρος. Ἀλλ' ὑπακούων σχολῇ ὑπήκου-
σα; Οὐδὲ τοῦτο. Προσταχθὲν δέ τι ἤδη σοι οὐκ ἔπρα-
ξα; Οὐκ αἰτιῶμαι, ἔφη. Ὃ δὲ πράττοιμι, ἔστιν ὅ τι
πώποτε οὐ προθύμως, ἢ οὐχ ἡδομένως πράττοντά με
10 κατέγνως; Τοῦτο δὴ πάντων ἥκιστα, ἔφη ὁ Κῦρος. Τί-
νος μὴν ἕνεκα, ἔφη, πρὸς τῶν θεῶν, ὦ Κῦρε, Χρυσάντας
σε ἔτρεψεν, ὥστε εἰς τὴν τιμιωτέραν ἐμοῦ ἕδραν ἱδρυνθῆ-
ναι; Ἦ λέγω; ἔφη ὁ Κῦρος. Πάντως, ἔφη ὁ Ὑστά-
σπας. Καὶ σὺ αὖ οὐκ ἀχθεσθήσῃ μοι, ἀκούων τἀλη-
11 θῆ; Ἡσθήσομαι μὲν οὖν, ἔφη, ἢν εἰδῶ, ὅτι οὐκ ἀδικοῦ-
μαι. Χρυσάντας τοίνυν, ἔφη, οὑτοσὶ πρῶτον μὲν οὐ κλῆ-
σιν ἀνέμενεν, ἀλλὰ, πρὶν καλεῖσθαι, παρῆν τῶν ἡμετέρων
ἕνεκα· ἔπειτα δὲ, οὐ τὸ κελευόμενον μόνον, ἀλλὰ καὶ, ὅ
τι αὐτὸς γνοίη ἄμεινον εἶναι πεπραγμένον ἡμῖν, τοῦτο
ἔπραττεν. Ὁπότε δ' εἰπεῖν τι δέοι εἰς τοὺς συμμά-

πῶς δὴ] Edd. vett. cum Altorf. πῶς δὲ, Guelf. πῶς ſolum habet.

9. τούτου δὴ] Altorf. liber τούτου δῆτα.

ἤρετο] Budenſis ἐπήρετο. Ceterum *ſubbibere* latine etiam dicitur pro *largius bibere*, ut docuit ad h. l. Zeune.

ἃ ἂν] Guelf. ἂν omittit.

ὑπακούων] Altorf. ἔφη adjungit. deinde προσταχθὲν δέ μοι ἤδη τι σοι οὐκ ἔπραξα dat.

ὅ—πράττοιμι] Margo Leoncl. Steph. ἃ δὲ προσταττοίμην.

10. ἕνεκα, ἔφη,] Altorf. ἔφη, ἕνεκα.

ἔτρεψε] Junt. ἔρεψε. Liber Brodæi, Philelphi et margo Guelf. cum Altorfino Χρυσάνταν ἔγραψας.

ἕδραν] Ita libri Brodæi; contra Zeune χώραν prætulit, ἕδραν ἐμοῦ Altorf. deinceps ἱδρυσθῆναι Leoncl.

11. τι δέοι] Altorf. τι δέον—αὐτὸν δὲ αἰσχυνόμενον omiſſo με.

χους, ἃ μὲν ἐμὲ ᾤετο πρέπειν λέγειν, ἐμοὶ συνεβούλευεν·
ἃ δὲ ἐμὲ αἴσθοιτο βουλόμενον μὲν εἰδέναι τοὺς συμμά-
χους, αὐτὸν δέ με αἰσχυνόμενον περὶ ἐμαυτοῦ λέγειν,
ταῦτα οὕτως λέγων ὡς ἑαυτοῦ γνώμην ἀπεφαίνετο· ὥστ'
ἔν γε τούτοις τί κωλύει αὐτὸν καὶ ἐμοῦ ἐμοὶ κρείττονα
εἶναι; Καὶ ἑαυτῷ μὲν ἀεί φησι πάντα τὰ παρόντα ἀρ-
κεῖν, ἐμοὶ δὲ ἀεὶ φανερός ἐστι σκοπῶν, τί ἂν προσγενό-
μενον ὀνήσειεν· ἐπί τε τοῖς ἐμοῖς καλοῖς πολὺ μᾶλλον
ἐμοῦ ἀγάλλεται καὶ ἥδεται. Πρὸς ταῦτα ὁ Ὑστάσπας 12
εἶπε, Νὴ τὴν Ἥραν, ἔφη, ὦ Κῦρε, ἥδομαί γε ταῦτά σε
ἐρωτήσας. Τί μάλιστα; ἔφη ὁ Κῦρος. Ὅτι κἀγὼ
πειράσομαι ταῦτα ποιεῖν· ἓν μόνον, ἔφη, ἀγνοῶ, πῶς ἂν
εἴην δῆλος χαίρων ἐπὶ τοῖς σοῖς ἀγαθοῖς· πότερον κροτεῖν
δεῖ τὼ χεῖρε, ἢ γελᾷν, ἢ τί ποιεῖν. Καὶ ὁ Ἀρτάβαζος
εἶπεν· Ὀρχεῖσθαι δεῖ τὸ Περσικόν. Ἐπὶ τούτοις μὲν δὴ
γέλως ἐγένετο.

Προϊόντος δὲ τοῦ συμποσίου, ὁ Κῦρος τὸν Γωβρύαν 13
ἐπήρετο, Εἰπέ μοι, ἔφη, ὦ Γωβρύα, νῦν ἂν δοκοίης ἥδιον
τῶνδέ τῳ τὴν θυγατέρα δοῦναι, ἢ ὅτε τὸ πρῶτον ἡμῖν
συνεγένου; Οὐκοῦν, ἔφη ὁ Γωβρύας, κἀγὼ τἀληθῆ λέ-
γω; Νὴ Δί', ἔφη ὁ Κῦρος, ὡς ψεύδους γε οὐδεμία ἐρώ-
τησις δεῖται. Εὖ τοίνυν, ἔφη, ἴστι, ὅτι νῦν ἂν πολὺ
ἥδιον. Ἦ καὶ ἔχοις ἄν, ἔφη ὁ Κῦρος, εἰπεῖν, διότι;
Ἔγωγε. Λέγε δή. Ὅτι τότε μὲν ἑώρων τοὺς πόνους 14
καὶ τοὺς κινδύνους εὐθύμως αὐτοὺς φέροντας, νῦν δὲ ὁρῶ

οὕτως λέγων] Ita pro οὗτος Steph. deinde ἔν γε τοῖς τοιούτοις Altorf. liber.

ἑαυτῷ μὲν] J. A. Iſ. Guelf. ἑαυτὸν μέν.

πολὺ μᾶλλον] Ex libris Brodæi, Philelphi et Altorf. πολὺ reſtituit Zeune.

12. Ἥραν, ἔφη,] Ex Altorfino libro ἔφη acceſſit.

τὸ Περσικὸν] ſc. ὄρχημα, etiam ὄκλασμα dictum, auctore Polluce iv. 100. et Xenoph. Anab. vi. 1, 5.

13. τῶνδέ τῳ] Altorfinus liber τῷδε omiſſo τῳ, ſed ab aliena manu ευ eraſum eſt.

ὡς ψεύδους—δεῖται] *Qui quærit ex altero, verum quærit, non falſum vel mendacium.*

αὐτοὺς τὰ ἀγαθὰ σωφρόνως φέροντας. Δοκεῖ δέ μοι,
ὦ Κῦρε, χαλεπώτερον εἶναι, εὑρεῖν ἄνδρα, τἀγαθὰ κα-
λῶς φέροντα, ἢ τὰ κακά· τὰ μὲν γὰρ ὕβριν τοῖς πολ-
15 λοῖς, τὰ δὲ σωφροσύνην τοῖς πᾶσιν ἐμποιεῖ. Καὶ ὁ Κῦ-
ρος εἶπεν, Ἤκουσας, ὦ Ὑστάσπα, Γωβρύου τὸ ῥῆμα;
Ναὶ μὰ Δί', ἔφη· καὶ ἐὰν πολλὰ τοιαῦτά γε λέγῃ,
πολὺ μᾶλλόν με τῆς θυγατρὸς μνηστῆρα λήψεται, ἢ
16 ἐὰν ἐκπώματα πολλά μοι ἐπιδεικνύῃ. Ἦ μὴν, ἔφη ὁ
Γωβρύας, πολλά γέ μοί ἐστι τοιαῦτα συγγεγραμμένα,
ὧν ἐγώ σοι οὐ φθονήσω, ἢν τὴν θυγατέρα μου γυναῖκα
λαμβάνῃς· τὰ δὲ ἐκπώματα, ἔφη, ἐπειδὴ οὐκ ἀνέχε-
σθαί μοι φαίνῃ, οὐκ οἶδ', εἰ Χρυσάντᾳ τούτῳ δῶ, ἐπεὶ
17 καὶ τὴν ἕδραν σου ὑφήρπασε. Καὶ μὲν δὴ, ἔφη ὁ Κῦρος,
ὦ Ὑστάσπα, καὶ οἱ ἄλλοι δὲ οἱ παρόντες, ἢν ἐμοὶ λέ-
γητε, ὅταν τις ὑμῶν γαμεῖν ἐπιχειρήσῃ, γνώσεσθε,
18 ὁποῖός τις κἀγὼ συνεργὸς ὑμῖν ἔσομαι. Καὶ ὁ Γωβρύας
εἶπεν, Ἢν δέ τις ἐκδοῦναι βούληται θυγατέρα, πρὸς τίνα
δεῖ λέγειν; Πρὸς ἐμὲ, ἔφη ὁ Κῦρος, καὶ τοῦτο· πάνυ
γὰρ, ἔφη, δεινός εἰμι ταύτην τὴν τέχνην. Ποίαν; ἔφη ὁ
19 Χρυσάντας. Τὸ γνῶναι, ὁποῖος ἂν γάμος ἑκάστῳ συναρ-
μόσειε. Καὶ ὁ Χρυσάντας ἔφη, Λέγε δὴ πρὸς τῶν θεῶν,

14. καλῶς φέροντα] Altorf. σωφρόνως φέροντα.

15. πολλὰ τοιαῦτά γε] Altorfinus liber πολλά γε τοιαῦτα λέγει.

πολλά μοι] Junt. Guelf. μοι omittunt.

16. οὐκ οἶδ' εἰ] Latinorum *haud ſcio an* affirmare ſimiliter cum dubitatione annotavit Weiſke.

τούτῳ δῶ] Brodæus δώσεις ex libro poſuit. Contra δῶ liber Gabrielis, quod Camer. interpretatus eſt. In Guelf. δῶ, quod habet etiam Altorf. teſte Fiſchero ad Weller. ii. p. 443. corrigitur δῶς, quod Philelphus legit cum J. A. Iſ.

ἐπεὶ καὶ] Guelf. ἐπειδὲ καὶ ſic: ſed geminatum ἐπειδὴ diſplicet. Voluit ipſe Xenophon diverſum utriuſque voculæ uſum diſtinguere et nos ſimul docere. Male enim h. l. Weiſke ἐπεὶ *quoniam* interpretatur, adeoque totam hanc ſententiam priori ἐπειδὴ —φαίνῃ repugnare ait, niſi hanc ejus interpretationem ſequaris.

17. καὶ οἱ ἄλλοι] Altorf. καὶ ἄλλοι.

ἐπιχειρήσῃ] Liber Brodæi ἐπιθυμήσῃ. Altorf. ἐπιθυμεῖ γαμήσειν.

18. βούληται] Ita cum Stephano Guelf. pro βούλοιτο. Altorf. ἢν δέ τις θυγατέρα ἐκδοῦναι βούληται.

19. συναρμόσειε] Altorf. συναρμόσαι.

ποίαν τινά μοι γυναῖκα οἴει συναρμόσειν κάλλιστα.
Πρῶτον μὲν, ἔφη, μικράν· μικρὸς γὰρ καὶ αὐτὸς εἶ· εἰ 20
δὲ μεγάλην γαμεῖς, ἤν ποτε βούλῃ αὐτὴν ὀρθὴν φιλῆ-
σαι, προσάλλεσθαί σε δεήσει, ὡς τὰ κυνάρια. Τοῦτο
μὲν δὴ, ἔφη, ὀρθῶς προνοεῖς· καὶ γὰρ οὐδ᾽ ὁπωστιοῦν
ἁλτικός εἰμι. Ἔπειτα δ᾽, ἔφη, σιμὴ ἄν σοι ἰσχυρῶς 21
συμφέροι. Πρὸς τί δὴ αὖ τοῦτο; Ὅτι, ἔφη, σὺ γρυπὸς
εἶ· πρὸς οὖν τὴν σιμότητα σάφ᾽ ἴσθι, ὅτι ἡ γρυπότης
ἄριστα προσαρμόσειε. Λέγεις σὺ, ἔφη, ὡς καὶ τῷ εὖ
δεδειπνηκότι, ὥσπερ καὶ ἐγὼ νῦν, ἄδειπνος ἂν συναρμό-
ζοι; Ναὶ μὰ Δί᾽, ἔφη ὁ Κῦρος· τῶν μὲν γὰρ μεστῶν
γρυπὴ ἡ γαστὴρ γίγνεται, τῶν δὲ ἀδείπνων, σιμή. Καὶ 22
ὁ Χρυσάντας ἔφη, Ψυχρῷ δ᾽ ἄν, πρὸς τῶν θεῶν, βασιλεῖ
ἔχοις ἂν εἰπεῖν, ποία τις συνοίσει; Ἐνταῦθα μὲν δὴ ὅ
τε Κῦρος ἐξεγέλασε καὶ οἱ ἄλλοι ὁμοίως. Γελώντων δὲ 23
ἅμα εἶπεν ὁ Ὑστάσπας, Πολύ γε, ἔφη, μάλιστα τούτου
σε, ὦ Κῦρε, ζηλῶ ἐν τῇ βασιλείᾳ. Τίνος; ἔφη ὁ Κῦ-
ρος. Ὅτι δύνασαι καὶ ψυχρὸς ὢν γέλωτα παρέχειν.
Καὶ ὁ Κῦρος εἶπεν· Ἔπειτα οὐκ ἂν πρίαιό γε πάμπολ-

τινά μοι] Altorf. τινὰ οἴει γυναῖκα ἐμοὶ συναρμόσειν.

20. πρῶτον μὲν] Altorf. πρῶτον μὲν γάρ. in quo ἄρα latere videtur; qualis particula videtur deesse. deinde εἰ δὲ μεγάλην γαμεῖς, ἐάν. unde vulgatum ἢν δὲ μεγάλην γαμήσειας correxi. postea ἤν ποτε βούλει dabant Edd. pr. cum Guelf.

21. αὖ τοῦτο] Brodæi liber οὖν τοῦτο. Altorf. τί αὖ τοῦτο, omisso δή. Locum hunc respexit Plutarchus Q. Symp. xi. 1.

22. βασιλεῖ] Guelf. βασιλεῖ, πρὸς τῶν θεῶν. Altorf. in vulgata lectione addit ἔφη post θεῶν. Satis frigida est ventris nasique simi et adunci comparatio et conjunctio ad connubium inde inveniendum. Verum nimis stomachosus videtur Chrysantas regi ingerens dicti frigus: nisi forte ambiguitas in ψυχρῷ latet aliqua, quæ effecit, ut omnes atque ipse Cyrus in risum effunderentur. Deinde mirum mihi accidit, cur non ipse Chrysantas stomachabundus persequatur dictum, sed Hystaspas verbo non lacessitus antea suscipiat quasi contumeliam a Chrysanta cœptam et augeat. Sed hominem severum jam supra sect. 12. vidimus; quem fere cerebrosum nobis hic Xenophon propinat, si rem ex nostris moribus, nec ex urbanitate democratiæ Atticæ æstimes.

σε ὦ Κῦρε] Altorf. ὦ omittit, deinde Ὅτι δύνασαι, ἔφη, καὶ ψυχρός.

23. Ἔπειτα] Ita cum libris Gabriel. Camer. Philelphi, margine Bodl. pro ἐπεὶ Stephanus. ἔπειτ᾽ οὐκ ἂν Altorf.

λου, ὥστε σοι ταῦτα εἰρῆσθαι, καὶ ἀπαγγελθῆναι, παρ᾽
ᾗ εὐδοκιμεῖν βούλει, ὅτι ἀστεῖος εἶ; Καὶ ταῦτα μὲν δὴ
οὕτω διεσκώπτετο.

Nuptiis Hyſtaſpæ cum Gobryæ filia conciliatis, ceteros convivas cum muneribus dimittit.

24 Μετὰ δὲ ταῦτα Τιγράνῃ μὲν ἐξήνεγκε γυναικεῖον κό-
σμον, καὶ ἐκέλευσε τῇ γυναικὶ δοῦναι, ὅτι ἀνδρείως συνε-
στρατεύετο τῷ ἀνδρί. Ἀρταβάζῳ δὲ χρυσοῦν ἔκπωμα·
τῷ δὲ Ὑρκανίῳ ἵππον, καὶ ἄλλα πολλὰ καὶ καλὰ
ἐδωρήσατο. Σοὶ δὲ, ἔφη, ὦ Γωβρύα, δώσω ἄνδρα τῇ
25 θυγατρί. Οὐκοῦν ἐμὲ, ἔφη ὁ Ὑστάσπας, δώσεις, ἵνα
καὶ τὰ συγγράμματα λάβω. Ἦ καὶ ἔστι σοι, ἔφη ὁ
Κῦρος, οὐσία ἀξία τῶν τῆς παιδός; Νὴ Δί᾽, ἔφη, πολ-
λαπλασίων μὲν οὖν χρημάτων. Καὶ ποῦ, ἔφη ὁ Κῦρος,
ἔστι σοι αὕτη ἡ οὐσία; Ἐνταῦθα, ἔφη, ὅπουπερ καὶ σὺ
κάθησαι, φίλος ὢν ἐμοί. Ἀρκεῖ μοι, ἔφη ὁ Γωβρύας·
καὶ εὐθὺς ἐκτείνας τὴν δεξιὰν, Δίδου, ἔφη, ὦ Κῦρε· δέ-
26 χομαι γάρ. Καὶ ὁ Κῦρος λαβὼν τὴν τοῦ Ὑστάσπου δε-
ξιὰν, ἔδωκε τῷ Γωβρύᾳ· ὁ δὲ ἐδέξατο. Ἐκ δὲ τούτου
πολλὰ καὶ καλὰ ἔδωκε δῶρα τῷ Ὑστάσπᾳ, ὅπως τῇ
παιδὶ πέμψειε· Χρυσάνταν δ᾽ ἐφίλησε προσαγαγόμε-
27 νος. Καὶ ὁ Ἀρτάβαζος εἶπε, Μὰ Δί᾽, ἔφη, ὦ Κῦρε,
οὐχ ὁμοίου γε χρυσοῦ ἐμοί τε τὸ ἔκπωμα δέδωκας, καὶ
Χρυσάντᾳ τὸ δῶρον. Ἀλλὰ καί σοι, ἔφη, δώσω. Ἐπή-
ρετο ἐκεῖνος, Πότε; Εἰς τριακοστὸν, ἔφη, ἔτος. Ὡς
ἀναμενοῦντος, ἔφη, καὶ οὐκ ἀποθανουμένου, οὕτω παρα-

σοι ταῦτα εἰρῆσθαι] Recte Zeune *hæc tibi ab alio dicta eſſe*, videlicet te riſum movere poſſe, vel urbanum eſſe. contra Weiſke *hæc* (quæ ego dixi) *a te dicta eſſe.*

παρ᾽ ᾗ εὐδοκιμεῖν] Altorf. liber παρευδοκιμεῖν. deinde οὕτως διεσκώπτετο.

διεσκώπτετο] Ita pro—τοντο Stephanus, cum quo facit Altorf.

25. ἔστι σοι] Altorf. αὕτη ἔστι σοι ἡ οὐσία.

κάθησαι] J. A. Iſ. Guelf. κάθισαι.

26. καὶ καλὰ] Margo Guelf. γρ. μεγάλα.

27. ὁμοίου γε χρυσοῦ] Oſculum Chryſantæ datum invidia tactus intelligit Artabazus tum nondum annos 30. natus. Altorf. ἔδωκας dat.

ἔφη, δώσω] Altorf. omittit δώσω. deinde Πότε; ὁ δὲ εἶπεν, εἰς τριακοστὸν ἔτος. ὡς ἀναμένοντος dat.

σκευάζου. Καὶ τότε μὲν δὴ οὕτως ἔληξεν ἡ σκηνή· ἐξαν-
ισταμένων δ' αὐτῶν ἐξανέστη καὶ ὁ Κῦρος, καὶ ξυμπρού-
πεμψεν αὐτοὺς ἐπὶ τὰς θύρας.

Τῇ δ' ὑστεραίᾳ τοὺς ἐθελουσίους συμμάχους γενομέ- 28
νους ἀπέπεμπεν οἴκαδε ἑκάστους, πλὴν ὅσοι αὐτῶν οἰκεῖν
ἐβούλοντο παρ' αὐτῷ· τούτοις δὲ χώραν καὶ οἴκους ἔδωκε,
καὶ νῦν ἔτι ἔχουσιν οἱ τῶν καταμεινάντων [τούτων] τότε
ἀπόγονοι· πλεῖστοι δ' εἰσὶ Μήδων καὶ Ὑρκανίων· τοῖς
δ' ἀπιοῦσι δωρησάμενος πολλὰ, καὶ ἀμέμπτους ποιη-
σάμενος καὶ ἄρχοντας καὶ στρατιώτας, ἀπεπέμψατο.
Ἐκ τούτου δὲ διέδωκε καὶ τοῖς περὶ αὐτὸν στρατιώταις 29
τὰ χρήματα, ὅσα ἐκ Σάρδεων ἔλαβε· καὶ τοῖς μὲν μυ-
ριάρχοις καὶ τοῖς περὶ αὐτὸν ὑπηρέταις ἐξαίρετα ἐδίδου
πρὸς τὴν ἀξίαν ἑκάστῳ, τὰ δ' ἄλλα διένειμε· καὶ τὸ
μέρος ἑκάστῳ δοὺς τῶν μυριάρχων, ἐπέτρεψεν αὐτοῖς
διανέμειν, ὥσπερ αὐτὸς ἐκείνοις διένειμεν. Ἐδίδοσαν δὲ 30
τὰ μὲν ἄλλα χρήματα, ἄρχων ἄρχοντας τοὺς ὑφ' ἑαυτῷ
δοκιμάζων· τὰ δὲ τελευταῖα οἱ ἐξάδαρχοι, τοὺς ὑφ' ἑαυ-
τοῖς ἰδιώτας δοκιμάσαντες, πρὸς τὴν ἀξίαν ἑκάστῳ ἐδί-
δοσαν· καὶ οὕτω πάντες εἰλήφεσαν τὸ δίκαιον μέρος.
Ἐπεὶ δὲ εἰλήφεσαν τὰ τότε δοθέντα, οἱ μέν τινες ἔλεγον 31
περὶ τοῦ Κύρου τοιάδε· Ἦ που αὐτός γε πολλὰ ἔχει,
ὅπου γε καὶ ἡμῶν ἑκάστῳ τοσαῦτα δέδωκεν. Οἱ δέ
τινες αὐτῶν ἔλεγον, Ποῖα πολλὰ ἔχει; οὐχ ὁ Κύρου τρό-

Cyrus ſocios partim domum dimittit, partim ſecum Babylone manere concedit, quos omnes tam duces, quam milites muneribus ornat.

ἐξανέστη] Margo Steph. συνεξανέστη, quod eſt in Altorfino libro et deinde συμπρούπεμψεν.

28. τούτων] Auctore libro Gabr. et Altorf. cum Stephano omitti volebat Zeune; igitur ſecluſi.

29. τούτου δὲ] Ita cum Guelf. Altorf. pro τούτου δή.

περὶ αὐτὸν] Margo Steph. παρ' ἑαυτῷ. Altorf. ἑαυτόν.

ἀξίαν ἑκάστῳ] Margo Steph. ἑκάστου, quod eſt in Altorfino libro. deinde ἐπέτρεψεν αὐτῷ Altorf.

30. Ἐδίδοσαν] Guelf. ἔδοσαν, margo Steph. διεδίδοσαν. Eadem varietas eſt in loco ſtatim ſecuturo, ubi Altorf. etiam dat ἔδοσαν.

ἐξάδαρχοι] Stephanus δεκάδαρχοι malebat; iidem tamen ἐξ. ſunt iii. 3, 11.

δίκαιον] Margo Steph. δόκιμον.

31. ἐπεὶ] Ita cum Guelf. ſcripſi pro ἐπειδή.

πος τοιοῦτος, οἷος χρηματίζεσθαι, ἀλλὰ διδοὺς μᾶλλον
ἢ κτώμενος ἥδεται.

Amicis et proceribus convocatis omnes ſuas copias et opes oſtendit.

32 Αἰσθανόμενος δὲ ὁ Κῦρος τούτους τοὺς λόγους καὶ τὰς
δόξας τὰς περὶ αὐτοῦ, συνέλεξε τοὺς φίλους τε καὶ τοὺς
ἐπικαιρίους ἅπαντας, καὶ ἔλεξεν ὧδε·
Ἄνδρες φίλοι, ἑώρακα μὲν ἤδη ἀνθρώπους, οἳ βούλον-
ται δοκεῖν πλείω κεκτῆσθαι, ἢ ἔχουσιν, ἐλευθεριώτεροι
ἂν οἰόμενοι οὕτω φαίνεσθαι· ἐμοὶ δὲ δοκοῦσιν, ἔφη, οὗτοι
τοὔμπαλιν οὗ βούλονται ἐφέλκεσθαι· τὸ γὰρ πολλὰ
δοκοῦντα ἔχειν, μὴ κατ' ἀξίαν τῆς οὐσίας φαίνεσθαι
ὠφελοῦντα τοὺς φίλους, ἀνελευθερίαν ἔμοιγε δοκεῖ πε-
33 ριάπτειν. Εἰσὶ δ' αὖ, ἔφη, οἳ λεληθέναι βούλονται,
ὅσα ἂν ἔχωσι· πονηροὶ οὖν καὶ οὗτοι τοῖς φίλοις ἔμοιγε
δοκοῦσιν εἶναι· διὰ γὰρ τὸ μὴ εἰδέναι τὰ ὄντα, πολλάκις
δεόμενοι οὐκ ἐπαγγέλλουσιν οἱ φίλοι τοῖς ἑταίροις, ἀλλ'
34 ἀπατῶνται. Ἁπλουστάτου δέ μοι, ἔφη, δοκεῖ εἶναι, τὸ
τὴν δύναμιν φανερὰν ποιήσαντα, ἐκ ταύτης ἀγωνίζεσθαι
περὶ καλοκαγαθίας. Κἀγὼ οὖν, ἔφη, βούλομαι ὑμῖν,
ὅσα μὲν οἷόν τ' ἐστὶν ἰδεῖν τῶν ἐμοὶ ὄντων, δεῖξαι· ὅσα δὲ
35 μὴ οἷόν τε ἰδεῖν, διηγήσασθαι. Ταῦτα εἰπὼν, τὰ μὲν
ἐδείκνυε πολλά τε καὶ καλὰ κτήματα· τὰ δὲ κείμενα,
ὡς μὴ ῥάδια εἶναι ἰδεῖν, διηγεῖτο· τέλος δὲ εἶπεν ὧδε,
36 Ταῦτα, ἔφη, ὦ ἄνδρες, ἅπαντα δεῖ ὑμᾶς οὐδὲν μᾶλλον

οἷος] Ita pro ὅλως libri Brodæi, Gabrielii, Camer. Altorf. In Guelf. ὅλος corrigitur ὅλως; Muretus legebat ὡς.

32. αἰσθανόμενος] Zonaras αἰσθόμενος dedit. deinde περὶ αὐτοῦ Edd. pr. et Guelf.

ἄνδρες φίλοι] Altorf. ὦ ἄνδρες φίλοι. deinde ἑώρακα μὲν ἤδη, ἔφη.

τοὔμπαλιν] Altorf. τοῦ μὴ πάλιν habet.

τὸ γὰρ] Ita cum Stephano Guelf. et Altorf. pro τὸν γάρ.

33. ἀπατῶνται] Guelf. ἡττῶνται, vulgata in margine. Verbum ἀπατῶνται ineptum huic loco quivis facile agnoſcet: verum ἀπορίᾳ ἡττῶνται quod Weiſke ſubſtituit, nondum mihi ſatis facit: certe ἀπορίας eſſe debebat.

34. μοι, ἔφη, δοκεῖ] Altorf. μοι δοκεῖ, ἔφη, dat.

35. πολλά τε] Guelf. Altorf. Zonaras τε omittunt. Pro κτήματα Zonaras χρήματα dedit.

ῥάδια] Guelf. ῥάδιον——διηγήσατο, Verum εἶναι abeſſe malim.

ἐμὰ ἡγεῖσθαι, ἢ καὶ ὑμέτερα· ἐγὼ γάρ, ἔφη, ταῦτα ἀθροίζω, οὐθ' ὅπως αὐτὸς καταδαπανήσω, οὐθ' ὅπως αὐτὸς κατατρίψω· (οὐ γὰρ ἂν δυναίμην) ἀλλ' ὅπως ἔχω τῷ τε ἀεὶ ὑμῶν καλόν τι ποιοῦντι διδόναι, καὶ ὅπως, ἤν τις ὑμῶν τινὸς ἐνδεῖσθαι νομίσῃ, πρὸς ἐμὲ ἐλθὼν λάβῃ, οὗ ἂν ἐνδεὴς τυγχάνῃ ὤν. Καὶ ταῦτα μὲν οὕτως ἐλέχθη.

CAP. V.

Cyri in Persidem proficiscentis agmen et castrorum ratio describitur.

'ΗΝΙΚΑ δὲ ἤδη αὐτῷ ἐδόκει καλῶς ἔχειν τὰ ἐν Βαβυλῶνι, ὡς καὶ ἀποδημεῖν, συνεσκευάζετο τὴν εἰς Πέρσας πορείαν, καὶ τοῖς ἄλλοις παρήγγειλεν· ἐπεὶ δὲ ἐνόμισεν ἱκανὰ ἔχειν, ὧν ᾤετο δεήσεσθαι, οὕτω δὴ ἀνεζεύγνυε.
Διηγησόμεθα δὲ ἤδη καὶ ταῦτα, ὡς πολὺς στόλος ὤν, 2
εὐτάκτως μὲν κατεσκευάζετο, καὶ πάλιν ἀνεσκευάζετο, κατεχωρίζετο δὲ ταχύ, ὅπου δέοιτο. Ὅπου γὰρ ἂν στρατοπεδεύηται βασιλεύς, σκηνὰς μὲν δὴ ἔχοντες πάντες οἱ ἀμφὶ βασιλέα στρατεύονται καὶ θέρους καὶ χειμῶνος. Εὐθὺς δὲ τοῦτο ἐνόμιζε Κῦρος, πρὸς ἕω βλέ- 3
πουσαν ἵστασθαι τὴν σκηνήν· ἔπειτα ἔταξε πρῶτον μέν, πόσον δεῖ ἀπολιπόντας σκηνοῦν τοὺς δορυφόρους τῆς βασιλικῆς σκηνῆς· ἔπειτα σιτοποιοῖς μὲν χώραν ἀπέδειξε τὴν δεξιάν, ὀψοποιοῖς δὲ τὴν ἀριστεράν, ἵπποις δὲ τὴν δεξιάν,

36. τῷ τε ἀεὶ] Altorf. ἔχω τῷ τέλει καλόν τι ὑμῶν ποιοῦντι διδόναι, καὶ ὅπως ἤν τινος ὑμῶν τις ἐνδεῖσθαι νομίσῃ—οὗ δ' ἂν ἐνδεὴς τυγχάνοι ὤν.

1. δὲ ἤδη] Guelf. δὲ τὰ ἤδη Altorf. δὲ δὴ ἐδόκει αὐτῷ. Ceterum absoluta rerum bellicarum narratione intempestive mihi Xenophon cœptam de pacis artibus a Cyro institutis narrationem interpellare videtur inserta demonstratione satis putida de re castrensi et rebus minutis, quæ Polybium historicum magis decent.

ἀποδημεῖν] Deinceps Altorf. ἑαυτῷ inserit.

ἱκανὰ—ὧν] Juntina ἱκανοὺς, libri Brodæi et Altorf. ὅσων dant.

2. ἤδη καὶ] Ex Altorfino libro ἤδη adjunxi.

πολὺς στόλος ὢν] Guelf. πολύστολος ὢν ut Edd. pr.

καὶ πάλιν ἀνεσκευάζετο] Altorf. liber hæc verba omisit eorumque in loco ταχὺ δὲ posuit, quæ loco posteriore deinde omittit.

δέοιτο] Juntina δέῃ, Guelf. δέοι.

ὑποζυγίοις δὲ τοῖς ἄλλοις τὴν ἀριστεράν· καὶ τἄλλα δὲ
διετέτακτο, ὥστε εἰδέναι ἕκαστον τὴν ἑαυτοῦ χώραν καὶ
4 μέτρῳ καὶ τόπῳ. Ὅταν δὲ ἀνασκευάζωνται, συντίθησι
μὲν ἕκαστος σκεύη, οἷσπερ τέτακται χρῆσθαι, ἀνατί-
θενται δ᾽ αὖ ἄλλοι ἐπὶ τὰ ὑποζύγια. ὥσθ᾽ ἅμα μὲν
πάντες ἔρχονται οἱ σκευαγωγοὶ ἐπὶ τὰ τεταγμένα ἄγειν,
ἅμα δὲ πάντες ἀνατιθέασιν ἐπὶ τὰ ἑαυτοῦ ἕκαστος.
Οὕτω δὴ ὁ αὐτὸς χρόνος ἀρκεῖ μιᾷ τε σκηνῇ καὶ πάσαις
5 ἀνῃρῆσθαι. Ὡσαύτως δὲ οὕτως ἔχει καὶ περὶ κατα-
σκευῆς. Καὶ περὶ τοῦ πεποιῆσθαι δὲ τὰ ἐπιτήδεια
πάντα ἐν καιρῷ ὡσαύτως διατέτακται ἑκάστοις τὰ ποιη-
τέα· καὶ διὰ τοῦτο ὁ αὐτὸς χρόνος ἀρκεῖ ἑνί τε μέρει καὶ
6 πᾶσι πεποιῆσθαι. Ὥσπερ δὲ οἱ περὶ τὰ ἐπιτήδεια
θεράποντες χώραν εἶχον τὴν προσήκουσαν ἕκαστοι, οὕτω

3. *καὶ τἄλλα δὲ*] Altorf. *καὶ τὰ ἄλλα δή*.

4. *σκεύη, οἷσπερ*] *Quorum ipſi aſſignatus eſt uſus* vertunt vulgo; quam verſionem improbat Weiſke, quoniam de caſtris ſit ſermo movendis, et quod Xenophon ſimplicius *τὰ ἑαυτοῦ σκεύη* dixiſſet. Si *οἷσπερ* ad *σκεύη* ſpectet, tum pro *χρῆσθαι* deſiderari *ἄγεσθαι* vel ſimile verbum. ſed ipſe vir doctus mavult dativum commodi eſſe et ſenſum efficit hunc: *colligit quiſque vaſa illis, qui hoc muneris habent, ut aſportent ad jumenta*, videlicet *αἴρεσθαι* ſcribendo pro *χρῆσθαι*. Verum hoc quominus probem inventum, impedit ſequens *αὖ ἄλλοι*. Igitur comparato altero membro, quod huic reſpondet, videndum num quid inde poſſit extundi, quo tollatur difficultas. In illo igitur *τὰ τεταγμένα ἄγειν*, quæ Weiſke male interpretatur *ad ea quæ ſunt vehenda*: reſpondent his *οἷς τέτακται χρῆσθαι*. Igitur unicuique generi ſervorum et miniſtrorum exercitus ſuus vaſorum et utenſilium uſus aſſignatus erat, quæ ad uſum ille apportata explicat, et ſub abitum iterum componit aliiſque aſportanda tradit. *συντίθησι σκεύη*, componit vaſa abiturus, quæ ſtatim alius et quidem certus homo aufert imponenda jumentis: interim eodem tempore (*ἅμα*) homo certus jumenta aſſignata certo vaſorum generi, forte etiam tabernaculo et homini certo, adducit, *οἱ σκευαγωγοὶ ἔρχονται ἐπὶ τὰ τεταγμένα ἄγειν*, intellige *ὑποζύγια*: ita non opus cum Stephano legere *ἐπὶ τὸ τὰ τεταγμένα ἄγειν*; denique eodem interim tempore omnes calones ſimul ſuis quiſque et certis jumentis imponit vaſa ſibi aſſignata, *ἐπὶ τὰ ἑαυτοῦ* ſcilicet *ὑποζύγια*: quod ipſum argumento eſſe poteſt, *τὰ τεταγμένα ἄγειν* item de jumentis intelligi debere.

ἀνατιθέασιν] Margo Steph. et Altorf. *ἐπιτιθέασιν*. paulo antea *ἐξάγειν* pro *ἄγειν* Altorf.

5. *ὡσαύτως δὲ οὕτως*] Ita cum libro Gabr. et Altorf. Zeune. Vulgo *δὲ* abeſt.

ἐν καιρῷ ὡσαύτως] Stephanus h. l. ita diſtinguebat: *κατασκευῆς, καὶ περὶ —ἐν καιρῷ· ὡσαύτως γὰρ* etc. negans græce dici *ποιεῖν τὰ ἐπιτήδεια* de commeatu ſeu cibo parando; cui Zeune opponit *πεποιημένον σῖτον* iv. 5, 1.

6. *προσήκουσαν ἕκαστοι*] Margo Steph. *ἕκαστος*. deinde *ἐπ᾽ ἀναμφισβήτητον* dat Guelf. cum Edd. pr.

καὶ οἱ ὁπλοφόροι αὐτῷ ἐν τῇ στρατοπεδεύσει χώραν τε
εἶχον, τὴν τῇ ὁπλίσει ἑκάστῃ ἐπιτηδείαν, καὶ ᾔδεσαν ταύ-
την, ὁποία ἦν, καὶ εἰς ἀναμφισβήτητον πάντες κατεχωρί-
ζοντο. Καλὸν μὲν οὖν ἡγεῖτο ὁ Κῦρος καὶ ἐν οἰκίᾳ εἶναι 7
ἐπιτήδευμα τὴν εὐθημοσύνην· (ὅταν γάρ τίς του δέηται,
δῆλόν ἐστιν, ὅπου δεῖ ἐλθόντα λαβεῖν) πολὺ δὲ ἔτι κάλ-
λιον ἐνόμιζε τὴν τῶν στρατιωτικῶν φύλων εὐθημοσύνην
εἶναι, ὅσῳ τε ὀξύτεροι οἱ καιροὶ τῶν εἰς τὰ πολεμικὰ
χρήσεων, καὶ μείζω τὰ σφάλματα ἀπὸ τῶν ὑστεριζόντων
ἐν αὐτοῖς· ἀπὸ δὲ τῶν ἐν καιρῷ παραγιγνομένων πλεί-
στου ἄξια τὰ κτήματα ἑώρα γιγνόμενα ἐν τοῖς πολεμι-
κοῖς· διὰ ταῦτα οὖν καὶ ἐπεμέλετο ταύτης τῆς εὐθημο-
σύνης μάλιστα. Καὶ αὐτὸς μὲν δὴ πρῶτον ἑαυτὸν ἐν 8
μέσῳ κατετίθετο τοῦ στρατοπέδου, ὡς ταύτης τῆς χώρας
ἐχυρωτάτης οὔσης· ἔπειτα δὲ τοὺς μὲν πιστοτάτους,
ὥσπερ εἰώθει, περὶ ἑαυτὸν εἶχε, τούτων δὲ ἐν κύκλῳ ἐχο-
μένους ἱππέας τ᾽ εἶχε καὶ ἁρματηλάτας. Καὶ γὰρ 9
τούτους ἐχυρᾶς ἐνόμιζε χώρας δεῖσθαι, ὅτι, σὺν οἷς μά-
χονται ὅπλοις, οὐδὲν πρόχειρον ἔχοντες τούτων στρατοπε-
δεύονται, ἀλλὰ πολλοῦ χρόνου δέονται εἰς τὴν ἐξόπλισιν,
εἰ μέλλουσι χρησίμως ἐξοίσειν. Ἐν δεξιᾷ δὲ καὶ ἐν 10

7. Καλὸν μὲν οὖν] Vulgatum καλὸν μὲν γὰρ ex Suida in εὐθημοσύνη correxi. *Perpulcrum ſane* vertit Philelphus. Male Edd. pr. Bodl. Guelf. ſcriptum habent εὐθυμοσύνη, verum eſt in Altorf.

ὅταν γὰρ τίς] Margo Steph. ὥστε ἄν τις. Altorf. γὰρ omittit.

φύλων—εἶναι] Ita pro φυλῶν ex Budenſi et Altorf. libro Zeune. ſequens εἶναι omittit Altorf.

τὰ κτήματα] Poſt ἄξια Stephanus ταῦτα inſeruit, quod ipſum in margine Bodl. adſcriptum legitur: ἄξια ταῦτα κτήματα Altorf. dat. *atque ab iis, quæ præſto eſſent in tempore, videbat in rebus bellicis plurimi facienda bona evenire* vertit Camerarius. Mihi totus hic locus vitioſus videtur. Neque enim video quæ vel qui ſint τὰ vel οἱ παραγιγνόμενα vel παραγιγνόμενοι; nec ἄξια κτήματα quæ γίγνεσθαι dicantur græce, ſcio.

8. ἑαυτὸν ἐν μέσῳ] Altorf. ἐν μέσῳ ἑαυτὸν — οὔσης ἐχυρωτάτης — ἐχομένως ἱππέας τε εἶχε.

9. χρησίμως ἐξοίσειν] Libri Brodæi cum Altorf. χρ. ἕξειν, quod mihi unice verum videtur verbum. ἐξάγειν vertit Philelphus. In Guelf. a prima manu ὅτι οἷς μάχονται ſcriptum eſt.

ἀριστερᾷ αὐτοῦ τε καὶ τῶν ἱππέων πελτασταῖς χώρα
ἦν· τοξοτῶν δ' αὖ χώρα ἡ πρόσθεν ἦν καὶ ὄπισθεν αὐ-
11 τοῦ τε καὶ τῶν ἱππέων. Ὁπλίτας δὲ καὶ τοὺς τὰ με-
γάλα γέῤῥα ἔχοντας κύκλῳ πάντων εἶχεν, ὥσπερ τεῖ-
χος· ὅπως καὶ, εἰ δέοι τι ἐνσκευάζεσθαι τοὺς ἱππέας,
οἱ μονιμώτατοι πρόσθεν ὄντες παρέχοιεν αὐτοῖς ἀσφαλῆ
12 τὴν καθόπλισιν. Ἐκάθευδον δὲ αὐτῷ ἐν τάξει, ὥσπερ
οἱ ὁπλῖται, οὕτω καὶ οἱ πελτασταὶ καὶ οἱ τοξόται· ὅπως
καὶ ἐκ τῶν νυκτῶν, εἰ δέοι τι, ὥσπερ καὶ οἱ ὁπλῖται
παρεσκευασμένοι εἰσὶ παίειν τὸν εἰς χεῖρας ἰόντα, οὕτω
καὶ οἱ τοξόται καὶ οἱ ἀκοντισταὶ, εἴ τινες προσίοιεν, ἐξ
13 ἑτοίμου ἀκοντίζοιεν καὶ τοξεύοιεν ὑπὲρ τῶν ὁπλιτῶν. Εἶ-
χον δὲ καὶ σημεῖα πάντες οἱ ἄρχοντες ἐπὶ ταῖς σκηναῖς·
οἱ δὲ ὑπηρέται, ὥσπερ καὶ ἐν ταῖς πόλεσιν οἱ σώφρονες
ἴσασι μὲν καὶ τῶν πλείστων τὰς οἰκήσεις, μάλιστα δὲ
τῶν ἐπικαιρίων, οὕτω καὶ τῶν ἐν τοῖς στρατοπέδοις τάς τε
χώρας, τὰς τῶν ἡγεμόνων, ἠπίσταντο οἱ Κύρου ὑπηρέται,
καὶ τὰ σημεῖα ἐγίγνωσκον, ἃ ἑκάστοις ἦν· ὥστε, ὅτου
δέοιτο Κῦρος, οὐκ ἐζήτουν, ἀλλὰ τὴν συντομωτάτην ἐφ'
14 ἕκαστον ἔθεον. Καὶ διὰ τὸ εἰλικρινῆ ἕκαστα εἶναι τὰ
φῦλα, πολὺ μᾶλλον ἦν δῆλα, καὶ ὁπότε τις εὐτακτοίη,
καὶ εἴ τις μὴ πράττοι τὸ προσταττόμενον. Οὕτω δὴ

10. αὐτοῦ τε] Altorf. ἑαυτοῦ τε. deinde ἵππων Junt. Guelf. paulo antea καὶ ἀριστερᾷ Guelf.

11. καὶ εἰ δέοι] Altorf. καὶ omifit; deinde προσιόντες παρέχοιεν Philel. cum Guelf. poftea ἐξόπλισιν Altorf. cum margine Steph. dat.

12. ὥσπερ οἱ] Altorf. ὥσπερ καὶ οἱ ὁπλῖται οὕτως καὶ οἱ πελτ unde vulgatum οὕτω δὲ καὶ οἱ πελτ. correxi. Inutile δὲ omittit etiam liber Gabr. et cum eo Weifke.

ἐκ τῶν νυκτῶν] Altorf. cum Guelf. τῶν omittit. deinde δέοιτο Altorf. δέοιτο σκευάσασθαι τοὺς ἱππέας refert margo Steph. poftea χεῖρας ἐρχόμενον.

καὶ οἱ τοξόται] Hæc omittuntur in Junt. et Guelf. deinde προΐοιεν Guelf.

13. καὶ ἐν ταῖς] Altorf. καὶ οἱ ἐν ταῖς.

καὶ τὰ σημεῖα—ἑκάστοις] Altorf. καὶ τὰ σημεῖα δέ. deinde cum margine Steph. ἑκάστῳ dat.

δέοιτο Κῦρος] Margo Steph. δέοιντο, Κῦρον refert. Mihi εἴ του δέοιτο Κῦρος magis placeret.

14. τὰ φῦλα] Juntina et Guelf. omittunt.

ἐχόντων, ἡγεῖτο, εἴ τις καὶ ἐπίθοιτο νυκτὸς ἢ ἡμέρας,
ὥσπερ ἂν εἰς ἐνέδραν εἰς τὸ στρατόπεδον τοὺς ἐπιτιθεμέ-
νους ἐμπίπτειν. Καὶ τὸ τακτικὸν δὲ εἶναι οὐ τοῦτο μόνον 15
ἡγεῖτο, εἴ τις ἐκτεῖναι φάλαγγα εὐπόρως δύναιτο, ἢ
βαθῦναι, ἢ ἐκ κέρατος εἰς φάλαγγα καταστῆσαι, ἢ ἐκ
δεξιᾶς, ἢ ἀριστερᾶς, ἢ ὄπισθεν ἐπιφανέντων τῶν πολε-
μίων, ὀρθῶς ἐξελίξαι· ἀλλὰ καὶ τὸ διασπᾷν, ὁπότε
δέοι, τακτικὸν ἡγεῖτο, καὶ τὸ τιθέναι τὸ μέρος ἕκαστον,
ὅπου μάλιστα ἐν ὠφελείᾳ ἂν εἴη, καὶ τὸ ταχύνειν δὲ,
ὅπου φθάσαι δέοι, πάντα ταῦτα καὶ τὰ τοιαῦτα τακτικοῦ
ἀνδρὸς ἐνόμιζεν εἶναι, καὶ ἐπεμελεῖτο τούτων πάντων ὁμοί-
ως. Καὶ ἐν μὲν ταῖς πορείαις πρὸς τὸ συμπίπτον ἀεὶ 16
διατάττων ἐπορεύετο, ἐν δὲ τῇ στρατοπεδεύσει [ὡς] τὰ
πολλὰ, ὥσπερ εἴρηται, κατεχώριζεν.

Ἐπεὶ δὲ πορευόμενοι γίγνονται κατὰ τὴν Μηδικὴν, 17
τρέπεται ὁ Κῦρος πρὸς Κυαξάρην. Ἐπεὶ δὲ ἠσπάσαντο
ἀλλήλους, πρῶτον μὲν [δὴ] ὁ Κῦρος εἶπε τῷ Κυαξάρει,
ὅτι οἶκος αὐτῷ ἐξῃρημένος εἴη ἐν Βαβυλῶνι καὶ ἀρχεῖα,
ὅπως ἔχῃ, καὶ ὅταν ἐκεῖσε ἔλθῃ, ὡς εἰς οἰκεῖα κατάγε-
σθαι· ἔπειτα δὲ καὶ ἄλλα δῶρα ἔδωκεν αὐτῷ πολλὰ

Cyrus ad Cyaxarem devertitur, a quo filia et Media, dotis loco, ei offertur.

καὶ ἐπίθοιτο] Copulam Ald. et Steph. omiſit: deinde πείθοιτο Juntina cum Guelf. ἐπιθεῖτο Ald. quod cum Caſtalione ex libro Brodæi, Bud. et Altorf. correxit Zeune.

εἰς τὸ στρατόπεδον] Altorf. ἐνέδραν ἐμπίπτειν τοὺς ἐπιτιθεμένους εἰς τὸ στρατόπεδον—οὐ μόνον τοῦτο ἡγεῖτο.

15. φάλαγγα] Ita cum Stephano Altorf. liber pro φάλαγγας dat, quod revocavit Zeune. articulum ante πολεμίων primus Steph. inſeruit aſſentiente Altorf. libro.

τὸ διασπᾷν] Ex Altorf. τὸ inſerui, et eodem auctore γε poſt τιθέναι vulgo poſitum omiſi.

τακτικοῦ] Philelphi liber et Guelf. πρακτικοῦ. Sequens ὁμοίως Juntina et Guelf. referunt ad ſequentia, poſita diſtinctione poſt πάντων.

16. [ὡς] τὰ πολλὰ] Altorfinus ὡς, quod ſecluſi velut ingratum propter ſequens ὥσπερ, plane omittit.

17. γίγνονται] Margo Steph. et Altorf. ſolemnius ἐγίγνοντο habet. Sed ſequens τρέπεται magis congruit vulgatæ lectioni. Altorf. etiam ἐπειδὴ δὲ dat.

πρῶτον μὲν [δὴ] ὁ] Secluſi, quod omittit Altorf. qui deinde οἶκος εἴη αὐτῷ ἐξῃρ. ἐν Βαβυλῶνι.

ὡς εἰς οἰκεῖα] Ita cum Ald. Steph. libri Brodæi Altorf. et Philel. ὡς omittunt Junt. Guelf. οἰκίαν Altorf. οἶκος videtur eſſe domus regia, ἀρχεῖα officia palatina, eine Reſidenz mit einem Hofſtaat.

18 καὶ καλά. Ὁ δὲ Κυαξάρης ταῦτα μὲν ἐδέξατο, προσέ-
πεμψε δὲ αὐτῷ τὴν θυγατέρα, στέφανόν τε χρυσοῦν καὶ
ψέλλια φέρουσαν, καὶ στρεπτὸν, καὶ στολὴν Μηδικὴν ὡς
19 δυνατὸν καλλίστην. Καὶ ἡ μὲν δὴ παῖς ἐστεφάνου τὸν
Κῦρον· ὁ δὲ Κυαξάρης εἶπε, Δίδωμι δέ σοι, ἔφη, ὦ Κῦρε,
καὶ αὐτὴν ταύτην γυναῖκα, ἐμὴν οὖσαν θυγατέρα· καὶ ὁ
σὸς δὲ πατὴρ ἔγημε τὴν τοῦ ἐμοῦ πατρὸς θυγατέρα, ἐξ
ἧς σὺ ἐγένου· αὕτη δέ ἐστιν, ἣν σὺ πολλάκις, παῖς ὢν,
ὅτε παρ' ἡμῖν ἦσθα, ἐτιθηνήσω· καὶ ὁπότε τις ἐρωτῴη
αὐτὴν, τίνι γαμοῖτο, ἔλεγεν, ὅτι Κύρῳ· ἐπιδίδωμι δὲ
αὐτῇ ἐγὼ [καὶ] φερνὴν Μηδίαν [τὴν] πᾶσαν· οὐδὲ γάρ
20 ἐστί μοι ἄῤῥην παῖς γνήσιος. Ὁ μὲν οὕτως εἶπεν· ὁ δὲ
Κῦρος ἀπεκρίνατο, Ἀλλ', ὦ Κυαξάρη, τό τε γένος
ἐπαινῶ καὶ τὴν παῖδα καὶ τὰ δῶρα· βούλομαι δὲ, ἔφη,
σὺν τῇ τοῦ πατρὸς γνώμῃ καὶ τῇ τῆς μητρὸς ταῦτά σοι
συναινέσαι. Εἶπε μὲν οὕτως ὁ Κῦρος· ὅμως δὲ τῇ
παιδὶ πάντα ἐδωρήσατο, ὁπόσα ᾤετο καὶ τῷ Κυαξάρει
χαριεῖσθαι. Ταῦτα δὲ ποιήσας, εἰς Πέρσας ἐπορεύετο.

21 Ἐπεὶ δὲ ἐπὶ τοῖς Περσῶν ὁρίοις ἐγένετο πορευόμενος,
τὸ μὲν ἄλλο στράτευμα αὐτοῦ κατέλιπεν, αὐτὸς δὲ σὺν
τοῖς φίλοις εἰς τὴν πόλιν ἐπορεύετο, ἱερεῖα μὲν ἄγων, ὡς
πᾶσι Πέρσαις ἱκανὰ θύειν τε καὶ ἑστιᾶσθαι· δῶρα δ'
ἦγεν, οἷα μὲν ἔπρεπε τῷ πατρὶ καὶ τῇ μητρὶ καὶ τοῖς
ἄλλοις φίλοις, οἷα δὲ ἔπρεπεν ταῖς ἀρχαῖς καὶ τοῖς

Cambyſis auctoritate pacta fiunt jurata inter Perſas Cyrumque de regno Perſico.

18. ἐδέξατο] Ita Ald. et Steph. ἐδέχετο Junt. et Guelf.

ψέλλια] Ald. Junt. Guelf. ψέλια.

19. δέ σοι, ἔφη] Ex Zonara, Guelf. et Altorf. ἔφη Zeune addidit.

καὶ αὐτὴν] Intellige ταῦτα τὰ δῶρα, munera a filia allata, et ipſam filiam meam: θυγατέρα οὖσαν ἐμὴν habet Zonaras ordine mutato verborum.

σὺ πολλάκις] Altorf. tranſponit verba πολλάκις σύ. deinde ἐγὼ αὐτὴν φερνὴν Μηδίαν πᾶσαν. quo auctore καὶ et τὴν ſeclusi.

20. καὶ τὰ δῶρα] Articulum ex Zonara adjecit Zeune. deinde Altorf. τοῦ πατρὸς καὶ τῇ τῆς μητρὸς γνώμῃ.

καὶ τῷ] Junt. et Guelf. omittunt; iidem libri χαρίζεσθαι.

21. τοῖς Περσῶν] Articulum ex Guelf. Junt. Altorf. et Zonara addidit Zeune.

ἄλλοις φίλοις] Guelf. φ. ἄλλοις. de-

γεραιτέροις καὶ τοῖς ὁμοτίμοις πᾶσιν· ἔδωκε δὲ καὶ πᾶσι
Πέρσαις καὶ Περσίσιν, ὅσαπερ καὶ νῦν ἔτι δίδωσιν, ὅταν-
περ ἀφίκηται βασιλεὺς εἰς Πέρσας. Ἐκ δὲ τούτου συν- 22
έλεξε Καμβύσης τοὺς γεραιτέρους Περσῶν καὶ τὰς ἀρ-
χὰς, οἵπερ τῶν μεγίστων κύριοί εἰσι· παρεκάλεσε δὲ καὶ
Κῦρον, καὶ ἔλεξε τοιάδε.

Ἄνδρες Πέρσαι, καὶ σὺ, ὦ Κῦρε, ἐγὼ ἀμφοτέροις
ὑμῖν εἰκότως εὔνους εἰμί· ὑμῶν μὲν γὰρ βασιλεύω· σὺ
δὲ, ὦ παῖ Κῦρε, παῖς ἐμὸς εἶ. Δίκαιος οὖν εἰμὶ, ὅσα
γιγνώσκειν δοκῶ ἀγαθὰ ἀμφοτέροις, ταῦτα εἰς τὸ μέσον
λέγειν. Τὰ μὲν γὰρ παρελθόντα ὑμεῖς μὲν Κῦρον ηὐ- 23
ξήσατε, στράτευμα δόντες, καὶ ἄρχοντα τούτου αὐτὸν
καταστήσαντες· Κῦρος δὲ, ἡγούμενος τούτου, σὺν θεοῖς
εὐκλεεῖς μὲν ὑμᾶς, ὦ Πέρσαι, ἐν πᾶσιν ἀνθρώποις ἐποί-
ησεν, ἐντίμους δ᾽ ἐν τῇ Ἀσίᾳ πάσῃ· τῶν δὲ συστρατευ-
σαμένων αὐτῷ τοὺς μὲν ἀρίστους καὶ πεπλούτικε, τοῖς δὲ
πολλοῖς μισθὸν καὶ τροφὴν παρεσκεύακεν· ἱππικὸν δὲ
καταστήσας Περσῶν, πεποίηκε Πέρσαις καὶ πεδίων εἶναι
μετουσίαν. Ἢν μὲν οὖν καὶ τολοιπὸν οὕτω γιγνώσκητε, 24
πολλῶν καὶ ἀγαθῶν αἴτιοι ἀλλήλοις ἔσεσθε· εἰ δὲ ἢ

inceps ταῖς ante ἀρχαῖς Junt. Guelf. et Zonaras omittit: contra Altorf. addit articulum τοῖς ante γεραιτέροις, quem ſequor. ante ὁμοτίμοις vero additum πᾶς articulum poſtulat.

ἔτι δίδωσιν] Contra adventanti regi munera etiam Perſæ ſinguli offerebant, narrante Æliano V. H. i. 31, 32, 33.

ἀφίκηται εἰς Πέρσας] Regiam enim Babylone ſedem frequentius habitabat, quam pro anni tempeſtatibus cum Suſis et Ecbatanis permutabat rex Perſarum.

22. παῖ Κῦρε] Ex Codd. Budenſi, Altorf. Brodæi, Philelphi et margine Steph. παῖ adſcivi.

23. τὰ μὲν γὰρ] Intellige κατὰ τὰ παρελ. deinde ὑμεῖς μὲν γὰρ Altorf. poſtea σὺν τοῖς θεοῖς.

αὐτῷ τοὺς] Pronomen Junt. et Guelf. omittunt.

καὶ πεπλούτικε] Edd. veterum et Guelf. lectionem καὶ πεπλούτηκε Brodæus mutari voluit in καταπεπλούτηκε. Mihi etiam καταπεπλούτικε magis placeret.

ἱππικὸν δὲ] Caſtalio καὶ ἱππικὸν καταστ. dedit.

μετουσίαν] Equitatus campos deſiderat: Perſia autem montuoſa equitatum ſeu ἱπποτροφίαν non admittebat. Ad poſſeſſionem igitur et dominium campeſtrium imperii Perſici regionum admiſſi Perſæ recte dicuntur a Cyro, qui primus equitatum Perſarum inſtituit.

σὺ, ὦ Κῦρε, ἐπαρθεὶς ταῖς παρούσαις τύχαις, ἐπιχειρήσεις καὶ Περσῶν ἄρχειν ἐπὶ πλεονεξίᾳ, ὥσπερ τῶν ἄλλων, ἢ ὑμεῖς, ὦ πολῖται, φθονήσαντες τούτῳ τῆς δυνάμεως, καταλύειν πειράσεσθε τοῦτον τῆς ἀρχῆς, εὖ ἴστε, ὅτι ἐμποδὼν ἀλλήλοις πολλῶν καὶ ἀγαθῶν ἔσεσθε.
25 Ὡς οὖν μὴ ταῦτα γίγνηται, ἀλλὰ τἀγαθὰ, ἐμοὶ δοκεῖ, ἔφη, θύσαντας ὑμᾶς κοινῇ, καὶ θεοὺς ἐπιμαρτυραμένους συνθέσθαι, σὲ μὲν, ὦ Κῦρε, ἤν τις ἢ ἐπιστρατεύηται χώρᾳ Περσίδι, ἢ Περσῶν νόμους διασπᾶν πειρᾶται, βοηθήσειν παντὶ σθένει· ὑμᾶς δὲ, ὦ Πέρσαι, ἤν τις ἢ ἀρχῆς Κῦρον ἐπειχειρῇ καταπαύειν, ἢ ἀφίστασθαί τις τῶν ὑποχειρίων, βοηθήσειν καὶ ὑμῖν αὐτοῖς καὶ Κύρῳ, καθ'
26 ὅ τι ἂν ἐπαγγέλλῃ. Καὶ ἕως μὲν ἂν ἐγὼ ζῶ, ἐμὴ γίγνεται ἡ ἐν Πέρσαις βασιλεία· ὅταν δ' ἐγὼ τελευτήσω, δῆλον, ὅτι Κύρου, ἐὰν ζῇ. Καὶ ὅταν μὲν οὗτος ἀφίκηται εἰς Πέρσας, ὁσίως ἂν ὑμῖν ἔχοι, τοῦτον θύειν τὰ ἱερὰ ὑπὲρ ὑμῶν, ἅπερ νῦν ἐγὼ θύω· ὅταν δ' οὗτος ἔκδημος ᾖ, καλῶς ἂν οἶμαι ὑμῖν ἔχειν, εἰ ἐκ τοῦ γένους, ὃς ἂν δοκῇ ὑμῖν ἄριστος εἶναι, οὗτος τὰ τῶν θεῶν

24. σὺ, ὦ Κῦρε] Altorf. σὺ, Κῦρε.

ἐπὶ πλεονεξίᾳ] Ut ſis meliore conditione, ut ſolus imperes Perſis, neglecta auctoritate τῶν γεραιτέρων καὶ ἀρχῶν, de quibus ſectio 22. loquitur. Noſter Memor. i. 6, 12. οὐκ ἐξαπατᾷς ἐπὶ πλεονεξίᾳ. Hiſtoriæ græcæ iii. 5, 15. ὅτι ἡ Λακεδαιμονίων πλεονεξία πολὺ εὐκαταλυτωτέρα ἐστὶ τῆς ὑμετέρας γενομένης ἀρχῆς.

25. ὑμᾶς κοινῇ] Bodl. ἡμᾶς cum Altorf. quod Leoncl. interpretatus eſt.

συνθέσθαι] Exemplum ejuſmodi pacti jurati inter Ephoros nomine civitatis et reges Lacedæmoniorum quovis menſe facti ex Noſtri Republ. Laced. c. xv. ſect. 7. poſuit Zeune.

ἤν τις ἢ] Disjunctivam cum Caſtalione, Philelpho, Stephano et Leoncl. retractam ita collocavit Zeune; antea poſt ἐπιστ. poſita legebatur. Altorf. plane omittit. Sequens διασπᾶν τοὺς νόμους ſi bene habet, ductum eſt ex phraſi τὸ ὀχύρωμα διασπᾶν vallo perrupto exire, quo utitur noſter Hellen. iii. 2, 3. et iv. 4, 10. Polybius ii. 69. τὰ προτειχίσματα δ. dixit. Altorf. ἀνασπᾶν dat.

ὅ τι ἂν ἐπαγγέλλῃ] Poſt ἂν Brodæus οὗτος addi voluit, quod facit Altorfinus liber.

26. γίγνεται] Ita cum libro Brodæi pro γίγνηται ſcripſi. Vulgatum intellecto ἂν elegantius et modeſtia Cambyſis dignius cenſebat Zeune.

ὑμῖν ἔχοι] Altorf. ὑμῖν ἔχειν. cogitaſſe librarius videtur ſequens οἶμαι ὑμῖν ἔχειν, ubi ſequens εἰ omiſit Altorf.

ἐπιτελοίη. Ταῦτα εἰπόντος Καμβύσου, συνέδοξε Κύρῳ 27
τε καὶ τοῖς Περσῶν τέλεσι· καὶ συνθέμενοι ταῦτα τότε, καὶ θεοὺς ἐπιμαρτυράμενοι, οὕτω καὶ νῦν ἔτι διαμένουσι ποιοῦντες πρὸς ἀλλήλους Πέρσαι τε καὶ βασιλεύς. Τούτων δὲ πραχθέντων, ἀπήει ὁ Κῦρος.

Ὡς δ᾽ ἀπιὼν ἐγένετο ἐν Μήδοις, συνδόξαν τῷ πατρὶ 28
καὶ τῇ μητρὶ, γαμεῖ τὴν Κυαξάρου θυγατέρα, ἧς ἔτι καὶ νῦν λόγος ὡς παγκάλου γενομένης. (Ἔνιοι δὲ τῶν λογοποιῶν λέγουσιν, ὡς τὴν τῆς μητρὸς ἀδελφὴν ἔγημεν· ἀλλὰ γραῦς ἂν καὶ παντάπασιν ἦν ἡ παῖς.) Γήμας δὲ, εὐθὺς ἔχων ἀνεζεύγνυεν.

Cyaxaris filiam ducit uxorem Cyrus.

CAP. VI.

ΕΠΕΙ δ᾽ ἐν Βαβυλῶνι ἦν, ἐδόκει αὐτῷ σατράπας ἤδη πέμπειν ἐπὶ τὰ κατεστραμμένα ἔθνη. Τοὺς μέντοι ἐν ταῖς ἄκραις φρουράρχους, καὶ τοὺς χιλιάρχους τῶν κατὰ τὴν χώραν φυλάκων οὐκ ἄλλου ἢ ἑαυτοῦ ἐβούλετο ἀκούειν· ταῦτα δὲ προεωρᾶτο, ἐννοῶν, ὅπως, εἴ τις τῶν

Satrapas provinciarum conſtituit, quibus eandem morum diſciplinam commendat, quæ

ἐπιτελοίη] Ita cum Altorf. libro ſcripſi pro ἀποτελοίη.

27. ταῦτα τότε] Altorf. τότε ταῦτα dat.

καὶ νῦν ἔτι] Ideo rex ſemel ſaltem proficiſcebatur in Perſiam : quod tamen facere neglexit Ochus, narrante Plutarcho in Alexandro.

τούτων δὲ] Altorf. Τούτων τότε dat.

28. καὶ τῇ μητρὶ] Hæc omittunt Juntina, Guelf. Zonaras : cf. ſectio 20.

Κυαξάρου] Zeune Κυαξάρους correxit ex i. 6, 9.

ἧς ἔτι] Intellige περὶ ἧς ἔτι cum Zeunio. ὁ λόγος Altorf.

λογοποιῶν] Sunt hiſtorici, ut monet etiam Harpocration. Diſſenſum Cteſiæ apud Photium et Herodoti ii. 1. iii. 2. annotavit Zeune. Mallem annotationem hanc omiſiſſet Xenophon. Quod ſi enim de conjugio Cyri dubitatum fuit, qua veri ſpecie potuit Xenophon tanquam vera nobis et certa venditare quæ hucuſque narravit ?

ἀδελφὴν] Amytin Aſtyagis filiam Spitamæ cuidam nuptam, narrante Cteſia.

ἦν ἡ παῖς] Margo Leoncl. lectionem ἦν οὐ παῖς nullo modo tolerabilem et dubiæ originis præbet. ἢ παῖς, intellecto μᾶλλον malebat Weiſke. Eſt in comparatione ἡ παῖς cum antecedente γραῦς oxymorum, quod dubito an quæſierit Xenophon. Philelphus verba ἡ παῖς omiſit : ἦν ἄπαις malebat Muretus legi.

1. σατράπας] Herodotus iii. 89. a Dario Hyſtaſpis viginti ſatrapias inſtitutas fuiſſe et rem tributariam deſcriptam narrat.

φρουράρχους] Liber Brodæi φυλάρχους.

ἀκούειν] i. e. ὑπακούειν, obedire. paulo antea αὐτοῦ Altorf.

apud ipsum in urbe obtinet.

σατραπῶν ὑπὸ πλούτου καὶ πλήθους ἀνθρώπων ἐξυβρί-
σειε, καὶ ἐπιχειρήσειε μὴ πείθεσθαι, εὐθὺς ἀντιπάλους
2 ἔχοι ἐν τῇ χώρᾳ. Ταῦτ' οὖν βουλόμενος πρᾶξαι, ἔγνω
συγκαλέσαι πρῶτον τοὺς ἐπικαιρίους, καὶ προειπεῖν,
ὅπως εἰδεῖεν, ἐφ' οἷς ἴασιν ἰόντες· ἐνόμιζε γὰρ, οὕτω ῥᾴ-
διον φέρειν ἂν αὐτούς. Ἐπεὶ δὲ κατασταίη τις ἄρχων,
καὶ αἰσθάνοιτο ταῦτα, χαλεπῶς ἂν ἐδόκουν αὐτῷ φέρειν,
3 νομίζοντες δι' ἑαυτῶν ἀπιστίαν ταῦτα γενέσθαι. Οὕτω
δὴ συλλέξας, λέγει αὐτοῖς τοιάδε·

Ἄνδρες φίλοι, εἰσὶν ἡμῖν ἐν ταῖς κατεστραμμέναις
πόλεσι φρουροὶ καὶ φρούραρχοι, οὓς τότε κατελίπομεν·
καὶ τούτοις ἐγὼ προστάξας ἀπῆλθον, ἄλλο μὲν οὐδὲν
πολυπραγμονεῖν, τὰ δὲ τείχη διασώζειν. Τούτους μὲν
οὖν οὐ παύσω τῆς ἀρχῆς, ἐπεὶ καλῶς διαπεφυλάκασι
τὰ προσταχθέντα· ἄλλους δὲ σατράπας πέμψαι μοι
δοκεῖ, οἵτινες ἄρξουσι τῶν ἐνοικούντων, καὶ τὸν δασμὸν
λαμβάνοντες τοῖς τε φρουροῖς δώσουσι μισθὸν, καὶ ἄλλο
4 τελέσουσιν, ὅ τι ἂν δέῃ. Δοκεῖ δέ μοι καὶ τῶν ἐνθάδε
μενόντων ὑμῶν, οἷς ἂν ἐγὼ πράγματα παρέχω, πέμπων
πράξοντάς τι ἐπὶ ταῦτα τὰ ἔθνη, χώρας γενέσθαι καὶ

ἀντιπάλους] Juntina et Guelf. ἀντιπάλοις. Budenſis et Altorf. ἀντίπαλα, Bodl. et margo Steph. ἀντίπαλον. ἔχοιεν τὴν χώραν. Altorf. ἐν τῇ χώρᾳ ἔχοι.

2. εἰδεῖεν] Edd. veteres εἰδοῖεν: deinceps cum Guelf. ἴασιν habent. ἴσασιν Altorf. quocum οἱ ante ἰόντες poſitum vulgo delevi.

ῥᾴδιον] Margo Leoncl. et Steph. ῥᾷον habet; ἂν Aldina omiſit. ἂν ῥᾷον φέρειν αὐτοὺς Altorf.

δι' ἑαυτῶν] Altorf. δι' αὐτὴν αὐτῶν ἀπιστίαν ταῦτα γίγνεσθαι.

3. πόλεσι φρουροὶ καὶ] Hæc Altorf. omiſit.

ἄλλο οὐδὲν—τὰ δὲ] Solennius ſequeretur ἢ τά. Altorf. οὐδὲν omittit.

ἄλλους σατράπας] *Alios nomine et munere ſatraparum ornatos mittam.*

φρουροῖς] Margo Steph. πρώτοις φρουροῖς habet, quod eſt in Altorf. Officia ſatraparum et ὑπάρχων ſeu οἰκονόμων diu ſeparata manſerunt, demum in cognatis et conſanguineis regiis conjuncta ſæpe. Cf. *Heeren Ideen* etc. tom. ii. p. 469.

καὶ ἄλλο] Altorf. ἄλλως a prima manu ſcriptum habet.

4. τῶν ἐνθάδε μενόντων ὑμῶν] Ante pronomen μενόντων addit Brodæi liber et Altorf.

παρέχω] Margo Steph. cum Altorf. παρέχων πέμπω. Guelf. deinceps ἔθνη ταῦτα.

χώρας γενέσθαι] Vulgatum χώρας γε νέμεσθαι, qui defendit Zeune, intelligi δεῖν cenſet: ſed γε quid ſibi in

οἴκους ἐκεῖ· ὅπως δασμοφορῆται αὐτοῖς δεῦρο, ὅταν τε
ἴωσιν ἐκεῖσε, εἰς οἰκεῖα ἔχωσι κατάγεσθαι. Ταῦτα 5
εἶπε, καὶ ἔδωκε πολλοῖς τῶν φίλων κατὰ πάσας τὰς
καταστραφείσας πόλεις οἴκους, καὶ ὑπηκόους· καὶ νῦν
ἔτι εἰσὶ τοῖς ἀπογόνοις τῶν τότε λαβόντων αἱ χῶραι κα-
ταμένουσαι, ἄλλαι ἐν ἄλλῃ γῇ· αὐτοὶ δὲ οἰκοῦσι παρὰ
βασιλεῖ. Δεῖ δὲ, ἔφη, τοὺς ἰόντας σατράπας ἐπὶ ταύ- 6
τας τὰς χώρας, τοιούτους ἡμᾶς σκοπεῖν, οἵτινες, ὅ τι ἂν ἐν
τῇ γῇ ἑκάστῃ καλὸν ἢ ἀγαθὸν ᾖ, μεμνήσονται καὶ δεῦρο
ἀποπέμπειν· ὡς μετέχωμεν καὶ οἱ ἐνθάδε ὄντες τῶν
πανταχοῦ γιγνομένων ἀγαθῶν· καὶ γὰρ, ἤν τί που δει-
νὸν γίγνηται, ἡμῖν ἔσται ἀμυντέον. Ταῦτ' εἰπὼν, τότε 7
μὲν ἔπαυσε τὸν λόγον· ἔπειτα δὲ, οὓς ἐγίγνωσκε τῶν φί-
λων ἐπὶ τοῖς εἰρημένοις ἐπιθυμοῦντας ἰέναι, ἐκλεξάμενος
αὐτῶν τοὺς δοκοῦντας ἐπιτηδειοτάτους εἶναι, ἔπεμπε σα-
τράπας εἰς Ἀραβίαν μὲν Μεγάβυζον· εἰς Καππαδοκίαν
δὲ Ἀρταβάταν· εἰς Φρυγίαν δὲ τὴν μεγάλην Ἀρτακά-

hoc loco velit, docere omiſit. Quare lectionem Junt. Altorf. et Guelf. adſcivi. Ceterum intelligi, qui ſectione 16. ἔφοδοι dicantur, monuit Zeune.

δασμοφορῆται] Edd. veteres δασμοφορεῖται, Brodæi liber δασμοφορεῖτε. deinceps τε ex Philelpho et Guelf. addidit Zeune; et Altorf. δασμοφορήτετε habet. poſtea καὶ ὅταν τε annotavit Brodæus, quod eſt in Altorfino libro.

5. καὶ ὑπηκόους] Omittit hæc cum Junt. Guelf. Eſt pro χώραν dictum; niſi cum Altorf. χώρας malis legere pro πόλεις.

καὶ νῦν ἔτι] Junt. Guelf. καὶ νῦν εἰσὶν ἐπί. Aldina ἔτι καὶ νῦν εἰσί. Steph. καὶ ἔτι νῦν εἰσί. Altorf. καὶ νῦν ἔτι εἰσίν.

6. ἡμᾶς σκοπεῖν] Ita cum Edd. primis, Camer. libro, Philelphi et Guelf. Zeune; ὑμᾶς dedit Stephanus. Equidem hæc duo verba vitioſa eſſe cenſeo; nec juſta ſtructura reliquis conjuncta eſſe video. Græce vix dicitur δεῖ σκοπεῖν ὑμᾶς τοὺς ἰόντας σατράπας τοιούτους, οἵτινες μεμνήσονται πέμπειν. Expectabam δεῖ δὲ τοὺς ἰόντας σατ. ἐπὶ τ. τ. χ. τοιούτους εἶναι, οἵτινες.

ἀγαθὸν ᾖ] Poſtremum verbum omiſit Altorf. liber; deinde idem μετέχομεν.

καὶ γὰρ, ἤν] Weiſke Atticiſmum poſtulare cenſebat, ut καὶ inſeratur ante δεινὸν aut ante ἀμυντέον.

7. ἔπαυσε] Altorf. ἔτασσε—ἐπιτηδειοτάτους δοκοῦντας εἶναι.

Μεγάβυζον] Ita cum Camerarii interpretatione et Philelphi, margo Leoncl. et Guelf. cum quibus facit Altorf. liber, dedit Zeune auctore Hemſterhuſio ad Lucianum: vulgatum Μεγάζυβον, alibi non reperiundum, revocavit Weiſke.

μαν· εἰς Λυδίαν δὲ καὶ Ἰωνίαν Χρυσάνταν· εἰς Καρίαν δὲ Ἀδούσιον, ὅνπερ ᾐτοῦντο· εἰς Φρυγίαν δὲ τὴν παρ' Ἑλ-
8 λήσποντον καὶ Αἰολίδα Φαρνοῦχον. Κιλικίας δὲ καὶ Κύπρου καὶ Παφλαγόνων οὐκ ἔπεμψε Πέρσας σατράπας, ὅτι ἑκόντες ἐδόκουν αὐτῷ συστρατεύεσθαι ἐπὶ Βαβυλῶνα· δασμοὺς μέντοι συνέταξεν ἀποφέρειν καὶ τού-
9 τους. Ὡς δὲ τότε Κῦρος κατεστήσατο, οὕτως ἔτι καὶ νῦν βασιλέως εἰσὶν αἱ ἐν ταῖς ἄκραις φυλακαὶ, καὶ οἱ χιλίαρχοι τῶν φυλάκων ἐκ βασιλέως εἰσὶ καθεστη-
10 κότες, καὶ παρὰ βασιλεῖ ἀπογεγραμμένοι. Προεῖπε δὲ πᾶσι τοῖς ἐκπεμπομένοις σατράπαις, ὅσα [δυνατὸν] ἑώρων ποιοῦντα ἑαυτὸν, πάντα μιμεῖσθαι· πρῶτον μὲν ἱππέας καθιστάναι ἐκ τῶν συνεπομένων Περσῶν καὶ συμμάχων, καὶ ἁρματηλάτας· ὁπόσοι δ' ἂν γῆν καὶ ἀρχεῖα λάβωσιν, ἀναγκάζειν τούτους ἐπὶ θύρας ἰέναι, καὶ σωφροσύνης ἐπιμελουμένους, παρέχειν ἑαυτοὺς τῷ σατράπῃ χρῆσθαι, ἤν τι δέηται· παιδεύειν δὲ καὶ τοὺς γιγνομέ-

Λυδίαν] Hanc pro Λυκίαν ex libris Brodæi Philel. Budenſi et Altorf. dedit Zeune.

Ἀδούσιον, ὅνπερ ᾐτοῦντο] Ald. et Steph. Καδούσιον ὥσπερ ᾔτουν. Ex Guelf. cum quo facit Altorf. Ἀδούσιον præeunte Hutchinſono recepit Zeune; ὅνπερ cum libris Brodæi, Guelf. et Altorf. deinceps καὶ interſeruit cum Zeunio Weiſke et Philelphi verſione et margine Stephani: poſtea ᾐτοῦντο libri Brodæi et Altorf. Cf. vii. 4, 7.

8. ἐδόκουν αὐτῷ] Altorf. αὐτῷ omittit cum Junt. et Guelf. deinde ἔταξεν Altorf.

9. ταῖς ἄκραις] Articulum omiſit Altorf. ſequens φυλάκων pro φυλακῶν de meo dedi; ſupra enim ſect. 1. ita Altorf. liber pro φυλακῶν ſcriptum rectius habet.

ἀπογεγραμμένοι] *In catalogo ſcripti* ut libro vi. 2, 36. interpretatur Zeune. Verum dubitatio mihi ſupereſt, annon ſatraparum nomina etiam ſcripta in catalogo manebant apud regem Perſarum. Quodſi ſatraparum dignitas fuit perpetua et hereditate ad filios perveniebat, tum minor nominum fortaſſe ſed eadem perſonarum varietas aderat memoria aſſervanda.

10. ὅσα [δυνατὸν] ἑώρων] Leonclavii emendationem ὡς δυνατὸν ὅσα ἑώρων cum Welſio, Hutchinſono et Zeunio recepit Weiſke. Liber Gabr. ὅσα ἑώρων ποιοῦντα ἑαυτόν. Altorf. ὅσα ἑαυτὸν ἑώρων ποιοῦντα. Igitur vocabulum inutile δυνατὸν ſecluſi. Aldina et Steph. αὐτὸν dant.

συνεπομένων] Guelf. συνεπισπωμένων, ſed corrector fecit συνεπισπομένων ut vii. 1, 32.

τοὺς γιγνομένους] Altorf. et Brodæi liber τοὺς ἐπιγιγνομένους. deinde παρ' ἑαυτῷ—ἐπὶ θήραν. unde articulum τὴν ſecluſi.

νους παῖδας ἐπὶ θύρας, ὥσπερ παρ' αὐτῷ· ἐξάγειν δὲ
ἐπὶ [τὴν] θήραν τὸν σατράπην τοὺς ἀπὸ θυρῶν, καὶ
ἀσκεῖν αὐτόν τε καὶ τοὺς σὺν ἑαυτῷ τὰ πολεμικά. Ὃς 11
δ' ἂν ἐμοὶ, ἔφη, κατὰ λόγον τῆς δυνάμεως πλεῖστα μὲν
ἅρματα, πλείστους δὲ καὶ ἀρίστους ἱππέας ἀποδεικνύῃ,
τοῦτον ἐγὼ, ὡς ἀγαθὸν σύμμαχον καὶ ὡς ἀγαθὸν
συμφύλακα Πέρσαις τε καὶ ἐμοὶ τῆς ἀρχῆς, τιμήσω.
Ἔστων δὲ παρ' ὑμῖν καὶ ἕδραις, ὥσπερ παρ' ἐμοὶ, οἱ
ἄριστοι προτετιμημένοι· καὶ τράπεζα, ὥσπερ ἡ ἐμὴ,
τρέφουσα μὲν πρῶτον τοὺς οἰκέτας, ἔπειτα δὲ καὶ ὡς
φίλοις μεταδιδόναι ἱκανῶς κεκοσμημένη, καὶ ὡς τὸν
καλόν τι ποιοῦντα καθ' ἡμέραν ἐπιγεραίρειν. Κτᾶσθε
δὲ καὶ παραδείσους, καὶ θηρία τρέφετε, καὶ μήτε 12
αὐτοί ποτε ἄπονοι σῖτον παράθεσθε, μήτε ἵπποις
ἀγυμνάστοις χόρτον ἐμβάλλετε· οὐ γὰρ ἂν δυναίμην
ἐγὼ, εἷς ὢν, ἀνθρωπίνῃ ἀρετῇ τὰ πάντων ὑμῶν ἀγαθὰ
διασώζειν, ἀλλὰ δεῖ ἐμὲ μὲν, ἀγαθὸν ὄντα, σὺν ἀγα-
θοῖς τοῖς παρ' ἐμοῦ ὑμῖν ἐπίκουρον εἶναι· ὑμᾶς δὲ ὁμοί-
ως αὐτοὺς, ἀγαθοὺς ὄντας, σὺν ἀγαθοῖς τοῖς μεθ'
ὑμῶν ἐμοὶ συμμάχους εἶναι. Βουλοίμην δ' ἂν ὑμᾶς 13

αὐτόν τε] Ita Steph. cum Altorf. pro *αὐτὸν* Edd. pr. et Guelf.

11. *ὅς δ' ἂν ἐμοὶ*] Pronomen *ἐμοὶ* omittit Altorf. liber.

ἔστων] Ita pro *ἔστωσαν* Budensis et Altorf. liber.

ἕδραις] Edd. pr. Guelf. *ἕδραι, ὥσπερ παρ' ἐμοὶ, οἱ ἄριστοι προτετιμημένοι.* ubi ex Stephani, Leonclavii et Mureti correctione *ἕδραις* reposuit Hutchinson. Budensis et Altorfini libri scripturam *ἕδραι—προτετιμημένοις* omissis verbis *οἱ ἄριστοι* prætulit cum Zeunio Weiske, eamque Camerarius vertit: *habeant apud vos etiam sessiones —honorati præ ceteris.* At græce dicendum erat ita *ἔστων προεδρίαι τοῖς προτετιμημένοις*: præterea Stephanus sic desiderabat articulum participio præmissum: denique sic est sect. 14. *οἱ ἄριστοι τῶν παρόντων ἕδραις προτετίμηνται.*

καὶ τράπεζα] Intellige *ἔστω παρ' ὑμῖν.* Sequens *ἐπιγεραίρειν* quam vim habeat adjuncta præpositione peculiarem, non intelligo.

12. *Κτᾶσθε δὲ καὶ*] Altorf. liber *δὲ* omittit. sequens *ἄπονοι* pro *ἄνευ πόνου* idem dedit liber.

παράθεσθε] Junt. Guelf. *παραθῆσθε*, quod defendit Abresch. ad Thucyd. p. 47. deinde *ἂν* ante *δυναίμην* omittit Altorf. post *ἀνθρωπίνῃ* malim *γε* additum.

καὶ τοῦτο κατανοῆσαι, ὅτι τούτων, ὧν νῦν ὑμῖν παρακελεύομαι, οὐδὲν τοῖς δούλοις προστάττω· ἃ δ' ὑμᾶς φημὶ χρῆναι ποιεῖν, ταῦτα καὶ αὐτὸς πειρῶμαι πάντα πράττειν· Ὥσπερ δ' ἐγὼ ὑμᾶς κελεύω ἐμὲ μιμεῖσθαι, οὕτω καὶ ὑμεῖς τοὺς ὑφ' ὑμῶν ἀρχὰς ἔχοντας μιμεῖσθαι ὑμᾶς διδάσκετε.

14 Ταῦτα δὲ Κύρου οὕτω τότε τάξαντος, ἔτι καὶ νῦν τῷ αὐτῷ τρόπῳ πᾶσαι μὲν αἱ ὑπὸ βασιλεῖ φυλακαὶ ὁμοίως φυλάττονται, πᾶσαι δὲ αἱ τῶν ἀρχόντων θύραι ὁμοίως θεραπεύονται, πάντες δὲ οἱ οἶκοι καὶ μεγάλοι καὶ σμικροὶ ὁμοίως οἰκοῦνται· πᾶσι δὲ οἱ ἄριστοι ὁμοίως τῶν παρόντων ἕδραις προτετίμηνται, πᾶσαι δὲ αἱ πορεῖαι συντεταγμέναι κατὰ τὸν αὐτὸν τρόπον εἰσὶ, πᾶσι δὲ συγκε-
15 φαλαιοῦνται πολλαὶ πράξεις ὀλίγοις ἐπιστάταις. Ταῦτα δ' εἰπὼν, ὡς χρὴ ποιεῖν ἑκάστους, καὶ δύναμιν ἑκάστῳ προσθεὶς, ἐξέπεμπε, καὶ προεῖπεν ἅπασι παρασκευάζεσθαι, ὡς εἰς νέωτα στρατείας ἐσομένης, καὶ ἐπιδείξεως ἀνδρῶν καὶ ὅπλων καὶ ἵππων καὶ ἁρμάτων.

16 Κατενοήσαμεν δὲ καὶ τοῦτο ὅτι Κύρου κατάρξαντος, ὡς φασι, καὶ νῦν ἔτι διαμένει· ἐφοδεύει γὰρ ἀνὴρ κατ' ἐνιαυτὸν ἀεὶ στράτευμα ἔχων· ὃς, ἢν μέν τις τῶν σατρα-

Legatos instituit, qui cum exercitu pro-

13. τούτων, ὧν] Altorf. τούτων ὄντων, ὧν. sequens πάντα omittunt Edd. pr. et Guelf.

ἀρχὰς] Margo Steph. et Altorf. ἀρχεῖα dant. Cf. sect. 10.

14. καὶ σμικροὶ] Guelf. pro μικροὶ dedit.

πᾶσι δὲ οἱ ἄριστοι] Brodæi libri πάντες δὲ οἱ ἄριστοι, quam cum Stephano probavit Weiske. sequens ὁμοίως post ἄριστοι ex libris Brodæi, Budensi et Altorf. recte inseruit Zeune.

αἱ πορεῖαι—αὐτὸν τρόπον] Qui scilicet cap. v. sect. 1—16. describitur.

πᾶσι δὲ] Altorf. πᾶσαι δέ. deinde libri Brodæi et Altorf. εἰς ὀλίγους ἐπιστάτας. Cf. supra viii. 1, 15.

15. Ταῦτα δ' εἰπὼν] Altorf. δὲ omisit; deinde τῆς στρατείας dat.

ἐπιδείξεως] Stephani ἀποδείξεως habet etiam Altorf. sed recte deseruit Zeune. deinde verba καὶ ἁρμάτων omisit Altorf.

16. τοῦτο ὅτι] Zeunius τοῦτο, ὅτι pro τοῦτο, ὅ edidit. ἔτι καὶ νῦν διαμένοιεν Altorf.

ὅς, ἣν] Junt. Philel. Guelf. Altorf. ὡς ἤν. hinc in Junt. Guelf. Altorf. sequuntur conjunctivi. ἐπικουρῇ, σωφρονίζῃ, κατευτρεπίζῃ, ἀπαγγέλλῃ. de-

πῶν ἐπικουρίας δέηται, ἐπικουρεῖ· ἢν δέ τις ὑβρίζῃ, σω-
φρονίζει· ἢν δέ τις ἢ δασμῶν φορᾶς ἀμελῇ, ἢ τῶν ἐνοί-
κων φυλακῆς, ἢ ὅπως ἡ χώρα ἐνεργὸς ᾖ, ἢ ἄλλο τι τῶν
τεταγμένων παραλίπῃ, ταῦτα πάντα κατευτρεπίζει· ἢν
δὲ μὴ δύνηται, βασιλεῖ ἀπαγγέλλει· ὁ δὲ ἀκούων βου-
λεύεται περὶ τοῦ ἀτακτοῦντος. Καὶ οἱ πολλάκις λεγό-
μενοι, ὅτι βασιλέως υἱὸς καταβαίνει, βασιλέως ἀδελφὸς,
βασιλέως ὀφθαλμὸς, καὶ ἐνίοτε οὐκ ἐκφαινόμενοι, οὗτοι
τῶν ἐφόδων εἰσίν· ἀποτρέπεται γὰρ ἕκαστος αὐτῶν, ὁπό-
θεν ἂν βασιλεὺς κελεύῃ.

vincias obeant; angaros item seu veredarios disponit per stationes, qui epistolas summa celeritate quocunque perferant.

Κατεμάθομεν δὲ αὐτοῦ καὶ ἄλλο μηχάνημα πρὸς τὸ 17
μέγεθος τῆς ἀρχῆς, ἐξ οὗ ταχέως ᾐσθάνετο, καὶ τὰ
πάμπολυ ἀπέχοντα ὅπως ἔχοι. Σκεψάμενος γὰρ, πό-
σην ἂν ὁδὸν ἵππος κατανύτοι τῆς ἡμέρας ἐλαυνόμενος,
ὥστε διαρκεῖν, ἐποιήσατο ἱππῶνας τοσοῦτον διαλείπον-
τας, καὶ ἵππους ἐν αὐτοῖς κατέστησε, καὶ τοὺς ἐπιμελο-
μένους τούτων· καὶ ἄνδρα ἐφ' ἑκάστῳ τῶν τόπων ἔταξε
τὸν ἐπιτήδειον παραδέχεσθαι τὰ φερόμενα γράμματα,
καὶ παραδιδόναι, καὶ παραλαμβάνειν τοὺς ἀπειρηκότας
ἵππους καὶ ἀνθρώπους, καὶ ἄλλους πέμπειν νεαλεῖς.
Ἔστι δ' ὅτε οὐδὲ τὰς νύκτας φασὶν ἵστασθαι ταύτην 18

nique βουλεύηται Junt. Guelf. Pro σατραπῶν Altorf. στρατιωτῶν, et deinde παραλείπῃ.

ἐφόδων εἰσίν] Guelf. εἰσὶ τῶν ἐφόδων.

ἀποτρέπεται] Vertit Camerarius: *unusquisque enim jam ab iis desistit, quæ regio mandato vetantur.* De græcorum brevitate obscura merito conquestus Weiske hæc ita interpretatur, *regem consultatione facta incommodo alia ratione mederi significat: interdum autem fieri, ut qui cum imperio ad res cognoscendas venire dicatur, non appareat, quia hi imperatores ita sint modesti, ut vel a gravissimis negotiis, cum rex jubeat, se avocari patiantur.* Ita supra v. 1, 27. φευγόντων τῶν πολεμίων ἀποτρέπεσθαι dicuntur qui hostem fugientem omittunt nec persequi perseverant.

17. Κατεμάθομεν] Edd. pr. Guelf. καταμάθωμεν, quod ex versione Philelphi cum qua facit Altorf. correxit Stephanus. Angaros a Cyro institutos describit etiam Herodotus viii. 98. Cf. Brissonius p. 148.

τοσοῦτον] Ita pro τοσοῦτο Guelf. et Zonaras, qui deinceps ἀλλήλων διέχοντας dat.

ἐπιμελομένους] Ita cum Zonara Guelf. pro ἐπιμελουμένους.

καὶ ἀνθρώπους] Hæc verba ex libris Philelphi, Gabr. Brodæi et Altorf. accesserunt.

τὴν πορείαν, ἀλλὰ τῷ ἡμερινῷ ἀγγέλῳ τὸν νυκτερινὸν διαδέχεσθαι. Τούτων δὲ οὕτω γιγνομένων, φασί τινες θᾶττον τῶν γεράνων ταύτην τὴν πορείαν ἀνύτειν· εἰ δὲ τοῦτο ψεύδονται, ἀλλ᾽ ὅτι γε τῶν ἀνθρωπίνων πεζῇ πορειῶν αὕτη ταχίστη, τοῦτο εὔδηλον. Ἀγαθὸν δὲ, ὡς τάχιστα ἕκαστον αἰσθανόμενον ὡς τάχιστα ἐπιμελεῖσθαι.

Asia inde a Syria usque ad mare rubrum, Ægyptoque domita habitare instituit modo Babylone, modo Susis, modo Ecbatanis.

19 Ἐπεὶ δὲ περιῆλθεν ὁ ἐνιαυτὸς, συνήγειρε στρατιὰν εἰς
Βαβυλῶνα, καὶ λέγεται αὐτῷ γενέσθαι εἰς δώδεκα μὲν
ἱππέων μυριάδας, εἰς δισχίλια δὲ ἅρματα δρεπανηφόρα,
20 πεζῶν δὲ εἰς μυριάδας ἑξήκοντα. Ἐπεὶ δὲ ταῦτα συνε-
σκευάσατο αὐτῷ, ὥρμα δὴ ταύτην τὴν στρατιὰν ἔχων, ἐν
ᾗ λέγεται καταστρέψασθαι πάντα τὰ ἔθνη, ὅσα Συ-
ρίαν ἐκβάντι οἰκεῖ μέχρις ἐρυθρᾶς θαλάσσης. Μετὰ
δὲ ταῦτα, ἡ εἰς Αἴγυπτον στρατεία λέγεται γενέσθαι,
21 καὶ καταστρέψασθαι Αἴγυπτον. Καὶ ἐκ τούτου τὴν
ἀρχὴν ὥριζεν αὐτῷ πρὸς ἕω μὲν ἡ ἐρυθρὰ θάλαττα,
πρὸς ἄρκτον δὲ ὁ Εὔξεινος πόντος, πρὸς ἑσπέραν δὲ Κύ-

18. διαδέχεσθαι] Junt. Guelf. δέχεσθαι, quod ferri poterit; quia simplex verbum cum dativo personæ copulant poetæ et prosaici scriptores interdum.

τούτων δὲ] Guelf. τούτων δή: deinde φασί τινας corrigebat Leonclavius, quia ἀνύτειν ipsa πορεία græce non dicatur. Verum licebit, puto, sic interpretari, ut φασὶ ἀνύτειν sit, *narrant aliqui se iter propositum perfecisse celerius, quam volatum grues.*

εἰ δὲ τοῦτο] Intelligo quasi scriptum sit εἰ δὲ καὶ τοῦτο.

ἕκαστον] Stephanus ἑκάστου vel ἑκάστων malebat, recte probante Weiskio, quoniam eodem possit simul verbum ἐπιμελεῖσθαι referri.

19. στρατιὰν] Altorf. στρατείαν, qui sequens ἱππέων pro ἵππων dedit.

20. στρατιὰν ἔχων] Ex libris Brodæi, Budensi et Altorf. ἔχων adjunxi, et vulgatum στρατείαν de meo correxi. Ipse etiam Philelphus στρατιὰν a Leonclavio probatum vertit. Superest sequens ἐν ᾗ mutandum in σὺν ᾗ. Postea Altorf. πάντα καταστ. dat ordine mutato.

ἐκβάντι] Hoc cum libro Brodæi, Budensi et Altorf. vulgato εἰσβάντι prætuli, quoniam Syria et proprie dicta et Assyria jam in regis erant Cyri potestate. Deinde οἰκεῖται liber Brodæi et Altorf. οἰκεῖ Budensis. Postea μέχρι Altorf. μέχρι θαλάσσης ἐρυθρᾶς Guelf.

ἐρυθρὰ θάλαττα] Apud Herodotum ii. 11. est oceanus Indicus: hic vero sinus Arabicus videtur intelligi; adeoque hic locus est antiquissimus scriptorum græcorum, ubi mare rubrum de sinu Arabico dicitur, nec annotatus doctissimo Gallo *Gosselin Recherches sur la Geographie* ii. p. 77.

Αἴγυπτον] Quam Herodoto iii. 1. Cambyses demum filius Cyri subegisse dicitur.

πρὸς καὶ Αἴγυπτος, πρὸς μεσημβρίαν δὲ Αἰθιοπία. Τούτων δὲ τὰ πέρατα τὰ μὲν διὰ θάλπος, τὰ δὲ διὰ ψύχος, τὰ δὲ διὰ ὕδωρ, τὰ δὲ δι' ἀνυδρίαν, δυσοίκητα.
Αὐτὸς δ' ἐν μέσῳ τούτων τὴν δίαιταν ποιησάμενος, τὸν 22
μὲν ἀμφὶ τὸν χειμῶνα χρόνον διῆγεν ἐν Βαβυλῶνι ἑπτὰ μῆνας· (αὕτη γὰρ ἀλεεινὴ ἡ χώρα·) τὸν δὲ ἀμφὶ τὸ ἔαρ τρεῖς μῆνας ἐν Σούσοις· τὴν δὲ ἀκμὴν τοῦ θέρους δύο μῆνας ἐν Ἐκβατάνοις· οὕτω δὲ ποιοῦντ' αὐτὸν λέγουσιν ἐν ἐαρινῷ θάλπει καὶ ψύχει διάγειν ἀεί. Οὕτω δὲ διέ- 23
κειντο πρὸς αὐτὸν οἱ ἄνθρωποι, ὡς πᾶν μὲν ἔθνος μειονεκτεῖν ἐδόκει, εἰ μὴ Κύρῳ πέμψειεν, ὅ τι καλὸν αὐτοῖς ἐν τῇ χώρᾳ ἢ φύοιτο ἢ τρέφοιτο ἢ τεχνῷτο· πᾶσα δὲ πόλις ὡσαύτως· πᾶς δὲ ἰδιώτης πλούσιος ἂν ᾤετο γενέσθαι, εἴ τι Κύρῳ χαρίσαιτο· καὶ γὰρ ὁ Κῦρος λαμβάνων παρ' ἑκάστων, ὧν ἀφθονίαν εἶχον οἱ διδόντες, ἀντεδίδου, ὧν σπανίζοντας αὐτοὺς αἰσθάνοιτο.

CAP. VII.

ΟΥΤΩ δὲ τοῦ αἰῶνος προκεχωρηκότος, μάλα δὴ πρεσβύτης ὢν ὁ Κῦρος ἀφικνεῖται εἰς Πέρσας, τὸ ἕβδομον

Somnio admonitus se parat ad discessum ex hac vita.

22. δίαιταν ποιησάμενος] Zonaras πεποιημένος. deinde οὕτω δὴ ποιοῦντα ex Guelf. dedit Zeune. deinde pro ἀλεεινὴ Aldina vitiose ἐλεεινή: quod idem vitium in Anabasi iv. 4, 11. sagaciter indagavit et correxit nuper Weiske.

23. ὅ τι καλὸν] Altorf. εἴ τι καλόν. deinde τεχνοῖτο Junt. et Guelf.

ἂν ᾤετο] Juntina et Guelf. ἄρα ᾤετο.

1. οὕτω δὲ] Altorf. οὕτω δή. Ita breviter Xenophon transcurrit, quod supererat ex altera parte consilii ejus, quod in Cyri disciplina secutus esse videtur, demonstrandum. Recte igitur Weiske in Disputatione de natura disciplinæ Cyri p. cxxv. statuit Xenophontem bene docuisse, quomodo bellis fortiter et sapienter gerendis magnum imperium possit acquiri, alterum minus fecisse planum, quomodo idem debeat conservari. Nimis manifesta et molesta est lectori inæqualitas posterioris operis partis, cum priore de rebus bellicis tradente comparatæ.

πρεσβύτης] Dinone auctore apud Ciceronem de Divinatione i. 23. annos septuaginta attigit, anno ætatis tricesimo regnare cœpit. Triginta annos regnasse Dinon, uno minus Herodotus i. 214. tradit.

τὸ ἕβδομον] *septima vice.* De hoc historicorum veterum testimonia ignoramus. Deinceps ἤδη inserit liber Brodæi et Gabr. τὸν ἕβδ. ἤδη Altorf.

ἐπὶ τῆς αὐτοῦ ἀρχῆς. Καὶ ὁ μὲν πατὴρ καὶ ἡ μήτηρ
πάλαι δὴ, ὥσπερ εἰκὸς, ἐτετελευτήκεσαν αὐτῷ· ὁ δὲ Κῦ-
ρος ἐλθὼν ἔθυσε τὰ νομιζόμενα ἱερὰ, καὶ τοῦ χοροῦ ἡγή-
σατο Πέρσαις κατὰ τὰ πάτρια, καὶ τὰ δῶρα πᾶσι διέ-
2 δωκεν, ὥσπερ εἰώθει. Κοιμηθεὶς δ' ἐν τῷ βασιλείῳ,
ὄναρ εἶδε τοιόνδε· ἔδοξεν αὐτῷ προσελθὼν κρείττων τις, ἢ
κατὰ ἄνθρωπον, εἰπεῖν, Συσκευάζου, ὦ Κῦρε· ἤδη γὰρ
εἰς θεοὺς ἄπει. Τοῦτο δὲ ἰδὼν τὸ ὄναρ ἐξηγέρθη, καὶ
σχεδὸν ἐδόκει εἰδέναι, ὅτι τοῦ βίου ἡ τελευτὴ παρείη·
3 Εὐθὺς οὖν, λαβὼν ἱερεῖα, ἔθυε Διΐ τε πατρῴῳ καὶ
Ἡλίῳ καὶ τοῖς ἄλλοις θεοῖς ἐπὶ τῶν ἄκρων, ὡς Πέρσαι
θύουσιν, ὧδε ἐπευχόμενος· Ζεῦ πατρῷε καὶ Ἥλιε, καὶ
πάντες θεοὶ, δέχεσθε τάδε, καὶ τελεστήρια πολλῶν καὶ
καλῶν πράξεων, καὶ χαριστήρια, ὅτι ἐσημήνατέ μοι καὶ
ἐν ἱεροῖς καὶ ἐν οὐρανίοις σημείοις καὶ ἐν οἰωνοῖς καὶ ἐν
φήμαις, ἅ τ' ἐχρῆν ποιεῖν καὶ ἃ οὐκ ἐχρῆν. Πολλὴ δ'
ὑμῖν χάρις, ὅτι κἀγὼ ἐγίγνωσκον τὴν ὑμετέραν ἐπιμέ-
λειαν, καὶ οὐδεπώποτε ἐπὶ ταῖς εὐτυχίαις ὑπὲρ ἄνθρω-
πον ἐφρόνησα. Αἰτοῦμαι δ' ὑμᾶς, δοῦναι καὶ νῦν παισὶ
μὲν καὶ γυναικὶ καὶ φίλοις καὶ πατρίδι εὐδαιμονίαν·
ἐμοὶ δὲ, οἷόν περ αἰῶνα δεδώκατε, τοιαύτην καὶ τελευτὴν

τῆς αὐτοῦ] Stephanus αὑτοῦ dedit.

ἐλθὼν ἔθυσε] Ex libro Brodæi et Altorf. ἐλθὼν inserui: Altorf. etiam καὶ adjunxit participio.

ἱερὰ] Juntina et margo Guelf. ἱερεῖα. De choro in sacrificiis Persarum usitato supra c. v. sect. 21. nihil relatum nec ab alio traditum ullo legimus.

2. συσκευάζου] Anonymus apud Suidam in συσκευάζεσθαι ita: ὄναρ ἐφίσταται θεία τις ὄψις, καὶ λέγει δεῖν συσκευάζεσθαι. καλεῖν γὰρ τὸ χρεὼν αὐτόν.

εἰδέναι] Liber Brodæi et Altorf. εὖ εἰδέναι. Adverbium σχεδὸν interpretatur Weiske *statim*, ut infra sect. 6. clare.

3. ἄκρων] Herodotus i. 131. νομίζουσι Διῒ μὲν ἐπὶ τὰ ὑψηλότατα τῶν οὐρέων ἀναβαίνοντες θυσίας ἔρδειν, τὸν κύκλον πάντα τοῦ οὐρανοῦ Δία καλέοντες. Θύουσι δὲ Ἡλίῳ τε καὶ Σελήνῃ καὶ Γῇ καὶ Πυρὶ καὶ Ὕδατι καὶ ἀνέμοισι. Strabo xv. p. 1064. Πέρσαι ἀγάλματα καὶ βωμοὺς οὐχ ἱδρύονται, θύουσι δὲ ἐν ὑψηλῷ τόπῳ.

σημείοις] Ex libro Brodæi, cum quo facit Altorf. addidit Stephanus. Conf. i. 6, 2. Conjectura Grammii ὀνείροις pro οὐρανίοις (omisso σημείοις) legentis facile caremus. Ceterum Altorf. paulo antea εὐχαριστήρια, deinde omissis verbis καὶ ἐν οἰωνοῖς dat οὐκ χρῆν. Πολλὴ δὲ ὑμῖν χ. ὅτι καὶ ἐγώ.

δοῦναι. Ὁ μὲν δὴ ταῦτα ποιήσας, καὶ οἴκαδε ἀπελ- 4
θὼν, ἔδοξεν ἀναπαύσασθαι, καὶ κατεκλίθη. Ἐπεὶ δὲ
ὥρα ἦν, οἱ τεταγμένοι προσιόντες λούσασθαι αὐτὸν ἐκέ-
λευον. Ὁ δ' ἔλεγεν, ὅτι ἡδέως ἀναπαύοιτο. Οἱ δ'
αὖ τεταγμένοι, ἐπεὶ ὥρα ἦν, δεῖπνον παρετίθεσαν· τῷ δὲ
ἡ ψυχὴ σῖτον μὲν οὐ προσίετο, διψῆν δ' ἐδόκει, καὶ
ἔπιεν ἡδέως. Ὡς δὲ καὶ τῇ ὑστεραίᾳ συνέβαινεν αὐτῷ 5
τὰ αὐτὰ ταῦτα καὶ τῇ τρίτῃ, ἐκάλεσε τοὺς παῖδας· (οἱ
δ' ἔτυχον συνηκολουθηκότες αὐτῷ καὶ ὄντες ἐν Πέρσαις.)
Ἐκάλεσε δὲ καὶ τοὺς φίλους, καὶ τὰς Περσῶν ἀρχάς·
παρόντων δὲ πάντων, ἤρχετο τοιοῦδε λόγου·

Cyri morientis oratio ad filios et amicos.

Παῖδες ἐμοὶ, καὶ πάντες οἱ παρόντες φίλοι, ἐμοὶ μὲν 6
τοῦ βίου τὸ τέλος ἤδη πάρεστιν. (ἐκ πολλῶν τοῦτο σα-
φῶς γιγνώσκω) ὑμᾶς δὲ χρὴ, ὅταν τελευτήσω, ὥσπερ
εὐδαίμονος ἐμοῦ καὶ λέγειν καὶ ποιεῖν πάντα. Ἐγὼ
γὰρ παῖς τε ὢν τὰ ἐν παισὶ νομιζόμενα καλὰ δοκῶ
κεκαρπῶσθαι· ἐπεί τε ἥβησα, τὰ ἐν νεανίσκοις· τέλειός
τε ἀνὴρ γενόμενος τὰ ἐν ἀνδράσι· Σὺν τῷ χρόνῳ τε
προϊόντι ἀεὶ συναυξανομένην ἐπιγιγνώσκειν ἐδόκουν καὶ τὴν
ἐμὴν δύναμιν, ὥστε καὶ τοὐμὸν γῆρας οὐδεπώποτε ᾐσθό-

4. δὴ ταῦτα] Edd. pr. Guelf. Altorf. δὴ τοιαῦτα. deinde οἴκαδε ἀπελθὼν Altorf. dedit pro vulgato ἐλθών. ſequens poſt ἔδοξεν vulgo in Edd. ἡδέως omiſi damnatum etiam a Zeunio, et male adſcitum ex libro Philelphi et Brodæi (cum quibus facit Altorf.) a Stephano.

ἀναπαύσασθαι] Stephani ἀναπαύσεσθαι et deinde ἔλεγον pro ἐκέλευον dat Altorf. liber.

διψῆν δ' ἐδόκει] Altorf. διψεῖν δὲ ἐδόκει, καὶ ἔπιεν ἡδέως. Etiam Junt. et Guelf. ἔπιεν habet. ſed Juntina ἡδέως δέ. Guelf. ἡδέως δὲ, καὶ τῇ ὑστεραίᾳ. ut Codex Auguſtanus, (cujus varietatem in extremo hoc libro appoſuit Fiſcher.) in margine ſuppleta ſunt verba ὡς δέ.

5. τὰ αὐτὰ ταῦτα] Ita cum Altorfino libro ſcripſi pro ταῦτα, quod in ταὐτὰ ex verſione Philelphi et Camer. mutaverat Zeune. Ceterum in Altorf. ordo verborum hic eſt: ταυτὰ ταῦτα συνέβαινον αὐτῷ καὶ τῇ τρίτῃ.

ἐκάλεσε δὲ καὶ] Ita cum Ald. Steph. Guelf. et Altorf. malui ſcribere, quam ἐκέλευσε cum Zeunio et Weiſkio.

6. τὸ τέλος] Articulum omittit Altorfinus liber.

ὥσπερ] Margo Steph. ὡς περὶ alicunde appoſuit.

ἐπεί τε] Altorf. ἔπειτα ἡβήσας dat. deinde ὥστε τοὐμὸν γῆρας omiſſo καί. Hunc locum expreſſit Cicero de Senectute c. 9.

μην τῆς ἐμῆς νεότητος ἀσθενέστερον γιγνόμενον, καὶ οὔτ'
7 ἐπιχειρήσας οὔτ' ἐπιθυμήσας οἶδα ὅτου ἠτύχησα. Καὶ
τοὺς μὲν φίλους ἐπεῖδον δι' ἐμοῦ εὐδαίμονας γενομένους,
τοὺς δὲ πολεμίους ὑπ' ἐμοῦ δουλωθέντας· καὶ τὴν πα-
τρίδα, πρόσθεν ἰδιωτεύουσαν ἐν τῇ Ἀσίᾳ, νῦν προτετι-
μημένην καταλείπω· ὧν τ' ἐκτησάμην, οὐδὲν οἶδα, ὅ τι
οὐ διεσωσάμην. Καὶ τὸν μὲν παρελθόντα χρόνον ἔπραττ-
τον οὕτως, ὥσπερ ηὐχόμην· φόβος δέ μοι συμπαρομαρ-
τῶν, μή τι ἐν τῷ ἐπιόντι χρόνῳ ἢ ἴδοιμι ἢ ἀκούσαιμι ἢ
πάθοιμι χαλεπὸν, οὐκ εἴα τελέως μέγα φρονεῖν, οὐδ'
8 εὐφραίνεσθαι ἐκπεπταμένως. Νῦν δ' ἢν τελευτήσω,
καταλείπω μὲν ὑμᾶς, ὦ παῖδες, ζῶντας, οὕσπερ ἔδοσάν
μοι οἱ θεοὶ γενέσθαι· καταλείπω δὲ πατρίδα καὶ φί-
λους εὐδαιμονοῦντας· ὥστε πῶς οὐκ ἂν ἐγὼ δικαίως
9 μακαριζόμενος τὸν ἀεὶ χρόνον μνήμης τυγχάνοιμι; Δεῖ
δὲ καὶ τὴν βασιλείαν μὲ ἤδη σαφηνίσαντα καταλιπεῖν·
ὡς ἂν μὴ ἀμφίλογος γενομένη πράγματα ὑμῖν παρά-
σχῃ. Ἐγὼ οὖν φιλῶ μὲν ἀμφοτέρους ὑμᾶς ὁμοίως, ὦ

7. τελέως μέγα φρονεῖν] Ita cum Stephano Hutchinſon, Weiſke et liber Altorf. τελέως μὲ φρονεῖν Edd. pr. et Guelf. defendit Zeune vertens cum I. M. Geſnero: *plane ſibi mente conſtare et ſua ſorte beatum eſſe:* atque omnino putat a Xenophonte hic Solonis expreſſam eſſe ſententiam *neminem* videlicet *ante mortem eſſe beatum habendum.* Quo quid ineptius cogitari aut fingi poterat? Vides enim paulo antea Cyrum prædicare de ſe ὥσπερ εὐδαίμονος ἐμοῦ magno ſatis animo. Deinde qua poteſt ratione conciliari cum Cyri pietate in deos et deorum adverſus eum amore tantopere et tam ſæpe a Xenophonte prædicato oratio hæc hominis ſimillima verbis facinoroſi hominis φόβος —οὐκ εἴα τελέως μὲ φρονεῖν, ſi voluit Cyrus dicere, *timor vero aliquis ſemper me comitatus anxium tenebat—nec me mente plane conſtare nec effuſe lætari ſinebat*, uti vertit Zeune? Quin egregie Camerarius: *metus tamen quidam aſſecla, ne ſuccedente tempore gravius quidpiam videndum, audiendum, perpetiendum foret, non ſivit me prorſus magno eſſe animo et effuſe lætari.* Expreſſit igitur libri Budenſis μέγα φρονεῖν, et Stephanus Camerario debet correctionem. Hoc eſt ſcilicet illud, propter quod Cyrus diis gratias agebat, οὐδὲ πώποτε ἐπὶ ταῖς εὐτυχίαις ὑπὲρ ἄνθρωπον ἐφρόνησα ſect. 3. Significare ita voluit Xenophon Cyri moderatum in lætitia et rebus ſecundis animum a ſuperbia et levitate alienum.

8. ἢν τελευτήσω] Edd. pr. Guelf. εἰ τελευτήσω. deinde οὓς παρέδοσαν margo Steph. neſcio unde refert.

9. μὲ ἤδη] Hæc ex libris Brodæi (et Altorf.) addidit Stephanus: deinde ἀμφίβολος libri Brodæi.

Ἐγὼ οὖν] Ita cum Stephani Edit.

παῖδες· τὸ δὲ προβουλεύειν καὶ τὸ ἡγεῖσθαι, ἐφ' ὅ τι ἂν
καιρὸς δοκῇ εἶναι, τοῦτο προστάττω τῷ προτέρῳ γενομένῳ,
καὶ πλειόνων, κατὰ τὸ εἰκὸς, ἐμπείρῳ. Ἐπαιδεύθην 10
δὲ καὶ αὐτὸς οὕτως ὑπὸ τῆσδε τῆς ἐμῆς τε καὶ ὑμε-
τέρας πατρίδος, τοῖς πρεσβυτέροις οὐ μόνον ἀδελφοῖς
ἀλλὰ καὶ πολίταις καὶ ὁδῶν καὶ θάκων καὶ λόγων
ὑπείκειν· καὶ ὑμᾶς δὲ, ὦ παῖδες, οὕτως ἐξ ἀρχῆς ἐπαί-
δευον, τοὺς μὲν γεραιτέρους προτιμᾷν, τῶν δὲ νεωτέρων
προτετιμῆσθαι· ὡς οὖν παλαιὰ καὶ εἰθισμένα καὶ ἔννο-
μα λέγοντος ἐμοῦ, οὕτως ἀποδέχεσθε. Καὶ σὺ μὲν, ὦ 11
Καμβύση, τὴν βασιλείαν ἔχε, θεῶν τε διδόντων καὶ
ἐμοῦ, ὅσον ἐν ἐμοί· σοὶ δὲ, ὦ Ταναοξάρη, σατράπην εἶναι
δίδωμι Μήδων τε καὶ Ἀρμενίων, καὶ τρίτων Καδουσίων·
ταῦτα δέ σοι διδοὺς, νομίζω ἀρχὴν μὲν μείζω καὶ τοὔνο-
μα τῆς βασιλείας τῷ πρεσβυτέρῳ καταλιπεῖν, εὐδαιμο-
νίαν δέ σοι ἀλυποτέραν. Ὁποίας μὲν γὰρ ἀνθρωπίνης 12
εὐφροσύνης ἐπιδεὴς ἔσει, οὐχ ὁρῶ· ἀλλὰ πάντα σοι τὰ
δοκοῦντα ἀνθρώπους εὐφραίνειν παρέσται. Τὸ δὲ δυσ-
καταπρακτοτέρων τε ἐρᾷν, καὶ τὸ πολλὰ μεριμνᾷν,
καὶ τὸ μὴ δύνασθαι ἡσυχίαν ἔχειν, κεντριζόμενον ὑπὸ
τῆς πρὸς τἀμὰ ἔργα φιλονεικίας, καὶ τὸ ἐπιβουλεύειν

2. Zeune pro ἐγὼ δὲ νῦν, quod nec Philelphus nec Camerarius vertit. ἐγὼ δὲ νῦν φιλῶ ὑμᾶς ἀμφοτέρους, ὦ παῖδες, omiſſis μὲν et ὁμοίως.

τὸ ἡγεῖσθαι] Libri Brodæi et Altorf. προηγεῖσθαι, quod recepit Stephanus, deinde δοκεῖ Guelf. Altorf. et Aug.

καὶ πλειόνων] Auguſt. liber καὶ τὰ πλειόνων. Voluit, puto, καὶ τῷ πλειόνων.

10. τοὺς μὲν γεραιτέρους] Margo Steph. refert ὥστε τοὺς μὲν γερ. προτιμᾷν, ὑπὸ δὲ τῶν νεωτέρων, quæ eſt ipſa ſcriptura libri Altorfini. τιμᾷν Auguſt.

παλαιὰ καὶ] Altorf. εἰθισμένα παλαιὰ καὶ ἔννομα dat.

12. ὦ Καμβύση] Altorf. ὦ παῖ Καμβύση. deinde διαδόντων Junt. Guelf. male Juntina ὅσον ἐμοὶ dedit.

Ταναοξάρῃ] Cteſias Τανυοξάρκην nominans δεσπότην Βακτρίων καὶ τῆς χώρας καὶ Χοραμνίων καὶ Παρθίων καὶ Καρμανίων fuiſſe narrat; Herodotus et Ariſtoteles Smerdim, Æſchylus Merdim vel Mardim, Juſtinus Mergim nominat.

τρίτων] Liber Philel. Bodl. Guelf. Altorf. τρίτον.

12. ἔσει] Ita ex Altorf. libro ſcripſi pro ἔσῃ: ex eodem et Auguſtano τε poſt δυσκαταπρακτοτέρων inſerui. deinde πρὸς τὰ ἐμὰ idem liber habet.

καὶ τὸ ἐπιβουλεύεσθαι, ταῦτα τῷ βασιλεύοντι ἀνάγκη
σοῦ μᾶλλον συμπαρομαρτεῖν· ἃ, σάφ' ἴσθι, τῷ εὐφραί-
13 νεσθαι πολλὰς ἀσχολίας παρέχει. Οἶσθα μὲν οὖν
καὶ σὺ, ὦ Καμβύση, ὅτι οὐ τόδε τὸ χρυσοῦν σκῆπτρον τὸ
τὴν βασιλείαν διασῷζόν ἐστιν, ἀλλ' οἱ πιστοὶ φίλοι
σκῆπτρον βασιλεῦσιν ἀληθέστατον καὶ ἀσφαλέστατον.
Πιστοὺς δὲ μὴ νόμιζε φύσει φύεσθαι ἀνθρώπους· (πᾶσι
γὰρ ἂν οἱ αὐτοὶ πιστοὶ φαίνοιντο, ὥσπερ καὶ τἄλλα τὰ
πεφυκότα πᾶσι τὰ αὐτὰ φαίνεται) ἀλλὰ τοὺς πιστοὺς
τίθεσθαι δεῖ ἕκαστον ἑαυτῷ· ἡ δὲ κτῆσις αὐτῶν ἐστιν
οὐδαμῶς σὺν τῇ βίᾳ, ἀλλὰ μᾶλλον σὺν τῇ εὐεργεσίᾳ.
14 Εἰ οὖν καὶ ἄλλους τινὰς πειράσῃ συμφύλακας τῆς βα-
σιλείας ποιεῖσθαι, μηδαμόθεν πρότερον ἄρχου, ἢ ἀπὸ
τοῦ ὁμόθεν γενομένου. Καὶ πολῖταί τοι ἄνθρωποι ἀλ-
λοδαπῶν οἰκειότεροι, καὶ σύσσιτοι ἀποσκήνων. οἱ δὲ ἀπὸ
τοῦ αὐτοῦ σπέρματος φύντες, καὶ ὑπὸ τῆς αὐτῆς μητρὸς
τραφέντες, καὶ ἐν τῇ αὐτῇ οἰκίᾳ αὐξηθέντες, καὶ ὑπὸ
τῶν αὐτῶν γονέων ἀγαπώμενοι, καὶ τὴν αὐτὴν μητέρα

σοῦ μᾶλλον] Dictum pro *μᾶλλον ἢ σοὶ* ſuſpectum merito Weiſkio, qui *σοῦ* delendum cenſebat; at in Addendis comparabat locum Anabaſeos ii. 5, 13.

συμπαρομαρτεῖν] Altorf. *συμπαρομαρτάνειν* præfert, deinceps *ὦ, σάφ' ἴσθι*.

τῷ εὐφραίνεσθαι] Hæc omittunt Edd. ex libris Brodæi inſeruit Stephanus. In libro de Lacedæm. republ. xiii. 1. eſt *ὡς μηδεμία ἀσχολία ᾖ αὐτοῖς τῶν πολεμικῶν ἐπιμελεῖσθαι.* Supra viii. 1, 13. *ὅτι ἀσχολίαν παρέξοι τῆς τῶν ὅλων σωτηρίας ἐπιμελεῖσθαι.* quæ duo loca mihi caſum additi articuli faciunt ſuſpectum. Ecce enim Memorab. i. 3, 11. *πολλὴν ἀσχολίαν ἔχειν τοῦ ἐπιμελεῖσθαί τινος καλοῦ κἀγαθοῦ.* Sine articulo eſt eadem dictio in Œconomico iv. 3. et vi. 9.

παρέχει] Juntina, Guelf. et Auguſt. *παρέχειν.*

13. *Οἶσθα*] Ex verſione Gabr. et Leonclavii margo Steph. *ἴσθι* videtur retuliſſe.

σκῆπτρον] Deinceps Stobæus verbum *ἐστι* collocat: *ὅτι οὐδὲ τὸ χρ. σκῆπτρόν ἐστι* Altorf. poſtea *πολλοὶ φίλοι* Edd. pr. Philel. Guelf.

Πιστοὺς] Stobæus *καὶ ἀσφαλεστάτους* addit: deinde *φύσει* omittunt Juntina, Bodl. Guelf. et Altorf. comparato tamen loco v. 1, 23. ubi eſt *φύσει πεφυκέναι*, defendit Zeune. *ἀνθρώπους φύεσθαι* Guelf.

τἄλλα τὰ] Guelf. et Auguſt. *τὰ* omittit: ſequens *φαίνεται* eſt in Stobæo, libro Philel. Caſtal. Bryl. Leoncl. idque vulgato *φαίνεσθαι* jam olim prætulit cum Brodæo Muretus.

τοὺς πιστοὺς] Ex Stobæo *τοὺς μὲν πιστοὺς* dedit Zeune. deinde *ἡ δὲ κτῆσις ἐστιν αὐτῶν* Altorf.

14. *συμφύλακας τῆς*] Altorf. *τῆς βασ. συμφ.* deinde *καὶ τῶν αὐτῶν γονέων* omiſſo *ὑπὸ* Juntina et Guelf.

καὶ τὸν αὐτὸν πατέρα προσαγορεύοντες, πῶς οὐ πάντων
οὗτοι οἰκειότατοι; Μὴ οὖν, ἃ οἱ θεοὶ ὑφήγηνται ἀγαθὰ 15
εἰς οἰκειότητα τοῖς ἀδελφοῖς, μάταιά ποτε ποιήσητε,
ἀλλ' ἐπὶ ταῦτα εὐθὺς οἰκοδομεῖτε ἄλλα φιλικὰ ἔργα·
καὶ οὕτως ἀεὶ ἀνυπέρβλητος ἄλλοις ἔσται ἡ ὑμετέρα
φιλία. Ἑαυτοῦ τοι κήδεται ὁ προνοῶν ἀδελφοῦ· τίνι
γὰρ ἄλλῳ ἀδελφὸς, μέγας ὢν, οὕτω καλὸν, ὡς ἀδελ-
φῷ; τίς δ' ἄλλος τιμήσεται δὴ ἄνδρα μέγα δυνάμενον
οὕτως, ὡς ἀδελφός; τίνα δὲ φοβήσεταί τις ἀδικεῖν,
ἀδελφοῦ μεγάλου ὄντος, οὕτως, ὡς τὸν ἀδελφόν; Μήτε 16
οὖν θᾶττον μηδείς σου τούτῳ ὑπακουέτω, μήτε προθυμό-
τερον παρέστω. οὐδενὶ γὰρ οἰκειότερα τὰ τούτου οὔτε
τἀγαθὰ οὔτε τὰ δεινὰ ἢ σοί. Ἐννόει δὲ καὶ τάδε, τίνι
χαρισάμενος ἐλπίσαις ἂν μειζόνων τυχεῖν, ἢ τούτῳ; τίνι
δ' ἂν βοηθήσας ἰσχυρότερον σύμμαχον ἀντιλάβοις;
τίνα δ' αἴσχιον μὴ φιλεῖν, ἢ τὸν ἀδελφόν; τίνα δὲ ἁπάν-
των κάλλιον προτιμᾷν, ἢ τὸν ἀδελφόν; Μόνου τοι, ὦ
Καμβύση, πρωτεύοντος ἀδελφοῦ παρ' ἀδελφῷ, οὐδὲ
φθόνος παρὰ τῶν ἄλλων ἀφικνεῖται. Ἀλλὰ πρὸς 17
θεῶν πατρῴων, ὦ παῖδες, τιμᾶτε ἀλλήλους, εἴ τι καὶ
τοῦ ἐμοὶ χαρίζεσθαι μέλει ὑμῖν· οὐ γὰρ δήπου τοῦτό γε

15. *τοῖς ἀδελφοῖς*] Articulum ex Altorfino libro addidi: ſequens *ἄλλοις* pro *ἀλλήλοις* dedit ſecunda Stephani Editio, aſſentiente libro Altorfino. Ceterum hunc totum locum de fraterni amoris vi ad imperium ſervandum volunt viri docti a Salluſtio B. I. c. 10. imitatione expreſſum eſſe.

16. *μηδείς σου*] Ad Tanaoxarem orationem et oculos intendit hic Cyrus.

οὔτε τἀγαθὰ οὔτε τὰ δεινὰ] Ita cum Stobæo et libro Altorfino Zeune pro *οὔτε ἀγαθὰ οὔτε δεινά.*

Ἐννόει δὲ καὶ] Juntina et Guelf. *ἐννοεῖτε καί.* deinde *τυγχάνειν* Stobæus.

τίνα δὲ ἁπάντων—ἀδελφόν] Hæc Altorf. omiſit.

Μόνου τοι] Budenſis liber *μόνον.* ſequens *πρωτεύοντος* ex Stobæo et libro Altorfino recepi; deinde *παρ' ἄλλων* Stobæus.

ἀφικνεῖται] Stobæi *ἐφικνεῖται* recepit cum Caſtalione Etonenſis Editio, Hutchinſoniana et Weiſkiana.

17. *ὦ παῖδες*] Ita cum libris Brodæi et Altorfino Zeune. Vulgo *ὦ* deeſt.

τοῦ ἐμοὶ] Liber Philel. Guelf. a prima manu et Auguſt. *τότε μοι.*

δήπου τοῦτό γε] Altorf. *δήπου γε τοῦτο σαφῶς—ἔτι ἐγὼ ἔσομαι.*

σαφῶς δοκεῖτε εἰδέναι, ὡς οὐδὲν εἰμὶ ἐγὼ ἔτι, ἐπειδὰν τοῦ ἀνθρωπίνου βίου τελευτήσω· οὐδὲ γὰρ νῦν τοι τήν γ' ἐμὴν ψυχὴν ἑωρᾶτε, ἀλλ', οἷς διεπράττετο, τούτοις αὐτὴν
18 ὡς οὖσαν κατεφωρᾶτε. Τὰς δὲ τῶν ἄδικα παθόντων ψυχὰς οὔπω κατενοήσατε, οἵους μὲν φόβους τοῖς μιαιφόνοις ἐμβάλλουσιν; οἵους δὲ παλαμναίους τοῖς ἀνοσίοις ἐπιπέμπουσι; Τοῖς δὲ φθιμένοις τὰς τιμὰς διαμένειν ἔτι ἂν δοκεῖτε, εἰ μηδενὸς αὐτῶν αἱ ψυχαὶ κύριαι ἦσαν;
19 Οὔτοι ἔγωγε, ὦ παῖδες, οὐδὲ τοῦτο πώποτε ἐπείσθην, ὡς ἡ ψυχὴ, ἕως μὲν ἂν ἐν θνητῷ σώματι ᾖ, ζῇ· ὅταν δὲ τούτου ἀπαλλαγῇ, τέθνηκεν. Ὁρῶ γὰρ, ὅτι καὶ τὰ θνητὰ σώματα, ὅσον ἂν ἐν αὐτοῖς χρόνον ᾖ ἡ ψυχὴ,
20 ζῶντα παρέχεται. Οὐδέ γε ὅπως ἄφρων ἔσται ἡ ψυχὴ, ἐπειδὰν τοῦ ἄφρονος σώματος δίχα γένηται, οὐδὲ τοῦτο πέπεισμαι· ἀλλ' ὅταν ἄκρατος καὶ καθαρὸς ὁ νοῦς ἐκ-

οὐδὲ γὰρ] Altorf. γὰρ omittit. Locum Cicero de Senectute ita vertit cap. 22. *nolite arbitrari, a mihi cariſſimi filii, me, cum o vobis diſceſſero, nuſquam aut nullum fore. nec enim dum eram vobiſcum, animum meum videbatis; ſed eum eſſe in hoc corpore ex iis rebus, quas gerebam, intelligebatis. Eundem igitur eſſe creditote, etiamſi nullum videbitis.*

18. ἔτι ἂν. δοκεῖτε] Altorf. ὅτι πᾶν δοκεῖτε. Margo Steph. δοκοίητε refert. Cicero l. c. vertit hæc: *Nec vero clarorum virorum poſt mortem honores permanerent, ſi nihil eorum ipſorum animi efficerent quo diutius memoriam ſui teneremus.* Verum cum priorem ſententiam omiſiſſet, ſequebatur ut vim argumenti Cicero infringeret mutando. Conſilium Cyri et ſermonis omnis in eo verſatur vis, ut filiis reverentiam erga memoriam mortui ſuam commendet, ducto argumento ex natura animi poſt mortem etiam permanentis nec cum vita vires curamque adeo rerum humanarum neceſſariorumque deponentis. Recte Camerarius: *Numquid autem arbitramini permanere potuiſſe honores, qui habentur mortuis, ſi nullius rei poteſtas penes animos illorum eſſet?* Neſcio igitur, quid ſpectaverit Weiſke, melius hæc cum antecedentibus juncta fore cenſens, ſi τιμὰς pro τιμωρίας capere liceret.

19. Οὔτοι ἔγωγε] Altorf. οὕτως ἔγωγε, deinde ὁ δέ γε ὅπως ἄφρων etc. Cicero hæc vertit. *Mihi quidem nunquam perſuaderi potuit, animos, dum in corporibus eſſent mortalibus, vivere, cum exiſſent ex iis, emori: nec vero tum animum eſſe inſipientem, cum ex inſipienti corpore evaſiſſet, ſed cum omni admixtione corporis liberatus, purus et integer eſſe cœpiſſet, tum eſſe ſapientem. Atque etiam cum hominis natura morte diſſolvitur, cæterarum rerum perſpicuum eſt, quo quæque diſcedant; abeunt enim illuc omnia, unde orta ſunt: animus autem ſolus nec cum adeſt nec cum diſcedit, apparet.*

20. ἄκρατος καὶ καθαρὸς] Valckenaer ad Euripidis Hippolyt. p. 283. b. ἀκήρατος ex Ciceronis verſione corrigebat.

κριθῇ, τότε καὶ φρονιμώτατον εἰκὸς αὐτὸν εἶναι. Διαλυομένου δὲ ἀνθρώπου, δῆλά ἐστιν ἕκαστα ἀπιόντα πρὸς τὸ ὁμόφυλον, πλὴν τῆς ψυχῆς· αὕτη δὲ μόνη οὔτε παροῦσα οὔτε ἀπιοῦσα ὁρᾶται. Ἐννοήσατε δὲ, ἔφη, ὅτι 21
ἐγγύτερον μὲν τῷ ἀνθρωπίνῳ θανάτῳ οὐδέν ἐστιν ὕπνου· ἡ δὲ τοῦ ἀνθρώπου ψυχὴ τότε δήπου θειοτάτη καταφαίνεται, καὶ τότε τι τῶν μελλόντων προορᾷ. τότε γὰρ, ὡς ἔοικε, μάλιστα ἐλευθεροῦται. Εἰ μὲν οὖν οὕτως ἔχει 22
ταῦτα, ὥσπερ ἐγὼ οἴομαι, καὶ ἡ ψυχὴ καταλείπει τὸ σῶμα, καὶ τὴν ἐμὴν ψυχὴν καταιδούμενοι ποιεῖτε, ἃ ἐγὼ δέομαι· εἰ δὲ μὴ οὕτως, ἀλλὰ μένουσα ἡ ψυχὴ ἐν τῷ σώματι συναποθνήσκει, ἀλλὰ θεούς γε τοὺς ἀεὶ ὄντας, καὶ πάντα δυναμένους, οἳ καὶ τήνδε τὴν τῶν ὅλων τάξιν συνέχουσιν ἀτριβῆ καὶ ἀγήρατον καὶ ἀναμάρτητον, καὶ ὑπὸ κάλλους καὶ μεγέθους ἀδιήγητον, τούτους φοβούμενοι, μή ποι ἀσεβὲς μηδὲν, μηδὲ ἀνόσιον μήτε ποιήσητε μήτε βουλεύσητε. Μετὰ μέντοι θεοὺς καὶ ἀνθρώπων 23
τὸ πᾶν γένος, τὸ ἀεὶ ἐπιγιγνόμενον, αἰδεῖσθε· οὐ γὰρ ἐν σκότῳ ὑμᾶς οἱ θεοὶ ἀποκρύπτονται, ἀλλ᾽ ἐμφανῆ πᾶσιν

φρονιμώτατον] Altorf. *φρονιμώτερον αὐτὸν εἰκὸς εἶναι.*

21. *ἐννοήσατε*] Leonclavius *ἐνοήσατε* Ciceroniano *videtis* inductus corrigebat. Ita vero Cicero: *Jam vero videtis, nihil esse morti tam simile quam somnum. Atqui dormientium animi maxime declarant divinitatem suam. multa enim, cum remissi et liberi sunt, futura prospiciunt. Ex quo intelligitur, quales futuri sint, cum se plane corporis vinculis relaxaverint.*

τῷ ἀνθρωπίνῳ] Altorf. *τῶν ἀνθρώπων—καὶ τότε τι καὶ τῶν μελλόντων.*

22. *ἡ ψυχὴ ἐν τῷ*] Altorf. *ἐν τῷ σώματι ἡ ψυχή.* Cicero vertit hæc: *Quare si hæc ita sunt, sic me colitote ut deum: sin una est interiturus animus cum corpore, vos tamen deos verentes, qui hanc omnem pulcritudinem tuentur et regunt, memoriam nostri pie inviolateque servabitis.*

τήνδε τὴν τῶν ὅλων] Hoc ordine cum Guelf. et Augustano Zeune. Vulgo erat *τὴν τῶν ὅλων τάξιν τήνδε.* Altorf. *τήνδε* omittit.

συνέχουσιν] Budensis et Altorf. liber *συγκρατοῦσιν.* deinde vulgatum antea *ἀκριβῆ καὶ ἀκήρατον* ex Budensi (et Altorf.) libro correxit Leonclavii postrema Editio, comparato loco Memorab. iv. 3, 13. *ὁ τὸν ὅλον κόσμον συντάσσων τε καὶ συνέχων—καὶ ἀεὶ μὲν χρωμένοις ἀτριβῆ τε καὶ ὑγιᾶ καὶ ἀγήρατον παρέχων.* Etiam Pollux ii. 14. *ἀγήρατον τάξιν* ex h. l. laudavit, ubi ante Ruhnkenii correctionem *δόξαν* vulgabatur.

κάλλους] Budensis et Altorf. liber *τάχους* dant.

μή ποι] Ita cum Philel. Guelf. et Augustano Zeune pro *μήτι* vulgari.

23. *ἀποκρύπτονται*] Media verbi

ἀνάγκη ἀεὶ ζῆν τὰ ὑμέτερα ἔργα· ἃ ἢν μὲν καθαρὰ
καὶ ἔξω τῶν ἀδίκων φαίνηται, δυνατοὺς ὑμᾶς ἐν πᾶσιν
ἀνθρώποις ἀναδείξει· εἰ δὲ εἰς ἀλλήλους ἄδικόν τι φρο-
νήσετε, ἐκ πάντων τῶν ἀνθρώπων τὸ ἀξιόπιστοι εἶναι
ἀποβαλεῖτε. Οὐδεὶς γὰρ ἂν ἔτι πιστεῦσαι δύναιτο
ὑμῖν, οὐδ᾽ εἰ πάνυ προθυμοῖτο, ἰδὼν ἀδικούμενον τὸν μά-
24 λιστα φιλίᾳ προσήκοντα. Εἰ μὲν οὖν ἐγὼ ὑμᾶς ἱκανῶς
διδάσκω, οἵους χρὴ πρὸς ἀλλήλους εἶναι· εἰ δὲ μὴ, καὶ
παρὰ τῶν προγεγενημένων μανθάνετε· αὕτη γὰρ ἀρίστη
διδασκαλία. Οἱ μὲν γὰρ πολλοὶ διαγεγένηνται φίλοι
μὲν γονεῖς παισὶ, φίλοι δὲ ἀδελφοὶ ἀδελφοῖς· ἤδη δέ τινες
τούτων καὶ ἐναντία ἀλλήλους ἔπραξαν· ὁποτέροις ἂν οὖν
αἰσθάνησθε τὰ πραχθέντα συνενεγκόντα, ταῦτα δὴ αἰ-
25 ρούμενοι, ὀρθῶς ἂν βουλεύοισθε. Καὶ τούτων μὲν ἴσως
ἤδη ἅλις. Τὸ δ᾽ ἐμὸν σῶμα, ὦ παῖδες, ὅταν τελευτή-
σω, μήτε ἐν χρυσῷ θῆτε μήτε ἐν ἀργύρῳ μηδὲ ἐν ἄλλῳ
μηδενὶ, ἀλλὰ τῇ γῇ ὡς τάχιστα ἀπόδοτε. Τί γὰρ τού-
του μακαριώτερον, τοῦ γῇ μιχθῆναι, ἣ πάντα μὲν τὰ
καλὰ, πάντα δὲ τἀγαθὰ φύει τε καὶ τρέφει; Ἐγὼ
καὶ ἄλλως φιλάνθρωπος ἐγενόμην, καὶ νῦν ἡδέως ἂν μοι

forma difplicet: durum etiam in profaica oratione ζῆν τὰ ὑμέτερα ἔργα.

ἢν μὲν] Guelf. εἰ μέν. fequens τῶν ἀδίκων eft pro ἀδικίας pofitum. deinde φρονήσητε Juntina. ἀξιόπιστον Edd. pr. Guelf. Auguft. Cum Stephano facit Altorf.

προθυμοῖτο] Guelf. προθυμεῖτο. deinde πάνυ φιλίᾳ προσήκοντα margo Steph. cum Altorfino libro.

24. ἀδελφοὶ] Hoc nomen ex libro Philelphi et Brodæi addidit Zeune.

ἐναντία ἀλλήλους] Margo Steph. ἐν αἰτίᾳ ineptum nefcio unde refert. deinde ἀλλήλοις præter Leonclavianam, Welfianam et Weifkianam Editionem omnes habent.

ὁποτέροις] Altorf. ὁποτέρως cum margine Steph. dat. deinde ταῦτ᾽ ἂν αἱρούμενοι Altorf.

25. ἀπόδοτε] Cicero de Legibus ii. 22. *ac mihi quidem antiquiffimum fepulturæ genus id fuiffe videtur, quo apud Xenophontem Cyrus utitur; redditur enim terræ corpus, et ita locatum ac fitum quafi operimento matris obducitur.* E legibus Perfarum cadaver mortui cremare non licebat; ignem enim facrum habebant, tefte Herodoto iii. 16. qui i. 140. de Perfis κατακηρώσαντες γῇ κρύπτουσι, quo refpiciens Cicero Tufcul. i. 45. Perfæ mortuos cera circumlitos condunt, ut quam maxime permaneant diuturna corpora. Curtii narratio x. 1. Xenophonteam confirmat.

μακαριώτερον] Edd. pr. Guelf. μακαριώτατον. deinde ἢ τὸ γῇ μιχθῆναι Altorf. dat.

Ἐγὼ καὶ] Caftalio ἐγὼ μὲν καὶ de-

δοκῶ κοινωνῆσαι τοῦ εὐεργετοῦντος ἀνθρώπους. Ἀλλὰ 26
γὰρ ἤδη, ἔφη, ἐκλιπεῖν μοι φαίνεται ἡ ψυχὴ, ὅθενπερ,
ὡς ἔοικε, πᾶσιν ἄρχεται ἀπολείπουσα. Εἴ τις οὖν ὑμῶν
ἢ δεξιᾶς βούλεται τῆς ἐμῆς ἅψασθαι, ἢ ὄμμα τοὐμὸν
ζῶντος ἔτι προσιδεῖν ἐθέλει, προσίτω· ὅταν δ᾽ ἐγὼ ἐγ-
καλύψωμαι, αἰτοῦμαι ὑμᾶς, ὦ παῖδες, μηδεὶς ἔτ᾽ ἀν-
θρώπων τοὐμὸν σῶμα ἰδέτω, μηδ᾽ αὐτοὶ ὑμεῖς. Πέρσας 27
μέντοι πάντας καὶ τοὺς συμμάχους ἐπὶ τὸ μνῆμα τοὐμὸν
παρακαλεῖτε, συνησθησομένους ἐμοὶ, ὅτι ἐν τῷ ἀσφαλεῖ
ἤδη ἔσομαι, ὡς μηδὲν ἂν ἔτι κακὸν παθεῖν, μήτε ἢν μετὰ
τοῦ θείου γένωμαι, μήτε ἢν μηδὲν ἔτι ὦ· ὁπόσοι δ᾽ ἂν
ἔλθωσι, τούτους εὖ ποιήσαντες, ὁπόσα ἐπ᾽ ἀνδρὶ εὐδαίμονι
νομίζεται, ἀποπέμπετε. Καὶ τοῦτο, ἔφη, μέμνησθέ μου 28
τελευταῖον· Τοὺς φίλους εὐεργετοῦντες, καὶ τοὺς ἐχθροὺς
δυνήσεσθε κολάζειν. Καὶ χαίρετε, ὦ φίλοι παῖδες,
καὶ τῇ μητρὶ ἀπαγγέλλετε ὡς παρ᾽ ἐμοῦ· καὶ πάντες
δὲ οἱ παρόντες καὶ οἱ ἀπόντες φίλοι χαίρετε. Ταῦτ᾽
εἰπὼν, καὶ πάντας δεξιωσάμενος, συνεκαλύψατο, καὶ
οὕτως ἐτελεύτησεν.

CAP. VIII.

Ὅτι μὲν δὴ καλλίστη καὶ μεγίστη τῶν ἐν τῇ Ἀσίᾳ ἡ Epilogus commemo-

dit; certe deesse aliquid in vulgata facile intelligit græce sciens. Stobæus et Augustanus liber ἐγὼ δὲ καὶ dant. sequens etiam τοῦ εὐεργετοῦντος ἀνθρώπους mihi nimis tenue et nudum membrum orationis videtur esse.

26. ἄρχεται] A prima manu Guelf. ἔρχεται scriptum habet. Paulo antea ἐκλείπειν ἀπολείπουσα Altorf. Vulgatum ἀπολιποῦσα ex libro Gabr. et Guelf. correxit Zeune.

δεξιᾶς βούλεται] Guelf. βούλεται δεξιᾶς.

27. τούτους εὖ ποιήσαντες] Quæcunque solent exhiberi in funere viri beati, Gesnerus *epulas funebres* interpretatur. Forte dona etiam et munera distribuebantur vocatis ad funus, quibus verbum εὖ ποιεῖν melius congruit.

28. τελευταῖον] Altorfinus liber ἔπος adjungit, poeticum vocabulum. deinde εὖ ποιοῦντες margo Steph.

ὡς παρ᾽ ἐμοῦ] Intellige χαίρειν, salutem nuntiate verbis meis.

1. καλλίστη καὶ μεγίστη] Altorf. cum margine Steph. ἀρίστη καὶ καλλίστη. deinde ἡ Κύρου βασιλεία Altorf. Ceterum Epilogum hunc Xenophonti suppositum ab aliena manu non dubitanter posuit Valckenaer in Anno-

rat, a Cyri institutis defeciſſe Perſas poſteriores et deteriores eſſe factos.

τοῦ Κύρου βασιλεία ἐγένετο, αὐτὴ ἑαυτῇ μαρτυρεῖ. Ὡρίσθη γὰρ πρὸς ἕω μὲν, τῇ ἐρυθρᾷ θαλάττῃ, πρὸς ἄρκτον δὲ τῷ Εὐξείνῳ πόντῳ, πρὸς ἑσπέραν δὲ Κύπρῳ καὶ Αἰγύπτῳ, πρὸς μεσημβρίαν δὲ Αἰθιοπίᾳ. Τοσαύτη δὲ γενομένη μιᾷ γνώμῃ τῇ Κύρου ἐκυβερνᾶτο, καὶ ἐκεῖνός τε τοὺς ὑφ' ἑαυτῷ, ὥσπερ ἑαυτοῦ παῖδας, ἐτίμα τε καὶ ἐθεράπευεν, οἵ τε ἀρχόμενοι Κῦρον ὡς πατέρα ἐσέβοντο.
2 Ἐπεὶ μέντοι Κῦρος ἐτελεύτησεν, εὐθὺς μὲν αὐτοῦ οἱ παῖδες ἐστασίαζον, εὐθὺς δὲ πόλεις καὶ ἔθνη ἀφίσταντο, πάντα δ' ἐπὶ τὸ χεῖρον ἐτρέπετο. Ὡς δ' ἀληθῆ λέγω, ἄρξομαι διδάσκων ἐκ τῶν θείων. Οἶδα γὰρ, ὅτι πρότερον μὲν βασιλεὺς καὶ οἱ ὑπ' αὐτῷ καὶ τοῖς τὰ ἔσχατα πεποιηκόσιν εἴτε ὅρκους ὀμόσαιεν, ἠμπέδουν, εἴτε δεξιὰς
3 δοῖεν, ἐβεβαίουν. Εἰ δὲ μὴ τοιοῦτοι ἦσαν, καὶ τοιαύτην δόξαν εἶχον, ὥσπερ οὐδὲ νῦν πιστεύει οὐδὲ εἷς ἔτι, ἐπεὶ ἔγνωσται ἡ ἀσέβεια αὐτῶν, οὕτως οὐδὲ τότε ἐπίστευσαν ἂν οἱ τῶν σὺν Κύρῳ ἀναβάντων στρατηγοί· νῦν δὲ δὴ τῇ πρόσθεν αὐτῶν δόξῃ πιστεύσαντες, ἐνεχείρισαν ἑαυτοὺς, καὶ ἀναχθέντες πρὸς βασιλέα, ἀπετμήθησαν τὰς

tatione ad Xen. Memorab. p. 238. Edit. Erneſtinæ. Cauſas et argumenta ſuſpicionis equidem nulla hucuſque reperire potui. Ut procemium conſilium Xenophontis aperit, ita hic ipſe Epilogus commode abſolutum opus concludit. Indagabunt emunctioris naſi homines, quæ fuerint egregio viro tam ſeveræ criſeos cauſæ.

ὡρίσθη γὰρ] Ante Zeunium erat ὡρίσθη μὲν πρὸς ἕω τῇ. ſed ille ex Philel. et Mureti libro γὰρ adſcivit, μὲν poſt ἕω cum libro Gabr. repoſuit. Utroque loco μὲν ſcriptum Altorf. liber habet.

πόντῳ] Altorf. cum margine Steph. addit καὶ Προποντίδι καὶ Ἑλλησπόντῳ. Sed etiam ſupra viii. 6, 21. Euxinus Pontus tantum nominatur.

Κῦρον ὡς] Altorf. ὡς πατέρα ἐσέβοντο Κῦρον.

2. αὐτοῦ οἱ] Ita pro αὐτοὶ liber Brodæi, Budenſis et Zeune. deinde ἔθνη καὶ πόλεις Altorf. Fratrum Cambyſis et minoris inimicitias narrat Herodotus iii. 30.

οἶδα γὰρ] Guelf. οἶδα μὲν γάρ.

ἠμπέδουν] Altorf. ἐνεπέδουν, ſed ſupra iii. 1, 21. ſine varietate ἐξημπέδου legitur.

3. δόξαν εἶχον] Deinceps vulgo leguntur hæc: οὐδ' ἂν εἷς αὐτοῖς ἐπίστευεν. quæ recte cum Juntina Guelf. Auguſtano Muretoque duce damnavit Stephanus et Zeune, omiſit Weiſke. Particulam ἂν poſt ἐπίστευσαν omittit Guelf. De re vide Anabaſin ii. 6, 1.

δὲ δὴ] Edd. pr. δὴ omittunt. deinde ἐπετμήθησαν Guelf.

κεφαλάς. Πολλοὶ δὲ καὶ τῶν συστρατευσάντων βαρβάρων, ἄλλοι ἄλλαις πίστεσιν ἐξαπατηθέντες, ἀπώλοντο. Πολὺ δὲ καὶ τάδε χείρονες νῦν εἰσι. Πρόσθεν 4 μὲν γὰρ εἴ τις ἢ διακινδυνεύσειε πρὸ βασιλέως, ἢ πόλιν, ἢ ἔθνος ὑποχείριον ποιήσειεν, ἢ ἄλλο τι καλὸν ἢ ἀγαθὸν αὐτῷ διαπράξειεν, οὗτοι ἦσαν οἱ τιμώμενοι· νῦν δὲ καὶ ἤν τις, ὥσπερ Μιθριδάτης τὸν πατέρα Ἀριοβαρζάνην προδοὺς, καὶ ἤν τις ὥσπερ Ῥεομίθρης τὴν γυναῖκα καὶ τὰ τέκνα καὶ τοὺς τῶν φίλων παῖδας ὁμήρους παρὰ τῷ Αἰγυπτίῳ ἐγκαταλιπὼν, καὶ τοὺς μεγίστους ὅρκους παραβὰς, βασιλεῖ δόξῃ τι σύμφορον ποιῆσαι, οὗτοί εἰσιν οἱ ταῖς μεγίσταις τιμαῖς γεραιρόμενοι. Ταῦτα οὖν ὁρῶντες, 5 οἱ ἐν τῇ Ἀσίᾳ πάντες ἐπὶ τὸ ἀσεβὲς καὶ τὸ ἄδικον τε-

4. Πολὺ—τάδε] Edd. pr. Philel. Bodl. margo Guelf. πολλοί. deinde τάδε eſt in Edd. pr. Philel. Bodl. Guelf. Budenſis, Auguſt. Altorf. τῶνδε edidit Stephanus, τῇδε Hutchinſon cum Mureto.

καλὸν ἢ ἀγαθὸν] Altorf. ἀγαθὸν ἢ καλὸν—νῦν δὲ καὶ ἄν τις.

Μιθριδάτης—καὶ ἤν τις ὥσπερ] Hæc propter ſimilitudinem extremorum verborum exciderant vulgo, et revocavit cum Welſio Zeune ex libris Brodæi, Gabr. Budenſi, Altorfino. Sed cum margo Stephani et Leoncl. Ed. poſtrema ſic retuliſſent καὶ ὥσπερ Λεοκράτης, in Zeuniana verba ἤν τις, in Weiſkiana ἤν τις ὥσπερ omiſſa fuerunt. Λεομίθρης eſt in Brodæi libro Λεοκράτης, Guelf. et Auguſtanus Ῥωμίθρης, quanquam Zeune ex Guelf. Ῥεομίθρης edidit; Ῥεωμίθρης eſt apud Diodorum ii. p. 174. ed. Weſſel. ſeu xv. cap. 90. quem locum de Ariobarzane tractans annotavit Zeune. Ibi igitur eſt: Ἀριοβαρζάνης μὲν ὁ τῆς Φρυγίας σατράπης, ὃς καὶ Μιθριδάτου τελευτήσαντος τῆς τούτου βασιλείας κεκυριευκὼς ἦν. Is igitur Ariobarzanes patri Mithridati ſucceſſit in Phrygia regnanti: contra Xenophontis Mithridates filius eſt hujus ejuſdem Ariobarzanis, quem prodidit regi Perſarum. Miror Weſſelingium Xenophontis locum non annotaſſe; nec magis de Rheomithre meminerat hujus loci: de quo Diodorus c. 92. in eadem rebellione ſatraparum narrat miſſum a conjuratis ad regem Ægypti Tachum, a quo accepta magna pecunia duces conjuratorum prodidit regi Perſarum. Accuratius igitur cognoſcere licet ex Xenophonte. Diodorus hæc narrat ſub Olympiadis 104. anno 3. poſtquam hæc literis a Xenophonte tradita eſſe oportet, quem vulgo anno primo Olympiadis 105. mortuum volunt. Vide quæ diſputavi de annis Xenophontis in Præfatione ad hiſtoriam Græcam; quæ tamen diſputatio alibi tota retractabitur, et vita Xenophontea aliquot etiam annos ultra terminum ibi conſtitutum prorogabitur. Datamen a Mithridate Ariobarzanis filio interemtum narrat Cornelius Nepos c. 10. De Ariobarzane vide Xenophontis Hellenica i. 4, 7. v. 1, 28. et ad vii. 1, 27. annotata p. 415. Huc pertinere etiam videtur locus Ariſtotelis Politicorum.

Αἰγυπτίῳ] Edd. pr. Guelf. Αἰγυπτίων. deinde ὅρκους ὀμόσας παρὰ βασιλεῖ Altorf.

5. καὶ τὸ ἄδικον] Guelf. καὶ ἄδικον. Altorf. ὡς ἐπὶ τὸ ἀσεβὲς dat.

τραμμένοι εἰσίν· ὁποῖοί τινες γὰρ ἂν οἱ προστάται ὦσι,
τοιοῦτοι καὶ οἱ ὑπ' αὐτοὺς ὡς ἐπὶ τὸ πολὺ γίγνονται.
Ἀθεμιστότεροι δὴ νῦν ἢ πρόσθεν ταύτῃ γεγένηνται.
6 Εἴς γε μὴν χρήματα, τῇδε ἀδικώτεροι· οὐ γὰρ μόνον
τοὺς πολλὰ ἡμαρτηκότας, ἀλλὰ ἤδη τοὺς οὐδὲν ἠδικηκό-
τας συλλαμβάνοντες, ἀναγκάζουσι πρὸς οὐδὲν δίκαιον
χρήματα ἀποτίνειν· ὥστε οὐδὲν ἧττον οἱ πολλὰ ἔχειν δο-
κοῦντες τῶν πολλὰ ἠδικηκότων φοβοῦνται· [καὶ εἰς χεῖ-
ρας οὐδ' οὗτοι ἐθέλουσι τοῖς κρείττοσιν ἰέναι, οὐδέ γε
7 ἀθροίζεσθαι εἰς βασιλικὴν στρατείαν θαῤῥοῦσι.] Τοι-
γαροῦν ὅστις ἂν πολεμῇ αὐτοῖς, πᾶσιν ἔξεστιν ἐν τῇ χώρᾳ
αὐτῶν ἀναστρέφεσθαι ἄνευ μάχης ὅπως ἂν βούλωνται,
διὰ τὴν ἐκείνων περὶ μὲν θεοὺς ἀσέβειαν, περὶ δὲ ἀνθρώ-
πους ἀδικίαν. Αἱ μὲν δὴ γνῶμαι ταύτῃ τῷ παντὶ χεί-
ρους νῦν ἢ τὸ παλαιὸν αὐτῶν.
8 Ὡς δὲ οὐδὲ τῶν σωμάτων ἐπιμέλονται, ὥσπερ πρό-
σθεν, νῦν αὖ τοῦτο διηγήσομαι. Νόμιμον γὰρ δὴ ἦν αὐ-
τοῖς, μήτε πτύειν μήτε ἀπομύττεσθαι. Δῆλον δὲ, ὅτι
ταῦτα οὐ τοῦ ἐν τῷ σώματι ὑγροῦ φειδόμενοι ἐνόμισαν,
ἀλλὰ βουλόμενοι διὰ πόνων καὶ ἱδρῶτος τὰ σώματα
στερεοῦσθαι· νῦν δὲ τὸ μὲν μὴ πτύειν, μηδὲ ἀπομύττε-

ὡς ἐπὶ τὸ πολὺ] Ex margine Steph. et Altorf. ὡς addidi. deinde ἀθεμιστότεροι μὲν γὰρ δὴ νῦν Altorf. Ante Hutchinſonum erat ἀθεμιστότεροι δὲ, qui ex libro Gabr. δὴ reſtituit.

6. Εἴς γε μὴν] Ex Aldina, Auguſt. et Guelf. δὴ addidit Zeune.

καὶ εἰς χεῖρας] Hæc cum ſequentibus a præcedentibus violenter dirupta hiare nec bene coire videntur cum conſilio auctoris. De mala divitiarum cupidine ſententiam abſoluit: cum qua hæc nulla ratione copulari poſſunt: nec qui ſint οὐδ' οὗτοι apparet. Recte hæc vidit Weiſke, et lacunam hujus loci ſuſpicatus eſt. Mihi hæc ex ſect. 23. ubi eſt de Perſarum peditatu: εἰς χεῖρας δὲ ἰέναι οὐδ' οὗτοι ἐθέλουσι tranſlata et aucta videntur, ob ſimilitudinem ſententiæ. Τοιγαροῦν—ἀδικίαν cum illa ſect. 21. κατὰ τὴν χώραν γὰρ αὐτῶν ῥᾷον οἱ πολέμιοι ἢ οἱ φίλοι ἀναστρέφονται. Igitur ſecluſi.

7. μὲν θεοὺς] Guelf. μὲν τοὺς θεοὺς ſed corrector μὲν inſeruit.

8. αὖ τοῦτο] Altorf. αὐτὸ τοῦτο. paulo antea ὡς πρόσθεν Altorf.

πτύειν Altorf. ἀποπτύειν. deinde ἱδρώτων Guelf. Cf. ſupra i. 2, 16. et viii. 1, 42.

νῦν δὲ τὸ μὲν] Altorf. νῦν δὲ μὲν μὴ ἀποπτύειν—τὸ δ' ἐκπονεῖν. Etiam margo Steph. ἐκπονεῖν retulit.

σθαι, ἔτι διαμένει, τὸ δὲ πονεῖν οὐδαμοῦ ἐπιτηδεύεται.
Καὶ μὴν πρόσθεν μὲν ἦν αὐτοῖς μονοσιτεῖν νόμιμον, ὅπως 9
ὅλῃ τῇ ἡμέρᾳ χρῷντο [καὶ] εἰς τὰς πράξεις καὶ εἰς τὸ
διαπονεῖσθαι· νῦν γεμὴν τὸ μὲν μονοσιτεῖν ἔτι διαμένει,
ἀρχόμενοι δὲ τοῦ σίτου, ἡνίκα περ οἱ πρωϊαίτατα ἀρι-
στῶντες, μέχρι τούτου ἐσθίοντες καὶ πίνοντες διάγουσιν,
ἔστε περ οἱ ὀψιαίτατα κοιμώμενοι.

Ἦν δὲ αὐτοῖς νόμιμον μηδὲ προχοΐδας εἰσφέρεσθαι 10
εἰς τὰ συμπόσια, δηλονότι νομίζοντες, τὸ μὴ ὑπερπίνειν
ἧττον ἂν καὶ σώματα καὶ γνώμας σφάλλειν· νῦν δὲ τὸ
μὲν μὴ εἰσφέρεσθαι ἔτι αὖ διαμένει, τοσοῦτον δὲ πίνουσιν,
ὥστε ἀντὶ τοῦ εἰσφέρειν αὐτοὶ ἐκφέρονται, ἐπειδὰν μηκέτι
δύνωνται ὀρθούμενοι ἐξιέναι.

Ἀλλὰ μὴν κἀκεῖνο ἦν αὐτοῖς ἐπιχώριον, τὸ μεταξὺ 11
πορευομένους μήτε ἐσθίειν, μήτε πίνειν, μήτε τῶν διὰ
ταῦτα ἀναγκαίων μηδὲν ποιοῦντας φανεροὺς εἶναι· νῦν δ᾽
αὖ τὸ μὲν τούτων ἀπέχεσθαι ἔτι διαμένει, τὰς μέντοι
πορείας οὕτω βραχείας ποιοῦνται, ὡς μηδέν᾽ ἂν ἔτι θαυ-
μάσαι τὸ ἀπέχεσθαι τῶν ἀναγκαίων.

Ἀλλὰ μὴν καὶ ἐπὶ θήραν πρόσθεν μὲν τοσαυτάκις 12
ἐξῄεσαν, ὥστε ἀρκεῖν αὐτοῖς τε καὶ ἵπποις γυμνάσια τὰς
θήρας· ἐπεὶ δὲ Ἀρταξέρξης ὁ βασιλεὺς καὶ οἱ σὺν αὐτῷ
ἥττους τοῦ οἴνου ἐγένοντο, οὐκέτι ὁμοίως οὔτε αὐτοὶ ἐξῄεσαν,

9. χρῷντο [καὶ]] Prius hoc καὶ ſeclusi in Altorf. omiſſum.

ἡνίκα περ] Altorf. ἡνίκα μέν. De μονοσιτίᾳ Perſarum reſpice viii. 1, 44.

ἔστε περ] Edd. pr. Guelf. ἔσγε περ.

10. εἰσφέρεσθαι] Juntina et Guelf. ἐκφέρεσθαι. deinde τῷ μὴ ὑπερπ. Guelf. et Auguſtanus liber.

τὸ μὲν μὴ] Edd. pr. et Guelf. τὸ μὴ, omiſſo μέν.

διαμένει] Athenæus p. 496. ex h. l. καταμένει laudat, quod eſt in libro Altorf.

11. φανεροὺς] Auguſt. liber φανερὸν habet.

μηδέν᾽ ἂν] Vulgatum μηδ᾽ ἂν ita voluit corrigi Stephanus, et ſic eſt in Altorfino libro.

12. αὐτοῖς τε καὶ] Altorf. αὐτοῖς καί. deinde εἰς γυμνάσια malebat Leoncl.

ὁ βασιλεὺς] Hæc omittit Altorf. Ἀρταξέρξης Guelf. et Auguſtanus, ut eſt apud Plutarchum.

οὔτε τοὺς ἄλλους ἐξῆγον ἐπὶ τὰς θήρας· ἀλλὰ καὶ εἴ
τινες φιλόπονοι γένοιντο, καὶ σὺν τοῖς περὶ αὐτοὺς ἱππεῦ-
σιν ἅμα θηρῷεν, φθονοῦντες αὐτοῖς δῆλοι ἦσαν, καὶ ὡς
βελτίονας αὐτῶν ἐμίσουν.

13 Ἀλλά τοι καὶ τοὺς παῖδας τὸ μὲν παιδεύεσθαι ἐπὶ
ταῖς θύραις ἔτι διαμένει· τὸ μέντοι τὰ ἱππικὰ μανθά-
νειν καὶ μελετᾷν, ἀπέσβηκε, διὰ τὸ μὴ ἰέναι, ὅπου ἂν
ἀποφαινόμενοι εὐδοκιμοῖεν. Καὶ ὅτι γε οἱ παῖδες, ἀκού-
οντες ἐκεῖ πρόσθεν τὰς δίκας δικαίως δικαζομένας, ἐδό-
κουν μανθάνειν δικαιότητα, καὶ τοῦτο παντάπασιν ἀνέ-
στραπται· σαφῶς γὰρ ὁρῶσι νικῶντας, ὁπότεροι ἂν
14 πλεῖον διαδῶσιν. Ἀλλὰ καὶ τῶν φυομένων ἐκ τῆς γῆς
τὰς δυνάμεις οἱ παῖδες πρόσθεν μὲν ἐμάνθανον, ὅπως
τοῖς μὲν ὠφελίμοις χρῷντο, τῶν δὲ βλαβερῶν ἀπέχοιντο·
νῦν δὲ ἐοίκασι ταῦτα διδασκομένοις, ὅπως ὅτιπλεῖστα
κακοποιῶσιν· οὐδαμοῦ γοῦν πλείους ἢ ἐκεῖ οὔτε ἀποθνή-
σκουσιν οὔτε διαφθείρονται ὑπὸ φαρμάκων.

15 Ἀλλὰ μὴν καὶ θρυπτικώτεροι πολὺ νῦν, ἢ ἐπὶ Κύρου,
εἰσί. Τότε μὲν γὰρ ἔτι τῇ ἐκ Περσῶν παιδείᾳ καὶ ἐγ-
κρατείᾳ ἐχρῶντο, τῇ δὲ Μήδων στολῇ καὶ ἁβρότητι· νῦν
δὲ τὴν μὲν ἐκ Περσῶν καρτερίαν περιορῶσιν ἀποσβεννυ-
16 μένην, τὴν δὲ τῶν Μήδων μαλακίαν διασώζονται. Σα-
φηνίσαι δὲ βούλομαι καὶ τὴν θρύψιν αὐτῶν. Ἐκείνοις

καὶ εἴ τινες] Ita cum libro Altorfino pro καὶ οἵτινες ſcripſi: idem ſequens γένοιντο pro γενόμενοι dedit. Ita non opus conjectura Weiſkii poſt καὶ alterum excidiſſe φιλόθηροι vel ſimile vocabulum.

περὶ αὐτοὺς] Edd. pr. Guelf. περὶ αὐτοὺς et mox αὐτῶν dant. ἑαυτοὺς Altorf. et mox ἑαυτῶν.

13. Ἀλλά τοι] Altorf. τοι omittit, at poſt μέντοι addit ἔτι.

ἰέναι] Margo Steph. εἶναι. deinde εὐδοκιμεῖεν in Altorf. ſupra vulgatam ſcriptum eſt. Sermo eſt de venatione.

πλεῖον διαδῶσιν] Margo Steph. πλείω διδῶσιν. Altorf. πλεῖον διδῶσιν.

14. διδασκομένοις] Altorf. διδασκόμενοι. Sic eſt in Hellenicis vi. 3, 8. ἐοίκατε ἡδόμενοι. Anab. iii. 5, 8. ὅμοιοι ἦσαν θαυμάζοντες.

οὐδαμοῦ γοῦν] Altorf. οὐδαμοῦ οὖν dat.

15. θρυπτικώτεροι] Altorf. θρυπτικώτερον γε νῦν πολὺ ἢ ἐπὶ Κύρου.

γὰρ πρῶτον μὲν τὰς εὐνὰς οὐ μόνον ἀρκεῖ μαλακῶς ὑπο-
στρώννυσθαι, ἀλλ' ἤδη καὶ τῶν κλινῶν τοὺς πόδας ἐπὶ
ταπίδων τιθέασιν, ὅπως μὴ ἀντερείδῃ τὸ δάπεδον, ἀλλ'
ὑπείκωσιν αἱ τάπιδες. Καὶ μὴν τὰ πεττόμενα ἐπὶ
τράπεζαν ὅσα τε πρόσθεν εὕρητο, οὐδὲν αὐτῶν ἀφῄρηται,
ἄλλα τε ἀεὶ καινὰ ἐπιμηχανῶνται· καὶ ὄψα γε ὡσαύ-
τως· καὶ γὰρ καινοποιητὰς ἀμφοτέρων τούτων κέκτηνται.
Ἀλλὰ μὴν καὶ ἐν τῷ χειμῶνι οὐ μόνον κεφαλὴν καὶ 17
σῶμα καὶ πόδας ἀρκεῖ αὐτοῖς ἐσκεπάσθαι, ἀλλὰ καὶ
περὶ ἄκραις ταῖς χερσὶ χειρίδας δασείας καὶ δακτυλή-
θρας ἔχουσιν. Ἐν γε μὴν τῷ θέρει οὐκ ἀρκοῦσιν αὐτοῖς
οὔθ' αἱ τῶν δένδρων, οὔθ' αἱ τῶν πετρῶν σκιαὶ, ἀλλ' ἐν
ταύταις ἑτέρας σκιὰς ἄνθρωποι μηχανώμενοι αὐτοῖς
παρεστᾶσι. Καὶ μὴν ἐκπώματα ἢν μὲν ὡς πλεῖστα 18
ἔχωσι, τούτῳ καλλωπίζονται· ἢν δ' ἐξ ἀδίκου φανερῶς
ᾖ μεμηχανημένα, οὐδὲν τοῦτο αἰσχύνονται· πολὺ γὰρ
ηὔξηται ἐν αὐτοῖς ἡ ἀδικία τε καὶ αἰσχροκέρδεια.
Ἀλλὰ καὶ πρόσθεν μὲν ἦν ἐπιχώριον αὐτοῖς, μὴ ὁρᾶ- 19
σθαι πεζῇ πορευομένοις, οὐκ ἄλλου τινὸς ἕνεκα, ἢ τοῦ
ὡς ἱππικωτάτους γίγνεσθαι· νῦν δὲ στρώματα πλείω
ἔχουσιν ἐπὶ τῶν ἵππων, ἢ ἐπὶ τῶν εὐνῶν· οὐ γὰρ τῆς

16. πρῶτον μὲν τὰς εὐνὰς] Margo Steph. πρῶτον μὲν οὐκέτι τὰς εὐνὰς μόνον. quanquam in margine Steph. οὐ μόνον eſt ſcriptum. Hellenicorum iii. 2, 16. καὶ οὐ μόνον ταῦτ' ἤρκει ἀλλὰ καί. ubi vide annotata.

ὑποστρώννυσθαι] Athenæus xii. 2. p. 515. ubi h. l. excerpſit et Bodl. dant ὑποστόρνυσθαι, Guelf. ὑποστρόνυσθαι, Altorf. ὑπεστρονύσθαι.

τοὺς πόδας] De eadem re in Memorab. ii. 1, 30. eſt ὑπόβαθρα.

ταπίδων] Edd. pr. et Leidenſis liber apud Oudendorp. ad Thomam p. 834. δαπίδων. Guelf. ταπήτων, quod etiam Camerarius annotavit; ſed mox Guelf. dat τάπιδες, ubi Edd. pr. et Codex Auguſt. δάπιδες. deinde ἀλλὰ ὑπήκωσιν Altorf.

πρόσθεν] Athenæus πρότερον dat.

ὄψα γε] Juntina γε omittit.

17. καὶ σῶμα] Altorf. καὶ σώματα. ſequens περὶ ex libro Brodæi addidit Stephanus, cum quo facit Altorf.

σκιὰς] Margo Steph. σκιάδας, ex ſcholio natas, refert.

18. ἀδίκου] Athenæus ἐξ ἀδίκων dat, et mox τοῦτο omittit. αἰσχροκερδία poſtea eſt in Altorf.

19. μὴ ὁρᾶσθαι πεζῇ] De re compara iv. 5, 58. Paulo antea ἐπιχώριον ἦν Altorf. ordine mutato; deinde πορευομένους.

ἢ ἐπὶ τῶν εὐνῶν] Caſaubonus ad A-

ἱππείας οὕτως, ὥσπερ τοῦ μαλακῶς καθῆσθαι, ἐπιμέ-
20 λονται. Τὰ γεμὴν πολεμικὰ πῶς οὐκ εἰκότως νῦν τῷ
παντὶ χείρους ἢ πρόσθεν εἰσίν; οἷς ἐν μὲν τῷ παρελ-
θόντι χρόνῳ ἐπιχώριον ἦν, τοὺς μὲν τὴν γῆν ἔχοντας ἀπὸ
ταύτης ἱππότας παρέχεσθαι, οἳ δὴ καὶ ἐστρατεύοντο·
τοὺς δὲ φρουροῦντας, εἰ δέοι στρατεύεσθαι πρὸ τῆς χώ-
ρας, μισθοφόρους εἶναι· νῦν δὲ τούς τε θυρωροὺς καὶ
τοὺς σιτοποιοὺς καὶ τοὺς ὀψοποιοὺς καὶ οἰνοχόους καὶ
λουτροχόους καὶ παρατιθέντας καὶ ἀναιροῦντας καὶ κα-
τακοιμίζοντας καὶ ἀνιστάντας καὶ τοὺς κοσμητὰς, οἳ
ὑποχρίουσί τε καὶ ἐντρίβουσιν αὐτοὺς, καὶ τὰ ἄλλα ῥυθ-
μίζουσι, τούτους πάντας ἱππέας οἱ δυνάσται πεποιήκα-
21 σιν, ὅπως μισθοφορῶσιν αὐτοῖς. Πλῆθος μὲν οὖν καὶ
ἐκ τούτων φαίνεται, οὐ μέντοι ὄφελός γε οὐδὲν αὐτῶν εἰς
πόλεμον· δηλοῖ δὲ καὶ αὐτὰ τὰ γιγνόμενα· κατὰ τὴν
χώραν γὰρ αὐτῶν ῥᾷον οἱ πολέμιοι ἢ οἱ φίλοι ἀναστρέ-
22 φονται. Καὶ γὰρ δὴ ὁ Κῦρος τοῦ μὲν ἀκροβολίζεσθαι
ἀποπαύσας, θωρακίσας δὲ καὶ αὐτοὺς καὶ ἵππους, καὶ
ἓν παλτὸν ἑκάστῳ δοὺς εἰς χεῖρα, ὁμόθεν τὴν μάχην
ἐποιεῖτο· νῦν δὲ οὔτε ἀκροβολίζονται ἔτι οὔτ' εἰς χεῖρας
συνιόντες μάχονται.

23 Καὶ οἱ πεζοὶ ἔχουσι μὲν γέῤῥα καὶ κοπίδας καὶ σα-
γάρεις, ὥσπερ ἐπὶ Κύρου, τὴν μάχην ποιησόμενοι· εἰς

thenæum ἢ τότε vel πρὶν ἐπὶ τῶν εὐνῶν ſcribendum ingenioſe et vero ſimiliter conjecit.

ἱππείας] Margo Steph. ἱππικῆς. Sed Altorf. ἱππείας μόνα οὕτως ὡς τοῦ μαλακῶς καθ. ἐπ.

20. πολεμικὰ] Altorf. τὰ πολεμικά. deinde ἐπιχώριον ἦν dat; contra ex Edd. pr. Philel. et Guelf. εἶναι ὑπῆρχε reſtituit pro οἶμαι, ὑπῆρχε, quod Stephanus, obelo tamen appoſito, edidit et revocavit Weiſke. Mihi Altorfini libri ſcriptura præplacuit.

τοὺς τὴν γῆν ἔχοντας] Qui poſtea δυνάσται dicuntur, ſumtibus ſuis equites ornabant et alebant.

εἰ δέοι στρατεύεσθαι] Hæc Auguſtanus omittit; in Guelf. margine ſunt ſcripta.

παρατιθέντας] Intellige τὴν τράπεζαν.

κοσμητὰς] Margo Steph. κομμωτίας. male pro κομμωτάς.

21. ῥᾷον] Edd. pr. et Guelf. ῥᾴδιον. Auguſt. κατὰ γὰρ τὴν χ. ῥᾴδιον. deinde ἀνατρέφονται Junt. Guelf. Auguſt.

χεῖρας δὲ ἰέναι οὐδ' οὗτοι ἐθέλουσιν. Οὐδέ γε τοῖς δρε- 24
πανηφόροις ἅρμασιν ἔτι χρῶνται, ἐφ' ᾧ Κῦρος αὐτὰ ἐποι-
ήσατο. Ὁ μὲν γὰρ, τιμαῖς αὐξήσας τοὺς ἡνιόχους, καὶ
ἀγαθοὺς ποιήσας, εἶχε τοὺς εἰς τὰ ὅπλα ἐμβαλοῦντας·
οἱ δὲ νῦν οὐδὲ γιγνώσκοντες τοὺς ἐπὶ τοῖς ἅρμασιν, οἴονται
σφίσιν ὁμοίους τοὺς ἀνασκήτους τοῖς ἠσκηκόσιν ἔσεσθαι.
Οἱ δὲ ὁρμῶσι μὲν, πρὶν δ' ἐν τοῖς πολεμίοις εἶναι, οἱ μὲν 25
ἑκόντες ἐκπίπτουσιν, οἱ δ' ἐξάλλονται· ὥστ' ἄνευ ἡνιόχων
γιγνόμενα τὰ ζεύγη πολλάκις πλείω κακὰ τοὺς φίλους
ἢ τοὺς πολεμίους ποιεῖ. Ἐπεὶ μέντοι καὶ αὐτοὶ γιγνώ- 26
σκουσιν, οἷα σφίσι τὰ πολεμιστήρια ὑπάρχει, ὑφίενται,
καὶ οὐδεὶς ἔτι ἄνευ τῶν Ἑλλήνων εἰς πόλεμον καθίστα-
ται, οὔτε ὅταν ἀλλήλοις πολεμῶσιν, οὔτε ὅταν οἱ Ἕλλη-
νες αὐτοῖς ἀντιστρατεύωνται· ἀλλὰ καὶ πρὸς τούτους
ἐγνώκασι μεθ' Ἑλλήνων τοὺς πολέμους ποιεῖσθαι.

Ἐγὼ μὲν δὴ οἶμαι, ἅπερ ὑπεθέμην, ἀπειργάσθαι 27
μοι. Φημὶ γὰρ Πέρσας καὶ τοὺς σὺν αὐτοῖς καὶ ἀσεβε-
στέρους περὶ θεοὺς, καὶ ἀνοσιωτέρους περὶ συγγενεῖς, καὶ
ἀδικωτέρους περὶ τοὺς ἄλλους, καὶ ἀνανδροτέρους τὰ εἰς
τὸν πόλεμον νῦν ἢ πρόσθεν ἀποδεδεῖχθαι· εἰ δέ τις τἀν-
αντία ἐμοὶ γιγνώσκει, τὰ ἔργα αὐτῶν ἐπισκοπῶν, εὑρήσει
αὐτὰ μαρτυροῦντα τοῖς ἐμοῖς λόγοις.

24. εἰς τὰ ὅπλα] Intellige τοὺς ὁπλίτας. De re ipſa ſupra dictum.

25. Οἱ δὲ] Intellige aurigas: quod cum non animadvertiſſet, καὶ ὁρμῶσι μὲν malebat ſcriptum Weiſke.

ἑκόντες] Muretus ἄκοντες malebat, ut ſequenti ἐξαλλόμενοι opponeretur. Rem experimentis cognitam tradit noſter Anab. i. 8, 14.

26. τὰ πολεμιστήρια] Videtur pro πολεμικὰ dictum eſſe.

οὔτε ὅταν] Margo Steph. οὔτε ἄν ποτε. deinde Edd. pr. et Guelf. πρὸς τούτοις. De Græcis μισθοφόροις narrationem firmat locus Curtii iii. 9. a Weiſkio laudatus.

27. ἀπειργάσθαι μοι] Margo Steph. ἀπεργάσασθαι, ex libro Brodæi retulit. deinde ἀνομωτέρους pro ἀδικωτέρους Guelf.

γιγνώσκει] Guelf. et Auguſt. γιγνώσκοι.

NOUVELLES OBSERVATIONS

SUR

LA CYROPÉDIE

PAR

M. LE BARON DE SAINTE-CROIX.

NOUVELLES OBSERVATIONS

SUR

LA CYROPÉDIE.

L'AUTORITÉ de Cicéron et celle de Denys d'Halicarnaffe auroient dû entrainer tous les fuffrages, et fixer le jugement de la poftérité fur la Cyropédie. Ces deux anciens écrivains la regardoient comme un roman hiftorique, dans lequel Xénophon avoit voulu étaler fes maximes fur les devoirs d'un prince. Ufférius adoptant le fentiment de Jofephe et de Saint-Jérôme, ofa dans le dernier fiècle appeler de cette décifion, et fuivre le récit du philofophe Grec concernant Cyrus. L'opinion de cet habile chronologifte fut depuis embraffée fans examen par des hommes, dont le nom feul peut impofer, tels que Boffuet, Pezron, Marfham, Prideaux, etc. Ils n'eurent aucun égard à l'avis de Scaliger, qui n'avoit pas craint d'avancer qu'on ne devoit pas ajouter plus de foi à cet ouvrage de Xénophon qu'au roman d'Héliodore[a]. Pétau, malgré l'envie qu'il avoit de critiquer cet illuftre favant, ne crut cependant pas pouvoir s'écarter à ce fujet de fon fentiment.

M. Fréret s'y conforma, mais il eut le mérite d'avoir le premier difcuté à fond cette matière avec autant de fagacité et d'impartialité que de favoir et de jufteffe. Il démontra que les évènemens rapportés dans la Cyropédie ne peuvent fe concilier, non feulement avec ceux que nous

[a] Emend. Temp. Proleg. pag. 32.

lifons dans les hiftoriens profanes, mais même avec le témoignage de l'Ecriture fainte. Il prouva encore, 1. que Xénophon a fupprimé la guerre de Cyrus contre les Mèdes ; 2. que le Cyaxare de la Cyropédie eft un perfonnage imaginaire ; 3. que Xénophon a fait un anachronifme de vingt-fix ans fur la prife de Sardes, et un de vingt-huit fur celle de Babylone ; 4. enfin que Xénophon femble reconnoître lui-même, qu'il a altéré dans la Cyropédie les évènemens du règne de Cyrus, par ce qu'il rapporte fur les villes de Lariffa et de Mefpila dans la retraite des Dix-mille [b].

Le favant Defvignoles travailloit, en même temps que M. Fréret, à détruire la certitude des faits rapportés dans la Cyropédie, et à démontrer la foibleffe des preuves employées par les apologiftes de Xénophon [c]. Son objet étoit cependant moins de juftifier Hérodote dont il rejette le témoignage, que d'établir celui de Ctéfias, pour lequel il fait toujours paroître une grande prédilection ; ce qui l'a engagé à avancer beaucoup de paradoxes. Un des plus finguliers eft l'abdication faite par Cyrus du royaume de Babylone, en faveur de Darius Médus, auquel il eft fuppofé avoir enfuite lui-même fuccédé ; opinion dénuée de tout fondement, et fuffifamment réfutée par la fuite des rois que nous donne le précieux Canon chronologique attribué a Ptolémée [d].

Après les travaux de favans auffi éclairés et d'une réputation bien méritée, me convenoit-il de revenir fur leurs traces, et d'agiter de nouveau des queftions qu'ils paroiffent avoir entièrement décidées ? J'avoue que je n'y aurois pas même penfé, fi l'auteur d'une excellente traduction de la Cyropédie (M. Dacier) eût été moins éloigné

[b] Voyez les Mém. de l'Acad. des Infcr. tom. vii. p. 447. et fuiv.

[c] Voyez la Chronol. de l'Hift. Sainte, tom. ii. pag. 529. etc.

[d] Il n'eft pas certain que ce fameux aftronome, auquel l'école d'Alexandrie doit une partie de fa célébrité, foit l'auteur de l'ouvrage dont je parle. Un favant anonyme l'attribue à Théon, fon commentateur. *Obferv. in faft. Græc.* §. xiv. pag. 176. Je me propofe de difcuter cette opinion dans un autre mémoire. Il me fuffit d'obferver ici que la lifte des rois, avant Alexandre de Macédoine, eft regardée comme appartenant à Bérofe, écrivain dont l'autorité ne peut être que d'un grand poids dans cette matière.

de reconnoître la certitude des preuves que rapportent Defvignoles et M. Fréret. D'ailleurs ce dernier s'étant trop livré aux conjectures, j'ai cru qu'il importoit de les examiner avec foin, et d'éclaircir par-là quelques points de l'ancienne géographie, que l'habile Académicien a eu principalement en vue dans fes obfervations.

